# De adoratione et cultu in spiritu et veritate
## ΠΙΝΑΞ ΤΗΣΔΕ ΤΗΣ ΒΙΒΛΟΥ.

ΛΟΓΟΣ Α΄.Περὶ τῆς εἰς φαυλότητα τοῦ ἀνθρώπου παρατροπῆς, καὶ αἰχμαλωσίας τῆς εἰς ἁμαρτίαν· καὶ ὁμοῦ περὶ κλήσεως καὶ ἐπιστροφῆς τῆς κατὰ μετάγνωσιν, καὶ τῆς εἰς τὸ ἄμεινον ἀναδρομῆς. ΛΟΓΟΣ Β΄. Ὅτι ἀμήχανον διαφυγεῖν τὸν ἐξ ἁμαρτίας θάνατον καὶ τὴν τοῦ διαβόλου πλεονεξίαν, εἰ μὴ δι' ἁγιασμοῦ τοῦ κατὰ Χριστόν. Καὶ ὅτι οὐκ ἐν νόμῳ ἡ δικαίωσις, ἀλλ' ἐν Χριστῷ. ΛΟΓΟΣ Γ΄. Περὶ τοῦ αὐτοῦ. ΛΟΓΟΣ Δ΄. Ὅτι τὸν κεκλημένον εἰς δικαίωσιν παρὰ Θεοῦ, καὶ λελυτρωμένον αὐτῷ κατακολουθεῖν χρὴ, καὶ παραιτεῖσθαι μὲν τὸν εἰς φαυλότητα μαλακισμὸν, ζῆν δὲ μᾶλλον ἐπείγεσθαι συννόμως καὶ νεανικῶς ΛΟΓΟΣ Ε΄ Ἔτι περὶ ἀνδρείας, τῆς ἐν Χριστῷ. ΛΟΓΟΣ ς΄. Ὅτι χρὴ Θεῷ τῷ κατὰ φύσιν ἡμᾶς προσκεῖσθαι μόνῳ, καὶ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας. ΛΟΓΟΣ Ζ΄. Περὶ τῆς εἰς ἀδελφοὺς ἀγάπης. ΛΟΓΟΣ Η΄. Ἔτι περὶ ἀγάπης τῆς εἰς ἀδελφοὺς, καὶ κατὰ τοῦ κλέπτοντος μόσχον ἢ πρόβατον. ΛΟΓΟΣ Θ΄. Περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως, καὶ περὶ τῆς ἁγίας σκηνῆς ὅτι τύπος ἦν τῆς ἐν Χριστῷ Ἐκκλησίας. ΛΟΓΟΣ Ι΄. Περὶ τῶν ἐν τῇ ἁγίᾳ σκηνῇ. ΛΟΓΟΣ ΙΑ΄. Περὶ ἱερωσύνης, καὶ ὅτι τύπος ἦν ἡ κατὰ νόμον τῆς ἐν Χριστῷ ΛΟΓΟΣ ΙΒ΄. Περὶ ἱερωσύνης. ΛΟΓΟΣ ΙΓ΄. Ἔτι περὶ ἱερωσύνης. ΛΟΓΟΣ ΙΔ΄. Ὅτι χρὴ τοὺς φοιτᾷν ἐθέλοντας ἐν ἐκκλησίαις καθαροὺς καὶ ἐκνενιμμένους εἶναι τὴν ἐξ ἁμαρτίας κηλῖδα, καὶ οὕτω παρίστασθαι τῷ Θεῷ. ΛΟΓΟΣ ΙΕ΄. Ὅτι χρὴ καθαροὺς καὶ ἐκνενιμμένους τὴν ἁμαρτίαν παρίστασθαι τῷ Θεῷ. Καὶ ὅτι ἐν Χριστῷ πάλιν ἡμῖν ἡ κάθαρσις. ΛΟΓΟΣ Ις΄. Ὅτι χρὴ προσάγειν ἡμᾶς θυσίας πνευματι κὰς καὶ δωροφορίας Θεῷ. ΛΟΓΟΣ ΙΖ΄. Περὶ ἑορτῶν ἁγίων.

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ.

### ΛΟΓΟΣ ΠΡΩΤΟΣ

### Περὶ τῆς εἰς φαυλότητα τοῦ ἀνθρώπου παρατροπῆς, καὶ αἰχμαλωσίας, τῆς εἰς ἁμαρτίαν, καὶ ὁμοῦ περὶ κλήσεως καὶ ἐπιστροφῆς, τῆς κατὰ μετάγνωσιν, καὶ τῆς εἰς τὸ ἄμεινον ἀναδρομῆς.

Ποῖ δὴ καὶ πόθεν ἔρεσθαι μὲν δὴ, περιττὸν οἶμαί που. Φαίης γὰρ ἂν, εὖ οἶδ' ὅτι, μελλήσας οὐδὲν, ὡς οἴκοθέν τε καὶ ὡς ἡμᾶς. {ΠΑΛΛΑΔΙΟΣ.} Ἀληθές. {ΚΥΡΙΛΛΟΣ.} Δέλτιον δὲ δή σοι τουτὶ τὸ ἐν χεροῖν, ὅ τι; {ΠΑΛΛ.} Βίβλος Εὐαγγελικὴ, Ματθαίου τε καὶ Ἰωάννου συγγραφή. {ΚΥΡ.} Οἴει δὲ αὐτὴν ὅποι τε καὶ ὅτῳ διακομίζεσθαι δεῖν; Οὐ γάρ που θυραῖός γε ἰὼν ἐκμελετῴης ἂν, ὦ Παλλάδιε. Πόνοι τε μᾶλλον οἱ ἐπὶ τῷδε γλυκεῖς, οἴκοι τε καὶ ἐν σχολῇ. {ΠΑΛΛ.} Εὖ λέγεις. Ἐντευξόμενος δὲ ἀφῖγμαί σοι. Καὶ δέλτον ἄγω τὴν ἱεράν· μυρία γὰρ ὅσα πεπονηκὼς, οὐδὲν ὅ τι μᾶλλον ἔχω νοεῖν τί ἂν γένοιτο δηλοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐπὶ μὲν τῷ Ματθαίῳ, λέγων· «Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας. Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν· ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν, ἢ μία κεραία οὐ 68.136 μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται.» Ἐν δέ γε τῇ κατὰ τὸν Ἰωάννην συγγραφῇ, πρὸς τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκ τῆς Σαμαρείας γυναῖκα· «Πίστευέ μοι, γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. Ὑμεῖς προσ-κυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. Ἀλλὰ ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ. Καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ τῇ ἀληθείᾳ δεῖ προσκυνεῖν.» {ΚΥΡ.} Εἶτα τί τὸ ἄναντες εἶναί σοι δοκοῦν, ὡς ἔν γε δὴ τούτοις; Τί δὲ δὴ τὸ βαθὺ καὶ δυσέφικτον; ἐρομένῳ φράσον. {ΠΑΛΛ.} Ἐθῶν μὲν τῶν ἀρχαιοτέρων ἀποφοιτᾷν, καὶ τῆς ἐν Νόμῳ δικαιοσύνης καταλῆξαι δεῖν ἱερὸς ἡμῖν ἐπιτάττει λόγος. Ἔφη δὲ ὁ Παῦλος τοῖς ταύτης ἐφιεμένοις καὶ μετὰ τὴν πίστιν· «Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ, οἵτινες ἐν Νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. Ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα.» Πολιτείας δὲ τῆς κατὰ τὸν Νόμον, καί τοι λαμπρὰ καὶ μεγάλα δεικνύων ἡμῖν ἐφ' ἑαυτῷ τὰ αὐχήματα, πάλιν φησίν· «Ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. Ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι τὰ πάντα ζημίαν, διὰ τὸ ὑπερέχον τῆς γνώσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην, τὴν ἐκ Νόμου, ἀλλὰ τὴν ἐκ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην.» Οὐκ ἀμώμητον δὲ εἶναι τὴν ἀρχαίαν ἐντολὴν διεβεβαιοῦτο σαφῶς. Ταύτητοί φησι καὶ ἀντ' ἐκείνης ἡμῖν εἰσκεκομίσθαι χρησίμως τὴν διὰ Χριστοῦ καὶ νέαν, τοῦτ' ἔστι, τὴν εὐαγγελικήν. Γράφει δὲ οὕτως· «Ἀθέτησις μὲν γὰρ γίνεται προσαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές. Οὐδὲν γὰρ ἐτελείωσεν ὁ Νόμος, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ.» Καὶ πάλιν· «Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος.» Μεμφόμενος γὰρ αὐτοὺς λέγει· «Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος. Ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ταύτας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ εἰς τὴν καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς.» Ἐξόχως δὲ τὸ τῆς καινότητος ὄνομα συνιείς τε καὶ ἑρμηνεύων· «Ἐν τῷ λέγειν,» φησὶ, «καινὴν, πεπαλαίωκε τὴν πρώτην· τὸ γὰρ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ.» Εἰ τοίνυν τετελείωκε μὲν ὁ Νόμος οὐδὲν, ἀθέτησις δὲ τῆς ἀρχαίας γέγονεν ἐντολῆς καὶ τῆς δευτέρας ἐπεισφορὰ, προσοικειούσης ἡμᾶς τῷ 68.137 Θεῷ, τί δὴ ἄρα φησὶν ὁ Σωτὴρ, «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι;» καὶ ὅτι, «Προσήκει προσκυνεῖν ἡμᾶς ἐν πνεύματι καὶ ἀληθείᾳ τῷ Θεῷ καὶ Πατρί;» Δηλοῖ γὰρ, οἶμαι, τουτὶ, τὸ ἀποπαύσασθαι δεῖν ἡμᾶς ἠθῶν καὶ λατρείας τῆς κατὰ τὸν νόμον. {ΚΥΡ.} Ὡς εἰς πλατὺ ζητημάτων ἐξοίχῃ πέλαγος! Ποῖος γὰρ ἂν ἀρκέσειε νοῦς, τοῖς οὕτω λεπτοῖς θεωρήμασιν ἐνατενίσαι λαμπρῶς, ὡς τοῖς πάλαι τεθεσπισμένοις διὰ τοῦ πανσόφου Μωσέως, ἀδελφὴν οἷά περ καὶ γείτονα, καὶ διὰ τῶν αὐτῶν ἰοῦσαν πραγμάτων, τὴν νέαν ἡμῖν ἐπιδεῖξαι Γραφὴν, καὶ τῆς νομικῆς πολιτείας οὐ σφόδρα διῳκισμένην τὴν ἐν Χριστῷ ζωὴν, εἰ πρὸς θεωρίαν ἄγοιτο τὴν πνευματικὴν τὰ τοῖς ἀρχαίοις διωρισμένα. Τύπος γὰρ ὁ νόμος καὶ σκιὰ, καὶ τῆς εὐσεβείας ἡ μόρφωσις ὡς ἐν ὠδῖσιν ἔτι, καὶ κεκρυμμένον ἐν ἑαυτῇ τὸ τῆς ἀληθείας ἔχουσα κάλλος. Ἢ οὐχ ὧδε ἔχειν ἐρεῖς ὅπερ ἔφην; {ΠΑΛΛ.} Πάνυ μενοῦν. Ἀλλὰ τίς ἂν γένοιτο τούτου ἡ διασάφησις; Ἢ τίς ὁ τρόπος τοῦ πολιτεύεσθαι μὲν Εὐαγγελικῶς ἐξῆφθαι ἔτι δοκεῖν τῆς ἀρχαίας ἐντολῆς, καὶ πληροῦν οἴεσθαι τὰ διὰ Μωσέως; {ΚΥΡ.} Οὐχ ἁπλοῦς ὁ λόγος, ὡς ἄν τις εἰκάσειε· χρῆμα δὲ, οἶμαι, καὶ πολυσχιδὲς καὶ πολύμορφον ἡ ἀρετή· καὶ τῆς ἐν Χριστῷ πολιτείας τὰ αὐχήματα, διὰ πλείστης ὅσης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῖν τῆς ἀγαθουργίας ἐκποικίλλεται. Καὶ γοῦν ὁ θεσπέσιος Δαβὶδ ἐν ψαλμῷ τῷ τετάρτῳ καὶ τεσσαρακοστῷ παρίστησι μὲν τῷ Χριστῷ, παρθένον ἁγνὴν, ὡς ἐν τάξει βασιλίδος, τὴν Ἐκκλησίαν, περίχρυσον δὲ αὐτῇ καὶ πεποικιλμένην περιτίθησι στολὴν, οὕτω λέγων· «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημ μένη καὶ πεποικιλμένη.» Τοῦ μὲν διαχρύσου, τὸ ἔντιμον καὶ περιφανὲς, καθάπερ ἐγῷμαι, τοῦ δὲ ποικίλου, τὸ πολυειδὲς τῆς ἀρετῆς εὖ μάλα κατασημαίνοντος. Εὐπρεπεστάτη γὰρ λίαν ἡ Ἐκκλησία, κόσμον ἔχουσα τὸν νοητὸν, οὐ τοῖς τῆς σαρκὸς ὁρώμενον ὀφθαλμοῖς, ἀλλ' εἰς νοῦν ἔσω καὶ καρδίαν, τὸν ἐν τῷ κρυπτῷ νοούμενον Ἰουδαῖον, διὰ πλείστων ἡμῖν ὅσων ὡραϊσμῶν εὐφυᾶ καὶ ἐξαίρετον ἀστείως ἐκφαίνοντα. Ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος· «Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὔτε μὴν ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ, Ἰουδαῖος, καὶ περιτομὴ καρδίας, ἐν πνεύματι οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ.» {ΠΑΛΛ.} Ἆρ' οὖν, εἰπέ μοι, τῆς ἐν πνεύματι περιτομῆς εἰσκεκομισμένης, καὶ θυσιῶν τῶν κατὰ τὸν νόμον ἀνατετραμμένων, καὶ τόπον οὐδένα παρ' ἡμῖν ἐχούσης τῆς πολιτείας, οὐκ ἀπίθανόν πως εἶναι δοκεῖ τὸ φάναι Χριστὸν, «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι;» Ἢ εἴπερ οὐχ ὧδε ἔχει, διακωλύσειεν ἂν οἶμαί που καὶ ἡμᾶς οὐδὲν, βουθυσίαις μὲν καὶ λιβανωτοῖς τὸν τῶν ὅλων καταγεραίρειν Θεὸν, προσκομίζειν δὲ αὐτῷ τρυγόνας καὶ περιστερὰς, καὶ εἴ τι δρᾷν ἕτερον τοῖς ἀρχαιοτέροις νενόμισται, τοῦτο καὶ ἡμᾶς αὐτοὺς ἐπείγεσθαι πληροῦν. 68.140 {ΚΥΡ.} Καὶ μὴν, ὦ ἑταῖρε, πολὺ τοῦ πρέποντος ἀποκομίζῃ μακράν· ἀνατετράφθαι γὰρ οἴει τὸν νόμον, ὡς οὐδὲν ἀπώνασθαι μὲν τῶν αὐτοῦ, καὶ ἀχρεῖον ἔχοντα παντελῶς τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀναγκαίων δήλωσιν, οὐχὶ μετατετράφθαι μᾶλλον αὐτὸν εἰς ἀληθείας ἔνδειξιν, καίτοι τοῦ μακαρίου γράφοντος Παύλου· «Νόμον οὖν καταργοῦμεν διὰ πίστεως; μὴ γένοιτο! ἀλλὰ νόμον ἱστάνομεν.» Παιδαγωγεῖ γὰρ ὁ νόμος, καὶ ἀποφέρει καλῶς εἰς τὸ ἐπὶ Χριστῷ μυστήριον. Εἶναι δέ φαμεν τὰ πάλαι διὰ Μωσέως τοῖς ἀρχαιοτέροις τεθεσπισμένα, στοιχεῖα τῆς ἀρχῆς τῶν λόγων τοῦ Θεοῦ. Εἰ δὲ παρωσόμεθα τὸν παιδαγωγὸν, τίς ἡμᾶς ἔτι διακομιεῖ πρὸς τὸ Χριστοῦ μυστήριον; Καὶ εἰ παραιτοίμεθα τὸ μαθεῖν τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, πῶς ἂν ἔτι λοιπὸν, ἢ πόθεν ἀφιξόμεθα πρὸς τὸ τέλος; Ἢ γὰρ οὐ κατὰ τὰς Γραφὰς πλήρωμα νόμου καὶ προφητῶν ὁ Χριστός; {ΠΑΛΛ.} Ναί. {ΚΥΡ.} Γέγραπται γὰρ ὡδί. Πλήρωμα δὲ νόμου καὶ προφητῶν, εἴη ἄν· εἰς αὐτὸν οἶμαί που παντὸς ὁρῶντος καὶ τετραμμένου προφητικοῦ τε καὶ νομικοῦ θεσπίσματος. Τοιγάρτοι ἔφασκε τὰς τῶν Ἰουδαίων ἀπειθείας ἐκδυσωπῶν· «Μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. Εἰ γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε;» Ἀφῖχθαι δὴ οὖν εἰ λέγοι, καταλύσων μὲν οὐδαμῶς τὸν νόμον, ἀποπερανῶν δὲ μᾶλλον αὐτὸν, μὴ τὴν εἰς ἅπαν ἀνατροπὴν τῶν πάλαι τεθεσπισμένων εἰργάσθαι διανοοῦ· μᾶλλον δὲ μεταπλασμὸν ὥσπερ τινὰ, καὶ ἵν' οὕτως εἴπω, μεταχάραξιν τῶν ἐν τύποις ἐπὶ τὸ ἀληθές. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Καὶ δὴ τοιοῦτον ἔδει γενέσθαι παρὰ Χριστοῦ. Οἱ τὴν ἐν πίναξι καὶ γραφαῖς εὐτεχνίαν ἐξησκηκότες, οὐκ εὐθὺς τοῦ γράφειν ἀρχόμενοι, τὸ ἀνενδεῶς ἔχον, καὶ εἰς ἅπαν ἀπηρτισμένον ἐπιφέρουσιν εἶδος ταῖς γραφαῖς, ἐν εἴδει πρότερον καὶ ἀκαλλεστέρῳ χρώματι σκιαγραφοῦντες εὖ μάλα, καὶ ὧνπερ ἂν ἕλοιντο τυχὸν ἀμυδροτέρων ἔτι τοὺς τύπους προαναφαίνοντες, εἶτα ταῖς σκιαῖς ἐπαλείφοντες, τὸ ἑκάστῃ πρέπον τε καὶ ἁρμοδιώτατον σχῆμα, μεταφέρουσι τοὺς τύπους ἐξ εἶδος τὸ ἐμφανὲς, καὶ ἀσυγκρίτως ἄμεινον, ἢ τὸ ἐν ἀρχαῖς. Ἢ οὐχ ὧδε ἔχει; {ΠΑΛΛ.} Ἔγωγέ φημι. {ΚΥΡ.} Οἱ δὲ δὴ τὴν χαλκουργικὴν ἐπιτηδεύοντες ἐμπειρίαν, ἀνδριάντα τυχὸν εἰ βούλοιντο διαπήγσθαι, κηρῷ μὲν τὸ πρῶτον εἰς εἶδος ἄγουσιν ἀδρανὲς, εἶτα πυρὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατατήκοντες, ἐπιχέουσι τὸν χαλκὸν, ἄγουσί τε οὕτω πρὸς τὸ ἀρτίως ἔχον εἶδός τε καὶ κάλλος εὖ μάλα τὸ τεχνουργούμενον. Ἐπιῤῥιφθείσης δὲ ταῖς σκιαῖς τῆς τῶν χρωμάτων πολυειδίας, καὶ μὴν καὶ χαλκοῦ τὰ ἐκ κηροῦ κατατήκοντος, δόξειε 68.141 μὲν ἂν ἠθετῆσθαί τε καὶ ἀνατετράφθαι βραχύ. τὰ πρῶτά τε καὶ ἐν ἀρχῇ σχήματα. Ἔχει δὲ οὐχ οὕτω τὸ χρῆμα τῇ φύσει. Φαῖεν γὰρ ἂν ἀληθεύοντες, χαλκουργός τε καὶ γραφεύς· Οὐ κατελύσαμεν τὰς σκιὰς, οὐκ εἰς ἀχρειότητα παντελῆ τοὺς τύπους ἐπέμψαμεν, πεπληρώκαμεν δὲ μᾶλλον. Ὃ γὰρ ἦν ἰδεῖν ὡς ἐν σκιαῖς ἔτι καὶ τύποις ἀφανέστερόν τε καὶ ἀκαλλέστερον, τοῦτο προβέβηκεν ἐπὶ τὸ ἄμεινόν τε καὶ ἐμφανέστερον. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Καὶ εἴπερ τις ἕλοιτο πολυπραγμονεῖν ἀληθῶς τὴν ἱεράν τε καὶ θεόπνευστον Γραφὴν, εἴσεται δὴ πάντως ἀληθὲς ὑπάρχον, ὅ φημι. Κάλυμμα γὰρ ἐτίθει Μωσῆς ἐπὶ τὸ πρόσωπον αὑτοῦ, διὰ τὸ μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ἀτενίζειν εἰς τὸ πρόσωπον αὐτοῦ, κατὰ τὸ γεγραμμένον. {ΠΑΛΛ.} Καὶ τί δὴ τοῦτο παραδηλοῖ; {ΚΥΡ.} Ταῖς γὰρ Ἰουδαίων διανοίαις παχυτέραις οὔσαις ἔτι οἰστὰ μέν πως ἦν τὰ ἐξωφανῆ τοῦ νόμου, φημὶ δὲ δὴ πάλιν τὰ διὰ μόνου τοῦ γράμματος, ἀφόρητα δὲ καὶ ἀπρόβλητα παντελῶς, τὰ ἔσω κεκρυμμένα, καὶ ἵν' οὕτως εἴπωμεν τὸ τῶν νοημάτων πρόσωπον ἀληθές. Τοιγάρτοι καὶ ὁ θεσπέσιος ἡμῖν γράφει Παῦλος· «Ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. Ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκηται  Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται.» Ἀλλ' ὧδε μὲν δὴ τὰ τῶν Ἰουδαίων ἑστάτω. «Ἡμεῖςδὲ δὴ πάντες, ἀνακεκαλυμμένῳ προσώπῳ,» φησὶν, «τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος· ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν.» Ὥσπερ γὰρ οἱ ἐν ἐσόπτρῳ βλέποντες εἰκόνα καὶ τύπον τοῦ ἀληθοῦς, καὶ οὐκ αὐτό που τὸ ἀληθὲς ἐγκαταθρήσειαν ἂν, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, οἱ τῆς ἐν Χριστῷ πολιτείας τὸ κάλλος ἐπιθυμοῦντες ἰδεῖν, καθάπερ ἐσόπτρῳ τῷ νόμῳ χρώμενοι κατορθώσειαν ἂν ὡς ἄριστα τὸ ποθούμενον. Τὴν γὰρ αὐτὴν τῶν πραγμάτων εἰκόνα μεταπλάττοντες εἰς ἀλήθειαν, εἴσονται καθαρῶς τὸ ὅτι μάλιστα δοκοῦν καὶ εὐάρεστον τῷ Θεῷ. {ΠΑΛΛ.} Εἶτα τίς ἂν γένοιτο τυχὸν ὁ λόγος τοῦ μὴ ἐν ἀρχαῖς τοῖς πάλαι, τὸ νέον τε καὶ Εὐαγγελικὸν δεδόσθαι χρησμώδημα· τύπους δὲ μᾶλλον νενομοθετῆσθαι καὶ σκιάς; {ΚΥΡ.} Τὸ μὲν ἀκριβὲς τῆς οἰκονομίας, καὶ ὅπως ἂν ἔχοι ταυτὶ, κατά γε τὸ ἀληθέστερον, ἀναθετέον εὐσεβῶς τῷ πάντα εἰδότι Θεῷ. Λογισμοὶ δὲ ἡμᾶς ἐννοιῶν ἀγαθῶν ἀμοιρεῖν οὐκ εἰδότες, ἀποφέρουσί πως κἂν γοῦν εἰς μετρίαν εἴδησιν, ἢ καὶ τάχα που πρὸς τὸ εἰδέναι δοκεῖν τῆς οἰκονομίας τὴν πρόφασιν. Φαμὲν οὖν, ὅτι παιδαγωγίας ἔδει πολλῆς, καὶ ἀνατροφῆς τρόπον τινὰ νηπιοπρεποῦς, τοῖς ἐξ Αἰγύπτου λελυτρωμένοις. Παχύνοι γὰρ ἦσαν ἔτι καὶ εὐπαράφοροι κομιδῇ πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχεστάτων. Δυσαπό 68.144 νιπτον δὲ παντελῶς τὴν φιλοσαρκίαν ἠῤῥωστηκόσι, καὶ δυσδιαφύκτοις πάθεσιν ἐγκατειλημμένοις, ἀνέφικτόν πως ἦν ἔτι καὶ οὐχ ἕτοιμον ἑλεῖν τὸ εὐθὺς ἀναθρώσκειν δύνασθαι πρὸς τὸ ἄγαν ἀστεῖον, ὡς καὶ ζωῆς τινα τρόπον ἐπανελέσθαι, τυχὸν τῆς οὕτω λαμπρᾶς καὶ ὑπερφυοῦς, ὡς περιπατεῖν μὲν ἐπὶ τῆς γῆς, ἔχειν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς, κατὰ τὸ γεγραμμένον. Ἦ γὰρ οὐχὶ τελείων μὲν ἔστιν ἡ στερεὰ τροφὴ, γάλα δὲ τοῖς ἔτι νηπίοις τὸ πρεπωδέστερον; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Ἔδει τοίνυν παιδαγωγίας μὲν τῆς ἐν τύποις, ἔτι νηπίοις, καὶ ἵν' οὕτως εἴπωμεν, τρυφερωτέρας ἀνατροφῆς, οὐχὶ τοῦ πρὸς τελειότητα διατάττοντος λόγου, καὶ ἀποκομίζειν οἵου τε πρὸς τὸ ἀρτίως ἔχον. Ἐλαφροὶ δὲ οὕτως καὶ ὀλιγογνώμονες, καὶ πρὸς πᾶν ὁτιοῦν εὔκολοι τῶν παθῶν, ἁλοῖεν ἂν οἱ ἐξ Ἰσραήλ· ὡς εἴπερ τις ἐν αὐτοῖς ἀκριβὴς ἦν βάσανος ἠθῶν καὶ ἐγχειρημάτων, οὐδὲ ἂν οἶμαι σκιᾶς ἠξίωντο. Καὶ τοῦτο δέδειχεν ὁ Μωσῆς. Θεοῦ γὰρ προστάττοντος, ἀνέθορε μὲν εἰς τὸ ὄρος αὐτὸς, τὸν νόμον ὑποδεξόμενος. Οἱ δὲ παραχρῆμα κατώλισθον εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπόστασιν. Μεμοσχοποιήκασι γὰρ, φάναι τε οἱ δείλαιοι τετολμήκασιν· «Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἵτινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου.» Ἐπὶ οὖν ταῖς οὕτω δειναῖς ἐλαφρίαις ἐδυσφόρει μὲν ὁ Μωσῆς, κατεῤῥήγνυ δὲ τὰς πλάκας, ἐν αἷς ἦν ὁ νόμος, οὐδὲ σκιᾶς ἢ τύπων, ἢ κἂν γοῦν ὅλως παιδαγωγίας τῆς ἄνωθεν ἀξίους εἶναι νομίσας τοὺς οἷς γε τοσοῦτον ἀπόπληκτος ἦν ὁ νοῦς, ὡς ἀμνημονῆσαι μὲν τῶν οὕτω τεθαυμασμένων, ἃ διὰ τῆς θείας ἰσχύος ὑπὲρ αὐτῶν ἐξεπράττετο, μόσχῳ δὲ τὸ σέβας ἀναθεῖναι πάλιν, καὶ τῆς ἐν Αἰγύπτῳ λατρείας ἐλθεῖν ἐς ἀνάμνησιν. Ἀλλ' ἐν πλαξὶ μὲν λιθίναις ἐσκιογραφεῖτο τότε τοῖς ἀρχαιοτέροις ὁ νόμος ἐν δακτύλῳ Θεοῦ, καθὰ γέγραπται. Τύπος δὲ ἦν ἐκεῖνα τῶν καθ' ἡμᾶς ἐν Χριστῷ γενέσθαι πεπιστευμένων. Καταγράφει γὰρ ὥσπερ ἐν ἡμῖν τῆς ἑαυτοῦ βουλῆς τὴν εἴδησιν ὁ πάντων Δεσπότης Θεὸς, οἱονεὶ καλάμῳ χρώμενος τῷ Υἱῷ ἐν Πνεύματι. Ὠνόμαζε γὰρ οὕτως αὐτὸν διὰ Δαβὶδ, λέγων· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.» Ἐνεχάραξε γὰρ ταῖς ἁπάντων καρδίαις ὁ τοῦ Πατρὸς κάλαμος, τοῦτ' ἔστιν, ὁ Υἱὸς, τὴν παντὸς εἴδησιν ἀγαθοῦ, οἱονεί τινι δακτύλῳ Θεοῦ, τῷ τε τοῦ Πατρὸς, καὶ τῷ ἰδίῳ χρώμενος Πνεύματι. Δάκτυλον γὰρ ὠνόμασε τὸ Πνεῦμα Θεοῦ, λέγων, ποτὲ μὲν, «Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια·» ποτὲ δὲ αὖ, «Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια.» Ἐπιστολὴν δὲ ἡμᾶς τὴν πνευματικὴν καὶ ὁ Παῦλος ἐκάλει, λέγων· «Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων, φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Θεοῦ διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη, οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πίναξι λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις.» {ΠΑΛΛ.} Ἀλλ' ὅτι μὲν τύποι καὶ σκιαὶ τὰ κατὰ 68.145 τὸν νόμον, φαίην ἂν καὶ αὐτὸς, εὖ ἴσθι τοι. Φέρε δὴ οὖν λεπτόν τε καὶ ἀκριβῆ τοῖς ἐν τύπῳ κεχρησμῳδημένοις ἐνιέντες τὸν νοῦν, πολυπραγμονῶμεν εὖ μάλα τῆς ἀληθείας τὸ κάλλος. Εἴη γὰρ ἂν οὕτω λοιπὸν οὐδενὶ τῶν ὄντων ἀσυμφανὲς τῆς ἐν πνεύματι λατρείας τὸ μυστήριον. {ΚΥΡ.} Καὶ μὴν, ὦ γενναῖε, καταπέφρικά τοι σφόδρα εἰκότως, δυσοκνότατά τέ εἰμι πρὸς τοῦτο λίαν. Εἶεν γὰρ οἶμαί που τοῖς καθ' ἡμᾶς οὐχ ἁλώσιμα, τὰ οὕτως ἀνῳκισμένην καὶ ὑπερτενῆ λαχόντα τὴν θεωρίαν. Χρῆναι δὲ οἶμαι λέγειν ἀνασκοπουμένῳ τὸ βάθος τῶν ἐν τῷ νόμῳ θεωρημάτων· «Τίς σοφὸς καὶ συνήσει ταῦτα; καὶ συνετὸς, καὶ ἐπιγνώσεται αὐτά;» {ΠΑΛΛ.} Οὐκ ἄτραχυ μὲν τὸ χρῆμα, ὦ τᾶν. «Αἰτεῖτε» δὲ ὅμως, φησὶν ὁ Χριστὸς, «καὶ δοθήσεται ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν.» {ΚΥΡ.} Ἰτέον δὴ οὖν ἐπὶ τὸ χρῆναι φιλοθηρεῖν τὸ τελοῦν εἰς ὄνησιν· καὶ δὴ καὶ ἱκετηρίαν προανατείνωμεν λέγοντες· «Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου.» Δεῖ δὲ ἡμᾶς, ὡς ἔοικε, πρό γε τῶν ἄλλων εἰπεῖν, τήν τε εἰς φαυλότητα τοῦ ἀνθρώπου παρατροπὴν, δουλείας τε πέρι, καὶ αἰχμαλωσίας τῆς ὑπὸ τῷ πάντων ἐχθρῷ, ὅπως τε καὶ τίνα τρόπον ταυτὶ παρ' ἡμῶν καὶ ἐν ἡμῖν ἐκπράττεται. Προσεπειπεῖν δὲ δὴ οὕτω, καὶ τίνα χρὴ τρόπον ἀπονεύειν τοῦ κακοῦ, καὶ ἀποσείεσθαι μὲν τῆς ἐπ' ἐκείνῳ δουλείας τὸν ζυγὸν, ἀναθρώσκειν δὲ αὖ πρὸς τὸ ἐν ἀρχαῖς, διασώζοντος καὶ ἐπαμύνοντος τοῦ Θεοῦ. Τῇδε γὰρ ἡμῖν ἰόντος τοῦ λόγου ὁδῷ τῇ πρεπούσῃ, προσήκοι ἂν, οἶμαι, καὶ τὰ λοιπά. {ΠΑΛΛ.} Ὀρθότατα διανοῇ. {ΚΥΡ.} Τὸ γάρ τοι καρποφορεῖν δύνασθαι τῷ Θεῷ καὶ προσάγειν θυσίας πνευματικὰς, ἤγουν ἀνδρίζεσθαι, καὶ εὐδοκιμεῖν, κατορθοῦν ἐθέλοντας τὴν ἀρετὴν, οὐχὶ δήπου πρέποι ἂν τοῖς οὕτω δουλείας καὶ παθῶν ἀνάγκης ἀπηλλαγμένοις, ἀλλ' οἷς ἤδη πως ὁ νοῦς ἀνανήφει πρὸς τὸ ἐλεύθερον, καὶ οὐκ ἀμελέτητον ἔχει τὸ ἀποσείεσθαι τὸν ζυγὸν τῆς τοῦ διαβόλου πλεονεξίας. {ΠΑΛΛ.} Σύμφημι, νοεῖς γὰρ ὀρθῶς. {ΚΥΡ.} Καὶ δὴ καὶ λέγωμεν, ὡς πεποίηται μὲν ὁ ἄνθρωπος ἐν ἀρχαῖς, ἁμαρτίας μὲν καὶ παθῶν ἀνωτέρω πως ἔτι τὴν διάνοιαν ἔχων, οὐ μὴν ἀνεπίδεκτος παντελῶς τῆς ἐφ' ὅπερ ἂν ἕλοιτο παρατροπῆς. Ἐδόκει γὰρ ἔχειν ὀρθῶς τῷ πάντων ἀριστοτέχνῃ Θεῷ, τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἰδίων θελημάτων ἀνάπτειν αὐτῷ τὰς ἡνίας, καὶ ἀναθεῖναι δρᾷν τὸ δοκοῦν αὐτοκελεύστοις ὁρμαῖς. Προαιρετικὴν γὰρ ἔδει, καὶ οὐχ ὥσπερ ἐξ ἀνάγκης ὁρᾶσθαι τὴν ἀρετὴν, ἀλλ' οὐδὲ φύσεως νόμοις ἀδιαπτώτως ἐρηρεισμένην· ἴδιον γὰρ ἂν εἴη τουτὶ τῆς ἀνωτάτω πασῶν οὐσίας καὶ ὑπεροχῆς. Ἐπειδὴ δὲ τοῖς τῆς ἰδίας φύσεως λόγοις τὸ ζῶον ἀπήρτιστο τεχνουργοῦντος Θεοῦ, κατεπλούτει παραχρῆμα τὴν πρὸς αὐτὸν ὁμοίωσιν. Ἐνεχαράττετο γὰρ αὐτῷ τῆς θείας φύσεως ἡ εἰκὼν, ἐμφυσηθέντος ἁγίου Πνεύματος. 68.148 Αὐτὸ γάρ ἐστιν ἡ πνοὴ τῆς ζωῆς, ἐπεί τοι ζωὴ κατὰ φύσιν ὁ Θεός. {ΠΑΛΛ.} Ἆρ' οὖν ψυχὴ τῷ ἀνθρώπῳ τὸ θεῖον ἐγένετο πνεῦμα; {ΚΥΡ.} Καὶ πῶς οὐκ ἄτοπον κομιδῇ τὸ τῇδε νοεῖν; Ἦ γὰρ ἂν ἄτρεπτος, καὶ αὐτή που διαμεμένηκεν ἡ ψυχή· νυνὶ δέ ἐστι τρεπτή. Τρεπτὸν δὲ οὔτι που τὸ πνεῦμά ἐστιν. Ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν; εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν καὶ τοῦ Υἱοῦ, τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον Πνεῦμα. Ἀμαθὲς οὖν ἄρα τὸ εἰς ψυχὴν οἴεσθαι μεταπεπλάσθαι τὸ Πνεῦμα, καὶ εἰς ἀνθρώπου μεταχωρῆσαι φύσιν. Ἀλλ' ἐψυχοῦτο μὲν τὸ πλαστουργηθὲν ἀῤῥήτῳ δυνάμει· κατεκαλλύνετο δὲ παραχρῆμα τῇ τοῦ πνεύματος δόσει. Ἦν γὰρ οὐχ ἑτέρως τὴν θείαν ἡμᾶς εἰκόνα δύνασθαι πλουτεῖν. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Κατακοσμήσας δὴ οὖν τὸ τέχνημα Θεὸς, τὴν ἐν παραδείσῳ δίαιταν ἐχαρίζετο. Ἐπειδὴ δὲ ἔδει τὸν οὕτως κατηγλαϊσμένον, καὶ τῇ τῶν ἄνωθεν ἀγαθῶν ἀφθονίᾳ κατεστεμμένον, μὴ εὐκόλως ἀναφέρεσθαι πρὸς ἀλαζονείαν ἐᾷν, ἀγνοοῦντα τὴν δουλείαν, καὶ ὡς ἔστι μέτρον τῶν οἰκετικῶν (τὸ γάρ τοι λίαν εὐρὺ πρὸς τὸ εὐκλεὲς, καὶ τὸ ἀμέτρως ἐλεύθερον, ἀποφέρει πρὸς τὸ ὑπέροφρυ καὶ ἐπάρατον πάθος), πρόφασις αὐτῷ τοῦ μὴ ἀγνοεῖν τὸν Δεσπότην, ἐγκρατείας ἐδόθη νόμος· ἵνα δι' αὐτοῦ καλοῖτο πρὸς ἀνάμνησιν ἀεὶ τοῦ μετ' ἐξουσίας προστεταχότος, καὶ εἰδείη σαφῶς, ὡς ἔστιν ὑπεζευγμένος τοῖς τοῦ κρατοῦντος θεσμοῖς. Ἀλλ' οὐκ ἠρέμει τὸ ἀνόσιον ἐκεῖνο καὶ θεομισὲς θηρίον. {ΠΑΛΛ.} Φαίης ἂν οἶμαί που τὸν Σατανᾶν, ὃς τῶν οὐρανίων ἀψίδων ἀστραπῆς δίκην κατηκοντίζετο· νοσεῖν γὰρ αὐτῷ μειρακιωδῶς ἐδόκει τὸ θέλειν εἶναι Θεὸς, καὶ τὰ ὑπὲρ φύσιν τὴν ἑαυτοῦ παραδηλῶν, ἐφαντάζετο. {ΚΥΡ.} Διατεκμαίρῃ καλῶς. Φθόνου γὰρ καὶ ἁμαρτίας εὑρετὴς ὢν, καὶ πατὴρ, ἀπρακτεῖν οὐκ ἤθελε περὶ τὸ ἐπὶ γῆς ζῶον, τοῦτ' ἔστι, τὸν ἄνθρωπον. Εἶτα δόλῳ καὶ ἀπάταις ὑπελθὼν, παρεκόμισεν εἰς παρακοὴν, πανουργίας ὀργάνῳ τῷ γυναίῳ χρώμενος. Ἀεὶ γάρ πως ἡμᾶς κατασείουσι πρὸς τὸ ἀκαλλὲς, τοῦτ' ἔστιν, εἰς ἁμαρτίαν, αἱ σὺν ἡμῖν τε καὶ ἐν ἡμῖν ἡδοναί· ἡδονῆς δὲ τύπος, ἡ γυνή· θωπείαις δὲ ταῖς ἐξ ἡδονῶν καταθεῖ πολλάκις ἐπὶ τὸ ἀνεθέλητον ὁ νοῦς. Ὅπερ οὖν ἐν Ἀδὰμ ὡς ἐν πάχει πραγμάτων καὶ αἰσθητῶς ὁρᾶται συμβεβηκὸς, τοῦτο καὶ ἐν ἑκάστῳ τῶν καθ' ἡμᾶς, νοητῶς τε καὶ κεκρυμμένως κατίδοι τις ἂν πληρούμενον. Προανατέλλουσα γὰρ ἡδονὴ καταγοητεύει τὸν νοῦν, καὶ κατὰ βραχὺ ὑποσπᾷ πρὸς τὸ οἴεσθαι λοιπὸν, τὸ μηδὲν εἶναι παντελῶς, τοῦ θείου νόμου παράβασιν. Καὶ πιστώσεται λέγων ὁ Χριστοῦ μαθητής· «Μηδεὶς πειραζόμενος, λεγέτω ὅτι Ἀπὸ Θεοῦ πειράζομαι. Ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν· πειράζει δὲ αὐτὸς οὐδένα. Ἕκαστος δὲ πειράζεται 68.149 ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος. Εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα, ἀποκύει θάνατον. {ΠΑΛΛ.} Ἀτρεκὴς ὁ λόγος. {ΚΥΡ.} Ἀπεμπολήσασα δὴ οὖν τὴν παρὰ Θεοῦ χάριν, καὶ γυμνωθεῖσα ἤδη τῶν ἐν ἀρχαῖς ἀγαθῶν, ἐξεπέμπετο μὲν τοῦ παραδείσου τῆς τρυφῆς, μετεπλάττετο δὲ πρὸς τὸ ἀκαλλὲς εὐθὺς ἡ ἀνθρώπου φύσις, φθορᾶς δὲ εἴσω πεσοῦσα λοιπὸν ἀνεδείκνυτο. {ΠΑΛΛ.} Ἀναγκαίως. Ἔνδεια γὰρ οἶμαι τῶν παρὰ Θεοῦ χαρισμάτων, οὐδὲν ἕτερόν ἐστιν ἢ παντὸς ἀπόπτωσις ἀγαθοῦ. Ἀῤῥωστήσειε δ' ἂν ἡ ἀνθρώπου φύσις καὶ μάλα ῥᾳδίως τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἐκτόπων παραφορὰν, εἰ μὴ ἀνέχοι πρὸς ἀρετὴν αὐτὴν ἡ τοῦ διασώζοντος χάρις, τοῖς ἄνωθεν καὶ παρ' ἑαυτῆς ἀγαθοῖς πλουτίζουσα. {ΚΥΡ.} Εὖ λέγεις. Συναινέσαιμι γὰρ ἂν καὶ μάλα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰκότως· τρέφει μὲν γὰρ εἰς ἀλκὴν τὴν πνευματικὴν ὁ ἄρτος ὁ ζῶν, τοῦτ' ἔστιν, ὁ τοῦ Θεοῦ λόγος. Γέγραπται γὰρ, ὅτι «Καὶ ἄρτος στηρίζει καρδίαν ἀνθρώπου.» Δουλείας δὲ ἀπαλλάττει καὶ παθῶν, καὶ τοῖς εἰς ἐλευθερίαν αὐχήμασιν εὖ μάλα καταχρυσοῖ. Συνεσταλκότος δὲ ὥσπερ τὴν χεῖρα τοῦ Θεοῦ, καὶ τὴν ἐν τούτοις ἡμῖν χορηγίαν οὐ διανέμοντος· πᾶσα ἀνάγκη πως καὶ ἀνεθελήτοις ἡμᾶς περιπίπτειν κακοῖς, καὶ ἀρετῆς μὲν ἁπάσης ἀπωλισθεῖν, ὑπελθεῖν δὲ ὥσπερ τὸν ἑτέρου ζυγὸν, ἥκειν τε ἐς τοῦτο κακῶν καὶ πλεονεξίας, ὡς ἀγχοῦ γενέσθαι λοιπὸν τοῦ καὶ αὐτὴν ἀπολέσαι τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ὑπηρετοῦσαν ἡμῖν καὶ συνῳκισμένην σύνεσιν, καὶ σοφίας ἐρήμην τῆς κατὰ Θεὸν ἀποφανθῆναί τε παντελῶς τὴν τοῦ παθόντος καρδίαν, ἐκπεπορνευμένην ὥσπερ τῷ Σατανᾷ, καὶ ὑπενεχθεῖσαν εὐκόλως ὕβρεσί τε καὶ ἀσελγείαις ταῖς ὑπ' αὐτοῦ. {ΠΑΛΛ.} Ἐκδείξειας ἂν ὅπως, ἢ ψιλοῖς ἐάσεις ἐπινήχεσθαι λογισμοῖς; {ΚΥΡ.} Ἥκιστά γε. Παραδείξαιμι γὰρ ἂν ὡς ἔνι καλῶς τὰ τοῖς ἀρχαίοις συμβεβηκότα, διαμορφῶν εὐτέχνως εἰς τύπον τῶν νοητῶν. Εἰκόνες γὰρ ἐναργεῖς καὶ ἀριδηλότατοι γένοιντο ἂν ἡμῖν τῶν ἐν θεωρίᾳ λεπτῇ, τὰ ὡς ἐν αἰσθήσει τε καὶ ὡς ἐν ὄψει σημαντικῇ. Γέγραπται τοίνυν περὶ τοῦ προπάτορος Ἀβραάμ· «Καὶ ἐγένετο λιμὸς ἐπὶ τῆς γῆς, καὶ κατέβη Ἀβραὰμ εἰς Αἴγυπτον παροικίσαι ἐκεῖ, ὅτι ἐνίσχυσεν ὁ λιμὸς ἐπὶ τῆς γῆς.» Τὴν γάρ τοι φίλην τε αὐτῷ καὶ ἐνεγκοῦσαν ἀφεὶς, μεθωρμίζετο πρὸς ἑτέραν, ἣν ὑπέδειξε Θεός. «Ἔξελθε γὰρ,» φησὶν, «ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω.» Καταβρίθοντος δὲ τοῦ λιμοῦ, καὶ δυσδιάφυκτον κομιδῇ τὴν ζημίαν ἐπάγοντος, τὴν Αἴγυπτον ἰδεῖν, καὶ οὐχ ἑκὼν, ἐβιάζετο. Καὶ κατῴκησε μὲν οὐχὶ, παρῴκησε δὲ μᾶλλον ἐν αὐτῇ. {ΠΑΛΛ.} Τί οὖν τοῦτό γε; 68.152 {ΚΥΡ.} Ἀρίστην ἡμῖν τῶν ἀφανεστέρων τὴν θεωρίαν διαμορφοῖ. {ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Ταῖς τῶν Ἰουδαίων ἀπειθίαις ἐπιτιμῶν, ἔφη που ὁ Θεός· «Ἰδοὺ ἐπάγω λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. Καὶ ἀπὸ ἀνατολῶν ἕως δυσμῶν περιδραμοῦνται ζητοῦντες λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσιν.» Ἆρ' οὖν, ὦ ἑταῖρε, τοὺς τοιῷδε τυχὸν καταπιεσθέντας λιμῷ, καὶ χορηγίας ἐκπεπτωκότας τῆς διακρατούσης εἰς ἀρετὴν, καὶ τροφὰς οὐκ ἔχοντας τὰς ἐξ οὐρανοῦ καὶ ἄνωθεν, οὐχὶ πᾶσά πως ἀνάγκη μετανάστην ὥσπερ τινὰ καὶ φυγάδα ποιεῖσθαι τὸν νοῦν, μεταθέοντα λοιπὸν ἐπὶ τὰ αἰσχίω, καὶ ὥσπερ τινὸς γῆς ἰδίας τῆς εἰς ἀρετὴν εὐσθενείας ἐξωθούμενον, καταβαίνειν εἰς ἑτέραν ἕξιν τε καὶ θέλησιν· οὐκ ἔτι μὲν τὴν ὑπὸ Θεῷ, σκήπτροις δὲ μᾶλλον ὑποκειμένην διαβολικοῖς. Πατὴρ γὰρ, οἶμαι, καὶ βασιλεὺς ἁμαρτίας, ὁ πρῶτος αὐτὴν ἐς κόσμον ἐνεγκὼν, οὗ καὶ εἰς εἰκόνα καὶ τύπον παραδέξαιτ' ἂν οἶμαί τις, καὶ σφόδρα εἰκότως, τὸν Φαραὼ, τῆς Αἰγυπτίων ἐξάρχοντα. Παρ' οἷς βαθὺς μὲν ἦν λίαν ὁ τοῦ πεπλανῆσθαι σκότος· κακίας δὲ τρόπος ἀνεπιτήδευτος παντελῶς οὐδείς. {ΠΑΛΛ.} Καὶ τί τὸ λυπῆσαν τὸν μακάριον Ἀβραὰμ, ἐκ τοῦ καθικέσθαι τυχὸν εἰς τὴν Αἰγυπτίων; {ΚΥΡ.} Πλεῖστον μενοῦν ὅσον. Μικροῦ γὰρ ἐπέκεινα παντὸς ἠνέχθη κακοῦ. Ἀναμάθοις δ' ἂν καὶ τοῦτο εὐκόλως, ἱεροῦ φωνοῦντος Γράμματος· «Ἐγένετο δὲ ἡνίκα εἰσῆλθεν Ἀβραὰμ εἰς Αἴγυπτον, ἰδόντες οἱ Αἰγύπτιοι τὴν γυναῖκα ὅτι καλὴ εἴη σφόδρα, καὶ εἶδον αὐτὴν οἱ ἄρχοντες Φαραὼ, καὶ ἐπῄνεσαν αὐτὴν πρὸς Φαραὼ καὶ ἤγαγον αὐτὴν εἰς τὸν οἶκον Φαραώ.» Ἄθρει δὴ οὖν ὅτι μικροῦ διόλωλεν αὐτῷ τὸ γύναιον, ὦ τᾶν. {ΠΑΛΛ.} Ὡς δριμὺ τὸ χρῆμα, καὶ καταλυπεῖν ἱκανόν. {ΚΥΡ.} Καὶ μὴν τοῦτό τοι περὶ ἡμᾶς αὐτοὺς νοητῶς συμβήσεται. Οἷς γὰρ ἂν γένοιτο πατρίδος μὲν, ὥσπερ τῆς ἰδίας ἀπολισθεῖν, τῆς συνήθους τε καὶ φιλαιτάτης εὐκοσμίας καὶ ἀρετῆς, καθικέσθαι δὲ πρὸς τὰ χείρω, καὶ ὑπὸ σκῆπτρα γενέσθαι διαβολικὰ, πάντη τε καὶ πάντως ἐπιφύονταί τε καὶ ἐπιβουλεύουσι δεινῶς αἱ πονηραὶ καὶ ἐναντίαι δυνάμεις· κἂν εἰ θεάσαιντό τινα τῶν ὑπ' αὐταῖς γεγονότων οὐκ ἀκαλλῆ τὴν σύνεσιν ἔχειν δυνάμενον, περιποιεῖν σπουδάζουσι τῷ ἰδίῳ καθηγητῇ, καὶ τοῖς ἐκείνου σπερματισμοῖς ὑποφέρουσιν, ἵνα Θεῷ μὲν οὐκέτι, καρποφορῇ δὲ μᾶλλον τῷ Σατανᾷ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«Τὰ γὰρ βρώματα αὐτοῦ,» κατὰ τὸ γεγραμμένον, «ἐκλεκτά·» κατακηλοῦσαι δὲ ὥσπερ τὸν ἁλόντα τε καὶ ὑπολισθήσαντα νοῦν, ὡς ἂν μὴ πολὺ βλέπων εἰς τὸ ἐλεύθερον, τῆς ὑπ' αὐταῖς θητείας ἀποφοιτήσειε. Περιποιοῦσιν ἐσθ' ὅτε τὰς ἐπὶ τοῖς γηΐνοις ἡδονὰς, καὶ οἱονείπως καταπλουτίζουσι ταῖς εἰς τὸ μηδὲν θυμηδίαις, καθάπερ ἀμέλει καὶ οἱ τῶν Αἰγυπτίων ἄρχοντες, τὴν σύνοικον ἀπολλύντα τὸν μακάριον Ἀβραὰμ, οἱονεὶ περισαίνοντες ταῖς τιμαῖς, 68.153 καὶ δώρων προσαγωγαῖς, τοῦ λυπεῖσθαι λίαν ἀποκομίζειν ἤθελον. Γέγραπται γὰρ, ὅτι «Καὶ τῷ Ἀβραὰμ εὖ ἐχρήσαντο δι' αὐτὴν,» δῆλον δὲ, ὅτι τὴν Σάῤῥαν, «καὶ ἐγένοντο αὐτῷ, πρόβατά τε καὶ μόσχοι, καὶ ὄνοι, καὶ παῖδες, καὶ παιδίσκαι, καὶ ἡμίονοι, καὶ κάμηλοι.» Πλεονεκτῶν γὰρ ἡμᾶς εἰς τὰ καιριώτατα, καὶ οἱονεὶ γονῆς τε καὶ εὐκαρπίας ἀποστερῶν ἐλευθέρας ὁ Σατανᾶς, καὶ ταῖς ἰδίαις ὕβρεσι καὶ ἀσελγείαις τὸν εὐγενῆ νοῦν ὑποφέρων ἐκ πλεονεξίας, τῇ τῶν ἐπιγείων τέρψει καταδεσμεῖ. Διελήλακε δὲ μανίας εἰς τοῦτό ποτε, ὡς καὶ αὐτῷ τὴν πεῖραν καθεῖναι τῷ Χριστῷ. «Ἀναγαγὼν γὰρ αὐτὸν,» φησὶν, «ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης, ἐν στιγμῇ χρόνου, καὶ εἶπεν αὐτῷ ὁ διάβολος· Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδονται, καὶ ᾧ ἐὰν θέλω, δίδωμι αὐτά. Σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σοι πάντα.» {ΠΑΛΛ.} Ἔχει μὲν ὀρθῶς. Πλὴν ἐρομένῳ, φράσον. Τίς ἂν γένοιτο τοῖς παθοῦσιν ἢ ὄνησις ἤγουν ἡ ἐπικούρησις; {ΚΥΡ.} Θεὸς, ὦ γενναῖε, καὶ ἡ παρ' αὐτοῦ χάρις, οὐ μέχρι παντὸς ἐφιεῖσα τὸν ἠσθενηκότα νοῦν ὑπὸ πόδας εἶναι διαβολικοὺς, ἀλλὰ ὑπερασπίζουσά τε καὶ ἐξαιρουμένη, τὸν οὐδὲν ἐπαμύνειν ἑαυτῷ δυνάμενον. Ἴδοις δ' ἂν, εἰ βούλοιο, τουτὶ γεγονὸς καὶ ἐπὶ τοῦ προπάτορος Ἀβραάμ. Ἀπειρηκότος γὰρ τοῦ δικαίου, καὶ δρᾷν οἵου τε παντελῶς οὐδὲν, μέσος ἐχώρει Θεὸς, καὶ τῆς Αἰγυπτίων ἀσελγείας τὸ γύναιον ἠλευθέρου. «Ἤτασε γὰρ Κύριος τὸν Φαραὼ ἐτασμοῖς μεγάλοις καὶ πονηροῖς, καὶ τὸν οἶκον αὐτοῦ περὶ Σάῤῥας τῆς γυναικὸς Ἀβραάμ.» Ἠφίει δὲ οὕτω μόλις ὕβρεως ἐλευθέραν τὴν τῷ δικαίῳ συνῳκισμένην. Θεὸς οὖν ἄρα καὶ μόνος ἐξέλοιτο ἂν ἐκ τῆς τοῦ διαβόλου χειρὸς τὸν ἐναλόντα νοῦν, καὶ εἰς εὐκοσμίαν αὐτὸν ἀναστρέψει τὴν ἐν ἀρχαῖς. {ΠΑΛΛ.} Ἐνδείᾳ δὴ οὖν τῇ τῶν ἄνωθεν ἀγαθῶν κατωθούμενοι κάτιμεν ἐσθ' ὅτε πρὸς τὰ αἰσχρὰ καὶ βδελυρά. {ΚΥΡ.} Οὕτω φημί. {ΠΑΛΛ.} Ἀλλ' ἔστι που πάντως τῷ φιλαγάθῳ πρέπον Θεῷ, τὸ μηδενὶ τῶν τοιούτων ἐᾷν περιπίπτειν ἡμᾶς. {ΚΥΡ.} Πρέπον μὲν ὅτι μάλιστα τουτὶ Θεῷ, καὶ θελητόν γε, ὦ τᾶν· εἴη γὰρ ἂν ἥκιστα μὲν ἀγαθὸς, φιλάρετος δὲ οὐ λίαν, εἰ μὴ τοῦτον ἔχοι πρὸς ἡμᾶς τὸν σκοπόν. Παραίτιοι δὲ τοῦ παθεῖν ἑαυτοῖς ἡμεῖς, παραθήγοντες εἰς ὀργὰς τὸν τῶν ὅλων Δεσπότην· ἐνίησι γὰρ οὕτω πρὸς ἀσθενῆ τε καὶ ἄνανδρον νοῦν. Ἢ οὐχὶ βοῶντος ἀκούεις δι' ἑνὸς τῶν ἁγίων προφητῶν· «Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν, καὶ ἀσθενήσουσιν ἐν αὐτῇ πατέρες καὶ υἱοί· γείτων καὶ ὁ πλησίον αὐτοῦ ἀπολοῦνται;» Γράφει δὲ περί τινων καὶ ὁ σοφώτατος Παῦλος· «Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοῦς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα.» Τρανώτερον δὲ τουτὶ καὶ ὁ θεσπέ 68.156 σιος Ἡσαΐας καθίστησι, λέγων, ὡς ἐκ προσώπου τῶν υἱῶν Ἰσραὴλ, ἤγουν τῶν ὠλισθηκότων εἰς ἁμαρτίας· «Ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν.» {ΠΑΛΛ.} Ἆρ' οὖν, εἰπέ μοι, καταῤῥᾳθυμοῦντες ἡμεῖς τοῦ πρέποντος καὶ ταῖς ἁμαρτίαις ἁλισκόμενοι, προσρίψομεν τὴν αἰτίαν τῷ Θεῷ, καὶ ἐγκαλέσομεν αὐτῷ τὴν ὀργὴν, ὡς διὰ τοῦτο ἡμαρτηκότες; {ΚΥΡ.} Ἐπαιτιασόμεθα μὲν οὐχὶ, μανία γὰρ τοῦτό γε· φάσκοντες δὲ, ὅτι «Σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν,» τοιοῦτόν τι νοοῦμεν· Ὡς εἰ μὴ τὸ σὸν ἔχοιμεν εὐμενὲς, ὦ Δέσποτα, τὸ ἀπεῖργον οὐδὲν, τυραννεῖσθαι μὲν ὑπὸ ἁμαρτίας, διὰ τὸ τῆς ἡμετέρας φύσεως ἀσθενὲς, παντὶ δὲ λοιπὸν ἐνέχεσθαι κακῷ. {ΠΑΛΛ.} Συνίημι ὃ φῄς. {ΚΥΡ.} Φροντίδος οὖν ἅμα καὶ μὴν καὶ φειδοῦς τῆς ἄνωθεν ἀπαμφιεννύμενοι, καὶ τῆς εἰς ἄγαν ἐξιτηλίας, καὶ τῶν εἰς τὸ φαῦλον ἀσχέτων ἀπονευμάτων πραττόμενοι δίκας, ἀσθενεῖς καὶ εὐάλωτοι, καὶ τί γὰρ οὐχὶ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιούτων ἠῤῥωστηκότες ἀποδεικνύμεθα; Πάρα δὲ δή σοι ταυτὶ καταθεάσασθαι λαμπρῶς, τοῖς Ἱερεμίου περιτυχόντι λόγοις. Ἰουδαίων μὲν γὰρ ἡ ἀγρία πληθὺς, καί τοι σφόδρα πλουσίως ἐνσπαταλῶσά τε καὶ ἐνευρυνομένη ταῖς παρὰ Θεοῦ φιλοτιμίαις, καὶ ἁπάντων κρατήσασά τε λοιπὸν τῶν ἐχθρῶν, διελάσασά τε λοιπὸν εἰς αὐτό που τάχα τῆς ἐν ἀνθρώποις εὐκλείας τὸ ἀνωτάτω, σκληράν τε καὶ ἄθραυστον ἐμελέτα τὴν ἀπείθειαν. Μονονουχὶ δὲ καὶ ἐῤῥῶσθαι φράσαντες ταῖς διὰ Μωσέως ἐντολαῖς, καὶ μικροῦ παντελῶς ἀξιοῦντες λόγου τὰ τεθεσπισμένα, ἀπαραποδίστοις ἐφέροντο ῥοπαῖς εἰς ὄλεθρον καὶ ἀπώλειαν. Ὑποκάτω γὰρ δρυὸς, καὶ λεύκης, καὶ δένδρου συσκιάζοντος κατὰ τὴν τοῦ προφήτου φωνὴν, βωμοὺς ἀνεδείμαντο, καὶ ἐν τοῖς εἰδενδροτάτοις τῶν ἀλσῶν, τεμένη τοῖς δαίμοσι διαπήξαντες, βουθυσίαις καὶ λιβανωτοῖς, καὶ τοῖς ἄλλοις ἅπασι, καταγεραίρειν ἠξίουν, Θεοὺς καὶ σωτῆρας, καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων οὐκ ἐρυθριῶντες λέγειν, τὰ διὰ σφῶν τεχνουργούμενα; Καθίκοντο δὲ μωρίας εἰς τοῦτό ποτε. ὡς ἐν καυχημάτων τάξει λοιπὸν ποιεῖσθαι τὰς ἀνοσίους τεκνοσφαγίας, οἴεσθαι δὲ ὡδὶ λιπαρωτάτην ἀνάπτειν τὴν θυσίαν αὐτοῖς. Καὶ οὐ μέχρι τούτων τὰ τῆς δυσσεβείας ἐπράττετο τοῖς ἐξ Ἰσραήλ. Προσθήκην δὲ ὥσπερ τινὰ τοῖς τολμήμασιν ἀεὶ προσεπάγοντες, τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἀχάλινον ἀποφοίτησιν, οὐ μετρίως ἐφ' ἑαυτοῖς κατηρέθιζον εἰς ὀργὰς, καίτοι χρηστὸν ὄντα τὸν νομοθέτην. Ἐπειδὴ δὲ τὴν ἐπ' αὐτῷ δουλείαν ἀπεσείοντο νεανικῶς, μεθίει λοιπὸν καὶ πλεονεκτεῖσθαι καὶ παρ' ἐχθρῶν, καὶ πρὸς ἀναγκαίαν ἤδη πως ἀποφέρεσθαι θητείαν, τὴν ὑπὸ Χαλδαίοις φημὶ καὶ Βαβυλωνίοις. Οἱ μὲν γὰρ, ἧκον τὰ οἴκοι μεθέντες ἐξανδραποδισάμενοί τε αὐτοὺς, καὶ τὴν ἁγίαν καὶ διαβόητον πόλιν ἐμπρήσαντες, ἔρεσθαι δὲ μόλις ἐδόκει τοῖς πολεμου 68.157 μένοις τὸν προφήτην Ἱερεμίαν, τὸ ὅποιπερ ἂν αὐτοῖς ἐκτελευτήσειε τὸ κακόν. «Καὶ εἶπε,» φησὶν, «Ἱερεμίας· Οὕτως ἐρεῖτε πρὸς Σεδεκίαν· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ μεταστρέφω τὰ ὅπλα τὰ πολεμικὰ, ἐν οἷς ὑμεῖς πολεμεῖτε ἐν αὐτοῖς πρὸς τοὺς Χαλδαίους τοὺς συγκεκλεικότας ὑμᾶς ἔξω τοῦ τείχους, εἰς τὸ μέσον τῆς πόλεως ταύτης. Καὶ πολεμήσω ὑμᾶς ἐγὼ ἐν χειρὶ ἐκτεταμένῃ, καὶ ἐν βραχίονι κραταιῷ, μετὰ θυμοῦ καὶ ὀργῆς μεγάλης. Καὶ πατάξω πάντας τοὺς κατοικοῦντας ἐν τῇ πόλει ταύτῃ, τοὺς ἀνθρώπους καὶ τὰ κτήνη ἐν θανάτῳ μεγάλῳ, καὶ ἀποθανοῦνται.» Εἶτα μεθ' ἕτερα· «Καὶ πρὸς τὸν λαὸν,» φησὶν, «ἐρεῖς τοῦτον, Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς, καὶ τὴν ὁδὸν τοῦ θανάτου. Ὁ καθήμενος ἐν τῇ πόλει ταύτῃ, ἀποθανεῖται ἐν μαχαίρᾳ, καὶ ἐν λιμῷ, καὶ ὁ ἐκπορευόμενος προσχωρῆσαι πρὸς τοὺς Χαλδαίους τοὺς συγκεκλεικότας ὑμᾶς, ζήσεται. Καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς σκύλα, καὶ ζήσεται. Διότι ἐστήριξα τὸ πρόσωπόν μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακὰ, καὶ οὐκ εἰς ἀγαθὰ, καὶ εἰς χεῖρας βασιλέως Βαβυλῶνος παραδοθήσεται, καὶ κατακαύσει αὐτὴν ἐν πυρί.» Συνίης οὖν, ὅτι ταῖς εἰσάπαξ φιλοτιμίαις καταλυποῦντες Θεὸν, ἐσόμεθα μὲν οὐχ οἷοί τε ταῖς τῶν ἐχθρῶν εὐσθενείαις ἀντιπράττειν οἱ δείλαιοι, ἐγκειμένης δὲ ὥσπερ καὶ καταθρωσκούσης ἡμῶν τῆς θείας ὀργῆς, δοῦλοι μὲν ἀντ' ἐλευθέρων ἐσόμεθα, ἀκλεᾶ δὲ καὶ ἐλεεινὸν διαζήσομεν βίον. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ἀποφέρει μὲν γὰρ ὁ τοῦ Θεοῦ νόμος πρὸς ἀμώμητον πολιτείαν τὸν τρυφερὸν καὶ εὐήνιον, λύχνος δὲ ὥσπερ τις ἑκάστῳ γίνεται, πρὸς τὴν τοῦ χρησίμου τε καὶ ἀναγκαίου παράδειξιν, καὶ αἰδοῖ μὲν τῇ πρὸς αὐτὸν ἡττώμενος, διαβιῴη τις ἂν οὐκ ἀθαυμάστως οἶμαί που, καὶ καθάπερ ἁγίαν κατοικήσει πόλιν τὸ ἐρηρεισμένον εἰς ἀρετὴν, καὶ βεβηκὸς εἰς εὐλάβειαν. Εἰ δὲ δή τις ἕλοιτο καθάπερ τινὰ δρυμόν τε καὶ ὕλην εὐανθῆ τε καὶ εὔξυλον, εἰσβάλλειν ἑτοίμως εἰς τὰς κοσμικὰς ἡδονὰς, καὶ τέρψεσι ταῖς κατὰ τὸν βίον ἐμφιλοχωρεῖν, καὶ οἱονεί πως εἰδώλων ἐσμὸν εἰς νοῦν καὶ καρδίαν εἰσδέχεσθαι τὴν πολύμορφον ἡδονὴν, καὶ θυμιᾷν τοῖς δαίμοσι τοὺς τῆς αὐτοῦ προθυμίας καρπούς· τότε δὴ τότε καὶ σφόδρα εἰκότως ἀπολισθήσειεν ἂν φειδοῦς τῆς ἄνωθεν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἑτοιμοτάτη λίαν προσκείσεται θήρα τοῖς ἐθέλουσιν ἑλεῖν. Πόλεως δὲ ὥσπερ ἁγίας ἐξωθούμενος τῆς ἐν ἀρχαῖς εὐκοσμίας, κατοιχήσεται λοιπὸν ὥσπερ ἐξ ἀναγκαίου ζυγοῦ, πρὸς τὸ τοῖς κρατοῦσι δοκοῦν, καὶ μακρὰν ἔσται Θεοῦ, κατά γε τὸν τῆς διαθέσεως τρόπον, μετοικισμὸν ὑπομένων τὸν εἰς Βαβυλῶνα, τοῦτ' ἔστι, τὰ ἐπέκεινα τερμάτων γῆς ἁγίας, ἐν ᾗ γνωστὸς ὁ Θεὸς, καὶ μέγα τὸ ὄνομα αὐτοῦ. Τοιγάρτοι διακεκράγασιν οἱ τὸν οὕτω σκληρὸν ὑπομένοντες πόνον, καὶ εἰς χεῖρας πεσόντες ἐχθρῶν, καὶ τὴν παρ' ἐκείνοις δίαιταν, ὡς ἀνδραποδώδη καὶ οἰκετικὴν οὐ φέροντες· «Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τὴν Σιών.» Νοσεῖ γὰρ οἶμαί τι τοιοῦτον ὁ ἀνθρώπινος νοῦς. {ΠΑΛΛ.} Τὸ τί δὴ φῄς; 68.160 {ΚΥΡ.} Ῥᾴθυμος μὲν γὰρ καὶ ἀναπεπτωκὼς ἀεί πως ἐστὶν εἰς ἐπιθυμίαν τῶν ἐν χερσὶν ἀγαθῶν, ἐφίεται δὲ οὐ λίαν ὧνπερ ἂν ἔχοι τὴν ἐξουσίαν. Εἰ δὲ δή τις γένοιτο μετάκλησις ἐπὶ θάτερα, καὶ ὧν ἂν ἔχοι λαμπρῶν ἡττᾶσθαι παρῇ, τότε δὴ μόλις αἰσθάνεται παθὼν, ὃ παντὶ δὴ σθένει διακρούεσθαι ἐχρῆν, καὶ οὐ διὰ πείρας ἥκειν ἐᾷν προαναιροῦντα τὴν ἔφοδον. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἀναγκαῖον οὖν ἄρα, καὶ σοφὸν, καὶ τῶν ὅ τι μάλιστα λυσιτελεστάτων τὸ προαναιρεῖν εὖ μάλα τὰ μοχθηρὰ, καὶ τῆς ἀβουλήτου θητείας τὴν ἔφοδον, καὶ προαπονεύειν πειρᾶσθαι γοργῶς τὰ, ὧν εἰ γένοιτο πρὸς πεῖραν ἐλθεῖν, ἐν παντὶ κεισόμεθα κακῷ. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Καὶ εἰ μὲν ἐκ θείας ὀργῆς ὁ τῆς ἀναγκαίας δουλείας ἡμῖν ἐπιφέροιτο ζυγὸς, καὶ μὴν καὶ τὸ δεῖν εἰς ἀδόκιμον καθικέσθαι νοῦν, ἀντιφέρεσθαι μὲν οὐ ῥᾷον. Φαίην δ' ἂν εἶναι χρήσιμον, κἂν γοῦν τὸ διαμεμνῆσθαι μόνον ἐξ οἵων εἰς οἷα μετακεκλίσθαι, καὶ κατολοφύρεσθαι πικρῶς τὴν παράβλεψιν, καὶ τῆς ἄνωθεν ἐπικουρίας τὴν σπάνιν· «Ἡ γὰρ, κατὰ Θεὸν λύπη, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται.» Θείας δὲ ἡμῖν οὐκ ἀπηρτημένης ὀργῆς, ἀλλ' ἐνὸν ἐπ' ἐξουσίας ἑλέσθαι τε καὶ δρᾷν τὸ δοκοῦν, καὶ τὴν ἐπ' ἄμφω ῥοπὴν, τήν τε εἰς τὸ φαῦλον, φημὶ, καὶ τὴν εἰς τὸ ἀγαθὸν, ἀνειμένην πως ἔτι καὶ ἀκαταβίαστον παντελῶς διακεκτῆσθαι παρὸν, παραιτητέον γεννικῶς τὸν ὡς ἐν φαυλότητι μαλακισμὸν, οἶμαι δὲ δεῖν ἀποσείεσθαι φιλεῖν τὰς ἐπ' ἐχθροῖς ἡδονὰς, καὶ τὸ ὑπὸ χεῖρα πράττειν ἐχθρῶν, οἳ κατάρχειν λέγονται τοῦ αἰῶνος τούτου. Κἂν εἰ προσίοι τὸ τυχὸν εὐημερίας οὐκ ἀμοιροῦν, εὐημερίας δέ φημι τῆς ἐν κόσμῳ τετιμημένης, εἰς αἰσχρὸν γὰρ πάντως καὶ ἀκαλλὲς καταστρέφει τέλος. {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Βούλει λέγωμεν ἐξ ἀρχαίων ἑλόντες παραδειγμάτων; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Λιμοῦ κατατήκοντος τοὺς ἀνὰ πᾶσαν, ὡς ἔπος εἰπεῖν, τὴν γῆν, καθικέσθαι πρὸς Αἰγυπτίους τοὺς ἐξ Ἰακὼβ ἐδόκει, νεανίαι δὲ ἦσαν τὸν ἀριθμόν που δέκα, καὶ ὁ τῆς ἀποδημίας σκοπὸς, τὸ ἐκπρίασθαι τροφὰς, καὶ ἕτερον ἦν οὐδέν. Ἐπειδὴ δὲ ἧκον εἰς τοῦτο καὶ κατεγνωρίζοντο λοιπὸν ὡς ἀδελφοὶ, σιτοδοτοῦντος τότε καὶ ἐξάρχοντος τῆς Αἰγυπτίων τοῦ Ἰωσὴφ, εἰς οὓς τὸ πραχθὲν ἐδέχετο Φαραὼ, «Καὶ εἶπε,» φησὶ, «Φαραὼ πρὸς Ἰωσήφ· Εἶπον τοῖς ἀδελφοῖς σου· Τοῦτο ποιήσατε· Γεμίσατε τὰ πυρεῖα ὑμῶν, καὶ ἀπέλθετε εἰς γῆν Χαναὰν καὶ παραλαβόντες τὸν πατέρα ὑμῶν, καὶ τὰ ὑπάρχοντα ὑμῶν, ἥκετε πρὸς μὲ, καὶ δώσω ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ φάγεσθε τὸν μυελὸν τῆς γῆς. Σὺ δὲ ἔντειλαι ταῦτα, λαβεῖν αὐτοὺς ἁμάξας ἐκ γῆς Αἰγύπτου, τοῖς παιδίοις ὑμῶν καὶ ταῖς γυναιξὶ, καὶ ἀναλα 68.161 βόντες τὸν πατέρα ὑμῶν παραγίνεσθε, καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν· τὰ γὰρ πάντα ἀγαθὰ Αἰγύπτου ὑμῖν ἔσται.» Ὁ μὲν οὖν τῆς Αἰγυπτίων ἡγούμενος αὐτοῖς ἀνάπαυλαν καὶ τρυφῇ καταπιαίνειν εὖ μάλα κατεπηγγείλατο, καὶ μὴν καὶ ἁμάξας ἐχαρίζετο, καταλεαίνων οἶμαί που τοῖς ὀκνοῦσι τὴν κάθοδον. Οἱ δὲ πανοικὶ, κατέβαινον εὐθὺς, τὴν πρόσκαιρον τῶν ἐδωδίμων ἀπόλαυσιν, οὐκ οἶδ' ὅπως προτετιμηκότες γῆς τε καὶ χώρας δοθείσης παρὰ Θεοῦ· ἦν γὰρ δή που παρὰ πολὺ κρεῖττόν τε καὶ ἄμεινον τὸ ἐκείνην νέμεσθαι, εἰ καὶ σὺν βραχεῖ τὸ χρῆμα κατωρθοῦτο πόνῳ. Ἐπειδὴ δὲ ἧκον εἰς Αἴγυπτον, ᾤοντο μὲν ἴσως καὶ διαδράναι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λοιπὸν τοὺς οἴκοι πόνους, οἷς καὶ τῶν παραυτίκα τερπνῶν ἡ αἴσθησις ἡδεῖά πως ἦν αὐτοῖς. Διέρποντος δὲ τοῦ χρόνου, τὸν ἀκλεᾶ τῆς δουλείας ὑποτρέχει ζυγὸν, ἡ ἄνωθέν τε καὶ ἐκ πατέρων εὐγενὴς καὶ ἐλευθέρα πληθύς. Οὐκοῦν εἰ προσείη μετ' εὐημερίας κοσμικῆς τὸ προσπίπτειν εἰς τὰ αἰσχίω, παραιτητέον, ὦ τᾶν, εἴπερ ἐστὶ παρ' ἡμῖν ἐν λόγῳ τὸ ἐλεύθερον, βδελυρόν τε καὶ ἀπηχθισμένον τὸ δουλοπρεπὲς χρῆμά τε καὶ φρόνημα. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Τί δὲ, οὐχὶ κἀκεῖνό φαμεν, οὐ μετρίαν ὥς γέ μοι δοκεῖ τοῖς ἀρτίως ἡμῖν εἰρημένοις συνωδίνον τὴν ὄνησιν; {ΠΑΛΛ.} Τὸ ποῖ τί φῄς. {ΚΥΡ.} Ῥαψάκης ὁ Βαβυλώνιος τῶν Ἀσσυρίων στρατηγὸς, ἀριθμοῦ κρείττονα δορυφόρων ποτὲ πληθὺν ἐπεσύρετο, ἧκέ τε πολιορκήσων, μᾶλλον δὲ, καὶ λίαν ἀμογητὶ, πᾶσαν ἐκ βάθρων αἱρήσειν ὑπειληφὼς τὴν ἁγίαν πόλιν. Εἶτα προεσάλευε τῶν ὅπλων τὴν οὐκ ἀμελέτητον αὐτῷ, κατειθισμένην δὲ σφόδρα κατὰ τοῦ Θεοῦ γλωσσαλγίαν. Μυρία δὲ ὅσα παλίμφημα λέγων, προσεπεφώνει τὸ τελευταῖον τοῖς τὴν ἁγίαν οἰκοῦσι πόλιν· «Τάδε λέγει ὁ βασιλεὺς Ἀσσυρίων· Εἰ βούλεσθε εὐλογηθῆναι, πορεύεσθε πρὸς μὲ, καὶ φάγεσθε ἕκαστος τὴν ἄμπελον αὐτοῦ, καὶ τὰς συκᾶς αὐτοῦ, καὶ πίεσθε ὕδωρ τοῦ λάκκου ὑμῶν, ἕως ἂν ἔλθω, καὶ λάβω ὑμᾶς εἰς γῆν, ὡς ἡ γῆ ὑμῶν, γῆ σίτου καὶ οἴνου καὶ ἄρτων καὶ ἀμπελώνων.» Ἄθρει δὴ οὖν ὅτι καὶ αὐτὸς ἐπαγγέλλεται τὴν ἐπ' ἀμπέλῳ τε καὶ συκῇ τρυφήν τε καὶ τέρψιν προσετίθει δὲ, ὅτι «Καὶ πίεσθε ὕδωρ τοῦ λάκκου ὑμῶν.» {ΠΑΛΛ.} Ἀλλὰ τί ἂν βούλοιτο ταῦτα δηλοῦν, εἰ πρὸς θεωρίαν ἄγοιτο τὴν πνευματικήν; {ΚΥΡ.} Κατὰ διττὸν οἶμαι τρόπον ἡ τῆς φαυλότητος ἐν ἡμῖν ἀποπεραίνεται δύναμις. Ἢ γὰρ ταῖς θύραθεν ἡδοναῖς, ἢ ταῖς ἐμφύτοις καὶ ἐν ἡμῖν, ὑπό τε σφῶν αὐτῶν, καὶ μὴν καὶ ἑτέρων, ἐντρυφᾷν ἀναπειθόμενοι, πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχεστάτων, διωλισθηκότες ἁλοῖεν ἂν, οἱ πρὸς ἁμαρτίαν εὔκολοι. Ἐκδείξειε δ' ἂν καὶ τοῦτο ἡμῖν ὡς ἔστιν ἀληθὲς, τοῦ Σωτῆρος ὁ μαθητὴς, ὡδίπη λέγων, «Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία 68.164 τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου.» Ἔμφυτος γὰρ καὶ ἐν ἡμῖν αὐτοῖς ἐῤῥιζωμένη καὶ μένουσα τῆς σαρκὸς ἡ ἐπιθυμία, νόμον δὲ αὐτὴν ἁμαρτίας, καὶ ὁ θεῖος ἡμῖν ὠνόμαζε Παῦλος, ἐνοικοῦντα τοῖς μέλεσι τῆς σαρκός. Τέρψεις δὲ καὶ ἡδοναὶ θύραθέν τε καὶ εἰσπεποιημέναι, τὰ δι' ὀμμάτων. Θαυμάζεται γὰρ τὰ ἐκ πλούτου δι' ὀφθαλμῶν, καὶ μὴν καὶ εὐιματίαι, καὶ τὰ οἷς ἂν προσκέοιντό τινες, ὡς ἡδίστην ἔχοιεν τὴν ἀπόλαυσιν, ψῆφον αὐτοῖς οὐκ ἀγεννῆ δωρούμενοι. Οὐκοῦν, ἄμπελος μὲν καὶ συκῆ, τῆς ἔξωθέν τε καὶ εἰσπεποιημένης τέρψεώς τε καὶ τρυφῆς εἶεν ἂν εἰς τύπον ὁμοῦ τῶν ἐν κόσμῳ πραγμάτων τὸ πρόσκαιρόν τε καὶ εὐμάραντον ἀστείως καταδεικνύουσαι, καὶ σὺν τῷδε τὸ γλυκὺ μετὰ τοῦ σκοτοῦν εἰωθότος. Τρυφὴ μὲν γὰρ ἅπασα κοσμικὴ, γλυκεῖαν μὲν ἔχει τὴν παραυτίκα μέθεξιν, σκοτεῖ δὲ δὴ λίαν καὶ ἐκμεθύσκει δεινῶς τὸν εἰσδεδεγμένον αὐτήν. Εἰκὼν δὲ ὁ λάκκος τῶν ἐμφύτων τε καὶ ἐν ἡμῖν κινημάτων. Οὐ γὰρ εἰσπεποίηται ταυτὶ καθάπερ ἐκεῖνα, πηγάζει δὲ ὥσπερ ἐν ἡμῖν, ἐξ αὐτῆς ἀναβρύοντα τῆς σαρκός. Τούτων οὖν ἁπάντων φυσικῶν τε καὶ ἐπακτῶν, ἐλευθέραν ἡμῖν τὴν μέθεξιν, καὶ πλατεῖαν κομιδῇ τὴν ἀπόλαυσιν, ἔσεσθαί φασιν αἱ πονηραὶ δυνάμεις, εἰ καθάπερ ἁγίαν καὶ ἀκατάσειστον καταλελοιπότες πόλιν, τὴν ἐγκράτειαν, προσχωρήσαιμεν τῷ βασιλεῖ Βαβυλῶνος, ὃς ἦν ἐν τύπῳ τοῦ Σατανᾶ. Ἀλλ' ὁ μὲν Ῥαψάκης, τὸ παραυτίκα τερπνὸν, ἀνεῖ-ναί τε αὐτοῖς καὶ ἐπιδώσειν ἐπηγγέλλετο προσκεχωρηκόσι τοῖς Βαβυλωνίοις. Οἱ δὲ οὐκ ἐπείθοντο φρονοῦντες ὀρθῶς, ἕψεται γὰρ πάντως τῷ θέλειν ἑλέσθαι τὰ κοσμικὰ, τὸ χρῆναι πεσεῖν εἰς ἀνεθέλητον δουλείαν, καὶ ἐν δορυκτήτων γενέσθαι τάξει. {ΠΑΛΛ.} Ἀτρεκὴς ὁ λόγος. Τίς δ' ἂν γένοιτο τούτων ἡ λύσις, ὡς ἥδιστα ἂν ἐρομένῳ φράσον. {ΚΥΡ.} Τίς δ' ἂν ἑτέρα παρὰ τὴν ἐναντίως ἔχουσαν τῇ πρώτῃ καὶ ἐν ἀρχαῖς; Ῥοπαῖς γὰρ ἰδίων ἀπονεύοντες θελημάτων, ἐπὶ τὸ βιοῦν ἐθέλειν αἰσχρῶς, καὶ τῆς ἀμωμήτου πολιτείας τὴν ἀστειότητα παρωθούμενοι, πρὸς ἀγεννῆ καὶ ἀνδραποδώδη πεπτώκαμεν νοῦν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μόνα φρονοῦντες τὰ ἐπὶ τῆς γῆς, καὶ ταῖς τῆς σαρκὸς ἡδοναῖς ὁλοτρόπως ἐγκείμενοι. Ταύτητοι λοιπὸν καὶ κατολισθεῖν ἡμᾶς ἠφίει Θεὸς, εἰς ἀδόκιμον νοῦν. {ΠΑΛΛ.} Παλινδρομεῖν οὖν ἄρα πρὸς ἀρετὴν ἀναγκαῖον; {ΚΥΡ.} Ἀμελητί γε, ὦ τᾶν, οὐκ ἐφιεμένους ἔτι τῆς ἐν κόσμῳ ζωῆς, κατ' ἐκεῖνό που πάντως τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς εἰρημένον ὀρθῶς· «Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν Χριστῷ ἐν τῷ Θεῷ.» Δεδιψηκότας δὲ μᾶλλον τὴν ἐν οὐρανοῖς ἀπογραφὴν, καὶ οἱονεὶ πατρίδα καὶ πόλιν τὴν ἄνω πεποιημένους, καὶ ἀνακεκραγότας εὖ μάλα πρὸς Θεόν· «Ἄνες μοι ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.» Ὁ γάρ τοι περιπατῶν ἐπὶ τῆς γῆς, καὶ λαμπρὸν ἐν 68.165 οὐρανοῖς τὸ πολίτευμα ἔχων πάροικός τε καὶ παρεπίδημος ἀληθῶς ἐξ αὐτῶν ἂν εἰκότως φαίνοιτο τῶν πραγμάτων. Καὶ γοῦν τοῦ Σωτῆρος ὁ μαθητὴς τοῦτο ποιεῖσθαι κελεύει, καὶ ἡμᾶς αὐτοὺς αὔχημα περιφανές τε καὶ εὐπρεπὲς, ᾠδί πη λέγων· «Ἀδελφοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς.» {ΠΑΛΛ.} Ἆρ' οὖν ἀρκέσειε πρὸς κατόρθωσιν ἀρετῆς ἡ τοιάδε διάθεσις, τὸ καταλῆξαί φημι τῶν σαρκικῶν ἐπιθυμιῶν; {ΚΥΡ.} Εἰ προσγένοιτο σοφῶς καὶ τὰ ἐκ τῆς ἑτέρας ἐπιεικείας, δῆλον δὲ ὅτι τῆς πνευματικῆς. Γέγραπται γάρ· «Πλατεῖα ἡ ἐντολή σου σφόδρα.» Ἢ οὐχὶ διττὸς ἐν ἡμῖν ὁ μολυσμὸς, ψυχῆς τε καὶ σώματος; Ἕπεσθαι δεῖν οἰηθείην ἂν, καὶ λίαν εἰκότως, τοῖς καταμιαίνειν εἰωθόσιν, ἰσοπαλῆ τε καὶ ἰσουργὰ τὰ διασμήχειν εἰωθότα. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ὥσπερ οὖν ἀμέλει διττὸς ὁ ῥύπος ψυχικός τε καὶ σωματικὸς, οὕτω καὶ ἡ διακάθαρσις ψυχική τε καὶ σωματικὴ γένοιτ' ἂν εἰκότως. Πλὴν ὅτι τὸ παροικίαν ἡγεῖσθαι, φιλεῖν τὴν ἐν κόσμῳ ζωὴν, τοῖς τῇδε διακειμένοις οὐκ ἀκερδὲς ἀταλαιπώρως ἰδεῖν, εἴπερ ἕλοιτό τις εἰκόνα τοῦ πράγματος ποιεῖσθαι τὸν Ἀβραὰμ, πρὸς ὃν εἴρηται παρὰ Θεοῦ· «Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου. Καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογητὸς, καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι, καὶ εὐλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.» Συνίης ὅπως οὐκ ἐκ γῆς τε καὶ οἴκου μόνον, ἀλλὰ καὶ ἐκ τῆς συγγενείας, καὶ μὴν καὶ ἐκ τοῦ οἴκου τοῦ πατρὸς ἀπαίρειν ἐκέλευσεν, ἥκειν τε εἰς γῆν, ἥνπερ αὐτὸς ἐκδείξειεν ὁ καλῶν; {ΠΑΛΛ.} Ἀλλὰ τί δὴ τουτό ἐστιν; {ΚΥΡ.} Εἶτά πως οὐκ ἐναργὲς, ὅτι Θεοῦ καλοῦντος εἰς ἀκολούθησιν, δῆλον δὲ ὅτι τὴν πνευματικὴν, καὶ τῆς ἐν κόσμῳ ζωῆς, φημὶ δὲ δὴ πάλιν τῆς ἐν ἡδοναῖς καὶ φιλοσαρκίαις, οὓς ἂν ἕλοιτο τιμᾷν, ἐξέρπειν ἐθέλοντος, ἀπόπληκτον κομιδῇ, τὸ ἡγεῖσθαί τι τοῦ τοιοῦδε ἄμεινον; Καταλογιζέσθω γὰρ ὡς οὐδὲν πατρίς τε καὶ γένος, καὶ οἶκος πατρὸς, καὶ τῶν ἐπιγείων ἡ κτῆσις. Τοιγάρτοι καὶ αὐτὸς ὁ Σωτὴρ πρὸς τὴν ἴσην ἡμᾶς ἀνδρείαν ἐκάλει, λέγων· «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος, καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.» Προσετίθει δέ· «Καὶ πᾶς ὅστις ἀφῆκεν ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἢ οἰκίας ἕνεκα τοῦ ὀνόματός μου, πολλαπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.» Ἢ γὰρ οὐχὶ τῆς εἰς ἄκρον εὐσθενείας τῆς ἐν Χριστῷ νοουμένης ἔργον εἶναι φῄς, τὴν οὕτω λαμπρὰν καὶ 68.168 περίοπτον ἀνδρείαν, ἣ παρ' οὐδὲν ἡγεῖται ταυτί; τὸ δὲ δεῖν ἕπεσθαι τῷ Χριστῷ ποιεῖται περὶ πολλοῦ. {ΠΑΛΛ.} Πάνυ μὲν οὖν, ἐπεί τοι καὶ τῆς ἀρίστης ἐλπίδος, καὶ τῆς ἐν Χριστῷ θυμηδίας διωλισθήκασιν, οἱ κεκλημένοι μὲν εἰς τοὺς γάμους, καταρνησάμενοι δὲ τὴν ἄφιξιν. Ὧν ὁ μέν τις ἔφη· «Γυναῖκα ἔγημα, καὶ οὐ δύναμαι ἐλθεῖν.» Ὁ δέ τις ἀγρὸν ἐκπρίσσθαι λέγων, ἀμείνω τῆς κλήσεως ἐποιεῖτο τὰ πρόσκαιρα. {ΚΥΡ.} Εὖγε, ὦ Παλλάδιε· εὐφραίνεις γὰρ ἡμᾶς τὰ εἰκότα λέγων, καὶ ἐξ εὐμαθείας τῆς ἄγαν προαναθρώσκων εὖ μάλα πρὸς τὸ συνιέναι θερμῶς τοῦ λόγου τὸ πέρας. Ἄθρει δὴ οὖν ὅτι τοῖς ὁλοσχερῶς τε καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁλοτρόπως ἀκολουθοῦσι Θεῷ, καὶ τῆς εἰς αὐτὸν ἐλπίδος πεποιημένοις δεύτερα τὰ τῆς σαρκὸς, καὶ φιληδονίαν κοσμικὴν, ἕψεται δὴ πάντως, τὸ εὐλογίας τῆς ἄνωθεν πλουσίως μεταλαχεῖν. Τί γὰρ λέγει πρὸς Ἀβραάμ; «Καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε,» καὶ τὰ τούτοις συνημμένα. Ὁρᾷς οὖν ὅσην αὐτῷ πληθὺν ἐπεσώρευσε πνευματικῶν ἀγαθῶν; Τίνα δὲ τρόπον ἀπαίρει τῆς ἐνεγκούσης Ἀβραὰμ, πῶς οὐκ ἄξιον ἰδεῖν; «Ἔλαβε γὰρ,» φησὶ, «Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ, καὶ τὸν Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, ὅσα ἐκτήσαντο, καὶ πᾶσαν ψυχὴν, ἣν ἐκτήσαντο ἐν Χαῤῥάν. Καὶ ἐξῆλθον πορευθῆναι εἰς γῆν Χαναὰν, καὶ διώδευσεν Ἀβραὰμ τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς, ἕως τοῦ τόπου Συχὲμ, ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν.» Ἐξεχώρει μὲν γὰρ ἐκ Χαῤῥὰν, οὐδὲν ἑαυτοῦ λείψανον ἀφιεὶς ἐν αὐτῇ, παγγενεὶ δὲ ὥσπερ καὶ πανοικὶ, προθυμότατα μετατρέχων εἰς γῆν Χαναὰμ, ἣν ἔδειξε Θεός. Εἶτα δίεισι τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς, καὶ εἰς γῆν ἔρχεται τὴν ὑψηλήν. Ὁ γάρ τοι βεβουλημένος τοῖς θείοις εὖ μάλα κατακολουθεῖν θεσπίσμασι, καὶ φροντίδος τῆς ἀρίστης ἀξιοῦν τὴν ἄνωθεν κλῆσιν, ἐξίτω ζωῆς τῆς ἐν ἡδοναῖς κοσμικαῖς ὅλος διόλου, καὶ οἱονεὶ παγγενεὶ, οὐδὲν τῆς ἑαυτοῦ διανοίας λείψανον ἀφεὶς, ἐν οἷς ἦν ποτε. Ἀπαίρει γὰρ οὕτως ὀρθῶς, καὶ διοδεύσει τὴν γῆν, κέκληται γὰρ παρὰ Θεοῦ, ἵνα ὥσπερ ὁ μακάριος γράφει Παῦλος, ἐξισχύσῃ καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος, καὶ μῆκος, καὶ ὕψος, καὶ βάθος τοῦ μυστηρίου τοῦ Χριστοῦ. Πρὸς γῆν γὰρ τότε τὴν ὑψηλὴν ἀναφοιτήσει καλῶς, τοῦτ' ἔστι, πρὸς ἕξιν τὴν ἀνῳκισμένην ἐν ἀρεταῖς, καὶ οὐδαμόθεν ἔχουσαν ἔτι τὸ κατεῤῥιμμένον εἰς φιλοσαρκίαν. Ἀφικομένῳ δὲ ἤδη πρὸς τοῦτο, τί πάλιν ἔσται τῶν ἀγαθῶν, ἐξ αὐτῶν εἰσόμεθα τῶν ἱερῶν Γραμμάτων. «Ὤφθη γὰρ,» φησὶ, «Κύριος τῷ Ἀβραὰμ, καὶ εἶπεν αὐτῷ· Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. Καὶ ᾠκοδόμησεν Ἀβραὰμ ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ, τῷ ὀφθέντι αὐτῷ.» Ἐμφιλοχωροῦντι μὲν γὰρ εἰς γῆν πατρίδος αὐτοῦ, καὶ οὔπω πρὸς τὴν ἁγίαν μεταχωρήσαντι γῆν, μόνος δέδοται χρησμὸς τοῦ μεταχωρῆσαι δεῖν εἰς ἑτέραν, τῆς ἐνεγκούσης ἠφειδηκότα. Ἐπειδὴ δὲ ἦλθεν εἰς γῆν Χαναὰν πανοικί τε καὶ πανσκευεὶ, καὶ πρὸς τὴν ἁγίαν ἀνέ 68.169 θορε γῆν, ἡ τῆς θεοπτίας δέδοται χάρις, καὶ τῆς ἐλπίδος τὸ ἀσφαλὲς ἐν βεβαίῳ τῆς ἐλευθερίας, καὶ τὸ ἐξεῖναι λοιπὸν ἐγείρειν θυσιαστήριον. Καὶ ἡμῖν οὖν ἄρα, κατά γε τὸ ἴσον τοῦ λόγου σχῆμα, προσμένουσι μὲν τῷ κόσμῳ καὶ ταῖς κατ' αὐτὸν βδελυρωτάταις ἡδοναῖς, οὐδεμία μὲν ἔσται παρὰ Θεοῦ χάρις· κεκλημένοις δὲ καὶ τοῖς θείοις ὑπείκουσι νόμοις, ἀναθρώσκουσι τῶν καθάπερ εἰς γῆν ὑψηλὴν τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἔφεσίν τε καὶ προθυμίαν, ἐνίησι μὲν τῆς ἰδίας δόξης τὴν γνῶσιν ὁ Θεὸς, καὶ τὸ τῆς ἐλπίδος ἐρηρεισμένον ἐπαγγέλλεται· εὐσθενῆ δὲ οὕτω τὸν ἐν ἡμῖν ἀπεργάζεται νοῦν, ὡς ἤδη πως ἰσχύσαι θυσίας προσάγειν πνευματικὰς, καὶ εὐωδίαν γενέσθαι Χριστοῦ τῷ Θεῷ καὶ Πατρὶ, κατὰ τὸ γεγραμμένον· παραστῆσαι δὲ καὶ αὐτῷ τὸ σῶμα, θυσίαν ζῶσαν καὶ εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν καὶ ἐν πνεύματι λατρείαν τὴν ἀπόδεκτον παρὰ Θεῷ. Προσίεται γὰρ ἀσμένως τῆς ἐν πνεύματι λατρείας τοὺς τρόπους, καὶ θυσίαν ἡγεῖται τὸ χρῆμα πνευματικήν. {ΠΑΛΛ.} Μεθορμίζεσθαι δὴ οὖν ἐπὶ τὰ ἀμείνω πρέπει, τῶν αἰσχιόνων ἀπαίροντας· καὶ προσίεσθαι μὲν ὡς ἥδιστα τὴν ἄνωθεν κλῆσιν, ἐμφιλοχωρεῖν δὲ ὅτι μάλιστα φιλεῖν τοῖς ἐκ νόμου τετιμημένοις, καὶ τὴν ἀρίστην ψῆφον λαχοῦσι παρὰ Θεῷ. Ὡς τό τοι ζητεῖν ἀνόπιν ἰέναι καὶ ἐπινοστεῖν ἐπί τι τῶν ἀδικεῖν εἰωθότων, αἰτίας οὐκ ἀπαλλάξομεν. {ΚΥΡ.} Οὐ μὲν οὖν, ὦ ἑταῖρε. Παγχάλεπον μὲν γὰρ τὸ νοσεῖν ἑλέσθαι πάλιν τὰ ὧν ἂν ἐξοίχοιτό τις· ὡς τοῖς γε ἅπαξ ἐξῃρημένοις δυνάμει Θεοῦ πολιτείας κοσμικῆς, σφαλερὸν ἄγαν τὸ κἂν γοῦν εἰς αὐτὴν ἀποβλέψαι μόνον, καὶ οἱονεὶ πρὸς ἀνάμνησιν ἰέναι πλημμελημάτων, εἰς τὴν ἐπ' αὐτοῖς ἀγάπησιν ἱέντας τὸν νοῦν. Καὶ γοῦν ὁ θεσπέσιος Μελῳδὸς ἐλιπάρει λέγων· «Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα.» Ματαιότης γὰρ ὡς ἀληθῶς ὁ τοῦδε τοῦ βίου περισπασμὸς, καὶ ἡ τῶν προσκαίρων διάκενος τέρψις, ὧν ὅτι προσήκει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διίστασθαι καὶ ἀποφοιτᾷν, παραιτεῖσθαι δὲ καὶ μόνην τὴν ὡς ἐν ἐννοίαις μὲν ἔτι σὺν ἡδονῇ τε κατάσκεψιν τόν γε ὡς ἀληθῶς ὀρθοποδεῖν ῄρημένον, ἀναμάθοι τις ἂν κἀντεῦθεν εὐκόλως. {ΠΑΛΛ.} Ἐκ τοῦ δὴ φής; {ΚΥΡ.} Οἱ τῶν Σοδόμων οἰκήτορες εἰς τὰς παρὰ φύσιν ἡδονὰς ἀγρίως ἐξοιστρούμενοι, καὶ ἀτιμάζοντες μὲν τὸν συνόδου νόμον, ὃν ἐπὶ παίδων γοναῖς ἡ φύσις ὡρίσατο, ὥραις δὲ ταῖς ἀῤῥένων ἐπιθηγόμενοι, καὶ τί γὰρ οὐχὶ τῶν λίαν ἐκτοπωτάτων διαπεραίνοντες, κατηρέθιζον εἰς ὀργὰς, καὶ οἱονείπως κατεβιάζοντο πρὸς τὴν ἐπ' αὐτοῖς ἰέναι δίκην, καίτοι φιλάνθρωπον ὄντα τὸν Δημιουργόν. Ἐπειδὴ δὲ τοῦ χρῆναι παθεῖν ἐπὶ θύραις ἦν ὁ καιρὸς, δεδαπανημένης ὥσπερ τῆς ἐπ' αὐτοῖς ἀνεξικακίας, εἰσέβαλλον ἐν Σοδόμοις οἱ τοῦτο πληρώσοντες. Γέγραπται δὲ οὕτως· «Ἦλθον δὲ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας. Λὼτ δὲ ἐκάθητο 68.172 παρὰ τὴν πύλην Σοδόμων. Ἰδὼν δὲ Λὼτ, ἐξανέστη εἰς συνάντησιν αὐτῶν, καὶ προσεκύνησε τῷ προσώπῳ ἐπὶ τὴν γῆν, καὶ εἶπεν· Ἰδοὺ, Κύριοι, ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν, καὶ καταλύσατε, καὶ νίψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. Καὶ εἶπον· Οὐχί. Ἀλλ' ἐν τῇ πλατείᾳ καταλύσομεν, καὶ κατεβιάζετο αὐτοὺς, καὶ ἐξέκλιναν πρὸς αὐτὸν, καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐποίησεν αὐτοῖς πότον. Καὶ ἀζύμους ἔπεψεν αὐτοῖς, καὶ ἔφαγον πρὸ τοῦ κοιμηθῆναι.» Λὼτ μὲν γὰρ, ἅτε δὴ καὶ ἐξ αἵματος ὑπάρχων Ἀβραὰμ, καὶ τοῖς τῆς ὀρθότητος νόμοις ἐντεθραμμένος, εὐσεβείας τε τῆς εἰς Θεὸν οὐκ ἐν βραχεῖ λόγῳ πεφροντικὼς, παρῴκει τὰ Σόδομα. Ἦν δὲ ἐπ' αὐτοῖς ἔπηλυς καὶ ξένος καὶ γένει καὶ τρόπῳ. «Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου,» κατὰ τὸ γεγραμμένον; Κατευμεγεθήσας δὲ τῶν ἐπιχωρίων κακῶν, καὶ τὴν αὐτῷ συνήθη τοῦ βίου διαστείχων ὁδὸν, ἁγίων εἴχετο σπουδασμάτων, καὶ τῆς φιλοξενίας τὸν νόμον ὅτι μάλιστα τιμῶν, ταῖς τοῦ ἄστεως προσιζήσας εἰσβολαῖς, τοὺς εἰστρέχοντας ἐν αὐταῖς προσίεται φιλοφρόνως, θεοφιλὲς τὸ χρῆμα εἰδώς. Ἐπειδὴ δὲ ἧκον οἱ τοῖς εἰς ἀσέλγειαν ἀχαλίνως ἐκλελυττηκόσι τὴν δίκην ἐποίσοντες (δυὰς δ' ἦν ἀγγέλων), ὑπαντιάζει γοργῶς, καὶ τῆς ἐνούσης αὐτῷ χρηστότητος μήνυσιν ἐναργῆ προαναφαίνει τὴν πρόσρησιν. Προσκεκύνηκε γὰρ τῷ προσώπῳ ἐπὶ τὴν γῆν, οἴκαδε τε ἰέναι προτρέπει, καὶ τοῖς τῆς ἀγάπης ἐνσπαταλῆσαι νόμοις. Οἱ δέ φασιν· Οὐχὶ, ἀλλ' ἐν τῇ πλατείᾳ καταλύσομεν· τὸ μὲν εἶναι ξένοι καὶ ἀνέστιοι διὰ τούτου κατασημαίνοντες, κατερεθίζοντες δὲ οἶμαί που πρὸς ἐντονωτέραν σπουδὴν τὸν φιλοξενεῖν ῄρημένον, μονονουχὶ δὲ καὶ ἀστείως ὑποσημαίνοντες, ὡς οὐκ ἂν αὐτοὺς μεθεῖτο πρεπόντως ἐρήμους ὄντας ἑστίας, καὶ ἐν αὐταῖς τριόδοις ἐξεῤῥιμμένους· ὃ δὴ καὶ συνεὶς ὁ δίκαιος, μειζόνως κατεβιάζετο, καὶ οὐχ ἁρπαγμὸν τὴν παραίτησιν ὡς ἐξ ἀδρανοῦς καὶ ὑδαρεστέρας ἐποιεῖτο φρενός. Οὐκοῦν εἰσοικίζεται μὲν αὐτοὺς, ἀζύμους τε ἄρτους παρετίθει, καὶ πότον εἰργάζετο. Ἀλλὰ ταυτὶ μὲν ὁ δίκαιος. Σοδομῖται δὲ γυμνὴν καὶ ἀσχήμονα νοσοῦντες ἡδονὴν, τὸ τοῦ δικαίου δωμάτιον ἀνοσίως περιερχόμενοι, καὶ τῆς εἰς ἄκρον ἡκούσης ἀναισχυντίας πεσόντες ἐπέκεινα, ἀνεῖσθαι μὲν σφίσι τὰ συνήθη δρᾷν ἠξίουν, εἶτα δέον ἑλέσθαι φιλοξενίαν, ἀσελγείᾳ τῇ παρὰ φύσιν ἐβούλοντο κακοῦν. Ἀφιστάντα δὲ αὐτοὺς τὸν Λὼτ τῶν οὕτως ἀγρίων καὶ βδελυρωτάτων ἐγχειρημάτων παραλύειν ἤθελον, ἥλω δ' ἂν τάχα καὶ εἰς αὐτὸ τὸ παθεῖν, εἰ μὴ παρῆσαν οἱ σώζοντες. «Ἐκτείναντες γὰρ,» φησὶν, «οἱ ἄνδρες τὰς χεῖρας, εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν. Τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν.» Εὐμεμέτρηται δὲ οὐκ ἔν γε τουτοισὶ μόνοις τὰ τῆς ἐπικουρίας αὐτῷ. Γέγραπται γὰρ πάλιν· «Ἡνίκα δὲ ὄρθρος ἐγένετο, ἐπεσπούδαζον 68.173 οἱ ἄγγελοι τὸν Λὼτ, λέγοντες· Ἀναστὰς λάβε τὴν γυναῖκά σου καὶ τὰς δύο θυγατέρας ἃς ἔχεις, καὶ ἔξελθε, ἵνα μὴ καὶ σὺ συναπόλῃ ταῖς ἀνομίαις τῆς πόλεως. Καὶ ἐταράχθησαν, καὶ ἐκράτησαν οἱ ἄγγελοι τῆς χειρὸς αὐτοῦ, καὶ τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν δύο θυγατέρων αὐτοῦ, ἐν τῷ φείσασθαι Κύριον αὐτῶν.» Ἔνδειγμα δή σοι τουτὶ καὶ σφόδρα τρανὲς τοῦ μὴ μόνοις ἡμᾶς παραθήγεσθαι λόγοις, καὶ ταῖς ἐς νοῦν παρακλήσεσιν ἀποφοιτᾶν ἁμαρτίας, ἥκειν δὲ καὶ εἰς τοῦτο λοιπὸν ἡμερότητος τῆς εἰς ἡμᾶς τὸν τῶν ὅλων σωτῆρα Θεὸν, ὡς ἐνεργὸν ποιεῖσθαι τὴν ἐπικουρίαν, κατά γε τὸ, «Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με.» Ἐπειδὴ γάρ ἐστιν οὐ λίαν εὐσθενὴς ἡ ἀνθρώπου φύσις, οὔτε μὴν ἀποχρώντως ἔχουσα πρὸς τὸ διεκνεῦσαι δύνασθαι τοῦ κακοῦ, συναθλεῖ πως αὐτῇ πρὸς τοῦτο Θεός. Καὶ διττὴν ἀπονέμων ὁρᾶται τὴν χάριν· νουθεσίαις ἀναπείθων καὶ ἐπικουρίαν εὑρὼν, καὶ ἀμείνω τιθεὶς τοῦ παρὰ πόδας τε καὶ τυραννοῦντος κακοῦ. Ἴδοις δ' ἂν ἀληθὲς κἀκεῖνο ὑπάρχον, ὡς ὀλίγοι μὲν κομιδῇ τῆς δικαιοσύνης οἱ ἐπιμεληταὶ, καὶ πολλὴ κατὰ βίον ἡ σπάνις ἀνδρῶν ἀγαθῶν· ἄνδρα γὰρ πιστὸν ἔργον εὑρεῖν, κατὰ τὸ γεγραμμένον. Πλὴν ἀπόλεκτος ὁ τοιοῦτος, καὶ φροντίδος τῆς ἄνωθεν οὐ παρέργως ἠξιωμένος. Εἰ γάρ ἐστι κατὰ τὸν κόσμον ἀναμὶξ τοῖς ἄλλοις, ἀλλ' οὐδὲν ἐντεῦθεν ὑπομένει τὸ βλάβος, ὡς κρίνον ἐξ ἀκανθῶν ἁρπάζεται, καὶ οὐκ ἂν συναπόλοιτο δίκαιος μετὰ ἀσεβῶν, κατὰ τὰς τῶν ἁγίων φωνάς. {ΠΑΛΛ.} Ἄραρεν οὖν, ὅτι φειδοῖ τῇ παρὰ Θεοῦ, καὶ ἀγγέλων ἁγίων συνδρομῇ, καὶ τὴν ἐκ τῆς φαυλότητος πλεονεξίαν ἀπονιψόμεθα, καὶ τὸ μηδαμῇ μηδαμῶς ταῖς τῶν πονηρῶν ἁλῶναι δίκαις ἀναμφιλόγως εὑρήσομεν, Θεῷ πιστεύοντες σαφῶς ἀνακεκραγότι δι' ἑνὸς τῶν προφητῶν, ὅτι «Ἐγὼ Κύριος ὁ Θεός σου, ὁ κρατῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι, Μὴ φοβοῦ, Ἰακὼβ, ὀλιγοστὸς Ἰσραὴλ, ἐγὼ ἐβοήθησά σοι, λέγει Κύριος, ὁ λυτρούμενός σε, Ἰσραήλ.» {ΚΥΡ.} Ἢ γὰρ οὐχὶ συλλήπτορα τοῖς ἁγίοις ἐκδείξειεν ἂν τὸν πάντα ἰσχύοντα Θεὸν τὸ ἀπηρτῆσθαι τὸν Λὼτ τῆς τῶν ἀγγέλων χειρός; Θεοῦ γὰρ τύπος ἂν εἶεν [ἂν] οὗτοι. Τρεῖς μὲν ἐν ἀρχῇ τῷ Ἀβραὰμ προσβάλλοντες ἐν τῇ δρυῒ τῇ Μαμβρῇ, δύο δὲ τοῖς Σοδόμοις ἐπιφοιτήσαντες. «Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα,» κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνὴν, «ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ·» συνόντος αὐτῷ δηλονότι καὶ ἐνυπάρχοντος φυσικῶς καὶ τοῦ ἁγίου Πνεύματος. {ΠΑΛΛ.} Συνίης εὖ μάλα. Τὰ δὲ ἐφεξῆς περιαθρῶμεν, εἰ δοκεῖ. {ΚΥΡ.} Ἀοκνότατά γε, καὶ δὴ ἐρῶ. «Καὶ ἐγένετο,» φησὶν, «ἡνίκα ἐξήγαγον αὐτὸν ἔξω, εἶπον· Σῶζε τὴν σεαυτοῦ ψυχὴν, μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω, μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος σώζου, μή 68.176 ποτε συμπαραληφθῇς.» Ἐν μὲν οὖν τῷ, «Σῶζε τὴν σεαυτοῦ ψυχὴν,» φημὶ δὴ λέγεσθαι σαφῶς τὸ, «Σεαυτὸν ἁγνὸν τήρει· καὶ μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις.» Καὶ ἀμείνων ἔσο τῶν ἐν κόσμῳ παρυποδισμάτων· ψυχῆς γὰρ ἀντάλλαγμα τὸ σύμπαν οὐδέν. «Τί γὰρ ὠφεληθήσεται ἄνθρωπος, ὅταν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;» Τὸ δὲ δὴ χρῆναι λέγειν ἀμεταστρεπτὶ ποιεῖσθαι τὴν βάδισιν, σημαίνει που τάχα τὸ, μὴ ταῖς εἰς φαυλότητα μεταστροφαῖς τὰ ἴσα φρονεῖν ἑλέσθαι πάλιν τοῖς ὑπὸ δίκην τὴν πυρὸς ἐξ ἀκρασίας ἐνηνεγμένοις («Οὐδεὶς γὰρ,» φησὶ, «τὴν χεῖρα βαλὼν ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν)·» ἔχεσθαι δὲ δεῖν τῆς εἰς σωτηρίαν ὁδοῦ, μὴ τῇδε κἀκεῖσε περισπωμένους, καὶ φαντασίαις ἑώλοις κοσμικῶν ἐπιθυμιῶν ἐλαφρὸν καὶ εὐδιαῤῥίπιστον νοῦν, ἀλλ' ἐντελῆ τε καὶ ἄϋπνον, καὶ εἰς εὐθὺ βλέπειν ἀεὶ μεμελετηκότα, τηροῦντας ἐν ἑαυτοῖς. Καὶ τὸ ἔτι μεῖζον ἐρῶ· φησὶ γὰρ ὁ ἄγγελος οὐχ ὅτι χρὴ ἤδη μόνον αὐτὸν ἀμεταστρεπτὶ ποιεῖσθαι τὴν βάδισιν· προσετίθει δὲ χρησίμως τὸ, «Μὴ στῇς ἐν πάσῃ τῇ περιχώρῳ. Εἰς τὸ ὄρος σώζου, μήποτε συμπαραληφθῇς.» {ΠΑΛΛ.} Καὶ τί ἂν βούλοιτο δηλοῦν τὸ, «Μὴ στῇς ἐν πάσῃ τῇ περιχώρῳ;» {ΚΥΡ.} Τὸ οἶμαι νωθρόν τε καὶ ἀδρανὲς εἰς τὸ δεῖν ἐξίπτασθαι τοῦ κακοῦ, σφαλερόν τε καὶ ἐπιζήμιον. {ΠΑΛΛ.} Φράσον ὅπως. {ΚΥΡ.} Προφητικὸς ἔφη λόγος· «Οὐαὶ, οἱ ποιοῦντες τὸ ἔργον Κυρίου ἀμελῶς. –Τρέχετε δὲ ἵνα καταλάβητε,» καὶ αὐτός πού φησιν ὁ θεσπέσιος Παῦλος. Τὸ γάρ τοι μὴ δρᾶν ἐθέλειν εὐσθενέστατά τε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἐν σπουδῇ τὴν ἐκ τῶν αἰσχιόνων ἀποδρομὴν, δυσαποσπάστως ἔχοντος πρὸς τὰ ἀρχαῖα τοῦ νοῦ, καὶ οἱονεὶ στυγνῶς ἀφ' ἑκάστου τῶν φαύλων ἀπαίροντος, δυσοκνότατα δὲ μεθορμιζομένου πρὸς τὸ πεφυκὸς ὠφελεῖν, εἴη ἂν ἕτερον οὐδὲν, ἢ τὸ στῆναι λοιπὸν ἐν περιχώρῳ κακίας, καίτοι δρομαίως ἐξιέναι δέον. Ἢ γὰρ ἂν τῶν ἐνδεχομένων, πρὶν ὅρων ἔξω γενέσθαι κακοῦ, μέλλοντας ἀεὶ καὶ ἀναδυομένους καταληφθῆναι τῇ δίκῃ, πρὶν ἀποκαθήρασθαι τὴν κηλίδα, πρὶν ἀποπλύνασθαι τὸν ἐκ τῆς ἀρχαίας ῥᾳθυμίας ἐντετηκότα τῇ ψυχῇ μολυσμὸν, πρὶν ἀποφορτίσασθαι τὰ ἐγκλήματα, καὶ ζυγὸν ὑποδραμεῖν τὸν σωτήριον, ἀναπαύσασθαι διὰ Χριστοῦ. Ἄριστον οὖν παρακελευσμάτων τὸ, «Μὴ στῇς ἐν πάσῃ τῇ περιχώρῳ,» τοῦτ' ἔστιν, Ἐν μηδενὶ τρόπῳ φαυλότητος διαμελλήσας ἁλῷς, ἄνιθι δὲ μᾶλλον, ὥσπερ εἰς ὄρος, εἰς ἐξῃρημένην τινὰ καὶ περίοπτον ζωὴν, οὐδὲν ἔχουσαν τὸ χαμαιῤῥιφὲς, ἀλλ' ἐν ὑψηλῇ τε καὶ ἐπηρμένῃ διαπρέπουσαν ἀρετῇ, καὶ ἀπηλλαγμένῃ φρονήματος τοῦ χθαμαλωτάτου, τοῦτ' ἔστιν τοῦ ἐπιγείου καὶ σαρκικοῦ. Γέγραπται γὰρ, ὅτι «Τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.» Ἀνωτάτω γὰρ τῶν ἐπιγείων τὸ ἁγιοπρεπές ἐστι φρό 68.177 νημα. «Καὶ νεοττοὶ γυπὸς τὰ ὑψηλὰ πέτονται,» κατὰ τὸ γεγραμμένον, εἴπερ ἔχουσι καθάπερ εἰς ὄρος ἐν οὐρανῷ τὸ πολίτευμα, καὶ μεταποιοῦνται πατρίδος τῆς ἄνω. Γράφει δέ που καὶ Παῦλος· «Τὰ ἄνω ζητεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.» {ΠΑΛΛ.} Ὄρος οὖν ἄρα τὸ νοητὸν, ἡ ἐν ἁγιασμῷ ζωὴ, καὶ τῆς ἐξαιρέτου πολιτείας τὸ ὑπερτενὲς, νοουμένης που κάτω τῆς ἐν ἀκαθαρσίαις καὶ φιλαμαρτήμονος, καὶ τοῖς ἐπιγείοις ἐντετηγμένης. {ΚΥΡ.} Εὖ ἔφης· τουτὶ γὰρ ἡμῖν ὁ λόγος εὖ μάλα καταδηλοῖ, θαυμάσειας δ' ἂν ἔτι καὶ τόδε. {ΠΑΛΛ.} Τὸ τί; {ΚΥΡ.} Ὁ μὲν γὰρ μακάριος ἄγγελος ἀμελητί τε καὶ ἀμεταστρεπτὶ διαθέοντα τὸν θεσπέσιον Λὼτ, χρῆναι δεῖν ἔφασκεν εἰς τὸ ὄρος ἀναπηδᾷν. Ὁ ἐλιπάρει λέγων· «Δέομαι, Κύριε, ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου, καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς ἐπὶ τοῦ ζῇν τὴν ψυχήν μου· ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος, μὴ καταλάβῃ με τὰ κακὰ, καὶ ἀποθάνω. Ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, ἥ ἐστι μικρὰ, ἐκεῖ σωθήσομαι. Οὐ μικρά ἐστι, καὶ ζήσεται ἡ ψυχή μου; Καὶ εἰπὼν αὐτῷ, φησίν· Ἰδοὺ ἐγὼ ἐθαύμασά σου τὸ πρόσωπον καὶ ἐπὶ τῷ ῥήματι τούτῳ, τοῦ μὴ καταστρέψαι τὴν πόλιν περὶ ἧς ἐλάλησας. Σπεῦσον οὖν τοῦ σωθῆναι ἐκεῖ, οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα ἕως τοῦ σὲ εἰσελθεῖν ἐκεῖ. Διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως ἐκείνης, Σηγώρ. Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς τὴν Σηγώρ.» {ΠΑΛΛ.} Καὶ τίς ἂν γένοιτο καὶ διὰ τούτων ἡμῖν ἡ ὄνησις, ἐθέλοιμ' ἂν, ὡς εὖ ἴσθι τοι, διαμαθεῖν. {ΚΥΡ.} Ἢ οὐχὶ συνίης, καίτοι πολὺ νενευκὼς εἰς τὸ λίαν εὐμαθὲς, ὅτι τοῖς ἄρτι φαυλότητος ἐκδεδραμηκόσι, χρῆναι δὲ δεῖν οἰομένοις ἐπὶ τὴν τῆς σωτηρίας ἵεσθαι τρίβον, οὐκ εὐθὺς, οὔτε μὴν ἐκ πρώτων ἐγχειρημάτων, ἁλώσιμος ἡ ἀρετὴ καὶ βάσιμον τὸ δοκοῦν; Ἀλλ' οὐδ' ἂν εὐκόλως ἀνακομίζοιτό τις εἰς πολιτείαν ἐξῃρημένην, οὐδ' ἂν γένοιτο μακρὰν τῶν οἱονεί πως αὐτῷ συντεθραμμένων παθῶν, ἀλλ' ἔξω μὲν ἔσται τῶν τοιούτων ἠρέμα, τό γε ὅσον εἰς προθυμίας τὰς ἐπ' ἀμείνοσι, καὶ ἐγχειρημάτων ἀρχάς· ὑψοῦ δὲ οὐ λίαν, ἢ μακράν· μονονουχὶ δὲ μεταφοιτήσειεν εἰς γῆν μὲν ὥσπερ εἰς ἑτέραν, εἰς ζωὴν μὲν ἐπαινουμένην, ὑψηλὴν δὲ οὔπω καὶ περίοπτον λαχοῦσαν τὴν δόξαν, ὁποία τις ἦν ἡ κατὰ νόμον παιδαγωγία, πρὸς ἀρχὰς ἀναφέρουσα ζωῆς ἀρίστης τε καὶ ἀγαθῆς. Γέγραπται γάρ· «Ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια.» Ὃν γὰρ τρόπον τοῖς περὶ γνῶσιν ἐσπουδακόσι, καὶ θεωρίας ἐφιεμένοις τῆς μυστικῆς, ἐπιτήδειος μὲν ἐν ἀρχαῖς καὶ ὅτι μάλιστα πρέπων εἴη ἂν ὁ τῆς κατηχήσεως λόγος· διᾴττουσι δὲ πρὸς ἄνδρα τέλειον ἤδη, καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, 68.180 ἁρμόσειεν ἂν ἤδη πως ἡ στερεωτέρα τροφὴ, τοῦτ' ἔστιν, ὁ περὶ τῶν ἀνωτάτω λόγος, οἶμός τε ἅπασα λοιπὸν ἐρεύνης δογματικῆς· οὕτω κἀνθάδε φημὶ, τοῦτ' ἔστιν, ἐν ταῖς τῶν ἠθῶν καὶ τρόπων ἐπανορθώσεσι, οὐκ ἂν εἴη τῶν ἐνδεχομένων εὐθὺς ἀναθρώσκειν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δύνασθαί τινας ἐπὶ τὸ ἀμωμήτως ἔχον, ἤγουν εἰς ὑπερφυᾶ καὶ ὑπέρλοφον πολιτείαν. Προσήκοι δ' ἄν, οἶμαι, κατὰ βραχὺ πρὸς τὴν ἀρτίως ἔχουσαν ἕξιν, ἐκ μικρῶν καὶ συμμέτρων ἀρξάμενος, καὶ μονονουχὶ προειστρέχων καθάπερ εἰς πόλιν μικρὰν, καὶ ὄρους ὑψηλοῦ γείτονα, τὴν τῆς ἐξαιρέτου καὶ ἀνῳκισμένης ζωῆς ὑποκαθημένην τε καὶ ἐν μείοσι πολιτείαν. Ταύτῃτοι καὶ ὁ δίκαιος Λὼτ, τύπος ἂν εἴη τῶν τῇδε διακειμένων, οὐκ εἰς τὸ ὄρος εὐθὺς, ἀλλ' ἐν πόλει Σηγὼρ τῇ μικρᾷ, καταλύσειν ἀξιῶν. Ἢ γὰρ οὐχὶ καὶ ἐν τοῖς εὐαγγελικοῖς κηρύγμασι τοιαύτας πολλάκις τὰς οἰκονομίας εὑρήσομεν ἐν τοῖς πιστεύουσι γεγενημένας; Καὶ γοῦν ὁ μακάριος Παῦλος ἐπιστέλλει λέγων· «Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐκ ἐπιταγήν. Θέλω γὰρ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν. Ἀλλ' ἕκαστος ἴδιον ἔχει χάρισμα ἐκ Θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως.» Ὁρᾷς πῶς τῆς ἐγκρατείας τὸ εἰς ἄγαν ὑπερφερὲς, καθάπερ ὄρος ἡμῖν ὑπέδειξε λέγων· «Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι·» ἐφῆκε δὲ ἡμᾶς καταλῦσαι εἰς Σηγὼρ, τοῦτ' ἔστιν, εἰς τὴν ὑποκαθημένην ἔτι τοῦ τελείως ἔχοντος ἀγωγὴν, τό τε ἐξεῖναί φημι μόνῃ τῇ ἰδίᾳ συμπλέκεσθαι γυναικί; Τὴν δὲ γῆν τὴν ἀρίστην, καρποὺς ἀποδώσειν ἔφασκεν ὁ Σωτὴρ, τὴν μὲν ἑκατὸν, τὴν δὲ ἑξήκοντα, τὴν δὲ τριάκοντα. Διεδίδου δὲ καὶ τὸ τάλαντον, οὐκ ἐν ἴσῳ μέτρῳ, ἀλλὰ τῷ μὲν πέντε, τῷ δὲ δύο, τῷ δὲ ἕν· τὸ, οἶμαι, τῶν ἕξεων ἀνισοσθενὲς διὰ τούτων δεικνὺς, ἑκάστῳ τε διανέμων ὡς ἂν ἐπιτηδειότητος ἔχοι καὶ γνώμης. Ὡς γὰρ ἔφαμεν ἀρτίως, «Ἕκαστος ἴδιον ἔχει χάρισμα ἐκ Θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως.» {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ἐφίησι μὲν ὁ μακάριος ἄγγελος καταλύσειν εἰς Σηγώρ. «Ἰδοὺ γὰρ,» φησὶν, «ἐθαύμασά σου τὸ πρόσωπον καὶ ἐπὶ τῷ ῥήματι τούτῳ τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας. Σπεῦσον οὖν τοῦ σωθῆναι ἐκεῖ.» Εἶτά φησιν, ὅτι «Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ.» Θαυμάσαις δ' ἂν, ὦ ἑταῖρε, τίς ἂν γένοιτο μαθὼν καὶ τούτων ὁ νοῦς, «Ἐθαύμασα γάρ σου,» φησὶ, «τὸ πρόσωπόν σου τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας.» Ἀνεθέλητος μὲν γὰρ τῷ Θεῷ, κατὰ τὸ ἀληθὲς, ἡ τελείως οὐκ ἔχουσα πρὸς ἀρετὴν πολιτεία, καὶ τὸ κατά τι γοῦν ἡττᾶσθαι τῶν παθῶν ἀπόβλητόν τε αὐτῷ καὶ κατακρίσεως οὐ μακράν. Πλὴν ἐφίησιν ἐκ φιλανθρωπίας, καὶ συμμετρήσας τῇ φύσει τὸ ἐν ἀρχαῖς ἐφικτὸν, σώζεσθαι κελεύει, καὶ 68.181 μελετῶντας ἔτι τὸ ἀγαθὸν, οὔπω τε τὴν ὑπαίτιον κομιδῇ διαστείχοντας ἀγωγήν. Ἀλλὰ καὶ τοῖς εἰς τοῦτο ἥκουσι μέτρων, καὶ εἰς ταυτηνί τε εἰσελαύνουσι τὴν κατάστασιν, οὐ δίχα φωτὸς τοῦ θείου καὶ δᾳδουχίας τῆς ἄνωθεν ἡ εἰσδρομὴ γένοιτ' ἄν. «Ἀνέτειλε γὰρ,» φησὶν, «ὁ ἥλιος καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ.» {ΠΑΛΛ.} Ὡς σφόδρα γε τὰ εἰκότα ἔφης! {ΚΥΡ.} Ὁ μὲν οὖν θεσπέσιος Λὼτ εἰς τὴν ἔτι μικρὰν εἰσέθει πόλιν, ἐφιέντος αὐτῷ τοῦ Θεοῦ· ἠλέγχετο δὲ καὶ πρὸς τοῦτο ἀσθενὴς ἡ ἑπομένη τε αὐτῷ καὶ συνεκθέουσα γυνή. «Ἐπέβλεψε γὰρ,» φησὶν, «εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός.» Θέα δὲ ὅτι νοῦς μὲν ὁ ἀνδρεῖος καὶ φρόνημα τὸ νεανικὸν, κἂν εἰ μὴ τελείως ἀφικνοῖτο τυχὸν εἰς τὸ ἀρέσκον Θεῷ, κατορθοῦν ἠργμένος τὴν ἀρετὴν, ἀλλ' οὖν ἕξεις παθῶν ποιεῖται κατὰ βραχὺ πρὸς τὸ ἀμεινόνως ἔχον. Ὁ δὲ ἀσθενής τε καὶ ἄνανδρος, οὗ σημεῖον ἡ γυνὴ, ταῖς εἰς φαυλότητα μετατροπαῖς, ἀχρειοῦται παντελῶς. Τουτὶ γὰρ οἶμαι δηλοῦν τὸ γενέσθαι στήλη ἁλός· ὅπερ ἂν εἴη σύμβολον ἀπομαρανθείσης φρενὸς, καὶ νοῦ πρὸς ἠλιθιότητα μεταφοιτᾷν κειμένου, καὶ εἰς ἐσχάτην ἤδη πως ἀναισθησίαν ἐληλακότος. Ἀπομωρανθὲν δὲ τὸ ἅλας, εἰς οὐδὲν ἰσχύσειν ἔτι, καὶ αὐτὸς ἔφασκεν ὁ Σωτήρ· ἀχρειωθήσεσθαι δὲ παντελῶς, ἔξω τε πεμπόμενον, καὶ ὑπὸ πόδας ἀνθρώπων διεῤῥιμμένον. Ἀπελιθοῦτο μὲν οὖν ἡ γυνὴ, προσετίθει δὲ οὐκ εἰς μακρὰν τὸ λεῖπον ὁ Λώτ. Γέγραπται γὰρ, ὅτι «Ἀνέβη Λὼτ ἐκ Σηγὼρ, καὶ ἐκάθητο ἐν τῷ ὄρει, αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ. Ἐφοβήθησαν γὰρ κατοικῆσαι ἐν Σηγὼρ, καὶ ᾤκησαν ἐν τῷ σπηλαίῳ, αὐτὸς καὶ αἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ.» Πρόεισι γὰρ ὥσπερ δι' ἀναβαθμῶν ὁ νοῦς ἐπὶ τὸ ἔχον ἀρτίως, καὶ ἀναθρώσκει κατὰ βραχὺ πρὸς ὅπερ ἦν ἐν ἀρχαῖς, οὐκ ἐπιτηδείως ἔχων οὔτε λίαν ἱκανῶς. Πρόεισί τε καὶ ἀναφοιτᾷ πρὸς τὸ ἄμεινον, φρονήσει τε καὶ ἀνδρείᾳ τῇ πνευματικῇ καθάπερ τισὶν ἰδίαις θυγατράσιν ἐπισκηπτόμενος, καὶ κάτω που μένειν ἀφεὶς τὸ ἡδυπαθές τε καὶ ἄνανδρον, ὧν εἰς τύπον ἡ γυνή. Κατοικεῖ δὲ λοιπὸν καθάπερ ἐν ὄρει τε καὶ ἐν σπηλαίῳ· τοῦ μὲν ὄρους ἡμῖν τὸ ὑψηλόν τε καὶ ἐπηρμένον εἰς εὐεξίαν τὴν πνευματικὴν, τοῦ δὲ σπηλαίου, τὸ πεπηγὸς καὶ ἑδραῖον τῆς εἰς ἀρετὴν διαμονῆς ὑποδηλούντων εὖ μάλα. Γέγραπται γὰρ ὡδὶ περὶ ἀνδρῶν ἀγαθῶν· «Πορευόμενος ἐν δικαιοσύνῃ, λαλῶν εὐθεῖαν ὁδὸν, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων, βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος, καμμύων τοὺς ὀφθαλμοὺς, ἵνα μὴ ἴδῃ ἀδικίαν, οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς.» Εἴη δ' ἂν καὶ ἑτέρως οὐκ ἀπίθανος ἡμῖν ὁ ἐπὶ τῷδε λόγος. Πέτρα μὲν γὰρ ὁ Χριστὸς, διὰ τὸ εὐσθενές τε καὶ ἄτρωτον τῆς ἀνωτάτω πασῶν οὐσίας. Σπήλαιον δὲ τὸ ἐν Χριστῷ νοοῖτ' ἂν ἡ Ἐκκλησία, τὸ τῶν ἁγίων κατάλυμα, τῶν εὐσεβούντων ἡ σκέπη, ἣν κατοικοῦσι δίκαιοι, 68.184 καὶ μὴν ὅσοι τὴν διὰ πυρὸς παραιτοῦνται δίκην. {ΠΑΛΛ.} Ὡς εὖγε ἡμῖν, ὦ τᾶν, ὁ λόγος ἔχει! Βουλοίμην δ' ἂν ἔγωγε καὶ δι' ἑτέρων ὅσων ἡμῖν ἀποδείξεων ἰέναι τὸ γύμνασμα. Τὸ γάρ τοι φιλεῖν ἐξεπίστασθαι πλουσίως τὸ τελοῦν εἰς ὄνησιν, οἰησαίμην ἂν ἔγωγε τοῦ παντὸς ἄξιον. {ΚΥΡ.} Καὶ μὴν, ὦ Παλλάδιε, τά γε εἰκότα φῄς. Εἴη γὰρ ἂν διανοίας ἡμῖν τῆς εἰς ὅτι μάλιστα φιλομαθεστάτης τὸ χρῆμα καρπὸς, ὄκνου δὲ ἀμείνων ὁ πρὸς ἡμῶν ἔσται λόγος, οὐ τὸ αὐτό μοι δοκοῦν, τοῖς οὕτω λαμπροῖς καὶ ἀξιεράστοις διηγήμασι, τὴν οὐκ ἐν καιρῷ παρειστρέχουσαν ἐπασκῆσαι σιγήν. Οὐκοῦν ὅτι τῆς πρὸς τὰ φαῦλα διαθέσεώς τε καὶ κοινωνίας εἰσάπαν τε καὶ ὁλοτρόπως ἀποσχοινίζεσθαι χρὴ κατὰ τὸ ἐγχωροῦν· καὶ μὴν ὅτι τὸ ἀναθρεῖν δύνασθαι πρὸς ἀρετὴν, προσγένοιτ' ἂν οὐχ ἑτέρως, ἢ κατὰ τοῦτον αὐτὸν τὸν τρόπον, ἀπονητὶ θεωρήσομεν, τῆς διανοίας τὸν ὀφθαλμὸν ἐνιέντες εὖ μάλα, καὶ τοῖς κατὰ τὸν θεσπέσιον Ἀβραὰμ, καὶ τοῖς ὑπὲρ λόγον κατωρθωμένοις ἐπὶ τῇ ἐξόδῳ τῶν ἐξ Ἰσραὴλ, ἣν πεποίηνται κατὰ καιροὺς τῆς Αἰγυπτίων πλεονεξίας, τὰ δεσμὰ διαῤῥήξαντες. {ΠΑΛΛ.} Φράζε δὴ οὖν ἀνὰ μέρος. Ὡς εὖ ἴσθι τοι πλουσίως ἡμᾶς εὐφραίνων, εἰ δρᾷν ἕλοιο ταυτί. {ΚΥΡ.} Ἐλέγομεν τοίνυν, ὡς ἀφορήτῳ ποτὲ λιμῷ, καὶ ταῖς τῶν ἀναγκαίων ἐνδείαις ἐκπεπιεσμένος ὁ θεσπέσιος Ἀβραὰμ, οὐ θελητὴν ἐποιεῖτο τὴν εἰς Αἴγυπτον κάθοδον, καὶ ταῖς ἀνάγκαις ἐδίδου κρατεῖν. Ξένον δὲ ὄντα καὶ ἔπηλυν, λύπαις καὶ πλεονεξίαις ὁ Φαραὼ κατηκίζετο. Τὴν γάρ τοι συνῳκισμένην αὐτῷ παραλύειν ἤθελεν, ἡδοναῖς ἀκράτοις ἐκκεκαυμένος, εἰς αἰσχρουργίας ἔφεσιν. Κατορθῶσαι δὲ τοῦτο, οὐκ ἠφίει Θεός. «Ἤτασε γὰρ,» φησὶ, «τὸν Φαραὼ ἐτασμοῖς μεγάλοις περὶ Σάῤῥας τῆς γυναικὸς Ἀβραάμ.» Εἰκὼν δὲ καὶ τύπος ὁ Φαραὼ διαβολικῆς ἀκρασίας. Σκοπὸς γὰρ ἐκείνῳ καὶ τῶν ὅτι μάλιστα διεσπουδασμένων, τὸ καὶ ταῖς τῶν ἁγίων συνέσεσιν ἐνιέναι φιλεῖν τῆς ἐνούσης αὐτῷ ἀκαθαρσίας τὰ σπέρματα, ὡς ἂν ἕλοιντο καρποφορεῖν τὰ αὐτῷ φίλα τε καὶ καθ' ἡδονήν. Εἶεν δ' ἂν οἶμαι ταυτὶ, τὰ εἰς πολύτροπον ἁμαρτίαν ἐγκλήματα. Καὶ ἁλοίη μὲν πᾶς τις οὖν, καὶ οὐχ ἑκὼν ὑποκείσεται ταῖς ἐκείνου πλεονεξίαις. Νοσεῖ γὰρ ἡ φύσις τὸ ἄναλκι, ἐφίησι γεμὴν οὔτι που Θεὸς, ἀνασειράζων τρόπον τινὰ τὰ κατὰ τῶν ἁγίων ἐπιχειρήματα, καὶ τοῦ πονηροῦ τὰς ἐπιβουλάς. Συμβέβηκε δὲ οὐχ ἑτέρως διαδράναι τὰ βλάβη τὸν θεσπέσιον Ἀβραὰμ, εἰ μὴ, τὴν τῶν Αἰγυπτίων ἀφεὶς, πρὸς τὸν ἐν ἀρχῇ καὶ θεόσδοτον ἀναπεφοίτηκε χῶρον, οὗ καὶ ἀφιγμένος σπουδασμάτων ἀγαθῶν σχολαῖος ἦν ἐπιμελητής. Γέγραπται δὲ οὕτως· «Ἀνέβη δὲ Ἀβραὰμ ἐξ Αἰγύπτου, αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ, καὶ πάντα τὰ αὐτοῦ, καὶ Λὼτ μετ' αὐτοῦ εἰς τὴν ἔρημον. Ἀβραὰμ δὲ ἦν πλούσιος σφόδρα, κτήνεσι 68.185 καὶ ἀργυρίῳ, καὶ χρυσίῳ, καὶ ἐπορεύθη ὅποι ἐξῆλθεν εἰς τὴν ἔρημον ἕως Βαιθὴλ, ἕως τοῦ τόπου,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὗ ἦν ἡ σκηνὴ αὐτοῦ πρότερον, ἀνὰ μέσον Βαιθὴλ, καὶ ἀνὰ μέσον Ἀγγαὶ, εἰς τὸν τόπον τοῦ θυσιαστηρίου, οὗ ἐποίησεν ἐκεῖ τὴν ἀρχήν. Καὶ ἐπεκάλεσεν ἐκεῖ Ἀβραὰμ τὸ ὄνομα Κυρίου.» Συνίης οὖν ὅτι συναναπαίρειν ἀνάγκη τοῖς ἐξ ἀκρασίας κοσμικῆς εἰς ἑτέραν ἀνατρέχουσι ζωὴν ἱερὰν, οἱονεὶ πάντα τὰ αὐτῶν; πανοικὶ γὰρ καὶ παγγενεὶ, προσθείην δ' ἂν ὅτι καὶ πανσκευεὶ, τῆς Αἰγυπτίων ἀποδεδράμηκε γῆς ὁ προπάτωρ Ἀβραάμ. Δεῖ γὰρ ὁλοτρόπως ἀποφοιτᾷν καὶ πανοικὶ τρόπον τινὰ μεθορμίζεσθαι φιλεῖν εἰς τὴν ἔρημον, τοῦτ' ἔστιν, εἰς ἀπαρενόχλητόν τε καὶ καθαρὰν διανοίας κατάστασιν, ὅθεν καὶ ἐν ἀρχαῖς ἡ τοῦ ἀνθρώπου φύσις ἐκβέβηκεν, ἐνδείᾳ τῶν ἄνωθεν ἀγαθῶν ἀπονεύσασα πρὸς τὰ χείρω. Τοῦτο γὰρ αἰνιγματωδῶς κατασημήνειεν ἂν ἡ εἰς ἀλλοτρίους κάθοδος, ἀπὸ γῆς οἱονεὶ καὶ σκηνῆς τῆς ἐν ἀρχαῖς τε καὶ φιλαιτάτης, ἐν ᾗ καὶ θυσιαστήριον. Παλινδρομοῦντες γὰρ οὕτως, ἕως ἂν ἐν τόπῳ καὶ χώρᾳ γενώμεθα τοῦ θυσιαστηρίου τοῦ ἐν ἀρχαῖς, τοῦτ' ἔστι, τοῦ πάλαι προσπεφυκότος ἁγιασμοῦ, καὶ ἡμεῖς ἐπικαλούμεθα τὸν τῶν ὅλων Θεὸν, τὸ προφητικὸν ἐκεῖνο πρόσρημα λέγοντες· «Κύριε, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν. Τὸ ὄνομά σου ὀνομάζομεν.» {ΠΑΛΛ.} Ἀστειότατα ἔφης. {ΚΥΡ.} Ἴδοις δ' ἂν τὸ χρῆμα ἡμῖν οὐχ ἑτέρως ἔχον, καὶ τὰ ἐπὶ τοῖς υἱοῖς Ἰσραὴλ γεγονότα κατὰ καιροὺς εὖ μάλα διασκοπούμενος· οὓς ἐπείπερ εἷλον οἱ Αἰγύπτιοι λιμοῦ κατωθήσαντος ἐν ἀρχαῖς καὶ τοὺς ἄνωθέν τε καὶ ἐκ ῥίζης ἁγίων, καὶ ἐλευθέρους εἰς ἀδόκητόν τε καὶ ἀμελέτητον αὐτοῖς καταζευγνύντες θητείαν, ἀγρίως κατεβιάζοντο, τῆς ἐπ' αὐτοὺς ὠμότητος τοιάνδε τινὰ συνθέντες τὴν ἀφορμήν. «Ἀνέστη γὰρ,» φησὶ, «βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. Εἶπε δὲ τῷ γένει αὐτοῦ· Ἰδοὺ τὸ γένος τῶν υἱῶν Ἰσραὴλ, μέγα πλῆθος, καὶ ἰσχύει ὑπὲρ ἡμᾶς, δεῦτε κατασοφισώμεθα αὐτοὺς, μήποτε πληθυνθῇ, καὶ, ἡνίκα ἐὰν συμβῇ πόλεμος, προστεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους, καὶ ἐκπολεμήσαντες ἡμᾶς, ἐξελεύσονται ἐκ τῆς γῆς.» Ἐλύπει γὰρ, οἶμαι, τὸν τῆς Αἰγυπτίων ἐξάρχοντα γῆς, τὸ κἂν γοῦν ἑλέσθαι ποτὲ πρὸς ἐλευθερίαν ἰδεῖν. τοὺς ἐξ ἀναγκαίου δεσμοῦ, οὐ κατὰ γνώμην ὑπεζευγμένους. «Καὶ ἐπέστησεν αὐτοῖς, φησὶν, ἐπιστάτας τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐκ τῶν ἔργων, καὶ ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραὼ τήν τε Πειθὼν, καὶ Ῥαμεσσῆ, καὶ Ὦν, ἥ ἐστιν Ἡλίου πόλις.» Καρποὶγὰρ ἦσαν τῆς ἀφορήτου πλεονεξίας, τληπάθειαι μὲν αἱ διηνεκεῖς ἐπί τε πηλῷ καὶ πλινθείᾳ, πόλεις δὲ περιβόλοις πυργούμεναι, καὶ τῶν ἐν ἀγροῖς χωμάτων ἐγέρσεις, ἀμισθὶ δὲ ταυτὶ καὶ σὺν ἱδρῶτι μακρῷ τοῖς πονοῦσι διεπεραίνετο. Ὑπὸ χεῖρα γὰρ ἑλόντες τὴν ἑαυτῶν οἱ κοσμοκράτορες τοῦ αἰῶνος τούτου τὰς ἀθλίας τῶν ἀνθρώπων ψυχὰς, πηλῷ καὶ πλινθείαις καὶ τοῖς εἰς γῆν τε καὶ περὶ γῆν δρωμένοις ἐγκα 68.188 τατρύχουσι, καὶ πειρασμῷ πονηρῷ τε καὶ ἀκερδεῖ προσδήσαντες (τοιάδε γὰρ τὰ σαρκὸς καὶ τὰ περὶ αὐτὴν ἔργα φαίνεται), πικρὰν ἀναγκάζουσι καὶ παμμόχθηρον κομιδῇ καταδέχεσθαι ζωὴν, ἣ κατ' οὐδένα τρόπον τοῖς ἐπιτηδεύειν ἠναγκασμένοις εἰσοίσει τὸ ὠφελοῦν. Τί γὰρ ἂν τὰ σαρκὸς ἔργα τε καὶ πάθη τὴν ἀθλίαν ἡμῶν ὀνήσει ψυχήν; Κέρδος δὲ ὥσπερ ἀνακείσεται παρ' ἡμῶν διαβόλῳ καὶ δαίμοσι, καὶ τῆς τῶν ἀντικειμένων βασιλείας πλοῦτος ἔσται καὶ καύχημα, καθάπερ ἀμέλει καὶ τῷ Φαραὼ πρὸς εὐκλείας ὂν οὐ μικρᾶς ᾤετο τὸ ἀναδείμασθαι πόλεις αὐτῷ τοὺς ἐξ Ἰσραὴλ ἀσιτί τε καὶ ἀμισθὶ πρὸς τοῦτο ἥκειν ἠναγκασμένους. {ΠΑΛΛ.} Ὧδε ἔχει. Καὶ γάρ τοι λίαν ἐστὶν ἐναργὴς ὁ λόγος. {ΚΥΡ.} Ἀνατύπωσιν δὴ οὖν καὶ οἱονεί πως εἰκόνα σαφῆ τῶν εἰκαίων τε καὶ ἀνιέρων ἐπὶ γῆς ἡμῶν σπουδασμάτων ὁ τῶν Ἰσραηλιτῶν ἀναγράφει πόνος, ἐγκειμένου τε καὶ ἐπιθρώσκοντος αὐτοῦ τε τοῦ Σατανᾶ, καὶ τῶν σὺν αὐτῷ δυνάμεων πονηρῶν, οὓς τοῖς τῶν ἐργοδιωκτῶν ὀνόμασιν ἡ θεία σημαίνει Γραφή· τὸν πονηρὸν δὲ περισπασμὸν φαίην ἂν ἔγωγε ταυτὶ, μεστὸν μὲν ἱδρῶτος καὶ πόνου, ἀναπεπλησμένον δὲ ὥσπερ πηλοῦ καὶ ἀκαθαρσίας, καὶ βορβορώδους ἡδονῆς. Ἀλλ' ἠλέει καὶ τότε Θεὸς τοὺς ἀνοσιώτατά τε καὶ ἀγριώτατα ταῖς τῶν Αἰγυπτίων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλεονεξίαις κατῃκισμένους, καὶ παρ' αὐτὸ τὸ χρεὼν δουλεύοντας. Ὑπουργὸν γὰρ τῆς εἰς αὐτοὺς ἡμερότητος, τὸν πανάριστον εὐθὺς ἐποιεῖτο Μωσέα. Ἢ γὰρ οὐχὶ καὶ εἰς ἡμᾶς αὐτοὺς τοῦτο δρῶντα Θεὸν εὑρήσομεν; Διωλισθηκόσι γὰρ ἡμῖν εἰς ἁμαρτίας, χαρίζεται μὲν τὸν ἔλεον, μεσίτην δὲ ὥσπερ πρὸς ἐλευθέραν ἀναφέροντα ζωὴν ἐν ταῖς ἁπάντων καρδίαις τὸν οἰκεῖον εὐθὺς ἐνίησι νόμον. {ΠΑΛΛ.} Συνίημι ὃ φής. {ΚΥΡ.} Βούλει δὴ οὖν, τὸ πλάτος τῆς ἱστορίας ἐπιτεμόντες, ὡς ἔνι τὰ εἰκότα λέγωμεν; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Γέγραπται τοίνυν ὡδί· «Καὶ μετὰ ταῦτα εἰσῆλθε Μωσῆς καὶ Ἀαρὼν πρὸς Φαραὼ, καὶ εἶπον αὐτῷ· Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἐξαπό-στειλον τὸν λαόν μου, ἵνα μοι ἑορτάσωσιν ἐν τῇ ἐρήμῳ. Καὶ εἶπε Φαραώ· Τίς ἐστιν, οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραήλ; Οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ.» Οἱ μὲν γὰρ ἀμφὶ Μωσέα τε καὶ Ἀαρὼν, τῆς Αἰγυπτίων χώρας τε καὶ γῆς ἀνεῖσθαι δεῖν διεβεβαιοῦντο τὸν Ἰσραὴλ, Θεοῦ καλοῦντος εἰς ἑορτήν· ἑορτὴ γὰρ ὄντως ἀληθὴς τὸν τῆς ἀνεθελήτου δουλείας ἀπολύσασθαι ζυγὸν, καὶ ὑπὸ Θεῷ γενέσθαι λοιπὸν, καὶ τὰ αὐτῷ θυμήρη πληροῦν, ἀντεξάγοντος οὐδενὸς, ἤγουν τὸ αὐτῷ δοκοῦν ἀνθελέσθαι τε καὶ 68.189 ἀγαπᾶν ἀναγκάζοντος. Ἀθυρογλωττεῖ δὲ λίαν ὁ Φαραὼ, καὶ τῆς τοῦ Θεοῦ δόξης καταθρασύνεται, μήτε τὸν Κύριον ὅστις ποτέ ἐστιν εἰδέναι λέγων, μήτε μὴν ἀνήσειν τὸν Ἰσραήλ. Καταλήγει δὲ οὐδαμῶς ὁ θεσπέσιος Μωσῆς, ἀποπεραίνεσθαι δὲ δεῖν τὸ τῷ Θεῷ δοκοῦν εὖ μάλα διισχυρίζεται. Παραποδίζοντος γὰρ εἰς ἐλευθερίαν ἰέναι τοῦ Σατανᾶ, τοὺς οἵπερ ἂν εἶεν ὑπ' αὐτῷ γεγονότες κατανδρίζεσθαι χρὴ, καὶ ἀμείνους γίνεσθαι παντὸς μὲν, οἶμαι, δίχα κωλύματος, ἥκιστα γεμὴν ὁρᾶσθαι δειλοὺς, ἀλλ' ἐγκεῖσθαι λέγοντας· «Ὁ Θεὸς τῶν Ἑβραίων προσκέκληται ἡμᾶς. Πορευ-σόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ὅπως θύσωμεν τῷ Θεῷ ἡμῶν, μή ποτε συναντήσῃ ἡμῖν θάνατος ἢ φόνος.» Ταυτὶ γὰρ ἡμῖν καὶ ὁ σοφὸς τότε διεκεκράγει Μωσῆς. Οὐ γὰρ δὴ καθ' ὁμοιότητα, φησὶ, τὴν πρὸς ὑμᾶς, ὦ Αἰγύπτιοι, μόσχος ἡμῖν τοῖς Ἑβραίοις τὸ σέβας, ἀλλ' οὐδὲ σῦς, ἢ αἶξ, ἢ βρέτας ἀνδρὸς, καὶ πτηνῶν ἀποσκίασμα, καὶ ἑρπετῶν εἰκόνες, τὰ ἐν σηκοῖς ἱδρυμένα. Ἐπικέκληται δὲ ἡμᾶς ὁ Θεὸς καὶ Δεσπότης, ὃς τόδε σύμπαν διετεκτήνατο. Μέγας οὖν ἄρα, καὶ τοῖς Αἰγυπτίων ἀσύντακτος, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν, ὁ τῶν Ἑβραίων Θεὸς, ὃς εἰς τὴν ἔρημον ἡμᾶς καλεῖ, τὴν εὐάρεστον αὐτῷ θυσίαν προσκομιοῦντας ἐκεῖ. Σκοτισμὸς μὲν οὖν Αἴγυπτος ὀνομάζεται, χρῆναι δὲ οἶμαι τοὺς οἵπερ ἐσμὲν πνευματικῶς προσβάλλειν τοῖς ἐν σκιᾷ καὶ τύποις. Δεῖ γὰρ ἡμᾶς ἀποφοιτῶντας εὖ μάλα παντὸς οἶμαί που πράγματος τοῦ κατασκοτεῖν εἰωθότος, καὶ ὥσπερ τινὰ χώραν ἐκβεβηκότας τὴν ὑπὸ τῷ τυράννῳ κειμένην, φημὶ δὴ τῷ Σατανᾷ, τὸ ἐν ἁμαρτίαις εὔκολον, μεταχωρεῖν ἐπείγεσθαι νεανικῶς εἰς ἀνειμένην τε καὶ καθαρωτέραν ζωὴν, καὶ πολιτείας ἐννόμου διαστείχειν ὁδὸν, οὐχ ὑποκειμένην δαίμοσι· δυνησόμεθα γὰρ εὖ τότε τοὺς τῆς δικαιοσύνης καρποὺς καταθύειν τῷ Θεῷ. Στέλλεσθαι δὲ δεῖν τοὺς ἐξ Ἰσραὴλ ὁδὸν τριῶν ἡμερῶν διεβεβαιοῦτο κατὰ τὴν ἔρημον, τὸ μὴ ἐγγὺς εἶναι τῶν τῆς φαυλότητος ὅρων καὶ ζωῆς τῆς τυραννουμένης διὰ τούτου δηλῶν. Σκήπτεται δέ τι καὶ σοφὸν ὁ θεσπέσιος Μωσῆς, καὶ εὐαφόρμως δὴ λίαν ἀπονοσφίζεσθαι δεῖν τῆς Αἰγύπτου φησὶν τοὺς ὑπὸ Θεοῦ κεκλημένους· «Μή πως γὰρ συναντήσῃ ἡμῖν θάνατος,» φησὶν, «ἢ φόνος.» {ΠΑΛΛ.} Καὶ τί δὴ τοῦτό ἐστιν; ἕτοιμον γὰρ οὐχὶ τοῖς θέλουσι νοεῖν. {ΚΥΡ.} Ἐγὼ φράσω· Αἰγυπτίοις ἦν ἔθος, τετήρηται δὲ καὶ εἰς δεῦρο παρὰ τοῖς τῶν εἰδώλων προσκυνηταῖς, τὸ δεῖν, εἰσφοιτῶντας ἐν ἱεροῖς, νεκρῷ περιτυχεῖν παραιτεῖσθαι σώματι. Μολυσμὸν γὰρ εἶναι τὸν ἀνωτάτω φασὶ τὸ οὐχ ὅπως δὴ μόνον, εἴ τις ἕλοιτο, θήγειν, ἀλλὰ γὰρ κἂν εἰ ἐν ψιλαῖς ταυτ[αισ]ὶ παραπίπτοι θέαις. Οὐκοῦν ἐκ τῶν παρὰ σφίσιν ἐθῶν ἀναπείθει φρονεῖν, ὡς οὐκ ἂν γένοιτο καθαρῶς τὸ θύειν αὐτοῖς, εἰ ἐξ ἀπροόπτου ποθὲν τοῦτο δρᾷν ἠργμένοις παρατύχοι νεκρὸς ἢ φόνος, τοῦτ' ἔστιν, ἢ νόμῳ φύσεως τετελευτηκὼς, ἢ ὑπὸ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν φονευόντων ἐκβεβιασμέ 68.192 νος. Ὑμῖν γὰρ ἔφασκεν, ἱερά τέ ἐστι καὶ τεμένη, κλεῖθρά τε καὶ πύλαι, ὧν εἴσω τυχὸν εἰσδεδραμηκόσιν ἐξέσται θύειν ἁγνῶς, ὥσπερ ἂν οἴεσθε κατὰ σφᾶς αὐτούς· ἡμᾶς δὲ ἀνάγκη κατὰ μέσην θύοντας πόλιν, ἐν τριόδοις τε καὶ ἐν ἀγροῖς, ταῖς τῶν τεθνεώτων καταμολύνεσθαι θέαις. Τὸ γὰρ ἀπεῖργον ὅροις, παντελῶς οὐδέν. Καὶ ὁ μὲν τῆς ἱστορίας λόγος ἔχοι ἂν ἡμῖν ὡς ἐν ἔθεσι τῶν Αἰγυπτίων τὸ πιθανὸν, εἴη δ' ἂν ὀρθῶς εἰρημένον τὸ ὑπὸ τοῦ πανσόφου Μωσέως, κἂν εἰ νοοῖτο πνευματικῶς. Χρὴ γὰρ ἡμᾶς ὡς ἐν ἐρήμῳ θύειν, καὶ ἑορτὴν ἁγίαν ἀποπεραίνειν  Θεῷ, τῆς Αἰγυπτίων ἀπαίροντας, παραιτεῖσθαι δὲ καὶ θανάτου θέαν. Σχολαίῳ γὰρ νῷ καὶ βεβηκότι μακρὰν τοῦ κατασκοτίζεσθαι κοσμικῶς, καὶ τῶν εἰς νεκρότητα καὶ φθορὰν κατακομιζόντων τὸν ὀφθαλμὸν ἀπαλλάττοντες, θύσομεν καθαρῶς τῷ πάντων κρατοῦντι Θεῷ. Ἔργα δὲ νεκρὰ, τὰ σαρκὸς ἂν εἴη. Σκοτισμὸς δὲ κοσμικὸς, ἡ ἐκ πονηρῶν καὶ εἰκαίων περισπασμῶν ἐπιθόλωσις, τὸν καθαρόν τε καὶ διαυγῆ τῆς διανοίας αἰθέρα καταμολύνουσα. Ὧν ὅτι προσῆκεν ἀπονοσφίζεσθαι τοὺς εἰλικρινῶς λατρεύειν ἐθέλοντας, καὶ ὁ τῆς ἱστορίας ἡμᾶς ἀναπείθει λόγος. {ΠΑΛΛ.} Καὶ μὴν τουτό γέ ἐστιν οὐκ ἀσυμφανές· τὰ δ' οὖν ἐφεξῆς διαπέραινέ μοι. {ΚΥΡ.} Τοὺς μὲν οὖν ἐξ Ἰσραὴλ δύσοιστος οἶμαί τις καὶ δριμὺς τῆς ἀρχαίας ἐλευθερίας εἰσέθει πόθος· ἀπονενευκότες δὲ ἤδη πρὸς τοῦτο, δεινῶς κατηρέθιζον εἰς ὀργὰς τὸν τοῖς τῆς δουλείας ἐγκαταδέοντα ζυγοῖς. Ἔργον δὲ εἶναι σχολῆς τὰς ἐπὶ τοιοῖσδε λέγων ἐπιθυμίας, ἐγκατατείνεσθαι σφίσι τὸν ἐπὶ τοῖς ἔργοις ἱδρῶτα κελεύει, τῆς μὲν ἐν ἔθει συντάξεως ἀνυπερθέτως ἐξαιτουμένης, περιτεμνομένης δὲ ἀσυνήθως αὐτοῖς τῆς τῶν ἀχύρων διανομῆς· ἔφασκεν γὰρ, ὅτι «Σχολάζετε, σχολασταί ἐστε, διὰ τοῦτο λέγετε, Πορευθῶμεν καὶ θύσωμεν τῷ Θεῷ ἡμῶν. Νῦν οὖν πορευθέντες ἐργάζεσθε· τὸ γὰρ ἄχυρον οὐ δοθήσεται, καὶ τὴν σύνταξιν τῆς πλινθείας αὐτοὶ δώσετε. Ἑώρων οὖν οἱ Γραμματεῖς τῶν υἱῶν Ἰσραὴλ ἑαυτοὺς ἐν κακοῖς, λέγοντες· Οὐκ ἀπολείψετε ἀπὸ τῆς πλινθείας τὸ καθῆκον τῇ ἡμέρᾳ. Συνήντησαν δὲ Μωσῇ καὶ Ἀαρὼν ἐρχομένοις εἰς συνάντησιν αὐτοῖς, ἐκπορευομένων αὐτῶν ἀπὸ τοῦ Φαραὼ, καὶ εἶπον αὐτοῖς· Ἐπίδοι[τ]ο ὁ  Θεὸς ὑμᾶς, καὶ κρίναι ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ἡμῶν ἐναντίον Φαραὼ, καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ, ἀποκτεῖναι ἡμᾶς.» Ἦ γὰρ, ὦ φιλότης, οὐκ ἀτρεκὲς εἶναι φὴς, ὡς ἐπειδὰν ἕλοιτό τις τῆς τοῦ διαβόλου πλεονεξίας ἀπολύσασθαι τὸν ζυγὸν, καὶ τὸ λαμπρὸν καὶ ἐλεύθερον τῆς εἰς Θεὸν λατρείας ἀντανελέσθαι καύχημα, σχολάσαι τε καὶ γνῶναι τὸν ἀληθῶς Δεσπότην, κατὰ τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· «Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς,» ἐγκαλέσει μὲν ἡμῖν ὡς ἀνόσιόν τι χρῆμα, τὴν ἐπὶ τῷδε σχολὴν καὶ   68.193 θέλησιν, κατεξανίσταται δὲ τοῖς ἄλλοις ὁμοῦ πονηροῖς τε καὶ ἀκαθάρτοις πνεύμασιν ὁ πάντων ἐχθρὸς, σαρκικῆς μὲν καὶ γεώδους ἀκαθαρσίας καὶ τῶν ἐν κόσμῳ ἀκαταλήκτως ἔχεσθαι, κατὰ τὸ ἑκάστῳ σύνηθες, ἐπαναγκάζων ἀγρίως, ἀπέχεσθαι δὲ τῆς ἐντριβοῦς φαυλότητος ἥκιστα μὲν ἐφιεὶς, δυσπόριστον δὲ καὶ τοῦτο τιθεὶς, ὡς ἂν μὴ τῷ λίαν ἑτοίμῳ διαπτύοιτό τε καὶ εἰς κόρον ἴοι τὸ κακόν; Ταυτὶ γὰρ οἶμαι καταδηλοῦν, τὸ ἐξαιτεῖν μὲν εὐτόνως τῆς πλινθείας τὴν σύνταξιν, τὰ δὲ δι' ὧν ἂν γένοιτο ῥᾳδίως ἀποστερεῖν, τοῦτ' ἔστιν, τὸ ἄχυρον. Πεφύκαμεν δέ πως, τότε δὴ μάλιστα προθυμότατά τε καὶ εὐσθενέστατα τὰ συνήθη ζητεῖν, καὶ θερμοτέραις ἐπιθυμίαις ἐπ' αὐτὰ καταφλέγεσθαι, ὅτε τι φαίνοιτο μεταξὺ τὸ ὡς ἐξ ἀνάγκης ἀποφέρον ἐπὶ τὸ μὴ δύνασθαι τυχεῖν. Θείου δὲ δὴ νόμου τὸν ἀνθρώπινον νοῦν τὰ αἰσχίω μεταπαιδεύοντος μακρά τις εἰσδύνει τότε δὴ μάλιστα ποθὴ, καλοῦσα πρὸς τὰ αὐτὰ, καὶ μονονουχὶ τοῦ νομοθέτου καταβοᾶν ἀναπείθουσα· καὶ τοῦδε δὴ πάλιν ὡς ἐν σκιαῖς ἀπόδειξις οἱ Γραμματεῖς τῶν υἱῶν Ἰσραὴλ, ἐντρυχόμενοί τε τοῖς ἔργοις, καὶ τὴν ἐπ' αὐτὰ ῥᾳδίαν οὐχ ὁρῶντες ὁδόν· ἀχύρου γὰρ ἦσαν ἐν σπάνει, ἐπητιῶντο δὲ λίαν Μωσέα τε καὶ Ἀαρὼν τῆς ἐπενηνεγμένης αἰτίας αὐτοῖς, πρόφασιν αὐτοὺς γενέσθαι λέγοντες, καὶ δυσαχθεστέραν ἀνατλῆναι τῆς πλεονεξίας τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔφοδον, οὐχ ἑτέρου του χάριν, ἢ ὅτι δὴ μόνον ἐλευθερίας αὐτοὺς εἰσέδυ πόθος, τοῖς παρ' αὐτῶν λόγοις ἀναπεπεισμένους. {ΠΑΛΛ.} Οὐ γὰρ οἴει λέγειν τὰ εἰκότα καὶ ἀληθῆ; {ΚΥΡ.} Παντάπασι μὲν οὖν, ὦ Παλλάδιε· ἅμα γὰρ ἡμᾶς ἐπιθυμία χρηστὴ καὶ λογισμὸς ἀγαθὸς ἀνεσόβησε τυχὸν πρὸς τὸ δεῖν ἑλέσθαι τὰ τῷ Θεῷ δοκοῦντα, καὶ νόμου τοῦ πρὸς εὐσέβειαν διαμεμνήμεθα· κατάγχει δὲ μάλιστα χειρόνως ἐπὶ τὸ σίνεσθαι πεφυκὸς ὁ πάντων ἐχθρὸς, πλὴν ἐκρύεται καὶ σώζει Θεός. Καὶ γοῦν ἔφη πρὸς Μωσέα· «Βάδισον, εἰπὲ τοῖς υἱοῖς Ἰσραὴλ λέγων, Ἐγὼ Κύριος, καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς δυναστείας τῶν Αἰγυπτίων, καὶ ῥύσομαι ὑμᾶς ἐκ τῆς δουλείας αὐτῶν, καὶ λυτρώσομαι ὑμᾶς, ἐν βραχίονι ὑψηλῷ, καὶ κρίσει μεγάλῃ, καὶ λήψομαι ὑμᾶς εἰς λαὸν ἐμαυτῷ. Καὶ ἔσομαι ὑμῶν Θεὸς, καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, ἐκ τῆς δυναστείας τῶν Αἰγυπτίων.» Ἀποτρέποντος γὰρ ἡμᾶς τοῦ Σατανᾶ, καὶ ἁπάσης ἀγαθῆς ἐξανιστάντος ἐπιθυμίας, καὶ τῶν εἰς τοῦτο διανευμάτων δι' ὧν ἂν δύναιτο παρωθοῦντος τρόπων, προτρέπει πρὸς θέλησιν ἀγαθὴν ὁ τοῦ Θεοῦ νόμος, ἄθραυστον μὲν τὸν ἐπικουροῦντα δεικνὺς, ἐλπίδι δὲ τῇ λιπαρωτάτῃ παραθήγων εἰς εὐτολμίαν, καὶ πίστει νευρῶν, καὶ τῷ Θεῷ προσνέμων, ὡς ἀληθῶς σωτῆρι καὶ λυτρωτῇ. {ΠΑΛΛ.} Ὡς πανάριστόν τι χρῆμα καὶ σωτήριον ἡ πίστις, καὶ τὸ δεῖν ἕπεσθαι διψῆν τῷ Θεῷ! {ΚΥΡ.} Ὀρθῶς ἔφης. Ἕρπει δὲ ὅτι πρὸς πέρας ἡ 68.196 πίστις τὸ ἀγαθὸν, εἴσῃ τοι καλῶς, ἐκτελευτῶντος ἡμῖν τοῦ λόγου πρὸς τὸν ἴδιον σκοπόν. Ἐπειδὴ γὰρ ἧκον πρὸς τὸν Φαραὼ διαλεξόμενοι πάλιν οἱ ἀμφὶ Μωσέα, ἀνεῖναί τε τῆς Αἰγυπτίων καὶ ἀπολῦσαι δεσμῶν τῶν πάλαι τὸν Ἰσραὴλ ἀναπείσοντες, σημείοις ἐκδυσωπεῖν τοῖς ὑπὲρ λόγον ἤθελον, ῥάβδου τε εἰς ὄφιν μεταπλασμὸν ἐπεδείκνυον, καὶ ἔτι τοῦ γε μείζονά τε καὶ ὑπερφερῆ κατορθοῦν δύνασθαι προχειρότατα, διὰ Θεοῦ σαφῶς ἐπηγγέλλοντο. Ὁ δὲ τοῖς ἰδίοις ἰσουργεῖν ἐκέλευε Μάγοις, μονονουχὶ διὰ τούτου βοῶν· Οὐκ ἀγνῶτες ἔργων τῶν τοιούτων ἡμεῖς. Πλεῖστοι δὲ ὅσοι παρ' Αἰγυπτίοις ἢ καθ' ὑμᾶς· καὶ μελέτημα τοῖς Μάγοις τὸ θαυματουργεῖν, οἷς καὶ ὑμεῖς ἐναρίθμιοι. Σκληρυνομένῳ δὲ λίαν, καὶ οὐκ ἀνιέντι τὸν Ἰσραὴλ, τέσσαρες δειναὶ καὶ ἀλλήλων χείρους ἐπιφέρονται πληγαί· ὕδατός τε γὰρ εἰς αἷμα μεταβολὴ παραδόξως ἐπράττετο, βάτραχοί τε καὶ σκνίπες, καὶ τελευταία κυνόμυια, μαλθακώτερον ἤδη πως ὡς ἐξ ἀνάγκης οὐ φορητῆς ἀπετέλουν τὸν Φαραώ. Εἰσκαλεσάμενος δὴ τοὺς ἀμφὶ Μωσέα, φησίν· «Εἰσελθόντες θύσατε Κυρίῳ τῷ Θεῷ ὑμῶν ἐν τῇ γῇ. Καὶ εἶπε Μωσῆς, Οὐ δυνατὸν γενέσθαι οὕτως· τὰ γὰρ βδελύγματα τῶν Αἰγυπτίων θύσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν. Ἐὰν γὰρ θύσωμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν τὰ βδελύγματα τῶν Αἰγυπτίων ἐναντίον αὐτῶν, λιθοβοληθησόμεθα. Ὁδὸν τριῶν ἡμερῶν πορευσόμεθα εἰς τὴν ἔρημον, καὶ θύσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν, καθάπερ εἶπεν ἡμῖν. Καὶ εἶπε Φαραώ· Ἐγὼ ἀποστελῶ ὑμᾶς, καὶ θύσετε Κυρίῳ τῷ Θεῷ ὑμῶν ἐν τῇ ἐρήμῳ, ἀλλ' οὐ μακρὰν ἀποτενεῖτε τοῦ πορευθῆναι.» Ἀντεξάγοντι μὲν γὰρ τῷ Σατανᾷ, καὶ ταῖς εἰς τὸ ἀγαθὸν ἡμῶν προθυμίαις ἀντιφέρεσθαι ἐγνωκότι νεανικῶς τὴν ἑαυτοῦ μισοπονηρίαν, ἀντανίστησι Θεὸς, καὶ κατάγχει θρασυνόμενον, καὶ τιθασσεύει πληγαῖς. Ὁ δὲ τότε μόλις ἐφίησι μὲν οὐχ ἑκών· πειρᾶται δ' οὖν ὅμως ἀναπείθειν ἡμᾶς, ποιεῖσθαι μὲν οὐκ ἀκριβῆ τὴν εἰς Θεὸν λατρείαν, μὴ μὴν ἔτι παντελῶς καὶ τῆς ἐπ' αὐτῷ δουλείας ἀποφοιτᾷν. Οὐ γὰρ ἔξω γῆς ἰδίας, ἀλλ' ἐν αὐτῇ χρῆναι θύειν τοῖς Ἰουδαίοις ἐκέλευε. Σοφώτατα δὲ Μωσῆς, «Οὐ δυνατὸν γενέσθαι οὕτω,» φησί. Γίνεται μὲν γὰρ ἀεὶ τῶν φαύλων εἰσηγητὴς ὁ τῆς ἁμαρτίας εὑρετής· ἐκπέμπει δὲ νόμος ὁ θεῖος αὐτὰ, καὶ ἀποφάσκει τὸ δρᾷν, ἅπερ ἂν ἐκείνῳ δοκῇ. Προσεκτέον τοιγαροῦν τοῖς ἐθέλουσι βιοῦν ὀρθῶς, οὐχ οἷσπερ ἂν λέγοι φενακίζων ὁ Πονηρὸς, ἀλλ' οἷς τὸ θεῖον ἡμῖν ἀναφωνεῖ χρησμῴδημα. «Λύχνος γὰρ,» φησὶ, «τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.» {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Συνέχοντος τοίνυν ἡμᾶς, ἤγουν καθείργειν ἐθέλοντος καὶ ὑπ' αὐτῷ ποιεῖσθαι, τοῦ Πονηροῦ, λατρευτέον Θεῷ τῷ κατὰ φύσιν μόνῳ, καὶ διψυχίας ἰόντες ὡς ἀπωτάτω,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγωμεν, «Οὐ δυνατὸν γενέσθαι οὕτως.» – – «Δύναται γὰρ οὐδεὶς δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει.» 68.197 Γέγραπται δὲ αὖ, «Οὐαὶ καρδίαις δειλαῖς, καὶ χερσὶ παρειμέναις, καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους!» Χρῆναι γὰρ ἔγωγέ φημι, καθαρὰν καὶ ἀμώμητον ποιεῖσθαι λατρείαν τῷ πάντων κρατοῦντι Θεῷ, ἐκπεφοιτηκότας εἰσάπαν τῆς ὑπ' ἐκείνῳ λατρείας· οὕτω τε πρὸς τὴν ἀμείνω ζητεῖν ἰέναι γεννικῶς· ἄλλως τε, «Τὰ βδελύγματα τῶν Αἰγυπτίων,» φησὶ, «θύσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν. Ἐὰν γὰρ θύσωμεν τὰ βδελύγματα τῶν Αἰγυπτίων ἐναντίον αὐτῶν, λιθοβοληθησόμεθα.» Καὶ ὅσον μὲν ἧκεν εἴς γε τὸν τῆς ἱστορίας λόγον, εὐάφορμος ἡ παραίτησις. Βδελύγματα γὰρ ἐνθάδε φησὶ, τὰ σεβάσματα· μόσχοι δὲ ἦσαν τοῖς Αἰγυπτίοις τὸ σέβας. Ταυτὶ δὲ, φησὶν, εἰ τῷ τῶν Ἑβραίων καταθύσομεν Θεῷ, ἀκονήσομεν εἰς ὀργὰς πάντη τε καὶ πάντως τοὺς Αἰγυπτίους, δύσοιστον τὸ χρῆμα ποιουμένους. Ἔσθ' ὅτε καὶ πιθανὸς λόγος. Ὅσον δὲ ἧκεν εἰς θεωρίαν πνευματικὴν, οὐ μετρίαν ἔχει τὴν ὄνησιν. Ὃ γὰρ οἶδε μάλιστα τιμᾷν, καὶ ποιεῖται περὶ πολλοῦ, ἀξιοῖ τε λόγου παντὸς ἡ τῶν δαιμονίων πληθὺς, κατανεκροῦντες ἡμεῖς ἡδίστην τῷ Θεῷ τελοῦμεν λατρείαν. {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Ἦ γὰρ οὐχὶ τὰ τῆς σαρκὸς πάθη τίμια παρ' ἑαυτοῖς; καὶ οὐχὶ πάντως δι' ἑαυτὰ, ἀλλ' ἐπείτοι δι' αὐτῶν ὀλλύμεθα, καὶ πρὸς δουλείαν τὴν ὑπ' αὐτοῖς κατεσφίγμεθα; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ταῦτα δὴ νεκροῦντες καὶ οἱονεὶ κατασφάζοντες, εἰς ὀσμὴν εὐωδίας ἐσόμεθα τῷ Θεῷ. Γράφει δὲ ὁ Παῦλος ὡδί· «Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.» Δρῴη δ' ἂν τοιοῦτό τις ὀρθῶς, νεκρῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν. Ἕκαστον οὖν ἄρα τῶν ἐν ἡμῖν παθῶν, Αἰγυπτίων τῶν νοητῶν ἐστι βδέλυγμα, τοῦτ' ἔστι, σεβασμιώτατον. Ὅτι γὰρ ἔθος τῇ θείᾳ Γραφῇ βδέλυγμα λέγειν τὸ ἐν εἰδώλου τάξει, καὶ οἱονεί τι σέβας, ἀναπείθει λέγων Θεὸς διὰ τῆς Ἱερεμίου φωνῆς, περὶ τῆς Ἰουδαίων Συναγω-γῆς· «Τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα;» Εἰ δὲ δή τις βούλοιτο λέγειν βδέλυγμα τῶν Αἰγυπτίων τὸ οἱονεὶ μίσημα καὶ παραίτησιν, οὐκ ἂν ἐξοίχοιτο τοῦ πρέποντος νοῦ· ἃ γὰρ ἔθος ἀεὶ μισεῖν καὶ καταβδελύττεσθαι τοῖς ἀκαθάρτοις πνεύμασι, ταυτὶ πρὸς ἡμῶν εἰς ὀσμὴν εὐωδίας ἀνακείσεται τῷ Θεῷ, καὶ θυσία πνευματικὴ, πίστις, πραότης, ἐγκράτεια, σωφροσύνη, φιλαλληλία, καὶ τῆς εἰς Θεὸν γνησιότητος τὰ αὐχήματα. {ΠΑΛΛ.} Καὶ τίνες ἂν εἶεν οἱ ἐν τῇ γῇ θύοντες τοῦ Πονηροῦ; νοοῖντο δ' ἂν τίνες καὶ οἱ ἔξω γῆς; {ΚΥΡ.} Οἱ μὲν γὰρ οὔπω τῆς Αἰγυπτίων ἐκβεβηκότες, καὶ Θεῷ θύοντες ἐν αὐτῇ, πολλοὶ λίαν, καὶ ἀριθμοῦ τάχα που κρείττονες· οἱ δὲ ἔξω τε καὶ ἐν 68.200 ἐρήμῳ, κομιδῇ βραχεῖς καὶ ἀπόλεκτοι· «Πολλοὶ γάρ εἰσι κλητοὶ,» φησὶν, «ὀλίγοι δὲ ἐκλεκτοί.» Κεκλήμεθα μὲν οὖν εἰς ἐλευθερίαν πάντες διὰ πίστεως τῆς ἐν Χριστῷ, καὶ ἐκλελυτρώμεθα τυραννίδος διαβολικῆς, ἀποφέροντος ἡμᾶς εἰς τοῦτο Χριστοῦ, προανατυπουμένου τοῖς πάλαι καλῶς ἐν Μωσῇ τε καὶ Ἀαρὼν, ἵν' ἐν ταὐτῷ τὸν Ἐμμανουὴλ νομοθέτην ὄντα καὶ ἀρχιερέα καὶ ἀπόστολον, οἰκονομικῶς ἐννοῇς. Οἱ δέ γε πλεῖστοι τῶν κεκλημένων ἐμφιλοχωροῦσιν ἔτι τοῖς πάλαι κακοῖς, διανοίᾳ δὲ οὔπω τῇ ὁλοσχερεῖ κοσμικῆς ἀπάτης ἐκβεβηκότες, ὡς ἐν γυμνῇ τε καὶ μόνῃ τῇ πίστει λατρεύουσι Θεῷ. Τούτους εἶναί φαμεν τοὺς ἐν Αἰγύπτῳ θύοντας, ἤγουν ἔξω βραχὺ γεγονότας. «Οὐ μακρὰν γὰρ ἀποτενεῖτε,» φησὶν ὁ σκληροκάρδιος Φαραὼ, κἂν εἰ τῆς Αἰγυπτίων ἐκτρέχητε γῆς. Οἵγε μὴν ὁλοκλήρῳ μεταστάσει τῇ εἰς ἀγαθὸν εὐαρεστεῖν ἐθέλοντες τῷ Θεῷ, ἀπηλλαγμένοι τε καὶ εἰσάπαν συγχύσεως κοσμικῆς, ἔξω φέρονται τῆς Αἰγυπτίων, καὶ τὴν τυράννου διαδιδράσκουσι χεῖρα, καὶ καθάπερ ἐν ἐρήμῳ τῇ σχολαίᾳ τε καὶ ἀνειμένῃ ζωῇ καθαροὶ καθαρῶς θύουσι τῷ Θεῷ. Φαίην δ' ἂν ἔγωγε καὶ καθ' ἕτερόν τινα τρόπον, ἀποτάτω δεῖν τῆς Αἰγυπτίων φέρεσθαι γῆς τοὺς ἐκ τοῦ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα πρὸς ἀλήθειαν τρέχοντας, καὶ εἰς ἐπίγνωσιν κεκλημένους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ κατὰ φύσιν ὄντος Θεοῦ. Ἐκβεβήκασι γὰρ οὔπω τελείως οἱ τὰ τῆς ἀρχαίας ἀπάτης οὔπω τῆς ἑαυτῶν διανοίας ἀποτρίβοντες λείψανα. Παρατηροῦνται γάρ τινες ἡμέρας, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς. Οὗτοι πρὸς τὸ ἐλεύθερον ἀξίωμα διὰ Χριστοῦ κεκλημένοι, τὴν Αἰγυπτίων οἰκοῦντες, ἔτι θύουσι τῷ Θεῷ, τὸν οὐχὶ ἂν ἀβούλητον τῷ Σατανᾷ διασώζοντες βίον. Εἰ δὲ δή τις ἐξοίχοιτο παντελῶς, τοῖς ἀρχαιοτέροις ἔθεσιν ἐῤῥῶσθαι φράσας, ἐν ἐρήμῳ θύει, καὶ τὴν ἐπαίνου παντὸς ἀξίαν ἐπιτηδεύει ζωήν. {ΠΑΛΛ.} Σύμφημι· νοεῖς γὰρ ὀρθῶς. Ἴτω δὲ αὖθις ἡμῖν κατὰ ῥοῦν ὁ λόγος. {ΚΥΡ.} Οὐκοῦν ψευδομυθεῖ μὲν ὁ Φαραὼ, καὶ ἀρνεῖται τὴν ὑπόσχεσιν, ἀνίησι δὲ οὔτι πω τοὺς ἐξ Ἰσραήλ. Εἶτα τρισὶν ἑτέραις πληγαῖς κατηκίζετο, καὶ κατανεύει μόλις, ἀνήσειν εἰπών· ἥλω τε ψευδοεπήσας πάλιν. «Ψεύστης γάρ ἐστι, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκε,» κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Χάλαζαν δὲ τὴν ῥαγδαιοτάτην ἐνίησι τοῖς Αἰγυπτίοις, ἀπειλοῦντος Θεοῦ, καὶ δὴ καὶ ἐνιέντος, καὶ μὴν ἀκρίδα τὴν ἀγρολέτειραν, εἴπερ τι χρὴ καὶ ἐξ Ἑλλήνων φωνὴν ἑλόντας εἰπεῖν. Τότε δὴ, τότε καὶ μόλις οἱ πάλαι δεινοί τε καὶ ἄθραυστοι τῆς τοῦ Φαραὼ βδελυρίας ὑπασπισταὶ πλείστην ὅσην αὐτοῦ ποιοῦνται καταβοὴν, λέγοντες· «Ἕως τίνος ἔσται ἡμῖν τοῦτο σκῶλον; ἐξαπόστειλον τοὺς ἀνθρώπους, ὅπως λατρεύσωσι Κυρίῳ τῷ Θεῷ αὐτῶν. Ἢ εἰδέναι βούλει ὅτι ἀπόλωλεν Αἴγυπτος;» Καί μοι πάλιν ἐντεῦθεν ἔπεισι νοεῖν, ὡς ἔστι που τάχα τῶν ὑπ' αὐτῷ δυνάμεων ἀμείνων ὁ Σατανᾶς, ἐφ' οἷς ἂν αὐτῷ τὸ νικᾷν πρέποι. Αἱ μὲν γὰρ, ὡς 68.201 ἔοικε, σκληραὶ μέν εἰσιν ἄγαν καὶ ἀμείλικτοι κομιδῇ, καὶ ὀψὲ μὲν καὶ μόλις ἰοῦσαι δ' ἂν ὅμως κἂν γοῦν εἰς μετρίαν αἴσθησιν τῆς θείας ὀργῆς· ὁ δέ ἐστιν ἀγριότητι τῇ ὑπὲρ λόγον ὑπερφερὴς, καὶ κατεσκληκὼς εἰς ἄκρον. Γέγραπται γὰρ ὅτι, «Ἡ καρδία αὐτοῦ πέπηγεν ὥσπερ λίθος, ἕστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος.» Πλείστης οὖν ὅσης γενομένης ἐπ' αὐτῷ τῆς καταβοῆς, ἔφη μόλις τοῖς ἀμφὶ Μωσέα· «Πορεύεσθε καὶ λατρεύσατε Κυρίῳ τῷ Θεῷ ὑμῶν. Τίνες δὲ καί εἰσιν οἱ πορευόμενοι;» Καὶ λέγει Μωσῆς· «Σὺν τοῖς νεανίσκοις ἡμῶν καὶ τοῖς πρεσβυτέροις ἡμῶν πορευσόμεθα, σὺν τοῖς υἱοῖς καὶ ταῖς θυγατράσι, καὶ προβάτοις, καὶ βουσὶν ἡμῶν· ἔστι γὰρ ἡ ἑορτὴ Κυρίου τοῦ Θεοῦ ἡμῶν. Καὶ εἶπε πρὸς αὐτούς· Ἔστω Κύριος μεθ' ὑμῶν, καθ' ὅτι ἀποστέλλω ὑμᾶς, μὴ καὶ τὴν ἀποσκευὴν ὑμῶν; Ἴδετε, ὅτι πονηρία πρόκειται ὑμῖν. Μὴ οὕτως· πορευέσθωσαν δὲ οἱ ἄνδρες, καὶ λατρεύσατε τῷ Θεῷ, τοῦτο γὰρ αὐτοὶ ζητεῖτε.» Σύνες δὴ οὖν, ὦ φιλότης, ὡς ἀρίστην μὲν ὁ Μωσῆς ποιεῖσθαι δεῖν ἔφασκε τὴν ἀνάζευξιν· ὁ δὲ, οὐχ οὕτω, φησίν· ἀνήσειν δὲ ἀπὸ μέρους, καὶ ὁμήρευσιν τρόπον τινὰ ταῖς τῶν ἀπαιρόντων ὑποστροφαῖς δεῖν ἔφη τὸ λειπόμενον, καὶ αὐτῆς ἀπομενούσης ἐν Αἰγύπτῳ τῆς ἀποσκευῆς. Οἰχέσθω γὰρ δὴ πᾶς μὲν ὑμῶν νεανίας, φησί· πᾶν δὲ γένος τὸ ἐν ἀκμαῖς. Ὁ δέ γε θεῖος Μωσῆς, ὅτι προσῆκεν ἀπαίρειν εὖ μάλα διϊσχυρίζεται, παροφθέντος οὐδενός· ἀλλ' ὁμοῦ τοῖς ἐν ἥβῃ καὶ ἐν δυσμαῖς ἡλικίας, υἱοῖς τε καὶ θυγατράσι, καὶ βοῶν ἀγέλαις, καὶ ἑτέροις θρέμμασι. Καὶ γάρ τοι προσήκει τοὺς τῆς ἀληθοῦς ἐλευθερίας μεταποιεῖσθαι σπουδάζοντας, τῶν μὲν ἐν κόσμῳ φιλεῖν ἀπαλλάττεσθαι κακῶν, καὶ τρίβον ἰέναι τὴν ἐπ' ἀρεταῖς, οὐδὲν τὸ παράπαν τῆς ἑαυτῶν ψυχῆς τε καὶ διανοίας ἀφιέντας λείψανον, δι' οὗ δὴ πάλιν ταῖς τοῦ πονηροῦ πλεονεξίαις ὑπενεχθεῖεν ἄν. Καλεῖ δὲ πρὸς τοῦτο ὁ θεῖος νόμος νεανίσκους καὶ παρθένους, πρεσβύτας μετὰ νεωτέρων, κατὰ τὴν τοῦ Ψάλλοντος φωνὴν, καὶ πᾶν εἶδος τῆς ἐν Χριστῷ νοουμένης ἡλικίας. Οἷς καὶ ὁ θεσπέσιος Ἰωάννης προσεφώνει, λέγων· «Ἔγραψα ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν Πατέρα· ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς· ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν πονηρόν.» Εἶεν δ' ἂν καὶ ἑτέρως, νεανίαι μὲν τῆς ἀνδρείας τύπος, φρονήσεως δὲ πρεσβύται, νηπιότητος δὲ τῆς ἐν Χριστῷ νοουμένης, υἱοί τε καὶ θυγατέρες· σὺν ἀνδρείᾳ γὰρ, καὶ φρονήσει, καὶ ἁπλότητι τῇ κατὰ Θεὸν, ἀπαροῦμεν ἐξ ἁμαρτίας εἰς ἁγιασμόν. «Ἀνδρίζεσθε γὰρ,» φησὶ, «καὶ κραταιούσθω ἡ καρδία ὑμῶν.» Καὶ αὖ·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.» Πρόβατα δὲ καὶ βόας συναποτρέχειν εἰπὼν, κατασημαίνειν ἂν οἶμαί που, ὅτι προσήκει μηδὲ αὐτὰ μεθεῖναι τῷ Σατανᾷ τὰ σωματικά τε καὶ ἀλογώτερα τῶν ἐν ἡμῖν κινημάτων. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος γράφει· «Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε 68.204 τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.» {ΠΑΛΛ.} Ἀνθότου δὴ οὖν ἀνίησι μὲν τοὺς ἐν ἥβῃ καὶ ἐν ἀκμαῖς, μεταποιεῖται δὲ τῶν ἑτέρων ὁ Φαραώ; {ΚΥΡ.} Τίνα γὰρ εἶναι φῂς τὸν ἐν Αἰγύπτῳ μένοντα; {ΠΑΛΛ.} Ἦσαν, οἶμαί που, γύναια δὴ πάντως, παῖδες ἄνηβοι, καὶ ἀσθενεῖς πρεσβύται, καὶ ἄλογος κτῆσις. {ΚΥΡ.} Εἶτα, ὦ βέλτιστε, πῶς οὐκ ἐκεῖνο εὐθὺς διανοῇ; {ΠΑΛΛ.} Τὸ ποῖον φής; {ΚΥΡ.} Τοὺς μὲν γὰρ σφριγῶντάς τε καὶ νέους, καὶ ἀκμαιοτέραν ἔχοντας τὴν ἕξιν εἰς εὐσέβειαν, ἡγεῖται φορτικούς· ἀπαλλακτιᾷ γὰρ, οἶμαι, καὶ οὐχ ἑκὼν, τῶν ἀνθεστηκότων, οἳ καί εἰσιν ἀντιπράττειν οἷοί τε, καὶ σφίσιν ἑαυτοῖς ἐπαμύνειν ἀδικουμένοις, κατά γε τὸ, «Ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν.» Μεταποιεῖται δὲ λίαν τοῦ μὴ ἀνδρίζεσθαι πεφυκότος, καὶ ὡς γένος ἀδρανὲς καὶ ἀφιλοπόλεμον, ἀγαπᾷ τε νοσοῦν ἐν ἑαυτῷ φρόνημα τὸ θῆλυ καὶ μαλθακὸν, καὶ οἷον ἀφηβηκός τε καὶ ἄναλκι, καὶ μειρακιῶδες ἔτι, καὶ τὸ παχύ τε καὶ ἀλογώτερον, ὡς ἐν τύπῳ βουσί τε καὶ προβάτοις. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ψευδομυθεῖ δὲ πάλιν ὁ σκληρόνους τε καὶ ἀκαμπὴς Φαραώ. Εἶτα ταῖς τῆς ἀκρίδος συμβολαῖς ὅλης, ὡς εἰπεῖν, δαπανωμένης αὐτῶν τῆς χώρας, μετάπεμπτον ποιεῖται Μωσέα, συνεισθέοντος Ἀαρὼν, καί φησι· «Πορευθέντες λατρεύσατε Κυρίῳ τῷ Θεῷ ὑμῶν, πλὴν τῶν προβάτων καὶ τῶν βοῶν ὑπολίπεσθε, καὶ ἡ ἀποσκευὴ ὑμῶν ἀποτρεχέτω μεθ' ὑμῶν.» Καὶ εἶπε Μωσῆς· «Ἀλλὰ καὶ σὺ δώσεις ἡμῖν ὁλοκαυτώματα, καὶ θυσίας ἃ ποιήσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν· καὶ τὰ κτήνη ἡμῶν πορεύσεται μεθ' ἡμῶν, καὶ οὐχ ὑπολειψόμεθα ὁπλήν· ἀπ' αὐτῶν γὰρ ληψόμεθα λατρεῦσαι Κυρίῳ τῷ Θεῷ ἡμῶν.» {ΠΑΛΛ.} Καὶ τίνα τοῖς εἰρημένοις παρά γε τοῦ πανσόφου Μωσέως ἐφαρμόσαιμεν ἂν τὴν διάνοιαν; ἢ πῶς ἄν τις λάβοι τὰ ἐξ Αἰγύπτου καὶ Φαραὼ, καὶ ἀναθείη Θεῷ; {ΚΥΡ.} Καὶ μὴν, ὦ ἑταῖρε, σαφὴς ὁ λόγος. Ὁ μὲν γὰρ τοῖς εὐσεβεῖν ἐθέλουσιν ἀνθεστηκὼς καὶ μαχόμενος, εἰ μὴ παντελῶς ἐξείη τὸ ὑπ' αὐτῷ κεῖσθαί τινας, κἂν γοῦν ἐκ μέρους τοῦτο ἔχειν ἐπιθυμεῖ· ὁ δέ γε τοῦ Θεοῦ νόμος τομωτάτην τινὰ ποιεῖσθαι διδάσκει τὴν ἀποφοίτησιν, οὐδ' ὁπωστιοῦν ὑπ' αὐτῷ κεῖσθαί τε καὶ μένειν ἐῶντας, οὐ ψυχῆς, οὐ νοῦ μόριον, οὐ σωματικοῦ κινήματος ἀφορμήν. Προσέτι δὲ δεῖν καὶ τῆς ἐν κόσμῳ ζωῆς τὰ κάλλιστά τε καὶ ἐξαίρετα προσκομίζειν Θεῷ. Τοῦτο γὰρ οἶμαι δηλοῦν, τὸ ἐξ Αἰγύπτου λαβεῖν, καὶ καταθῦσαι Θεῷ. Ἢ οὐχὶ 68.205 τουτὶ δρῷεν ἂν οἱ διὰ σοφίας κοσμικῆς τοῖς ἱεροῖς τε καὶ θείοις ἡμῶν ἐπαγωνιζόμενοι δόγμασιν, καὶ τὸ λαμπρὸν ἐν λέξει, καὶ τὸ ἐν εἰδήσει πικρὸν θηρώμενοι, καὶ τὴν λογικὴν λατρείαν ἐπιτελοῦντες Θεῷ; «Πᾶσα μὲν γὰρ σοφία παρὰ Κυρίου,» κατὰ τὸ γεγραμμένον. Ἀλλ' ἐν πνεύματι κοσμικῷ, τοὺς παρ' Ἕλλησι ποιητὰς καὶ λογογράφους εἰς τοῦτο λαμπρότητος τῆς κατ' εὐγλωττίαν ἀφικέσθαι φαμέν. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος· «Οὐ τὸ πνεῦμα, φησὶ, τοῦ κόσμου τούτου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ Θεοῦ, ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν· ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος.» Ὅτι δὲ ἦν ἀληθῶς ὁ Μωσῆς ἐν σκιαῖς ἔτι, τὰ ἐξαίρετα τῆς ἐν κόσμῳ ζωῆς οὐκ ἀπόβλητα γενήσεσθαι λέγων τῷ κατὰ φύσιν Θεῷ, παραχρῆμα δείκνυσιν ἐναργῶς, πλὴν ὡς ἐν τύπῳ καὶ σκιᾷ. Θεοῦ γὰρ προστάττοντος σκυλεύειν τοὺς Αἰγυπτίους, χρυσᾶ τε καὶ ἀργυρᾶ σκεύη χρήσασθαι δεῖν ἔφασκε, παρά τε συσκήνου καὶ γείτονος, ὃ δὴ καὶ περαίνεται διὰ γυναικῶν. Ψίθυρον γὰρ ἀεί πώς ἐστι τὸ χρῆμα καὶ λαλίστατον, καὶ πρὸς ἀπάτην εὐμήχανον. Σκεύη δὲ οἶμαι χρυσᾶ τε καὶ ἀργυρᾶ παρὰ τῶν Αἰγυπτίων εἴη ἄν, καθάπερ ἀρτίως ἔφην, τὰ οἷς ἦν εἰκὸς κατασεμνύνεσθαι τῶν ἐν κόσμῳ τινὰς, εἰ καὶ Θεὸν εἴδησαν τὸν ἀληθινόν. Ἔστι δὲ ὅ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φημι τοιόνδε τι πάλιν. Κοινὰ μὲν γὰρ ἅπασιν ἀνθρώποις τὰ νοῦ τε καὶ ψυχῆς κινήματα, καὶ ἡ πρὸς πᾶν ὁτιοῦν ἐπιτηδειότης ἀγαθοῦ τε καὶ πονηροῦ. Ἀλλ' οἱ μὲν τοῖς τῆς φύσεως πλεονεκτήμασιν ἀποκεχρημένοι καλῶς, τὸν εὐκλεᾶ καὶ ἐξαίρετον κατορθοῦσι βίον. Οἵ γε μὴν ἐφ' ἃ μὴ προσῆκεν ἀνοητότατα παρατρέποντες, παρασημαίνουσί πως τὰ τῆς φύσεως ἀγαθὰ καὶ τὴν ἐπ' αἰσχίστοις ἰέναι τρίβον. Ἀνδρεία τε γὰρ καὶ φρόνησις καλὰ μὲν τοῖς ἄριστα κεχρημένοις, ἐπιζήμια δὲ τοῖς οὐκ ἔχουσιν ὀρθῶς· ἔξεστι μὲν γὰρ ἀνδρίζεσθαι καὶ φρονεῖν σὺν ἐπαίνῳ καὶ κρότοις· ἔξεστι δὲ αὖ σὺν πολλῇ δὴ ταῦτα κεκτῆσθαι καταβοῇ. Ταυτὶ δὴ κοινὰ καὶ ἐν πᾶσίν ἐστι, καὶ ἐν τοῖς ἔτι πλανωμένοις, καὶ ἐν τοῖς εἰδόσι Θεόν. Ὅτε γοῦν ἡ πάλαι φαυλότητος ἐργάτις ἀνδρεία, καὶ τὸ ἐν συνέσει πικρὸν μετατρέποιντο πρὸς ἡμῶν εἰς τὸ δοκοῦν τῷ Θεῷ, μονονουχὶ καὶ ἐξ Αἰγυπτίων ληφθέντα, καὶ ἐκ τῆς ἐν κόσμῳ ζωῆς, ἱερά τε καὶ εὐπρόσδεκτα γενήσεται τῷ Θεῷ· μεταρυθμίζεται γὰρ εἰς ἀρετῆς χρείαν, καὶ ὑπουργίαν ἁγιασμοῦ, καθάπερ ἀμέλει τὰ ἐξ Αἰγύπτου σκεύη χρυσᾶ τε καὶ ἀργυρᾶ πρὸς κατασκευήν τε καὶ ἀποτέλεσμα τῆς ἁγίας σκηνῆς ἀνεδείχθη χρήσιμα. Μετὰ δὲ τὸ σκυλεῦσαι τοὺς Αἰγυπτίους, καὶ τῶν πρωτοτόκων τὸν θάνατον, λελύτρωνται μόλις οἱ ἐξ Ἰσραὴλ, καταθύσαντες τὸν ἀμνὸν εἰς τύπον Χριστοῦ· ἦν γὰρ οὐχ ἑτέρως δύνασθαι τοῦ τοιοῦδε τυχεῖν, ἐπείπερ ἐστὶ πᾶσα λύτρωσις ἐν Χριστῷ, καὶ δι' αὐτοῦ πᾶσα δόσις ἀγαθή. Ἐκπέμπονται δὲ τῆς Αἰγυπτίων, κατὰ μέσην νύκτα, μονονουχὶ σκότους τε ὁμοῦ καὶ δουλείας ἀπαλλαττόμενοι. Ἐν γάρ τοι σκότῳ τῷ νοητῷ, καὶ οὐκ ἐν φωτὶ τῷ θείῳ, τὸ δοῦλον εἰς ἁμαρτίαν ἀεί πως εἶναι φιλεῖ. «Πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων, μισεῖ τὸ 68.208 φῶς,» κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Ἄζυμον δὲ τὸ σταῖς ἐκφέρεται, καὶ ἐπισιτισμοῦ δίχα φεύγουσι. «Κατεβιάζοντο γὰρ, φησὶν, οἱ Αἰγύπτιοι τὸν λαὸν, σπουδῇ ἐκβαλεῖν αὐτοὺς ἀπὸ τῆς γῆς. Εἶπαν γὰρ ὅτι πάντες ἡμεῖς ἀποθνήσκομεν. Ἀνέλαβε δὲ ὁ λαὸς καὶ τὸ σταῖς αὐτῶν πρὸ τοῦ ζυμωθῆναι τὰ φυράματα αὐτῶν, τὰ ἐνδεδεμένα ἐν τοῖς ἱματίοις αὐτῶν ἐπὶ τῶν ὤμων.» Οὐ γὰρ οἶμαι δεῖν, τοὺς τῷ Θεῷ κολλᾶσθαι μέλλοντας, οἰκειότητά τε πρὸς αὐτὸν ᾑρημένους, κακίας λείψανον ἐπιφέρεσθαι κοσμικῆς, οὔτε μὴν ἀλλοτρίαις τε καὶ ἀνιέροις ἐφοδιάζεσθαι τροφαῖς, δῆλον δὲ ὅτι ταῖς νοηταῖς· ἀζύμους δὲ εἶναι φιλεῖν ἄρτους, τὸ ἐφίεσθαι λοιπὸν τοῦ ζωογονοῦντος τὸν κόσμον· ἑορτάσειαν γὰρ οἱ τοιοίδε καθαρῶς, καὶ τὴν ἀξιόληπτον τῷ Θεῷ λατρείαν ἀποπεραίνοντες, ὑπ' αὐτῷ μένουσι διαπαντός. {ΠΑΛΛ.} Ἄραρεν οὖν, ὅτι καθάπερ τινὸς γῆς ἁγίας τε καὶ ἱερᾶς ἐφικέσθαι χρὴ τοὺς οἵπερ ἂν εἶεν φιλόθεοί τε καὶ ἀγαθοὶ, τῆς ὑπὸ Χριστῷ καὶ ἀτυραννεύτου ζωῆς· ἐπείγεσθαι δὲ καταθύειν οὐκ ἐν τῇ τῶν ἐχθρῶν, τοῦτ' ἔστιν, οὐκ ὄντας ἐν ἕξει τῇ φιλαμαρτήτῳ, καὶ οὐκ ἀμωμήτῳ λίαν, ἐν προθυμίαις δὲ μᾶλλον ταῖς εἰς ἀρετὴν, καὶ ἐν ἠθῶν καταστάσει, τῆς τοῦ διαβόλου τυραννίδος ἐξῳκισμένῃ. {ΚΥΡ.} Μὴ ἑτέρως ἔχειν ὑπολάβοις ἢ οὕτως, ὦ τᾶν· πεποίηται γὰρ ὀρθῶς ἡμῖν ὁ λόγος. Πάρα δὲ εἰ δοκεῖ καὶ δι' ἑτέρας ταυτὶ θεωρεῖν εἰκόνος. Ἐπειδὴ γὰρ διὰ τῆς εἰς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἀποδρομῆς καταλυπεῖν ἀπετόλμων τὸν τῶν ὅλων σωτῆρα Θεὸν οἱ τὴν ἁγίαν οἰκοῦντες πόλιν, φημὶ δὴ τὴν Ἱερουσαλὴμ, ὑπὸ χεῖρα γεγόνασι τῶν Βαβυλωνίων, οἳ καὶ δορυκτήτους ἑλόντες θητεύειν ἐκέλευον. Εἴκειν γὰρ ἦν τοῖς κρατοῦσιν ἀνάγκη, καὶ οὐχ ἑκόντας αὐτούς. Οἱ δὲ ἀλύοντες λίαν, καὶ ἐπὶ ταῖς ἀδοκήτοις συμφοραῖς κατοιμώζοντες, κἂν γοῦν εὑρέσθαι βραχεῖαν τοῦ πόνου παραψυχὴν ἐζήτουν ἔσθ' ὅτε. Τοῦτο δὲ ἦν, ταῖς εἰς Θεὸν ὑμνῳδίαις τῆς ἐνούσης αὐτοῖς ἀνίας ἀπαμβλύνεσθαι τὸ δριμύ· «Ἐμνήσθην γὰρ τοῦ Θεοῦ καὶ εὐφράνθην,» ὁ θεῖος ἔφη Δαβὶδ, ἑορτὴν ἀποφαίνων πνευματικὴν, τὴν εἰς Θεὸν ὑμνῳδίαν. Ἀλλ' αἰσχρὸν εἶναί πως ἐδόκει τοῖς ἀναμέλπειν ἐθέλουσι, καὶ τὰ συνήθη πληροῦν, τὴν οὕτω γλυκεῖαν ἠχὴν τοῖς τῶν ἀλλοφύλων ὠσὶν ἐνιέναι φιλεῖν, καὶ τὸ αὐτοῖς ἥδιστόν τε καὶ λιγυρώτατον μέλος, οἱονεί πως ἤδη καὶ εἰς ἀέρα ῥίπτειν, καταμειδιώντων ἔσθ' ὅτε τῶν Βαβυλωνίων, καὶ ἀχθομένων εἰς ἅπαν ταῖς δι'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀργάνων ᾠδαῖς. Τοιγάρτοι καὶ ἔφασκον· «Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών·» ἐν ᾗ κατὰ νόμους καὶ ἔθη τὰ Ἰουδαίων, ἡ τῆς αἰνέσεως θυσία προσεκομίζετο χορδαῖς καὶ ὀργάνοις ἐκπεραινομένη, καὶ κατακηλοῦσα τοῖς μέλεσι τοὺς τῷ θείῳ προσιόντας ναῷ. Ἐπειδὴ δὲ ἦσαν ἐν ἀλλοτρίῳ ζυγῷ δουλείας 68.209 κατεσφιγμένοι, κατολοφυρόμενοι λέγουσιν· «Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς, ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν·» τὸ ἐν ᾠδαῖς ἀπρακτεῖν, δι' αὐτοῦ δὴ τούτου κατασημαίνοντες. Ἄκαρπον γὰρ, μᾶλλον δὲ ὠλεσίκαρπον ἡ ἰτέα φυτὸν, εἴρηται γὰρ ὡδὶ παρὰ τοῦ τῶν παρ' Ἕλλησι ποιητῶν. Ἀνέκειτο τοίνυν εἰς ἀπραξίαν τε καὶ ἀκαρπίαν τὰ τῆς ᾠδῆς ὄργανα· καὶ τῆς εἰς τοῦτο ῥᾳστώνης τὴν ἀφορμὴν ἀνακεκραγότες λέγουσι· «Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;» Διακομίσαντος δὲ αὐτοῖς τοῦ Βαροὺχ τοὺς Ἱερεμίου λόγους, Ἔκλαιον πάντες, φησὶ, καὶ ἐνήστευον καὶ ηὔχοντο προσευχὴν ἐναντίον Κυρίου· καὶ συνήγαγον ἀργύριον, καθὰ ἑκάστου ἐδύνατο ἡ χείρ· καὶ ἀπέστειλαν εἰς Ἱερουσαλὴμ πρὸς Ἰωακεὶμ υἱὸν Χελκίου, υἱοῦ Σαλὼμ τὸν ἱερέα, καὶ πρὸς τοὺς ἱερεῖς καὶ πρὸς πάντα τὸν λαὸν τὸν εὑρεθέντα μετ' αὐτοῦ ἐν Ἱερουσαλήμ.» Καὶ μεθ' ἕτερα· «Καὶ εἶπον· Ἰδοὺ ἀπεστείλαμεν πρὸς ὑμᾶς ἀργύριον, ἀγοράσατε τοῦ ἀργυρίου ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας, καὶ λίβανον, καὶ ποιήσατε μάννα, καὶ ἀνοίσατε ἐπὶ θυσιαστήριον Κυρίου τοῦ Θεοῦ ἡμῶν.» Πρέπειν γὰρ ᾤοντο σφίσι μὲν, οὐχὶ θύειν ἔτι, γῆς μὲν ἁγίας ἐξῳκισμένοις, πράττουσι δὲ τέως ὑπὸ Θεῷ μὲν οὐκέτι, κατεζευγμένοις δὲ ὥσπερ ἑτέρῳ καὶ ὑπὸ χεῖρα πεσοῦσι τὴν τυραννικὴν, τοῖς γε μὴν ἔτι τὴν ἁγίαν οἰκοῦσι πόλιν, λειτουργίας τε τῆς ἱερᾶς λαχοῦσι τὴν δόξαν, ἀπονέμουσι τὴν λατρείαν, ὀρθῷ δηλαδὴ χρώμενοι λογισμῷ, πρὸς τὴν τοῦ πρέποντός τε καὶ ἀναγκαίου κατάσκεψιν. Καὶ αὐτὸς δὲ ἡμῖν ὁ σοφώτατος Δανιὴλ, ἱερῶν μὲν εἴχετο σπουδασμάτων, ὁμοῦ δὲ καὶ τοῖς ἄλλοις αἰχμάλωτος ὢν, τὸ τῆς ἀνάγκης κατεσοφίζετο χρῆμα. Καὶ τίνα τρόπον, ἐρῶ· προσηύχετο γὰρ τρεῖς τῆς ἡμέρας καιρούς. Ἀλλ' ἦσαν αὐτῷ βλέπουσαί τε καὶ ἠνεῳγμέναι πρὸς τὴν Ἱερουσαλὴμ αἱ θυρίδες ἐν τοῖς ὑπερῴοις. Γέγραπται γὰρ ὡδί. Εὐπρόσδεκτον γὰρ τότε μόλις ἔσεσθαι παρὰ Θεῷ τὴν ἰδίαν ᾤετο προσευχὴν, εἰ γῆς ἀλλοτρίας καὶ μεμισημένης, εἰ μὴ σαρκὶ δύναιτο τυχὸν, κἂν γοῦν ἐννοίαις ἀπονοσφίζοιτο, καὶ τοῖς τῆς διανοίας ὄμμασι, πρὸς τὴν τῷ Θεῷ φιλαιτάτην ἀφορῶν γῆν, εἰς αὐτὸν δὲ ὥσπερ εἰσφρήσας τὸν νεὼν, τὴν ὑπὲρ ὧν ἂν ἕλοιτο προσάγοι λιτήν. {ΠΑΛΛ.} Εὖ γε ὡς ἀληθῶς ὁ σύμπας ἡμῖν διήρτισται λόγος.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑΙ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

Ὅτι ἀμήχανον διαφυγεῖν τὸν ἐξ ἁμαρτίας θάνα τον, καὶ τὴν τοῦ διαβόλου πλεονεξίαν, εἰ μὴ δι' ἁγιασμοῦ τοῦ κατὰ Χριστὸν, καὶ ὅτι οὐκ ἐν νόμῳ ἡ δικαίωσις, ἀλλ' ἐν Χριστῷ. Χρῆμα μὲν οὖν, ὦ Παλλάδιε, τὸ ἀπονοσφίζεσθαι φιλεῖν τοῦ κατασίνεσθαι πεφυκότος, ἐφίεσθαι δὲ δεῖν τῆς ὑπὸ τῷ Θεῷ δουλείας, ὡς εὐκλεές τε καὶ ὀνησιφόρον, οὐκ ἀγεννὴς ἡμῖν διέδειξε λόγος. {ΠΑΛΛ.} Οὐ γὰρ οὖν. {ΚΥΡ.} Ὁλοτρόπως γε μὴν τῶν αἰσχιόνων ἀπαίροντας, τὰ ἀμείνω ὅτι προσῆκεν ἡμᾶς ὅτι ζητεῖν, εὖ μάλα διεβεβαιούμεθα. {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Χρῆναι δὲ οὕτω λοιπὸν ἐδόκει τῆς ἐν κόσμῳ ζωῆς τὸ φιλήδονον, καὶ τὴν ἐπὶ τῷδε τύρβην ἱέντας ὡς ἀποτάτω καταθύειν ἐπείγεσθαι τῷ Θεῷ, καὶ οἷάπερ ἐν ἐρήμῳ γεγονότας διαθέσει νοῦ, σχολαίαν καὶ καθαρωτάτην, καὶ μολυσμοῖς οὐ βατὴν, καλὴν δὲ καὶ εὐπρόσδεκτον ἐπιτηδεύειν αὐτῷ τὴν λατρείαν. {ΠΑΛΛ.} Ἐδόκει γὰρ ὧδε. {ΚΥΡ.} Καὶ μὴν, ὅτι καθειργνύντος ὑφ' ἑαυτῷ καὶ συνέχειν ἡμᾶς ἐθέλοντος, ἐκ πλεονεξίας τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σατανᾶ, θεῖος ἐκάλει νόμος εἰς ἐλεύθερον ἀξίωμα, τὴν περὶ τῶν ἀρίστων εἰσήγησιν ταῖς ἐκείνου βδελυρίαις ἀντιτιθεὶς, καὶ πρὸς τὰ ἀμείνω παιδαγωγῶν, ἐκ μυρίων ὅσων τῶν παραδειγμάτων διελευκαίνετο; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Θεὸς οὖν ἄρα τῆς σωτηρίας ὁ χορηγὸς, καὶ ἁπάσης ἡμῖν εὐημερίας πρύτανις, τῆς πρὸς αὐτὸν οἰκειότητος καταδεικνύων τὴν ὁδὸν, μεσιτεύοντος τοῦ Χριστοῦ. Ἦ γὰρ οὐχὶ τύπος ἂν γένοιτο, καὶ μάλα σα-φὴς τῆς διὰ Χριστοῦ μεσιτείας, ἡ διὰ Μωσέως; 68.213
{ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Μωσῆς μὲν γὰρ ὁ θεσπέσιος σαρκικῆς δουλείας ἐξεκόμιζε τὸν Ἰσραὴλ καὶ τῶν εἰς πλινθείαν ἐξῃρεῖτο πόνων, ἔργων τε τῶν περὶ γῆν, καὶ μεταίχμιον ὥσπερ τι κείμενος Θεοῦ καὶ ἀνθρώπων, τοὺς ἄνωθεν σφίσι διεκόμιζε λόγους. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, τὰ ὡς ἐν τύπῳ καὶ σκιαῖς μεταχαράττων εἰς ἀλήθειαν, δουλείας ἡμᾶς ἐξέλκει τῆς νοητῆς, τὴν μὲν πάλαι καθ' ἡμῶν τυραννήσασαν ἁμαρτίαν ἐξιστὰς, κατασείων δὲ τοῦ διαβόλου τὸ κράτος, καὶ φρονήματος μὲν ἐπιγείου καὶ τῶν περὶ σάρκα σπουδασμάτων ἀποφοιτᾷν ἀναπείθων τοὺς ἕπεσθαι δεῖν οἰομένους αὐτῷ, μεταπλάττων δὲ ὥσπερ εἰς ἔφεσιν ἀρετῆς, ἀριδηλότατά τε ἡμῖν τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἀπαγγέλλων θέλησιν· τοιγάρτοι καὶ ἔφασκεν· «Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ, οὐκ ἔστιν ἐμὰ, ἀλλὰ τοῦ πέμψαντός με.» Καὶ πάλιν· «Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὁ πέμψας με Πατὴρ, αὐτός μοι ἐντολὴν δέδωκε, τί εἴπω, καὶ τί λαλήσω.» Καὶ γοῦν ὁ Μωσῆς εἰκόνα καὶ ἀνατύπωσιν τῆς ἐν Χριστῷ μεσιτείας, τὰ καθ' ἑαυτὸν ἐποιεῖτο, λέγων τοῖς ἐξ Ἰσραήλ· «Προφήτην ἐκ τῶν ἀδελφῶν σου ἀναστήσει σοι ὡς ἐμὲ, Κύριος ὁ Θεός σου. Αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ᾐτήσω παρὰ Κυρίου τοῦ Θεοῦ σου ἐν Χωρὴβ, τῇ ἡμέρᾳ τῆς ἐκκλησίας.» Ἐν τύπῳ μὲν οὖν καὶ εἰκόνι τὰ διὰ Μωσέως, καὶ τῆς κατ' αὐτὸν μεσιτείας ἡ δύναμις· ἀποῤῥητότερος δὲ τῆς ἐν Χριστῷ μεσιτείας ὁ τρόπος. Ὁ μὲν γὰρ νόμου καὶ σκιᾶς διάκονος ἦν καὶ παιδαγωγίας τῆς ἄνωθεν διακομιστής· Χριστὸς δὲ ὡς νόμου καὶ προφητῶν δεσπότης, τὰ αὐτῷ δοκοῦντα θεσμοθετεῖ, καὶ μεσίτης ἦν, συνθεούσης ἐν αὐτῷ καὶ εἰς ἓν ὥσπερ ἰούσης, θεότητός τε καὶ ἀνθρωπότητος. Ἄμφω γὰρ ἅμα νοεῖται Χριστός. «Καὶ Μωσῆς μὲν ὡς θεράπων εἰς ὅλον τὸν οἶκον αὐτοῦ πιστὸς, Χριστὸς δὲ ὡς υἱὸς, ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς·» οἱ διὰ τῆς εἰς αὐτὸν πίστεως πρὸς ἐλευθερίαν ἡγμένοι τὴν ἀληθῆ. Ἄραρεν οὖν, ὅτι μεσίτης μὲν σαρκικῆς ἐλευθερίας, γράμματός τε καὶ σκιᾶς ὁ ἱεροφάντης Μωσῆς· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τῶν ὑπὲρ νόμον εἰσηγητὴς, καὶ τῆς σαρκικῆς ἐλευθερίας τὴν ἀσυγκρίτως ἀμείνω δωρούμενος, τοῦτ' ἔστι, τὴν κατὰ πνεῦμα. Τοιγάρτοι καὶ ἔφασκε καὶ τοῖς σαρκικῶς ἠλευθερωμένοις τοῖς ἐξ Ἰσραήλ· «Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.» Καὶ πάλιν· «Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας· ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. Ἐὰν οὖν ὁ Υἱός ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἐστέ. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Καυχησόμεθα δὴ οὖν οὐ τοῖς κατὰ σάρκα λαμπροῖς, ἀλλὰ τοῖς ἐν πνεύματι καὶ δικαιοσύνῃ τῇ 68.216
κατὰ Χριστὸν, οὐ τῇ κατὰ νόμον. Εἰ γὰρ δοῦλον ἔτι τὸ ὑφ' ἁμαρτίαν, δικαιοῖ δὲ ἥκιστα μὲν ὁ νόμος, κατακρίνει δὲ μᾶλλον καὶ γράφεται παραβαίνοντας, πῶς οὐκ ἂν γένοιτο παντί τῳ σαφὲς, ὅτι πᾶσα δικαίωσις ἐν Χριστῷ, καὶ τελείωσις ἡ ἐν πνεύματι δι' ἁγιασμοῦ, δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ; Καὶ γοῦν ὁ σοφώτατος γράφει Παῦλος· «Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον, δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Δικαιο-σύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν, καθὼς γέγραπται· Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.» Νόμου τε τοῦ πάλαι τὸ ἀνόνητόν τε καὶ ἀδρανὲς ἔν γε τουτῳῒ καταγράφει, λέγων· «Ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ Θεῷ, δῆλον· ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται. Ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ' ὁ ποιήσας αὐτὰ, ζήσεται ἐν αὐτοῖς.» Ἐν Χριστῷ τοιγαροῦν δικαιούμεθα διὰ πίστεως, ἐκλελυτρώμεθα δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δουλείας τῆς νοητῆς. {ΠΑΛΛ.} Ἀνόνητος οὖν ὁ νόμος; {ΚΥΡ.} Οὐ τοῦτό φημι· κεχρησμῴδηται γὰρ οὐ μάτην· δέδοται δὲ μᾶλλον «εἰς βοήθειαν,» κατὰ τὸ γεγραμμένον· ὅσον μὲν γὰρ ἧκεν εἰς παιδαγωγίαν, καὶ τὸ εἰδέναι τὸ πλημμελὲς, καὶ εἰς τὸ χρῆναι λαβεῖν ἀρχὰς καὶ στοιχεῖα τῶν λογίων τοῦ Θεοῦ, πῶς οὐκ ἂν νοοῖτο χρήσιμος; Ἀργότερος δὲ πρὸς ἀπόνιψιν ἁμαρτίας, καὶ εἰς τὸ δύνασθαι τελειοῦν εἰς ἁγιασμόν. Καὶ γοῦν ὁ θεσπέσιος ἡμῖν ἔφη Παῦλος· «Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ· καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ· διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· διὰ γὰρ νόμου, ἐπίγνωσις ἁμαρτιῶν.» Δεικτικὸς οὖν ἄρα τῆς ἁμαρτίας ὁ νόμος, οὐκ αὐχημάτων πρόξενος τῶν εἰς ἀρετήν. Τὸ γάρ τοι φάναι τυχὸν, Οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐκ ἐπιορκήσεις, καὶ εἴ τι τοιούτοις συνήρμοσται, τὰ τῆς φαυλότητος εἴδη κατασημαίνοντος ἦν, καὶ ἐξιστάντος ἀκαθαρσίας, οὐκ ἀρετῆς εἴδησιν εἰσκομίζοντος, οὐδὲ τῆς ἀκιβδήλου ζωῆς καταφανεστάτην τοῖς ἀκροωμένοις ποιοῦντος τὴν γνῶσιν. Ὡς τό τοι μὴ χρῆναι τὰ αἰσχίω δρᾷν, τοῖς τῆς ἐξαιρέτου πολιτείας ἐγγράφεσθαι τρόποις, ἀμαθὲς οἶμαί που. Δεῖν δὲ οἶμαι καὶ σφόδρα εἰκότως, τότε δὴ μόλις τὴν ἐφ' ἅπασι τοῖς ἐπαινουμένοις ἡμᾶς ἀναδεῖσθαι ψῆφον, εἰ δὴ μεθέντες καὶ διωσάμενοι τὸ κακὸν καὶ κάτω που μένειν ἐῶντες, τὸ ἐν ὑπολήψει φαυλότητος καὶ βεβήλου βδελυρίας οὐκ ἀπηλλαγμένον, ἐπ' αὐτὰ τῆς ἀρετῆς ἀναθρώσκομεν τὰ αὐχήματα. Καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, «Ἀμὴν,ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ περισσεύσει, φησὶν, ἡ δικαιοσύνη ὑμῶν, πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.» Συνίης οὖν ὅτι τὴν ἐπέκεινα τῆς κατὰ νόμον ἑλέσθαι δικαιοσύνην προστέταχεν ὁ Σωτὴρ, καὶ ἄριστόν γε τὸ χρῆμα εἰδὼς ὁ σοφὸς γράφει Παῦλος· «Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον. Περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραὴλ, φυλῆς Βενιαμὶν, 68.217 Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν Ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. Ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. Ἀλλὰ μὲν οὖν γε ἡγοῦμαι τὰ πάντα ζημίαν εἶναι, διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· δι' ὃν τὰ πάντα ἐζημιώθην· καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ.» {ΠΑΛΛ.} Συνίημι μὲν, σαφὴς γὰρ ὁ λόγος· πλὴν ἐκεῖνο φράσον. Τί μὴ μᾶλλον ἐν ἀρχαῖς ἡ διὰ πίστεως ἡμῖν δικαιοσύνη, καὶ ὁ κατ' αὐτὴν ἁγιασμὸς ἐθεσπίζετο, εἴπερ οὐκ ἀπόχρη εἰς τελείωσιν ὁ πάλαι νόμος; {ΚΥΡ.} Ὅτι, ὦ ἑταῖρε, φαίην ἂν, ἀπονίζεται μὲν εἰκότως τὸ ῥυποῦν, ἀποσμήχεται δὲ τὸ μεμολυσμένον, καὶ καταφαιδρύνεται τὸ ἐσκοτισμένον· πρέποι δ' ἂν, οἶμαι, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, θεραπεύεσθαι μὲν τὸ ἠῤῥωστηκὸς, καλεῖσθαι δὲ πρὸς μετάγνωσιν, οὐχὶ τοὺς ἡγιασμένους, ἀλλὰ τοὺς ταῖς ἁμαρτίαις ἐπηχθισμένους. Ἦ γὰρ οὐχὶ προκαταγινώσκεσθαι χρὴ τοὺς καλουμένους εἰς ἄφεσιν, καὶ ἐκ τῆς ἐνούσης αὐτοῖς ἀσθενείας κεκινδυνευκότας, ὁρᾶσθαι λελυτρωμένους; Ἔδει τοιγαροῦν ἔλεγχον ὥσπερ τινὰ καὶ κατήγορον ἀκριβῆ τῆς ἁπάντων ἀσθενείας, τὸν τῆς ἁμαρτίας δεικτικὸν προαναφαίνεσθαι νόμον, ἵνα καὶ τῆς θείας ἡμῖν ἡμερότητος τῆς διὰ Χριστοῦ μὴ ἀγνοῆται τὸ μέγεθος. Ποῦ γὰρ ἢ πῶς ἡ τῆς ἀφέσεως χάρις, εἰ μὴ ὑποκέοιτο τὰ ἐγκλήματα; Καὶ εἰ χρὴ βραχυλογοῦντας καὶ ἐπί τινων ἀρχαίων διηγημάτων ἀναπηδᾷν, ἐρῶ πάλιν, ὅτι τῷ μὲν Ἀβραὰμ ἐπηγέλλετο ὁ Θεὸς τὴν διὰ πίστεως χάριν· καὶ καθάπερ ἐν ἀπαρχῇ τῶν ἠλεημένων, ἐν αὐτῷ πρεσβυτέραν ἐποιεῖτο τοῦ νόμου τὴν ἐξ ἡμερότητος ἄφεσιν. Γέγραπται γὰρ, ὅτι, «Ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.» Προσδιαμαρτύρεται δὲ λέγων ὁ Παῦλος· «Πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ἢ ἐν ἀκροβυστίᾳ; Οὐκ ἐν περιτομῇ, φησὶν, ἀλλ' ἐν ἀκροβυστίᾳ· καὶ σημεῖον ἔλαβε περιτομὴν, σφραγίδα τῆς δικαιοσύνης τῆς πίστεως, τῆς ἐν ἀκροβυστίᾳ.» Ἤκουσέ τε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεοῦ λέγοντος ἐναργῶς, ὅτι, «Ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη.» Τὸ δὲ, «ἐν σοὶ,» σημαίνοι ἂν τὸ, καθ' ὁμοιότητα τὴν σήν· οὕτω τε συνεὶς ὁ Παῦλός φησι· «Προϊδοῦσα δὲ ἡ Γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, προευηγγελίσατο τῷ Ἀβραὰμ, ὅτι Ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη. Ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.» Σημεῖον οὖν ἄρα τῆς ἐν ἀκροβυστίᾳ πίστεως, ἡ περιτομὴ, δεδικαίωται δὲ οὐκ ἐξ ἔργων νόμου, καὶ τῆς ἐν σαρκὶ περιτομῆς πρεσβύτερα φαίνεται τὰ διὰ πίστιν αὐχήματα. Φίλος γὰρ ἐκλήθη Θεοῦ. 68.220 {ΠΑΛΛ.} Τίς οὖν ἡ μέλλησις τοῦ κατὰ πίστιν ἁγιασμοῦ, ἐπαπορήσαιμι δ' ἂν εἰκότως, ἀνθ' ὅτου δὴ λέγων ὡς ἐν πρεσβυτέρᾳ θέσει τὸ σημεῖον καὶ ὡς ἐν δευτέροις τὸ ὑπερτεροῦν; {ΚΥΡ.} Οὐ γὰρ ἔφαμεν ἀρτίως ὡς ἀξιαγάστου καὶ ἀποῤῥήτου τινὸς εὐτεχνίας ἔργον ἦν τὸ προαναθρώσκειν ἐν χρόνῳ τῆς δικαιούσης πίστεως τὸν κατακρίνοντα νόμον; ἢ οὐχὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει; καὶ ἡ δύναμις ἐν ἀσθενείᾳ τελειοῦται, κατὰ τὸ γεγραμμένον; {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Οὐκοῦν νόμος παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. Οὗ γὰρ οὐκ ἔστιν νόμος, οὐδὲ παράβασις. Παραβάσεως δὲ καὶ τῆς ἐπὶ τοῦτο ῥᾳστώνης πῶς ἄν τις ἴδοι τὴν ἄφεσιν, οὐ προκατακρίναντος ἡμᾶς τοῦ νόμου; Ὅτι δὲ ἀληθὲς ὅ φημι, καὶ οὐκ ἐξίτηλός τις ἢ ἀκαλλὴς ὁ ἐπὶ τῷδε λόγος, συλλήψεται λέγων ὁ Παῦλος· «Ὥστε ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται, διαταγῇ ἀγγέλων.» Σοφὸς δὲ ἄγαν ὢν τὰς ἐσομένας ἔσθ' ὅτε παρά τινων εὑρεσιλογίας καὶ ἐπαπορήσεις προανακόπτειν ἐπιχειρεῖ· ἦν γὰρ δή τινας εἰκὸς τῆς ἐν πίστει δικαιοσύνης ἐπαιτιᾶσθαι τὴν μέλλησιν καὶ τὴν μεταξὺ τοῦ νόμου παρεισδρομὴν, εἰς ἀθέτησιν τῆς ἀρχαίας ἐκείνης ἐπαγγελίας γενέσθαι λέγειν. Τοιγάρτοι φησίν· «Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ; μὴ γένοιτο. Εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἐν νόμῳ ἂν ἦν ἡ δικαιοσύνη. Ἀλλὰ συνέκλεισεν ἡ Γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν. Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμου ἐφρουρούμεθα συγκλειόμενοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. Ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν, πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ.» Καταλευκαίνει δὲ ὥσπερ τὴν ἐπαπόρησιν εὖ μάλα προστιθεὶς, «Τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ, ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν· εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας. Τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ Θεός.» Κατακλείσας οὖν ἡμᾶς εἰς ἁμαρτίαν ὁ νόμος, πεπαιδαγώγηκεν εἰς Χριστὸν, τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός. Τοιγάρτοι καὶ ἔφασκεν ἠπειθηκόσιν αὐτῷ τοῖς Ἰουδαίων λαοῖς· «Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί. Περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε·» Δικαιούμεθα δὴ οὖν οὐκ ἐξ ἔργων νόμου, πίστει δὲ μᾶλλον τῇ εἰς Χριστόν· «Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσί. Γέγραπται γάρ· Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. Ἀλλ' ἐκ τῆς τοῦ νόμου κατάρας ἐξεπρίατο πάντας ὁ Χριστὸς, γεγενημένος 68.221 ὑπὲρ ἡμῶν κατάρα. Γέγραπται γὰρ, ὅτι ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου, ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένοιτο ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως.» {ΠΑΛΛ.} Ἀλλ', ὦ γενναῖε, βούλει, εἰ δοκεῖ, ἴωμεν δὴ μᾶλλον ἐφ' ἕτερόν τι χριστομαθές· νόμου γὰρ καὶ τῆς κατ' αὐτὸν οἰκονομίας ἀπόχρη ταυτί. {ΚΥΡ.} Φράζε δὴ οὖν ὅ τι καὶ αὐτῷ σοι φίλον, κἀμοὶ δὲ εἰπεῖν οὐ τῶν ἀνεφίκτων ἄγαν. {ΠΑΛΛ.} Καὶ μὴν οὐκ ἀνάντης λίαν, ἤγουν ἀστιβὴς ἡ ἐπαπόρησις. Ἁλοίη δ' ἂν, οἶμαι, καὶ λίαν ἀμογητὶ τὸ ζητούμενον, Χριστοῦ τὸ θεῖον ἡμῖν ἐνιέντος φῶς. Ἆρ' οὖν οὐχὶ ταῖς ἀναιμάκτοις δωροφορίαις Θεὸν τιμήσομεν, οἱ τὴν ἐν πίστει δικαίωσιν παραδεδεγμένοι, καὶ τὴν ἐν σκιαῖς καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τύποις λατρείαν ἐξωθούμενοι; {ΚΥΡ.} Εὖ λέγεις. Γέγραπται γὰρ ὅτι, «Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης·» «τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεὸς,» κατὰ τὰς τῶν ἁγίων φωνάς. {ΠΑΛΛ.} Εἰκαῖον οὖν ἄρα τὸ ἐπείγεσθαι βουθυτεῖν καὶ τὰ διὰ τῆς ἀρχαίας ἡμῖν ἐντολῆς εἰσκεκομισμένα πληροῦν. Μηλοσφαγίαι τε γὰρ καὶ λιβανωτοὶ, λάγανά τε πρὸς τούτοις, καὶ σεμίδαλις ἐλαιόδευτος, τρυγόνες τε καὶ περιστεραὶ, τὰ κατ' ἐκεῖνο τοῦ καιροῦ, τῶν προσκυνούντων ἀναθήματα. Ἀλλά μοι φράσον ἀνθ' ὅτου μὴ ἐν ἀρχαῖς ἀπόπεμπτα μὲν ἐποιεῖτο ταυτὶ, τὰ δὲ οἷς ἐφήδεται νυνὶ θεσμοθετῶν ὁρᾶται Θεὸς, καὶ τοὺς θυσίας ἡμῖν τῆς πνευματικῆς ἐκκαλύπτει τρόπους. {ΚΥΡ.} Ἆρ' οὖν οἴει, καὶ φάναι τολμᾷς, βεβουλεῦσθαι μὲν οὐκ ὀρθῶς ἐν ἀρχαῖς τὸ θεῖον, ἀφημαρτηκὸς δὲ ὥσπερ τοῦ τελείως ἀγαθοῦ, τὸ μεῖζον εὑρεῖν δεδυνῆσθαι μόλις; ἢ γοῦν ἑλέσθαι μὲν τότε τὰ ὡς ἐν σκιαῖς, ὡς διαρκῶς ἔχοντα τὸ δοκοῦν αὐτῷ, φιλόκαινον δέ τι καθ' ἡμᾶς ὑπομεῖναι πάθος, ἑτέροις νέμοντα τὴν ῥοπὴν, καὶ λατρείαν ἡμῖν τὴν οὐ πάλαι διεγνωσμένην κεκαινουργηκότα; {ΠΑΛΛ.} Οὐ μὲν οὖν. Λῆρος γὰρ, οἶμαι, ταυτί. Οὐδ' ἂν οἰησαίμην ὅτι τὸ ἀφαμαρτεῖν δύνασθαι κατά τι γοῦν ὅλως ἔποιτο αὐτῷ. Μάθοιμι δ' ἂν ὡς ἥδιστά γε τί τὸ ἀναπεῖθον θεσμοθετεῖν, τοῖς ἐπὶ τῆς γῆς, ἐκεῖνα μὲν τότε, νυνὶ δὲ ταυτί. {ΚΥΡ.} Ἀνόπιν ὥσπερ ἰέναι πάλιν ὁ σὸς ἡμᾶς ἀναγκάζει λόγος. Ἢ οὐκ ἔφην ὅτι παιδαγωγὸς ἦν ὁ νόμος, τοῦτ' ἔστι, τῶν ἔτι νηπίων ὁ παιδευτής; καὶ τοῖς οὔπω συνιέναι δυναμένοις τί τὸ ἀληθῶς ἀγαθόν; καὶ ποῖον ἂν εἴη τὸ θέλημα τοῦ Θεοῦ, τὸ τέλειον καὶ εὐάρεστον, δι' αἰνίγματος ὑποδηλῶν; καὶ ὡς ἐν 68.224 παχέσιν ἔτι κατασημαίνων τύποις; εἴσῃ γὰρ, εἴσῃ, καὶ οὐ σὺν ἱδρῶτι μακρῷ τῆς πνευματικῆς λατρείας ὁ τρόπος, ὡς ἦν μὲν, ἀεί τε καὶ ἐν ἀρχαῖς τριπόθητος Θεῷ, δυσέμβατος δὲ καὶ ἀναφὴς ἔτι ταῖς τῶν Ἰουδαίων ψυχαῖς. Διά τοι τοῦτο δεῖσθαι λόγου νηπιοπρεποῦς, καὶ μαθημάτων ἁπλῶν, καὶ παιδοκομίας οἰκονομικῆς οὐδὲν ἐχούσης τὸ ἄναντες ἢ τραχὺ, ἐνομοθέτει μὲν γὰρ καὶ πάλαι τὰ ἐν τύποις Θεός. Προϋπεδείκνυ δὲ πάλιν, ὡς ἥξοντά τε καὶ παρεσόμενα κατὰ καιροὺς τὰ ἐκ τῆς ἀληθοῦς λατρείας· καὶ ἀπόβλητον μὲν ἐποίει τὸ τὴν δι' αἱμάτων πρόσοδον, καὶ τὴν σκιάν· ἀπεσείετο δὲ διὰ τοῦ προφήτου λέγων Ἀμώς· «Μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν ὑμῶν· διότι ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα καὶ θυσίας ὑμῶν, οὐκ ἐπιβλέψομαι. Μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι.» Εἰσκεκόμικε δὲ διὰ Μιχαίου πρόσωπον ἀνδρὸς, τίνα δὴ τρόπον κατορθώσειεν ἂν ἀμωμήτως τὸ ἀγαθὸν, ὀρεκτιῶντος ἀναμαθεῖν· «Ἐν τίνι γὰρ καταλάβω τὸν Κύριον, ἀντιλήψομαι Θεοῦ ὑψίστου; Εἰ καταλήψομαι αὐτὸν ἐν ὁλοκαυτώμασιν, ἐν μόσχοις ἐνιαυσίοις; Εἰ προσδέξεται Κύριος ἐν χιλιάσι κριῶν, ἢ ἐν μυριάσι χιμάρων πιόνων; Εἰ δῶ πρωτότοκά μου, ἀσεβείας καρπὸν κοιλίας μου, ὑπὲρ ἁμαρτίας ψυχῆς μου;» Εἶτα συνημμένως καὶ ἐφεξῆς· «Εἰ ἀνηγγέλη σοι, φησὶν, ἄνθρωπε, τί τὸ καλόν· ἢ τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾷν ἔλεος· καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου τοῦ Θεοῦ σου;» Ἆρ' οὖν οὐχὶ τοῦτό ἐστιν ἐναργῶς, ὅπερ ἔφη Χριστός· «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι;» Καὶ πάλιν· «Ὁ ἐμὲ ἀγαπῶν, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔστω.» Οὐκ ἐν νομικῇ μὲν λατρείᾳ τῇ κατὰ Χριστὸν, ἀλλὰ ἁγίᾳ τε καὶ πνευματικῇ. {ΠΑΛΛ.} Ὀρθότατα ἔφης. {ΚΥΡ.} Καὶ διὰ μὲν τῆς Ἡσαΐου φωνῆς, θερμότερον ἐπιπλήττει τοῖς ἐξ Ἰσραὴλ λέγων· «Ἀκούσατε λόγων Κυρίου, ἄρχοντες Σοδόμων, προσέχετε νόμον Θεοῦ, λαὸς Γομόῤῥων. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; Πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ τράγων οὐ βούλομαι· οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι, τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. Ἐὰν φέρητε σεμίδαλιν, μάταιον. Θυμίαμα βδέλυγμά μοί ἐστι, τὰς νουμηνίας ὑμῶν, καὶ τὰ Σάββατα, καὶ ἡμέραν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεγάλην οὐκ ἀνέχομαι. Νηστείαν καὶ ἀργίαν, καὶ τὰς ἑορτὰς ὑμῶν ἐμίσησεν ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν.» Διά τε τοῦ προφήτου Μαλαχίου, ταυτὸ λέγει ἔτι πρὸς λίαν ἀπηχθημένους· διαμέμνηται δὲ καιρῶν, καθ' οὓς ἂν αὐτῷ προσοίσειαν οἱ ἀνὰ πᾶσαν τὴν γῆν τῆς ἀναιμάκτου καὶ νοητῆς θυσίας τὴν ἀσύγκρι 68.225 τον εὐωδίαν. Ἔφη γὰρ ὧδε πάλιν· «Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν, διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου καὶ θυσία καθαρὰ, διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει Κύριος παντοκράτωρ.» Συνίης ὅτι θυμίαμά τε καὶ θυσίαν αὐτῷ καθαρὰν ἀπὸ παντὸς ἔθνους ἀνενεχθήσεσθαί φησιν. Ὥσπερ δὲ τὴν νέαν ἡμῖν καὶ ἐν Χριστῷ διαθήκην, καινὴν ὀνομάσας, πεπαλαίωκε τὴν πρώτην. Γράφει γὰρ ἡμῖν οὕτως καὶ ὁ θεσπέσιος Παῦλος. Ὡς κἀνθάδε, καθαρὰν εἰπὼν τὴν ἀπὸ παντὸς ἔθνους θυσίαν ἐσομένην κατὰ καιροὺς, τῷ μὴ οὕτως ἔχειν τῆς ἀρχαίας καταψηφίζεται. Καθαρὰ γάρ τινα τρόπον, ἡ μήτε καθαίρουσα, μήτε μὴν ἔχουσα τὸ τελειοῦν δύνασθαι πρὸς ἀρετήν; Ταύτῃ τοί φησιν ὁ μακάριος Παῦλος, ὡς ἦν μὲν οὐκ ἄμεμπτος, εἰσκεκομίσθαι δὲ ἀναγκαίως τὰ διὰ Χριστοῦ, καὶ τὸν τῆς δευτέρας ἐκζητεῖσθαι τόπον. {ΠΑΛΛ.} Ἀβούλητος ἄρα παντελῶς ἡ ἐν σκιαῖς λατρεία παναγίῳ Θεῷ; {ΚΥΡ.} Παντάπασι μὲν οὖν. Πάρα δέ γε σαφῶς ἐπαΐειν λέγοντος τοῖς ἐξ Ἰσραὴλ, διὰ τῆς Ἱερεμίου φωνῆς· «Τάδε λέγει Κύριος· Τὰ ὁλοκαυτώματα ὑμῶν συναγάγετε μετὰ τῶν θυσιῶν ὑμῶν, καὶ φάγετε κρέα. Ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς ἐν ἡμέρᾳ, ᾗ ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου περὶ ὁλοκαυτωμάτων καὶ θυσιῶν. Ἀλλ' ἢ τὸ ῥῆμα τοῦτο ἐνετειλάμην αὐτοῖς λέγων, Ἀκούσατε τῆς φωνῆς μου.» Ὅσον μὲν γὰρ ἧκεν εἴς γε τὸ ἀκριβὲς τῷ νομοθέτῃ δοκοῦν, οὐδ' ἂν ὅλως ἐν ἀρχαῖς ὁ ἐν σκιαῖς ἔτι κατεχρησμῳδήθη νόμος, τῆς ἐν πνεύματι λατρείας σεσιγημένης. Ἐπειδὴ δὲ ἦν τὸ χρῆμα φορτικὸν, καὶ τὸ δύνασθαι πληροῦν τὸ τελείως ἀγαθὸν, τοῖς τὸ τηνικάδε βάσιμον μὲν οὐχὶ, φαίην δ' ἂν ὅτι σκληρὸν καὶ οὐκ ἄτραχυ, νηπιοπρεπὴς οἷά τις μελέτησις, τὴν τῆς ἀληθείας ἔχουσα μόρφωσιν, ὁ ἐν γράμμασι νόμος, οἰκονομικῶς ἐθεσπίζετο. Πλὴν ἐδήλου σαφῶς ὁ τῶν νόμων ἡμῖν ὁριστὴς, ὅτι μὴ ἐκεῖνα μᾶλλον αὐτῷ θυμηρέστατα, τριπόθητα δὲ τὰ διὰ Χριστοῦ. Καὶ γοῦν ἔφη πάλιν· «Διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν, ἀπέκτεινα αὐτοὺς ἐν ῥήμασι στόματός μου, καὶ τὸ κρίμα μου ὡς φῶς ἐξελεύσεται· διότι ἔλεος θέλω, καὶ οὐ θυσίαν, καὶ ἐπίγνωσιν Θεοῦ, ἢ ὁλοκαυτώματα.» Πολὺ γὰρ ἄμεινον παρὰ Θεῷ καὶ μόσχου πίπτοντος, καὶ προβάτου σφαγῆς, ἡ εἰς ἀδελφοὺς ἀγάπη, εἰς τὸ τοῦ νόμου πλήρωμα, καὶ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ, δι' οὗπερ ἂν γένοιτο καὶ αὐτὸς ἡμῖν γνωστὸς ὁ Πατήρ. Πρόξενον δὲ ὅτι τῆς αἰωνίου ζωῆς τὸ χρῆμά ἐστιν, οὐκ ἐνδοιάσῃ τις ἄν, Χριστοῦ λέγοντος πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα· «Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.» Ἀψευ 68.228 δήσει δὲ ὅτι πάντη τε καὶ πάντως ἡ ἀλήθεια, πῶς ἔστιν ἀμφιβαλεῖν; {ΠΑΛΛ.} Ἥκιστά γε. {ΚΥΡ.} Ἀπολισθήσαντα δὲ τῆς πρὸς αὐτὸν οἰκειότητος τὸν Ἰσραὴλ, ἐπεί τοι τὴν πίστιν οὐ προσηκάμενος, οὐκ ἔγνω Θεὸν, οὐχ ἑτέρως ἐπανήξειν εἰς τὸ ἀπαρχῆς εὖ μάλα φησὶν, πλὴν ὅτι διὰ μόνου Χριστοῦ, καταλήξαντα τῶν ἐθῶν τῶν κατὰ νόμον. Γέγραπται, δὲ αὖ· «Διότι ἡμέρας πολλὰς καθίσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων· καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐπιζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτων τούτων τῶν ἡμερῶν.» Ὅταν γὰρ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται· πλὴν ἐν Χριστῷ· κατωνόμασται δὲ Δαβὶδ διὰ τὸ ἐκ σπέρματος εἶναι καὶ ἐκ φυλῆς τοῦ Δαβίδ. Ἀναιρεθήσεσθαι δὲ καὶ αὐτὰς τὰς κατὰ νόμον θυσίας διεβεβαιοῦτο σαφῶς διὰ Ἰωὴλ λέγων· «Περιζώσασθε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ κόπτεσθε οἱ ἱερεῖς, θρηνεῖτε οἱ λειτουργοῦντες θυσιαστηρίῳ, εἰσέλθετε, ὑπνώσατε ἐν σάκκοις λειτουργοῦντες Θεῷ· ὅτι ἀπέσχικεν ἐξ οἴκου Θεοῦ ὑμῶν θυσία καὶ σπονδή.» Καὶ πάλιν δι' αὐτοῦ τοῦ προφήτου· «Ἐξῆρται θυσία καὶ σπονδὴ ἐξ οἴκου Κυρίου· πενθεῖτε οἱ ἱερεῖς λειτουργοῦντες τῷ θυσιαστηρίῳ.» Καὶ πρός γε δὴ τούτοις, καὶ αὐτὴν ἐκ μέσου γενήσεσθαι τὴν σκηνὴν ὑπισχνεῖτο, λέγων· «Καὶ ἔσται, ἐὰν πληθυνθῆτε, καὶ αὐξηθῆτε ἐπὶ τῆς γῆς, λέγει Κύριος, ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἐροῦσιν ἔτι, Κιβωτὸς διαθήκης Κυρίου ἁγίου Ἰσραὴλ οὐκ ἀναβήσεται ἐπὶ καρδίαν, οὐδὲ ὀνομασθήσεται, οὐδὲ ἐπισκεφθήσεται, καὶ οὐ ποιηθήσεται ἔτι.» Ἀνατετραμμένης γὰρ εἰς τὸ παντελὲς τῆς ἐν τύποις ἔτι καὶ δι' αἱμάτων θυσίας, ἀνάγκη πως ἦν, καὶ αὐτὴν ἐκ μέσου ποιεῖσθαι τὴν σκηνὴν, ἅτε δὴ τῆς ἀληθεστέρας ἀντεγηγερμένης, τοῦτ' ἔστι, τῆς Ἐκκλησίας, ὑπὲρ ἧς καὶ αὐτὸς ἔφη Χριστός· «Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.» Καὶ ὅτι μεταχωρήσει καὶ μεταστήσεται πρὸς τὸ ἄμεινον τῆς λατρείας ὁ τρόπος πρὸς τὴν ἐν Χριστῷ καὶ νέαν, σαφὲς ἂν γένοιτο, γράφοντος ἡμῖν περὶ Θεοῦ τοῦ Μαλαχίου· «Καὶ καθαριεῖ τοὺς υἱοὺς Λευῒ, καὶ χεεῖ ἐπ' αὐτοὺς ὥσπερ τὸ χρυσίον, καὶ ὡς ἀργύριον· καὶ ἔσονται τῷ Κυρίῳ προσάγοντες θυσίαν ἐν δικαιοσύνῃ, καὶ ἀρέσει τῷ Θεῷ ἡ θυσία Ἰούδα, καὶ Ἰερουσαλὴμ, καθὼς ἡ ἡμέρα τοῦ αἰῶνος, καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν.» Συνίης δὴ οὖν, ὅτι μονονουχὶ μεταχάλκευσίν τινα καὶ ἀναπλασμὸν ἱερωσύνης τε ἅμα καὶ θυσιῶν ἔσεσθαί φησι; {ΠΑΛΛ.} Συνίημι. {ΚΥΡ.} Τὸ γάρ τοι, χεεῖ καὶ καθαρίσει, καθάπερ ἐπὶ χρυσοῦ τε καὶ χρυσουργοῦ λελεγμένον, ἆρ' οὐχὶ πρὸς τοῦτο ἐννοιῶν ἡμᾶς ἰέναι βούλεται; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ὅτι γὰρ ἔμελλε νοητῶς τοιοῦτόν τι κατορθοῦν, ἐνανθρωπήσας ὁ Λόγος, πεπληροφόρηκεν εἰπὼν ὁ Θεὸς καὶ Πατὴρ, ὅτι «Ἐξαίφνης ἥξει εἰς τὸν ναὸν 68.229 αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. Ἰδοὺ ἔρχεται, λέγει Κύριος παντοκράτωρ· καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων. Καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον, καὶ ὡς τὸ χρυσίον·» Καινουργίαν οὖν ἄρα καὶ ἀναπλασμὸν τῆς ἱερωσύνης ἔσεσθαί φησιν· καὶ τόν γε τῆς λειτουργίας τρόπον, οὐχ ἕτερόν τι παραδεικνὺς, πλὴν ὅτι, τουτὶ Χριστοῦ μυστήριον. Ἔφη πάλιν διὰ φωνῆς Ἰεζεκιὴλ περὶ τῶν ἱερῶσθαι κεκληρωμένων· «Οὗτοι προσάξουσι πρὸς μὲ τοῦ λειτουργεῖν μοι, καὶ στήσονται πρὸ προσώπου μου τοῦ προσφέρειν μοι θυσίαν, στέαρ καὶ αἷμα, λέγει Κύριος ὁ Θεός. Οὗτοι εἰσελεύσονται εἰς τὰ ἅγιά μου, καὶ οὗτοι προσελεύσονταί μοι πρὸς τὴν τράπεζάν μου, τοῦ λειτουργεῖν μοι.» Καὶ στέαρ καὶ αἷμα καὶ τὰς ἐπὶ τῇ τραπέζῃ λειτουργίας, ἆρ' οὐχὶ φαῖεν ἂν εἰκότως, τὸ Χριστοῦ μυστήριον; {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ἀριδηλότατον δὲ καὶ αὐτὸν ἡμῖν τὸν καιρὸν, καθ' ὃν ἡ πάντων ἐπὶ τὸ ἄμεινον ἔσται μεταδρομὴ τῆς καινουργίας ὁ τρόπος, ἐποίει λέγων ὁ Θεός· «Καὶ ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν, καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος.» Ἡμέραν δὲ τὴν ὀγδόην τὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἀναστάσεως ὀνομάζει καιρόν· καθ' ὃν τὰ ὁλοκαυτώματα, τοῦτ' ἔστιν, ἡ τελεία καὶ ὁλοσχερὴς εἰς Θεὸν ἀφιέρωσις τῶν πεπιστευκότων, δεκτὴ τῷ Θεῷ, καὶ δωροφορία πνευματική. Καὶ τοῦτο διδάσκει γράφων ὁ θεσπέσιος Παῦλος· «Δι' αὐτοῦ οὖν ἀναφέρομεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ· τοῦτ' ἔστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ.» Καὶ πάλιν· «Τῆς δὲ εὐποιίας καὶ κοινωνίας μὴ ἐπιλανθάνησθε. Τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.» Καρποὶ γὰρ οἱ πρὸς ἡμῶν τῷ Θεῷ τῶν ἐν πίστει δεδικαιωμένων, τίνες ἂν εἶεν ἕτεροι, πλὴν ὅτι δοξολογία μακρὰ καὶ διηνεκής; Καὶ θῦμα τὸ καθαρώτατον τῆς ἀμωμήτου ζωῆς, ἡ ἀπαράβλητος εὐωδία. {ΠΑΛΛ.} Παγκάλως ἡμῖν ὁ λόγος ἔχει, καὶ ἀληθὲς, ὅτι δικαιοῦταί τις ἥκιστα μὲν ἐν νόμῳ, διὰ πίστεως δὲ μᾶλλον τῆς ἐν Χριστῷ, καὶ μυσταγωγίας εὐαγγελικῆς. Ἐθέλοιμι δ' ἂν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δι' ἐναργῶν ἡμῖν ἰέναι παραδειγμάτων τὴν ἀφήγησιν, καὶ ἐξ αὐτῶν τούτων μαθεῖν τῶν ἱερῶν Γραμμάτων. {ΚΥΡ.} Οὐκοῦν, ὦ φιλότης, εἶμι μὲν ἐγὼ πρὸς τοῦτο ἑτοίμως, ἐπεί σοι δοκεῖ. Σὺ δὲ δή μοι πάλιν τὸν ἀκριβῆ τε καὶ ἀπεξεσμένον ἐφ' ἑκάστῳ τῶν θεωρημάτων ἐξέταζε νοῦν. Καὶ εἴ σοί τι δόξαιμι μὴ λίαν ὀρθῶς νοεῖν, ἢ λέγειν, νηφαλίως ἐπανόρθου καὶ μεθόρμιζε σαφῶς, τοὺς τῶν τεκτόνων ἀρίστους ἀπομιμούμενος, οἳ ἐπειδὰν ἐξήκοι τοῦ καθήκοντος λόγου 68.232 τὸ ἐν χερσὶ, μεταρυθμίζουσιν εὐτέχνως ἐπὶ τὸ ὡς ἄριστα ἔχειν δοκοῦν. Ἀπαρχὴν δὲ ὥσπερ τινὰ τῶν εἴς γε ταυτὶ ποιησόμεθα λόγων τὸν ἱεροφάντην Μωσέα, καὶ τῆς κατ' αὐτὸν ἱστορίας ἐπιδρομάδην ἁψάμενος, πληροφορεῖν εὖ μάλα πειράσομαι, καὶ καταδεῖξαι σαφῶς, τετελειωκότα μὲν τὸν νόμον οὐδὲν, οὔτε μὴν ἀποχρῶντα πρὸς σωτηρίαν· λυτρωτὴν δὲ τῶν ὅλων καὶ σωτῆρα Χριστόν. {ΠΑΛΛ.} Οὐ μετρίαν ἴσθι τοι διδοὺς τὴν ὄνησιν, ὄκνου κρείττονα σαυτὸν κἂν τούτῳ δεικνύς· δυσέφικτα μὲν γὰρ τὰ ἐν χερσὶ λίαν, καὶ δυσκάτοπτος κομιδῇ τῶν ζητουμένων ἡ γνῶσις, πλούσιός γε μὴν ὁ ἐκκαλύπτων Θεός. {ΚΥΡ.} Εὖ λέγεις, καὶ δή με κυσὶ ταῖς εὐρινωτάταις ἐν ἴσῳ, κατ' ἴχνος ἰέναι λοιπὸν τῶν ἐν βάθει τε καὶ ἀφανεστέρων ἐννοιῶν, ὁ σὸς παραθήγει λόγος. Οὐκοῦν ἐν ἐρήμῳ ποτὲ τῇ κατὰ τὴν καλουμένην Μαδιὰμ, οἴων ἀγέλας διαποιμαίνοντι τῷ μακαρίῳ Μωσῇ πρὸς αὐταῖς τε ταῖς ὑπωρείαις ὄντι τοῦ ὄρους Χωρὴβ, χρῆμά τι ξένον καὶ οὐκ ἀθαύμαστον Θεοῦ πληροῦντος ἐδείκνυτο. «Ὤφθη γὰρ αὐτῷ, «φησὶν,» ἄγγελος ἐν πυρὸς φλογὶ ἐκ βάτου· καὶ ἑώρα ὅτι ὁ βάτος ἐκαίετο πυρὶ, ὁ δὲ βάτος οὐ κατεκαίετο. Εἶπε δὲ Μωσῆς· Παρελθὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο, ὅτι οὐ κατακαίεται ὁ βάτος.» Ξύλον δὲ οὐχὶ τῶν ἡμέρων ὁ βάτος, ἀγρίας δὲ μᾶλλον ἀκάνθης εἶδος, καὶ ὀρεσιτρόφου ῥίζης, ἐφ' ᾗ τὸ φρικτὸν ἐπράττετο θαῦμα, μυστηρίου τύπον εὖ μάλα πληροῦν. Ἄγγελος γὰρ ἦν ὡς ἐν εἴδει πυρὸς ὅλον διόλου καταβοσκόμενος, αἴσθησιν δὲ τῷ ξύλῳ μηδεμίαν ἐντιθεὶς τῆς τοῦ πυρὸς ἐνεργείας, ἐν ἴσῳ δὲ ὥσπερ εἰ καὶ μὴ παρῆν, μηδ' ὅσον εἰπεῖν θερμασίας που τάχα τῆς ὡς ἐκ πυρὸς τοῦ ξύλου μετεσχηκότος. {ΠΑΛΛ.} Τί οὖν τοῦτό γε; {ΚΥΡ.} Ξύλῳ γὰρ ὥσπερ ἀγρίῳ γεγονότι τῷ Ἰσραὴλ, καὶ καρποὺς ἡμέρους δικαιοσύνης οὐκ ἔχοντι· τοῖς γὰρ Αἰγυπτίων ἐτρέφοντο νόμοις· ὁ δι' ἀγγέλων ἔμελλε δοθήσεσθαι νόμος, φωτίζειν μὲν ἱκανὸς, εἰ γοῦν νοοῖτο πνευματικῶς, καὶ τὸν εἰς νοῦν ἀποπέμψαι σκότον, ἐνέργεια γὰρ καὶ ἥδε πυρὸς, πλὴν τοῖς λαβοῦσιν ἀνόνητος, καὶ οὔτι που πάντως δι' ἑαυτὸν, ἀλλ' ἐπεί τοι τὸ φῶς μὴ εἰς νοῦν ἐδέχοντο καὶ καρδίαν, οἱ πρὸς οὓς ὁ λόγος, ἔξωθεν δὲ ὥσπερ φωτισμοῦ δόκησιν τὸ γράμμα πλουτήσαντες, ὅπερ ἔχειν ἐνόμιζον, οὐκ εἶχον ἀληθῶς. Τοιγάρτοι περὶ τὸν βάτον μὲν ὁρᾶσθαι τὸ πῦρ, μὴ μὴν ἔτι καὶ θερμασίας αἴσθησιν ἐνιέναι τῷ ξύλῳ, παραδηλοῖ τι τοιοῦτον ὥς γέ μοι δοκεῖ. Ὅτι δὲ ἀνόνητον Ἰουδαίοις τὸ ἐκ τοῦ νό-μου γέγονε φῶς, σαφηνιεῖ λέγων αὐτὸς ὁ Σωτήρ· «Ἐρευνᾶτε τὰς Γραφὰς ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. Καὶ οὐ θέλετε ἐλθεῖν πρὸς μὲ, ἵνα ζωὴν αἰώνιον ἔχητε.» Καὶ μεθ' ἕτερα πάλιν, πρὸς τοὺς τῶν Ἰουδαίων καθηγητὰς, καὶ πρὸς πάντα δὲ τὸν λαόν· «Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μω 68.233 σῆς, ἐφ' ὃν ὑμεῖς ἠλπίκατε· εἰ γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Εἰ δὲ τοῖς ἐκείνου ῥήμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε;» Οἱ γὰρ ὅλως τὴν διὰ νόμου στοιχείωσιν ἀμαθέστατα διωθούμενοι, πῶς ἂν εἰσδέξαιντο διὰ Χριστοῦ, τοῦ τελείως ἀγαθοῦ τὴν γνῶσιν εἰσφέροντα; Καιόμενον μὲν βλέπων, καταφλεγόμενον δὲ οὐχὶ τὸν βάτον, ἀλλ' οὐδὲ εἴκοντα τῷ πυρὶ, κατετεθήπει λοιπὸν ὁ μακάριος Μωσῆς, τί ὅτι οὐ κατακαίεται ὁ βάτος. Καταπλαγείη γὰρ ἄν τις τῆς εἰσάπαν ἀναισθησίας τὸν Ἰσραὴλ, οἱ συλλήπτορά τε καὶ ἀρωγὸν τὸν παρὰ Θεοῦ δεξάμενοι νόμον, καὶ τὸν δι' αὐτοῦ φωτισμὸν πλουτήσαντες, εἶτα λόγου μηδενὸς ἀξιοῦντες τὸ χρῆμα, μήτε μὴν εἰς νοῦν καὶ καρδίαν εἰσοικισάμενοι τὸ δοθὲν, ἀνωφέλητοι μεμενήκασι· νεκρὸς γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὥσπερ αὐτοῖς εἰκότως καὶ ἀπεψυγμένος ὁ νοῦς· εἴποι δ' ἄν τις καὶ ἐπ' αὐτοῖς εἰκότως· Τί ὅτι οὐ κατακαίεται ὁ βάτος; ἦ γὰρ ἂν ἐγένοντο μεθ' ἡμῶν τῷ πνεύματι ζέοντες. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἔοικε δὲ καὶ ἑτέρων ἡμῖν ἐννοιῶν οὐκ ἀμαθῆ θεωρίαν ὑποφαίνειν τὸ χρῆμα. Μέλλουσι γὰρ ἤδη τοῖς ἐξ Ἰσραὴλ γῆς τῆς Αἰγυπτίων ἀπαίρειν, καὶ οἷον οὐδέπω τὸν τῆς ἀνεθελήτου θητείας ἀποσείεσθαι ζυγὸν, διάτοι τοῦτο ταῖς τοῦ κρατοῦντος ἔτι προσκρούειν ὀργαῖς σημεῖον ἐδίδου Θεὸς τὸ ἐπὶ τοῦ βάτου δρώμενον· ὅτι καὶ αὐτοῦ πυρὸς ἀμείνους ἔσονται πολὺ, καὶ τοῖς ἀδικεῖν ἰσχύουσιν οὐχ ἁλώσιμοι, κατά γε τὸ, οἶμαι, θεοπρεπῶς εἰρημένον· «Μὴ φοβοῦ, ὅτι μετὰ σοῦ εἰμι. Φλὸξ οὐ κατακαύσει σε, ποταμοὶ οὐ συγκλείσουσί σε.» {ΠΑΛΛ.} Εὐφυὴς ὁ λόγος. {ΚΥΡ.} Οὐκοῦν ἐτεθήπει μὲν ὧδε τὸ ὅραμα Μωσῆς· καὶ δὴ καὶ προσέθει τὸ ἀγχοῦ γενέσθαι ποθῶν. «Ὡς δὲ εἶδε, φησὶ, Κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν ἐκ τοῦ βάτου, λέγων· Μωσῆ, Μωσῆ. Ὁ δὲ εἶπε· Τί ἐστι; Μὴ ἐγγίσῃς ὧδε, λύσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί.» Νόμου δὲ τύπος ἡμῖν ὁ μακάριος ἔσται Μωσῆς· «Μωσέα γὰρ ἔχουσι καὶ τοὺς προφήτας,» ἐν εὐαγγελικοῖς θεσπίσμασί φησιν ὁ μακάριος Ἀβραάμ. Μή πως ἀπίθανόν σοι τὸ ῥῆμα δοκεῖ; {ΠΑΛΛ.} Οὐ μὲν οὖν· νόμου γὰρ πρόσωπον ὁ Μωσῆς. {ΚΥΡ.} Κέκληται τοίνυν ὁ Ἰσραὴλ, καὶ ἡ κατὰ νόμον καὶ ὑπὸ νόμον ἀγέλη. «Κύριος γὰρ,» φησὶν, «ὁ Θεὸς τῶν Ἑβραίων προκέκληται ἡμᾶς.» Καὶ ὑπήκουσε μὲν τῷ καλοῦντι Θεῷ, καθὰ καὶ ὁ Μωσῆς· «Πάντα γὰρ ὅσα εἶπε Κύριος ὁ Θεὸς, ποιήσομεν, καὶ ἀκουσόμεθα.» Ἐπειδὴ δὲ καὶ τῆς κατὰ νόμον ὑποταγῆς ἡ δύναμις οὐχ ἱκανὴ πρὸς κάθαρσιν, «Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ὑφαιρεῖν ἁμαρτίας·» 68.236 εἴργεται Μωσῆς πλησιάζειν Θεῷ· «Μὴ ἐγγίσῃς γὰρ ὧδε,» φησίν. Ἀπρόσιτον γὰρ διὰ νόμου τὸ ἀγαθόν· καὶ τῆς κατὰ Μωσέα πολιτείας ἡ δύναμις οὐχ ἱκανὴ λίαν εἴς γε τὸ ἀποκομίζειν δύνασθαι τῷ Θεῷ. Παρίστησι δὲ αὐτῷ δι' ἁγιασμοῦ Χριστός. Ἁγίους γὰρ εἶναι πρέπει τοὺς τῷ ἁγίῳ Θεῷ κολλᾶσθαι σπουδάζοντας· «Ἅγιοι γὰρ ἔσεσθε, φησὶν, ὅτι ἐγὼ ἅγιός εἰμι.» Ὅτι δὲ τῆς κατὰ νόμον πολιτείας ὁ τρόπος οὐκ ἀμώμητος παντελῶς, εὐθὺς ἐδίδαξεν, εἰπών· «Λύσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστίν.» Ἀπολύειν γὰρ τὸ ὑπόδημα προστέταχε τοῦ ποδὸς τὸν ἱεροφάντην Μωσέα, οὔπω καθαρὰν, οὐδὲ τῶν ἀπὸ φθορᾶς καὶ νεκρότητος ἔργων εἰσάπαν ἀπηλλαγμένην, τῆς κατὰ νόμον ζωῆς τὴν πορείαν ἀποδεικνὺς, ἀπὸ δὲ τῆς παρ' Ἕλλησι συνηθείας ὁ θεῖος ἡμῖν ἐπαιδεύετο Μωσῆς, ὅτι μὴ θέμις ἐγγίζειν Θεῷ, τὸν ἐν λειψάνοις ὄντα νεκρότητος καὶ φθορᾶς. Οὐ γὰρ ἐφοίτων ἐν ἱεροῖς τὰ ἐκ τεθνεώτων ζώων ὑποδήματα τοῖς ποσὶν ἐνδυόμενοι. Μολυσμοῦ δὲ τρόπος τοῖς ἐκείνων νόμοις τὸ χρῆμα ἐγράφετο. Νεκρότητος δὲ καὶ φθορᾶς καὶ τῶν εἰς τοῦτο ἡκόντων ἀκαθαρσίας ἀπέλυσεν ἡμᾶς οὐχ ὁ νόμος, ὦ τᾶν, οὐδὲ πορεία ζωῆς τῆς κατὰ τὸ γράμμα τὸ Μωσαϊκὸν, πίστις δὲ μᾶλλον ἡ ἐν Χριστῷ, καὶ τῆς εὐαγγελικῆς πολιτείας ἡ τελειοτάτη κάθαρσις. Ἢ οὐκ ἀληθὲς ὅ φημι; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Ἀπολύσαντι δὲ τὸ ὑπόδημα τοῦ ποδὸς, προσθεόντί γέ τε λοιπὸν, καὶ ἀγχοῦ γεγονότι, προσεφώνει Θεός· «Ἐγώ εἰμι ὁ Θεὸς τοῦ πατρός σου, Θεὸς Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακώβ. Ἀέστρεψε δὲ Μωσῆς τὸ πρόσωπον αὐτοῦ, φησίν· ηὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ Θεοῦ.» Ἀποθέμενοι γὰρ φρόνημα τὸ νεκρὸν, καὶ οἱονεὶ καθαρῷ τε καὶ ἐλευθέρῳ ποδὶ τῆς ἐν Χριστῷ πολιτείας διαστείχοντες τὴν ὁδὸν, ἐσόμεθα μὲν ἀγχοῦ τῷ Θεῷ, κατὰ σχέσιν δὲ δηλονότι τὴν πνευματικὴν, καὶ οὐχὶ κατά γε τὴν ἐν τόπῳ διάστασιν. Τύποι γὰρ ἐκεῖνα καὶ σκιὰ τὰ Μωσέως, οὕτω τε λοιπὸν τοὺς περὶ τῆς ἄνω μυσταγωγίας καταπλουτήσομεν λόγους, καὶ τὴν τοῦ Θεοῦ γνῶσιν ἐν ἑαυτοῖς συλλέξομεν, ἑαυτὸν ἡμῖν ἐμφανίζοντος ἐν Υἱῷ τοῦ Πατρός. Ὀψόμεθα γὰρ αὐτὸν, καὶ ἀσυγκρίτως ἄμεινον, ἢ ὁ πάλαι λαὸς, ὡς ἐν προσώπῳ Μωσέως. Ὁ μὲν γὰρ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ· ηὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ Θεοῦ. Δι' οὗ σημαίνεται τῶν ἐν νόμῳ παιδαγωγουμένων, τὸ τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διανοίας ἀσθενὲς, οὐκ ἀναμενούσης τρόπον τινὰ πρὸς Θεὸν, οὔτε μὴν οἵας τε ἰδεῖν τὴν δόξαν αὐτοῦ, κατά γε τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν,» ἤγουν ἐκεῖνο, τὸ «Ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν.» Ἡμεῖς δὲ τοῖς περὶ τῆς ἀῤῥήτου φύσεως προσιέντες λόγοις, καθαροῖς καὶ πεφωτισμένοις ὄμμασιν, ἐν Υἱῷ διαπρέπον τὸ τοῦ Θεοῦ καὶ Πατρὸς 68.237 καταθεώμεθα κάλλος. Καὶ οἰομένοις μὲν Ἰουδαίοις ὅτι τεθέανται τὸν Πατέρα, σοφῶς ἐλέγετο παρὰ Χριστοῦ· «Οὔτε εἶδος αὐτοῦ ἑωράκατε, οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε.» Φιλοπευστοῦντι δὲ τῷ Φιλίππῳ λίαν, καὶ παχύτερον μὲν ἢ ἐχρῆν, ἐκ φιλομαθείας δ' οὖν ὅμως ἐρομένῳ καὶ λέγοντι· «Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν,» ἀπεκρίνατο Χριστός· «Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν;» Ὅτι δέ ἐστιν οὐκ εὐσθενὴς ἄγαν, οὔτε μὴν ἱκανὴ πρὸς Θεοῦ κατάδειξιν ἀκριβῆ καὶ ἀμώμητον, ἡ διὰ τῆς κατὰ νόμον ἐντολῆς θεωρία τε καὶ παίδευσις, ὡς ἐν σκιᾷ καὶ αἰνίγματι καὶ διὰ ταῖν δυοῖν τοῦ Λάβαν ὀψόμεθα θυγατέροιν. Γέγραπται γὰρ, ὅτι Τῷ δὲ Λάβαν ἦσαν δύο θυγατέρες, ὄνομα τῇ μείζονι Λεία, καὶ ὄνομα τῇ ἑτέρᾳ Ῥαχήλ. Οἱ δὲ ὀφθαλμοὶ Λείας ἀσθενεῖς, Ῥαχὴλ δὲ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει σφόδρα· καὶ προσέκειτο μὲν τῇ Ῥαχὴλ ὁ πατριάρχης Ἰακὼβ, ἠγάγετο δὲ πρὸ αὐτῆς τὴν Λείαν. Μετοιχομένου δὴ οὖν εἰς τὸ ἀληθὲς τοῦ τύπου, τὸ Χριστοῦ κατόψει μυστήριον. Δύο γάρ εἰσιν αἱ πρὸς οἰκειότητα κεκλημέναι τὴν πνευματικὴν ἡρμοσμέναι τε αὐτῷ γυναῖκες· πρεσβυτέρα μὲν, ἡ πρώτη, καὶ διὰ Μωσέως ὡς ἐν προσώπῳ τῆς Ἰουδαίων συναγωγῆς, πρὸς ἣν εἴρηται παρὰ Θεοῦ διὰ φωνῆς προφητῶν· «Ἰδοὺ οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου, οὐδὲ ἡ καρδία σου καλὴ, ἀλλ' ἢ εἰς τὴν πλεονεξίαν σου καὶ εἰς τὰ ἀδικήματά σου, καὶ εἰς φόνον τοῦ ποιεῖν.» Δευτέρα δὲ ἦν ἡ νεᾶνις καὶ ἐκπρεπεστέρα, τοῦτ' ἔστιν, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, πρὸς ἣν ὁ θεῖος ἔφη Δαβίδ· «Ἄκου-σον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· ὅτι ἐπεθύμησεν ὁ Βασιλεὺς τοῦ κάλλους σου.» Εἴρηται δέ που πρὸς αὐτὴν καὶ τὸ, «Οἱ ὀφθαλμοί σου περιστεράς.» Νοητὸν δὲ δή που καὶ ὑπερκόσμιον ἀληθῶς τῆς Ἐκκλησίας τὸ κάλλος. Γέγραπται γὰρ, ὅτι «Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως, Ἐσεβών.» Τὸ δὲ, Ἐσεβὼν, ἔσωθέν ἐστιν Ἑβραίων φωνῇ· σώματος μὲν γὰρ ὀφθαλμοῖς οὐχ ἁλώσιμον, καθαροῦ δὲ νοῦ προσβολαῖς εὐκάτοπτον. Ἢ οὐχ ὧδε ἔχει; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Οὐκοῦν οὐ διὰ τῆς κατὰ νόμον παιδαγωγίας κατίδοι τις ἂν τὸ θεῖόν τε καὶ ἀκήρατον κάλλος, ἐν Χριστῷ δὲ μᾶλλον καὶ τοῖς δι' αὐτοῦ παιδεύμασιν. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἱκανὸς δὲ πρὸς λύτρωσιν, ὦ Παλλάδιε, καὶ πρός γε τὸ δύνασθαι χειρός τε καὶ τυραννίδος ἐξελέσθαι διαβολικῆς, οὐχὶ Μωσῆς, ἢ νόμος, ἀλλ' ὁ Μωσέως Δεσπότης, τοῦτ' ἔστι Χριστὸς, καὶ μυστηρίου τοῦ κατ' αὐτὸν ἡ δύναμις. Καὶ γοῦν Θεοῦ λέγοντος· «Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου ἐν Αἰγύπτῳ, καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν· οἶδα γὰρ ὀδύνην αὐτῶν, καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς τῶν Αἰγυπτίων, ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης εἰς γῆν ἀγαθὴν καὶ πολλὴν, εἰς 68.240 γῆν ῥέουσαν γάλα καὶ μέλι.» Καὶ προστιθέντος εὐθύς· «Καὶ νῦν ἰδοὺ ἡ κραυγὴ τῶν υἱῶν Ἰσραὴλ, ἥκει πρός με· κἀγὼ ἑώρακα τὸν θλιμμὸν, ὃν οἱ Αἰγύπτιοι θλίβουσιν αὐτούς· καὶ νῦν δεῦρο, ἀποστελῶ σε πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐξάξεις τὸν λαόν μου, τοὺς υἱοὺς Ἰσραὴλ, ἐκ γῆς Αἰγύπτου·» σαφῶς δὲ καὶ διαῤῥήδην ἀνεκεκράγει Μωσῆς· «Τίς εἰμι ἐγὼ, ὅτι πορεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου;» Ἆρ' οὖν οὐκ ἐναργὴς ὁ τύπος, καὶ ὁ τῆς παραιτήσεως τρόπος οὐχὶ τὴν ἀναφορὰν ἐπὶ τὸ ἀσυγκρίτως ὑπερτεροῦν καὶ ὑπερκείμενον ἔχει, τοῦτ' ἔστι, Χριστόν; Ὡς τὸ, «Τίς εἰμι ἐγώ;» λέγειν ἀνάρμοστον· εὐπετὲς δὲ λίαν τὸ ἐξελέσθαι λαοὺς, καὶ σώζειν ἔθνη, καὶ ἀποκομίζειν εἰς ἐλευθερίαν, συντετριμμένου καὶ ἀτονήσαντος, τοῦ πρὸς δουλείαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνέχοντος τοῦτ' ἔστι, τοῦ Σατανᾶ. {ΠΑΛΛ.} Εὐπετέστατον· ἔφης γὰρ ὀρθῶς {ΚΥΡ.} Τί δέ; οὐχὶ κἀντεῦθεν ἰδεῖν ἀταλαίπωρον παντελῶς, ὅτι τῆς ἁπάντων σωτηρίας πρύτανις γέγονεν ὁ Μονογενής; δι' αὐτοῦ, γὰρ ἐκλελυτρώμεθα, καί φησιν ὁ προφήτης· «Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς.» {ΠΑΛΛ.} Πόθεν ἔφης; {ΚΥΡ.} Ὁ μὲν γὰρ τῶν ὅλων Θεὸς Μωσῇ κεκέλευκεν ἐναργῶς, ἀοκνότατα μὲν ἰέναι πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, εἰπεῖν δὲ ἀναφανδὸν ὡς ἀρωγὸν καὶ συλλήπτορα τὸν πάντα ἰσχύοντα λαβόντες Θεὸν, ἀποφορτιοῦνται μὲν εὐκόλως τῆς ἐν Αἰγύπτῳ δουλείας τὸ δυσαχθὲς, οἴκαδέ γε μὴν ἀπαίρουσι πάλιν, καὶ εἰς τὴν τῶν πατέρων ἐλευθερίαν ἀναφοιτήσαντες, τὴν ἁγίαν οἰκήσουσι γῆν· ἐκεῖ τε πλουσίως τοῖς παρ' αὐτοῦ δοθησομένοις ἐνσπαταλήσωσιν ἀγαθοῖς. Ἀπεκρίθη, φησὶν, ὁ Μωσῆς καὶ εἶπεν· «Ἐὰν μὴ πιστεύσωσί μοι, μηδὲ ἀκούσωσί μου τῆς φωνῆς (ἐροῦσι γὰρ, ὅτι Οὐκ ὦπταί σοι ὁ Θεὸς), τί ἐρῶ πρὸς αὐτούς; Εἶπε δὲ αὐτῷ ὁ Κύριος· Τί τοῦτό ἐστι τὸ ἐν τῇ χειρί σου; Ὁ δὲ εἶπε, Ῥάβδος· καὶ εἶπε· Ῥίψον αὐτὴν ἐπὶτὴν γῆν. Καὶ ἔῤῥιψεν αὐτὴν ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ὄφις· καὶ ἔφυγε Μωσῆς ἀπ' αὐτοῦ. Καὶ εἶπε Κύριος πρὸς Μωσῆν· Ἔκτεινε τὴν χεῖρά σου, καὶ ἐπιλαβοῦ τῆς κέρκου. Καὶ ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο τῆς κέρκου, καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ.» {ΠΑΛΛ.} Ὡς ἐξαίσιον μὲν τὸ θαῦμα, ὦ τᾶν. Τὸ δὲ τί ἂν βούλοιτο καταδηλοῦν, φράζε δὴ πάλιν αὐτός. {ΚΥΡ.} Ἐγὼ φράσω· Μακροὺς Αἰγυπτίοις συνδιαιτώμενοι χρόνους οἱ ἐξ Ἰσραὴλ, καὶ εἰς πᾶν εἶδος ἁμαρτίας ὠλισθηκότες, καὶ τρυφαῖς ἡδόμενοι ταῖς ἐπιχωρίοις, βραδεῖς μὲν ὅτι καὶ δυσμετακόμιστοι λίαν ἔσονται πρὸς εὐκοσμίαν, οὐκ ἠγνόησεν ὁ Μωσῆς· συνωθήσει δὲ ὅτι πρὸς εὐπείθειαν τῶν ἔργων ὁ πόνος οὐχ ἑκόντας αὐτοὺς, εἰ θαυματουργοῦντα θεάσαιντο, σοφῶς ὑπελάμβανε. Χρῆμα μὲν γὰρ ἄλη 68.241 θῶς δυσεξίτητον ἡδονὴ, καὶ παθῶν ἀγριότης τῶν ἐν ἡμῖν οὐκ εὐχερῶς τιθασσεύεται. Ἱδρῶτος δὲ καταθλίβοντος καὶ πόνων ἐπηρτημένων, ἀναπείσειεν ἂν εὐκόλως καὶ τῶν ἡδίστων ὑπερφρονεῖν ὁ ἀπαλλάττειν ὑπισχνούμενος· οἶμαι δὲ ὅτι καὶ ὁ παντὸς ἀγαθοῦ τὴν εἴδησιν ἔχων Θεὸς, δύσοιστόν τε καὶ δυσαλγῆ τότε δὴ μάλιστα τοῖς ἐξ Ἰσραὴλ τὴν τῶν Αἰγυπτίων ἐπηφίει πλεονεξίαν οἰκονομικώτατά τε λίαν, ὡς ἂν εἶεν εὔκολοι πρὸς ἀποδρομὴν, καὶ μὴ ταῖς συντρόφοις ἡδοναῖς ἐνδούμενοι, σκληροί τε γένοιντο καὶ δυσάγωγοι κομιδῇ, καὶ τὴν τοῦ καλοῦντος εἰς ἐλευθερίαν ἀτιμάζοντες χάριν, ἐθελούσιον ποιοῖντο τὴν ἐν Αἰγύπτῳ θητείαν, τὸ παραυτίκα τερπνὸν, ὀλίγων ἔσθ' ὅτε προτάττοντες πόνων. Μᾶλλον δὲ καὶ αὐτῶν ἐν ἀμείνοσι καταλογιζόμενοι τῶν παρὰ Θεοῦ, καὶ γοῦν ἀσμενέστατα τῆς τῶν πάλαι τετυραννευκότων πλεονεξίας ἐκδεδυκότες, αὐλιζόμενοί τε κατὰ τὴν ἔρημον, καὶ τὰ ἄνωθέν τε καὶ ἐξ οὐρανοῦ σιτούμενοι, τὴν τοῦ μάννα χορηγίαν φημὶ, τῆς ἐν Αἰγύπτῳ τρυφῆς οὐκ ἀδακρυτὶ μνημονεύουσιν. Ἐκτεθνάναι μᾶλλον, ὡς ἦν δή που παρὰ πολὺ κρεῖττόν τε καὶ ἄμεινον αὐτοῖς, ταῖς ἐν Αἰγύπτῳ τραπέζαις ἐνσπαταλῶντας, ἔτι διατεινόμενοι, καὶ μειρακιωδῶς ἀνακεκραγότες· «Ὄφελον ἀπεθάνομεν πληγέντες ὑπὸ Κυρίου ἐν Αἰγύπτῳ, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν καὶ ἠσθίομεν ἄρτους εἰς πλησμονήν!» {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Οὐκοῦν ὡς ἀναγκαία τις ἔσοιτο πρὸς εὐπείθειαν αὐτοῖς ἡ θαυματουργία, Μωσῆς ἠπίστατο. Τοιγάρτοι φησίν· «Ἐὰν μὴ εἰσακούσωσί μου (ἐροῦσι γὰρ, ὅτι Οὐκ ὦπταί σοι ὁ Θεὸς), τί ἐρῶ πρὸς αὐτούς;» Ὁ δέ γε τῶν ὅλων Θεὸς μελέτησιν ὥσπερ τινὰ ποιεῖσθαι τὸ θαῦμα παραχρῆμα διεκελεύετο· προαναπείθων, οἶμαι, τῇ πείρᾳ τὸν λειτουργὸν, ὅτι καὶ τοῖς ἄλλοις ἅπασι καθάπερ αὐτῷ πρὸς ἔνδειξιν ἀκριβῆ τοῦ κεκλῆσθαι παρὰ Θεοῦ, διαρκὲς ἔσται τὸ δρώμενον· καὶ ἁρμόσαι γὰρ ἂν οὐχ ἑτέρῳ τὸ μεθιστᾷν δύνασθαι τῶν ὄντων τὰς φύσεις πρὸς ὅπερ ἂν ἕλοιτο τυχὸν, πλὴν ὅτι καὶ μόνῳ τῷ πάντων Δημιουργῷ, μήνυσιν δὲ ὥσπερ τῆς διὰ Χριστοῦ σωτηρίας αἰνιγματωδῶς τὸ παράδοξον εὖ μάλα τιθείς. Ὀψόμεθα γὰρ τῆς ἐν αὐτῷ ἀνθρωπείας φύσεως τὸν εἰς τὸ ἀρχαῖον ἀναπλασμὸν, καὶ τὴν οἱονεὶ μεταμόρφωσιν, τὴν εἰς ὅπερ ἦμεν ἐν Ἀδὰμ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐθὺς εἰς τὸ εἶναι παρενηνεγμένοι, δόξης τε οὔπω τῆς ἄνωθεν καὶ ἁγιασμοῦ τητώμενοι. {ΠΑΛΛ.} Πῶς ἔφης; ἀσυμφανὴς γὰρ ὁ λόγος. {ΚΥΡ.} Ἡ ῥάβδος ἤτοι τὸ σκῆπτρον ἡμῖν, οὐχὶ βασιλείας σύμβολον εἴη ἂν, ὦ Παλλάδιε; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν, ἐπείτοι καὶ ὅρκιον αὐτὸ 68.244 πεποιῆσθαί φασι τῶν ἀρχαιοτέρων τινὰς, οἱ τὰ Ἑλλήνων ὑμνεῖν εἰωθότες. {ΚΥΡ.} Τί δέ; οὐχὶ παραδείσου φυτὸν εἶναι φῄς, καὶ πρεσβύτερον τῆς τομῆς, τὸ κήποις ἐκτεθηλέναι λαχεῖν; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Ἴθι δὴ οὖν ταῖς ἐννοίαις ἐπὶ τὸν ἀρχαῖον ἐκεῖνον Ἀδάμ· καὶ ἐν ἀπαρχῇ καὶ ῥίζῃ τοῦ γένους ὅλην ὥσπερ ἐν ἑαυτῷ καταλογίζου τὴν ἀνθρωπότητα. Καὶ πρός γε τοῦτο διανοοῦ, ὅτι πεποίητο μὲν κατ' εἰκόνα τοῦ κτίσαντος, ἐτέτακτο δὲ ἄρχειν τῶν ἐπὶ γῆς, καὶ ἦν ὥσπερ ἐν χειρὶ Θεοῦ, διὰ τῆς ἐν ἁγιασμῷ ζωῆς, καὶ μονονουχὶ παραδείσου φυτὸν εὐανθές τε καὶ εὐγενέστατον. Ἐπειδὴ δὲ ταῖς τοῦ ὄφεως πικρίαις πεφενακισμένος, παρεκομίσθη τῶν ἐν ἀρχαῖς, καὶ τῆς θείας ἀλογήσας ἐντολῆς κατεφωρᾶτο λοιπὸν, τότε δὴ, τότε θέσεώς τε καὶ ῥίζης τῆς πρώτης ἀποσπώμενος, τῆς τοῦ συνέχοντος εἰς ἁγιασμὸν ἀπώλισθε χειρὸς, καὶ καταπέπτωκεν εἰς γῆν, τοῦτ' ἔστιν, ἐκ τῶν τῆς ἀρετῆς ὑψωμάτων, καὶ καταπεφοίτηκεν ἀδρανῶς εἰς τὸ φρονεῖν ἑλέσθαι τὰ σαρκικὰ, ἄκρατον ἤδη που νοσήσας τὴν πονηρίαν, καὶ ὄφεως, οἶμαι, διενεγκὼν οὐδέν. Ἀπεγυμνοῦτο δὲ οὕτω βασιλείας καὶ δόξης τῆς ἐν ἀρχαῖς, ἐξεπέμπετό τε παραδείσου καὶ τρυφῆς. Ἦ γὰρ οὐχὶ ταυτὶ πρὸς ἡμᾶς ὁ θεῖος ἔφη Μωσῆς; {ΠΑΛΛ.} Ἔφη γὰρ οὖν. {ΚΥΡ.} Κατηγμένον δὲ ἤδη πρὸς τοῦτο φαυλότητος ὁ νομοθέτης ὁρῶν, ἀπέδρα τρόπον τινὰ, καὶ τὴν ἐνοῦσαν αὐτῷ πονηρίαν κατεμυσάττετο. Πέφευγε γὰρ ὁ Μωσῆς, τὸν ὄφιν ἀφείς. Γέγραπται δὲ, ὅτι «Ἅγιον Πνεῦμα σοφίας φεύξεται δόλον, καὶ ἀναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων.» Ἀσύμβατα γὰρ ἀλλήλοις ἁγιασμὸς καὶ ἀκαθαρσία, φῶς τε καὶ σκότος, δικαιοσύνη καὶ ἀδικία. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Τὸ τοίνυν ἀποπέσαι χειρὸς τῆς Μωσέως τὴν ῥάβδον, κατασημήνειεν ἂν, ὡς ἦν ἐν ἀρχαῖς ὁ κατ' εἰκόνα τὴν θείαν πεποιημένος παραδείσου φυτὸν, καὶ ἐν δόξῃ βασιλείας, καὶ ἐν χειρὶ τοῦ Δημιουργοῦ· κατώλισθε δὲ εἰς γῆν, διὰ τοῦ φρονεῖν ἑλέσθαι τὰ σαρκικὰ, καὶ διὰ τῆς εἰς ἄκρον ἡκούσης πικρίας, ὄφις ἦν ὥσπερ τις τοῖς τῆς θεότητος ὀφθαλμοῖς. Ἀλλ' ἐκελεύετο Μωσῆς ἐκτεῖναι τὴν χεῖρα, καὶ ἐπιλαβέσθαι τῆς κέρκου· ἀνεπλάττετο δὲ πρὸς τὸ ἐν ἀρχαῖς εὐθύς. Καὶ ὄφις μὲν ἦν οὐκέτι, ῥάβδος δὲ πάλιν, καὶ παραδείσου φυτόν. Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, καὶ ἀνακτίσαι τὸ ποιηθὲν εἰς τὸ ἀπαρχῆς, ἀπέστειλεν ἡμῖν ἐξ οὐρανοῦ τὸν Μονογενῆ, τὴν χεῖρα τὴν δεξιὰν, τὴν τῶν ὅλων ἐργάτιν καὶ σώτειραν ἀληθῶς, κατά γε τὸ, «Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με.» Τότε δὴ, τότε τῆς ἐν γῇ κειμένης ἀνθρωπότητος ἐπελάβετο καὶ πικρίας ἡμᾶς 68.245 ἀπαλλάξας θηριοπρεποῦς, τῆς ἐν φαυλότητι τε καὶ ἁμαρτίαις, ἀνεκόμισέ τε δι' ἁγιασμοῦ πρὸς βασιλίδα τιμὴν, καὶ ἡμερότητα τὴν εἰς ἀρετήν. Ἐνδιαίτημα δὲ τὸ ἀρχαῖον τοῖς πιστεύουσι διδοὺς ἐν ἀπαρχῇ καὶ πρώτῳ τῷ συγκεκρεμαμένῳ λῃστῇ· «Ἀμὴν, ἀμὴν λέγω σοι, φησὶ, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.» {ΠΑΛΛ.} Πεποίηται μὲν ὡς ἄριστά γε ἡμῖν καὶ ὀρθῶς ὁ λόγος. Πλὴν ἐκεῖνο φράσον, ἀνθ' ὅτου τῆς κέρκου λαβέσθαι κελεύει, καὶ οὐχὶ τῆς κεφαλῆς, ἢ μέσων. {ΚΥΡ.} Ὧδε γὰρ, ὦ φιλότης, ἐκπράττεσθαι ἐχρῆν· ἐπείτοι τὸ κέρκου λαβέσθαι, καὶ οὐχὶ μέσων ἢ κεφαλῆς, τῷ μυστηρίῳ χρήσιμον. {ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Ἀρχὴ μὲν γὰρ ὥσπερ παντὸς ζώου ἡ κεφαλὴ, κέρκος δὲ πέρας. Φέρε δὴ οὖν ὡς ἔτι ζῶον, τὸ σύμπαν ἡμῖν τοῦ ἀνθρώπου γένος καταλογιζέσθω πρὸς τὸ παρόν. Ἐπελάβετο τοίνυν τῆς κέρκου Χριστὸς, τοῦτ' ἔστι, τῶν ἐν ἐσχάτοις καὶ τελευταίων· καταπεφοίτηκε γὰρ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς. Ἀλλ' ὥσπερ εἰ καὶ τῆς κέρκου Μωσῆς ἐπελάβετο, καὶ μέχρι αὐτῆς ἀνέθει τῆς κεφαλῆς ὁ μεταπλασμὸς (μετεστοιχειοῦτο γὰρ ὁλοκλήρως εἰς ῥάβδον ὁ ὄφις)· κατὰ τὸν ἴσον τουτονὶ τρόπον, κἂν εἰ τῶν ἐσχάτων ἀντελάβετο Χριστὸς, ἀλλ' εἰς πᾶν διήκει τὸ γένος, καὶ μέχρις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῆς ἀφικνεῖται τῆς κεφαλῆς, τοῦτ' ἔστι, τοῦ Ἀδὰμ, ἡ διὰ χάριτος ἀναμόρφωσις. Γέγραπται γὰρ, ὅτι εἰς τοῦτο Χριστὸς ἀπέθανε καὶ ἀνέστη, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Οὐκοῦν τοῖς ἐσχάτοις καὶ ἡ τῶν ἐν ἀρχαῖς συγκατορθοῦται λύτρωσις. {ΠΑΛΛ.} Πιθανὸς ὁ λόγος ἐστί τε ἡμῖν, καὶ οὐκ ἀπὸ σκοποῦ τὸ διήγημα. {ΚΥΡ.} Ἑδραιότατον οὖν πρὸς τὴν ἐπὶ τῷδε πίστιν, καὶ δυσὶ δυνάμεσιν αὐτὸν ἑτέραις ἐποιεῖτο θεοσημείαις. Γέγραπται γὰρ εὐθύς· «Εἶπε γὰρ αὐτῷ Κύριος πάλιν· Εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον σου. Καὶ εἰσήνεγκε τὴν χεῖρα αὐτοῦ, καὶ ἐγενήθη ἡ χεὶρ αὐτοῦ λεπρῶσα ὡς χιών. Καὶ εἶπε πάλιν· Εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον σου. Καὶ εἰσήνεγκε τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ, καὶ ἐξήνεγκε τὴν χεῖρα αὐτοῦ ἐκ τοῦ κόλπου αὐτοῦ· καὶ πάλιν ἀποκατεστάθη εἰς τὴν χρόαν τῆς σαρκὸς αὐτοῦ.» Ἄθρει δὴ οὖν ὡς ἔστι θεοπρεπὲς, καὶ τῶν ἄγαν ἡκόντων εἰς τὸ θαυμάζεσθαι πρέπειν τὸ κατορθούμενον, συνωδίνον δὲ ὥσπερ τῷ πρώτῳ τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δήλωσιν. {ΠΑΛΛ.} Οὐκοῦν διασάφει· συνίημι γὰρ οὔτι πω. {ΚΥΡ.} Σαρκὸς μὲν ἡ λέπρα πάθος, ἄμεινον δὲ ἢ κατὰ ἰατροὺς, καὶ ταῖς παρ' ἐκείνων ἐμπειρίαις οὐχ ἁλώσιμον. Ἀνιερὸς δὲ καὶ ἀκάθαρτος ὁ λεπρὸς, κατά γε τὴν πάλαι διὰ Μωσέως ἐντολὴν, ἀπηχθημένος δὲ λίαν καὶ παρὰ τοῖς τὰ Ἑλλήνων τιμῶσιν ἔθη. Ἡμι 68.248 θνὴς γὰρ ἤδη πως ὁ τοῦτο παθὼν, βδελυρὸς δὲ καὶ ἀκάθαρτος ὁ νεκρός. Ἀνῆπται δὴ οὖν ὡς ὑπερφυὲς, καὶ τῶν καθ' ἡμᾶς ἐπέκεινα μέτρων, τὸ θεραπεῦσαι δύνασθαι λεπρὸν, ἢ μόνῃ τῇ θείᾳ καὶ ἀφράστῳ φύσει τε καὶ ἐνεργείᾳ. Τοιγάρτοι καὶ ἐθαυμάζετο Χριστὸς τῷ λελεπρωμένῳ μετ' ἐξουσίας ἐπιφωνῶν· «Θέλω, καθαρίσθητι.» Φωνὴ γὰρ ἡ παντουργὸς, ἡ καὶ αὐτοὺς ἐκ μνημάτων διανιστᾶσα τοὺς νεκροὺς, καὶ θανάτου κρεῖττον καὶ φθορᾶς, τὸ ἐπ' ἐκείνῳ θαῦμα πεπλήρωκε. Προστέταχε τοιγαροῦν ἐγκρύψαι τῷ κόλπῳ τὴν χεῖρα, εἶτα γυμνώσαντα τῆς τοῦ κόλπου περιβολῆς, ὅλην δι' ὅλου λεπρῶσαν αὐτὴν ἐπιδεῖξαι, πάλιν δὲ ἐγκρύψαντα τῷ κόλπῳ τὸ δεύτερον, τοῦ συμβεβηκότος ἀπηλλαγμένην καταδείκνυσιν εὐθύς· ὡς ἂν συνεῖεν ἐντεῦθεν οἱ ἐξ Ἰσραὴλ, ὡς ἀῤῥήτῳ τινὶ καὶ ἀφράστῳ δυνάμει μονονουχὶ τεθωρακισμένος, προστήσεται τῶν ἠδικημένων, καὶ ταῖς Αἰγυπτίων πλεονεξίαις ἀνοσίως ὑπεζευγμένων. Καὶ λόγος μὲν οὗτος οὐ βαθὺς, τῇ δὲ ἱστορίᾳ χρήσιμος. Χρῆναι δὲ οἶμαι τὴν τοῦ προκειμένου διάνοιαν ἐκβασανίζοντας ἀκριβῶς, ἐκεῖνο ζητεῖν, τί μὲν ἂν εἴη τὸ ἐν τῷ κόλπῳ συγκρύψαι τὴν χεῖρα· τί δὲ τὸ ἔξω γεγενημένην, καταλεπροῦσθαι δεινῶς· καὶ πρὸς τούτοις ἔτι τὸν τῆς καθάρσεως τρόπον. Ἐνιεὶς γὰρ δὴ τῷ κόλπῳ τὴν χεῖρα, τοῦ πάθους ἀπήλλαττεν. {ΠΑΛΛ.} Εὖ λέγεις. Ὀνήσειε γὰρ ἂν οὐ μετρίως ἡμᾶς ἡ ἐφ' ἑκάστῳ βάσανος. {ΚΥΡ.} Οὐκοῦν ἐμοί γε δοκεῖ τοιοῦτόν τι παραδηλοῦν ὡς ἐν σκιᾷ τὸ παράδοξον. Ἕως μὲν γὰρ ἦν ὁ κατ' εἰκόνα τὴν θείαν πεποιημένος ἄνθρωπος μονονουχὶ τιθηνούμενος ἐν κόλπῳ Θεοῦ, καὶ τὴν δοθεῖσαν οὔπω πατήσας ἐντολὴν, φειδοῖ καὶ ἀγάπῃ τῇ παρ' αὐτοῦ κατημφιεσμένος, καθαρὸς καὶ ἡγιασμένος, καὶ τὴν διὰ θανάτου νέκρωσιν οὐκ εἰδὼς διετέλει· Ἐπειδὴ δὲ τῆς ὑπὸ Θεῷ σκέπης τε καὶ φιλίας ἐκβέβηκε διὰ τῶν εἰς τὸ φαῦλον ἀπονευμάτων, ἀνίερός τε καὶ βδελυρὸς, καὶ τὴν τοῦ θανάτου νοσήσας ἀκαθαρσίαν, ἐναργῶς ἠλέγχετο. Εἰσδεξαμένου δὲ πάλιν ἡμᾶς ἐν Χριστῷ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ τῇ θείᾳ χάριτι περιβεβληκότος, καὶ οἱονεί που ἐν κόλποις ἔχοντος διὰ τῆς υἱοθεσίας, ὁμοῦ ταῖς ἀκαθαρσίαις καὶ τὴν ἐκ τῆς ἀρχαίας ἀρᾶς ἀποβαλόντες νέκρωσιν, εἰς τὸ ἐν ἀρχαῖς ἀναθρώσκομεν. Γέγραπται γὰρ περὶ τῆς Μωσέως χειρὸς, ὅτι «Ἀποκατεστάθη εἰς τὴν χρόαν τῆς σαρκὸς αὐτοῦ.» {ΠΑΛΛ.} Ἀστειότατα ἔφης. {ΚΥΡ.} Τὸ δὲ τρίτον ἡμῖν ἐπὶ τούτῳ σημεῖον, ἀριδηλότατα καὶ ἀναφανδὸν τὸ Χριστοῦ βοᾷ μυστήριον. Ἔφη γὰρ ὡδὶ πάλιν πρὸς Μωσέα Θεός· «Ἐὰν δὲ μὴ πιστεύσωσί σοι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσουσί σοι τῆς φωνῆς τοῦ σημείου τοῦ δευτέρου.» Καὶ δὴ τί τοῦτό ἐστι, διεσάφει, λέγων· «Καὶ ἔσται ἐὰν μὴ πιστεύσωσι τοῖς δυσὶ σημείοις τούτοις, μηδὲ εἰσακούσωσι τῆς φωνῆς σου, 68.249



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λήψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ, καὶ ἐκχεεῖς ἐπὶ τὸ ξηρὸν, καὶ ἔσται τὸ ὕδωρ, ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ, αἷμα ἐπὶ τοῦ ξηροῦ.» Τελευταῖον γὰρ τῷ κόσμῳ σημεῖον ὁ Χριστοῦ γέγονε θάνατος, καὶ ἡ διὰ τοῦ ὕδατός τε καὶ αἵματος κάθαρσις, προσκειμένου δηλονότι καὶ τοῦ ἁγίου σώματος, ὃ διὰ τῆς ξηρᾶς σημαίνεται· ὅτι δὲ ὕδωρ καὶ αἷμα τῆς ἁγίας ἡμῖν ἐξεδόθη πλευρᾶς, διανυγείσης τῇ λόγχῃ, παρήσω λέγειν, διὰ τὸ πᾶσιν εἶναι γνωριμώτατον. Πλὴν ὅτι σημεῖον ὁ τοῦ Σωτῆρος ὠνόμασται θάνατος, ἀναμάθοι τις ἂν καὶ τοῦτο σαφῶς ἐξ ἱερῶν Γραμμάτων· Φαρισαῖοι μὲν γὰρ οἱ πάντολμοι, καίτοι πολλῶν ἤδη προκατωρθωμένων θαυμάτων, ὡς οὐδενὸς γεγονότος, προσίεσαν λέγοντες τῷ Χριστῷ· «Διδάσκαλε,» φασὶν, «θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν.» Ὁ δὲ πρὸς αὐτούς· «Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Ὥσπερ γὰρ ἦν Ἰωνᾶςἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.» Οὐκοῦν πρώτη μὲν ἀντίληψις ἡμῖν ἐν Χριστῷ, διὰ νόμου τοῦ κατὰ Μωσέα· «Νόμον γὰρ εἰς βοήθειαν δέδωκε,» κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἐπελάβετο δὲ τῆς κέρκου Μωσῆς. Δευτέρα δὲ κάθαρσις ἐν Χριστῷ δὴ πάλιν διὰ προφητῶν ἁγίων, καὶ διὰ τῆς Ἰωάννου φωνῆς καὶ ἀποστολῆς. Οἱ μὲν γὰρ ἔφασκον· «Λούσασθε, καθαροὶ γένεσθε·» ὁ δὲ εἰς βάπτισμα μετανοίας ἐκάλει. Τρίτον δὲ σημεῖον, ὃ καὶ ἔσχατον εἶναί φασιν, ὁ Χριστοῦ θάνατος, ἐφ' ᾧ καὶ πίστις· «Ἐὰν γὰρ μὴ πιστεύσωσί σοι,» φησὶ, «μηδὲ εἰσακούσωσι τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσουσι τῇ φωνῇ τοῦ σημείου τοῦ δευτέρου.» Ὁρᾷς ὅτι τὴν πίστιν ἀκολουθήσειν εὖ μάλα φησὶν, οὐχὶ τῷ πρώτῳ σημείῳ, τοῦτ' ἔστιν, οὐ τῇ ἀντιλήψει τῇ κατὰ νόμον, οὔτε μὴν τῇ διὰ μέσου καθάρσει, τοῦτ' ἔστι, τῇ διὰ προφητῶν ἁγίων, καὶ Ἰωάννου τυχὸν, μόνῃ δὲ τῇ φωνῇ τοῦ σημείου τοῦ ἐσχάτου. Οὐ γὰρ ἄφωνον τὸ Χριστοῦ μυστήριον, καλεῖ δὲ σύμπαντας τοὺς ἀνὰ πᾶσαν τὴν γῆν ὑψηλῷ καὶ διαπρυσίῳ κηρύγματι πρὸς τὴν δι' ὕδατός τε καὶ αἵματος κάθαρσιν, καὶ μὴν καὶ εἰς ζωοποίησιν τὴν κατὰ μετάληψιν τῆς ἁγίας σαρκός. Ὑπηρέτει τοιγαροῦν ὁ νόμος τοῖς περὶ Χριστοῦ προαγγέλμασιν, αὐτὸς δέ ἐστιν οὐ λίαν ἱκανὸς εἰς τὸ ἀνασώζειν δύνασθαί τινας. Παραδείξειε δ' ἂν, οἶμαι, τὶς καὶ τοῦτο σαφῶς ὁμολογοῦντα Μωσέα καὶ διὰ τῆς προκειμένης συγγραφῆς. Καίτοι γὰρ λέγοντος τοῦ Θεοῦ, ὅτι Ἔσομαι μετὰ σοῦ, προαναπείθοντος δὲ θαυματουργίαις αὐτὸν, ἐλιπάρει λέγων· «Κύριε, οὐχ ἱκανός εἰμι πρὸ τῆς χθὲς, οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας, οὐδὲ ἀφ' οὗ ἤρξω λαλεῖν τῷ θεράποντί σου. Ἰσχνόφωνος καὶ βραδύγλωσσος ἐγώ εἰμι. Εἶπε δὲ Κύριος πρὸς Μωσῆν· Τίς ἔδωκε στόμα ἀνθρώπῳ, καὶ τίς ἐποίησε δύσκωφον καὶ κωφὸν, βλέποντα καὶ τυφλόν; οὐκ ἐγὼ Κύριος ὁ Θεός; Καὶ νῦν πορεύου, καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου, καὶ συμβιβάσω σε ἃ μέλλεις λαλῆσαι. Καὶ εἶπε Μωσῆς· Δέομαι, Κύριε, 68.252
προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς.» Οὐ γὰρ εὐσθενὴς ὁ νόμος, οὐδὲ ἀποχρώντως ἔχων εἰς τὸ πᾶσαν δύνασθαι διασῶσαι τὴν γῆν, καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἐξελέσθαι τὸν ἄνθρωπον. Οὐκ ἠγνόηκε δὲ ὁ Μωσῆς, ὡς βραδύγλωσσός τε καὶ ἰσχνόφωνος, ἀρξαμένου μάλιστα διαλέγεσθαι πρὸς αὐτὸν τοῦ Θεοῦ, καὶ λόγους ποιεῖσθαι περὶ αὐτοῦ προστάττοντος· «Οὕτως» γὰρ, φησὶν, «ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· Ἐγώ εἰμι ὁ ὤν. Τοῦτό μου ἐστὶ τὸ ὄνομα.» Βραδύγλωσσος γὰρ ὁ νόμος, πρὸς τὸ διαρθροῦν εὖ μάλα τὸν περὶ τοῦ ὄντος λόγον· οὔτε μὴν οἷός τε μυσταγωγεῖν πρὸς τὴν ἐν ἁγίᾳ Τριάδι προσκυνουμένην σεπτὴν καὶ ἄρρητον φύσιν. Ἰσχνόφωνος δὲ πρὸς τοῦτο, μόνοις τε καὶ μόλις τοῖς ἐξ Ἰσραὴλ προσλαλεῖν δυνάμενος, ἀκουόμενός τε κατὰ μόνην τὴν Ἰουδαίαν, καίτοι τῶν ἄλλων ἁπάντων ἐθνῶν οὐδὲ, ὅσον εἰπεῖν, εἰς οὓς ἑλόντων τὸ κήρυγμα. Τοιγάρτοι προγινώσκων ὁ θεσπέσιος Μωσῆς, τὸν διαρκῶς ἔχοντα πρὸς τὸ ἀκριβὲς καὶ ἀπεξεσμένον τοῖς ἀκροωμένοις ἐμποιῆσαι λόγον τὸν περὶ Θεοῦ, καὶ εἰς τὸ πάσῃ ῥᾳδίως διακηρύξαι τῇ γῇ, τοῦτ' ἔστι Χριστόν·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«Δέομαι, Κύριε,» φησὶ, «προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς.» Χριστὸς γάρ ἐστιν ὁ δυνάμενος ἀληθῶς· καὶ ὅτι κατὰ καιροὺς κατ' εὐδοκίαν Θεοῦ καὶ Πατρὸς, εἰς τοῦτο προχειρισθήσεται, καὶ διὰ νόμου προήγγελτο. Ἡ δέ γε Μωσέως παραίτησις, καὶ μετὰ θείαν ὑπόσχεσιν, καὶ μετὰ πολλῶν σημείων ἐπίδειξιν, τύπος ἂν εἴη, κατοκνοῦντός τε ἅμα καὶ παραιτουμένου τοῦ Ἰσραὴλ, τὴν ὑπὸ Χριστοῦ θείαν τε καὶ εὐαγγελικὴν λειτουργίαν, καὶ ὑπακοὴν, οἳ μετὰ μυρίους ὅσους τοὺς περὶ πίστεως λόγους καὶ τερατουργίας ἐπίδειξιν, τετηρήκασι τὸ δυσήκοον, καὶ μεμενήκασιν ἀπειθεῖς. Καὶ διττή γε ἡ Μωσέως παραίτησις. Δύο γὰρ χρόνοι καθ' οὓς ἐξήνιος καὶ δυσάγωγος ἦν ὁ Ἰσραήλ· διὰ Μωσέως τε καὶ Ἰησοῦ, καὶ Κριτῶν, καὶ μετ' ἐκεῖνον εὐθὺς, καθ' ὃν γεγόνασι προφῆται, καὶ Ἰωάννης, ὁ καθάπερ ἐν μεταιχμίῳ κείμενος ἀποστόλων τε καὶ προφητῶν. Πέρας μὲν γὰρ ἦν προφητικῆς λειτουργίας, ἀπαρχὴ δὲ ὥσπερ λαμπρότητος ἀποστολικῆς. Ἀλλ' ἡ Μωσέως παραίτησις πρὸς ὀργὰς ἐκάλει Θεόν. Καὶ μεθίστη τὸ χρῆμα λοιπὸν εἰς ἑτέραν ὥσπερ οἰκονομίαν, δι' ἧς ἀνασώζεσθαι χρῆν τοὺς ταῖς τῶν Αἰγυπτίων πλεονεξίαις κατηχθημένους. «Καὶ θυμωθεὶς Κύριος ἐπὶ Μωσῆν, εἶπεν· Οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου ὁ Λευΐτης; Ἐπίσταμαι ὅτι λαλῶν λαλήσει αὐτός σοι, καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι· καὶ ἰδών σε χαρήσεται ἐν ἑαυτῷ, καὶ ἐρεῖς πρὸς αὐτόν· καὶ δώσεις τὰ ῥήματά μου εἰς τὸ στόμα αὐτοῦ· καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου, καὶ τὸ στόμα αὐτοῦ, καὶ συμβιβάσω ὑμᾶς ἃ ποιήσετε, καὶ αὐτός σοι προσλαλήσει πρὸς τὸν λαόν· καὶ αὐτὸς ἔσται σου στόμα· σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν Θεόν.» Προσκεκρουκότος γὰρ ὥσπερ ἀδρανοῦς τοῦ νόμου, καὶ ἠπειθηκότων ἄγαν τῶν ἐξ Ἰσραὴλ, προσετέθη Χριστὸς, ὁ ἀληθὴς Λευΐτης, ὁ μέγας ἀρχιερεὺς, ὁ τοῖς ὑπὸ νόμον συντεταγμένος, ὡς ἀδελφὸς διὰ τὸ ἀνθρώπινον, ὁ Μωσῇ μὲν λαλήσας ὡς Θεὸς, συμβιβαζόμενος δὲ παρὰ τοῦ 68.253 Πατρὸς κατά γε τὸ σχῆμα τὸ προφητικὸν, εἰ καὶ ἔστι Κύριος· «Προφήτην γὰρ ἀναστήσω αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν· καὶ θήσω τοὺς λόγους μου εἰς τὸ στόμα αὐτοῦ· καὶ λαλήσει αὐτοῖς κατὰ πάντα ὅσα ἂν ἐντείλωμαι αὐτοῖς.» Ἔφασκε δὲ καὶ αὐτὸς ὁ Χριστός· «Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ἀλλ' ὁ πέμψας με Πατὴρ, αὐτός μοι ἐντολὴν δέδωκε, τί εἴπω, καὶ τί λαλήσω.» Χριστὸς ἄρα προσεφώνησε τῷ λαῷ, καὶ Μωσῇ μὲν γίνεται στόμα διερμηνεύων ἡμῖν πνευματικῶς τὸν νόμον, Μωσῆς δὲ αὐτῷ πάλιν τὰ πρὸς Θεόν. Δοκεῖ γάρ που εἶναι Θεῷ προσεχέστερος ὁ Μωσῆς, ἐπείτοι γέγονεν ὑπὸ νόμον ὁ Ἐμμανουὴλ, καὶ τὰ διὰ τοῦ πανσόφου Μωσέως τηρεῖν ἐπηγγέλλετο λέγων· «Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.» Μυσταγωγὸς οὖν ἄρα σαφὴς ὁ Χριστὸς, τὰ τοῦ βραδυγλώσσου νόμου πρὸς τρανότητα μετατιθεὶς, καὶ τὴν τοῦ γράμματος ἰσχνοφωνίαν εἰς εὐηχεστάτην ὥσπερ μεταπλάττων ἐξήγησιν. Πνευματικὸς γὰρ ὁ νόμος ἐν Χριστῷ, καὶ ἀδελφὰ τοῖς πάλαι τὰ δι' αὐτοῦ κηρύγματα· Μωσέως γὰρ ἦν ἀδελφὸς ὁ Ἀαρών. {ΠΑΛΛ.} Ἀδρανὴς οὖν τό γε εἰς ἑαυτὸν ἧκον ὁ νόμος· τετελείωκε γὰρ οὐδέν. {ΚΥΡ.} Οὕτως, φημὶ, καὶ τό γε ὡς μικροπρεπὲς τῆς κατ' αὐτὸν πολιτείας καταθρήσαι τις ἂν καὶ διὰ τῶν ἐφεξῆς. Γέγραπται γὰρ, ὅτι «Ἐπορεύθη Μωσῆς, καὶ ἀπέστρεψε πρὸς Ἰοθὸρ τὸν γαμβρὸν αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Πορεύσομαι καὶ ἀποτρέψω πρὸς τοὺς ἀδελφούς μου τοὺς ἐν Αἰγύπτῳ· καὶ ὄψομαι εἰ ἔτι ζῶσι. Καὶ εἶπεν ὁ Ἰοθὸρ τῷ Μωσῇ· Βάδιζε ὑγιαίνων. Μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας, ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου· εἶπε δὲ ὁ Κύριος πρὸς Μωσῆ ἐν Μαδιάμ· Βάδιζε, ἄπελθε εἰς Αἴγυπτον· τεθνήκασι γὰρ οἱ πάντες οἱ ζητοῦντες τὴν ψυχήν σου.» Ἀναλαβὼν δὲ Μωσῆς τὴν γυναῖκα καὶ τὰ παιδία, ἀνεβίβασεν αὐτὰ ἐπὶ τὰ ὑποζύγια, καὶ ἀπέστρεψεν εἰς Αἴγυπτον. {ΠΑΛΛ.} Καὶ τί ἐν τούτοις; οὐ γὰρ ἔχω νοεῖν, καὶ φράσαι, ἐφ' οἷς εἰκότως τὴν κατὰ νόμον ζωὴν ἐπαιτιῷτό τις ἄν. {ΚΥΡ.} Καίτοι πλείστης ὅσης τὸ χρῆμα μομφῆς ἐκμεμεστωμένον κατίδοι τις ἂν, ὦ Παλλάδιε, ταῖς τῶν προκειμένων ἐννοίαις προβαλὼν ὀξυωπέστερον· ὡς προκεχειρισμένος εἰς ἀποστολὴν ὁ θεσπέσιος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μωσῆς, οὐκ εὐθυδρομεῖ πρὸς τοῦτο τὰ ἐν κόσμῳ μεθεὶς, μερίζεται δὲ καὶ εἰς φροντίδα σαρκικὴν, καὶ τοῖς κατὰ γένος προανακοινοῦται τὴν ἀποδημίαν. Καὶ οὐ πρότερον ἐξέθει τῆς Μαδιηναίων, εἰ μὴ τεθνεῶτα λοιπὸν τὸν τῆς Αἰγυπτίων ἐμάνθανε τύραννον· ἐδεδίει γὰρ τεθνάναι λίαν. Ἐπειδὴ δὲ τῶν ἐπὶ τούτοις δειμάτων ἀπήλλακτο προηγγελκότος αὐτῷ τοῦ Θεοῦ, τότε δὴ μόλις ἀναλαβὼν τὴν γυναῖκα καὶ τὰ παιδία, κάτεισιν εἰς τὴν Αἰγυπτίων, ἀποπεραίνων τὰ προστεταγμένα. Τύπος δ' ἂν εἴη ταυτὶ τῆς κατὰ νόμον 68.256 ζωῆς, μεμερισμένης τρόπον τινὰ, καὶ ἐπ' ἄμφω βλεπούσης, πρός τε τὰ θεῖά φημι καὶ ἀνθρώπινα. Ἔστι γὰρ δὴ φροντίδος οὐκ ἐλευθέρα γεώδους τε καὶ κοσμικῆς, οὔτε μὴν εἰσάπαν ἱερὰ, καίτοι τῆς εὐαγγελικῆς πολιτείας οὐκ ἐχούσης ὅλως τὸ μερίζεσθαι πρὸς τὰ σαρκὸς, ἤγουν πρὸς τὰ ἐν κόσμῳ πράγματα, ὁλοτρόπως δὲ, ὥσπερ ἀφιερούσης τῷ Θεῷ τοὺς ὑπὸ Χριστῷ γεγονότας. «Οἱ γὰρ τοῦ Ἰησοῦ Χριστοῦ,» φησὶ, «τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.» Καὶ γοῦν ἐπειδή τις τῶν μαθητῶν προσελθὼν ἔφασκε τῷ Χριστῷ· «Διδάσκαλε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου·» τὴν ἱερὰν ὁλοτρόπως ἐδιδάσκετο πολιτείαν, ἀκούων εὐθύς· «Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.» Γράφει δέ τισι καὶ ὁ θεσπέσιος Παῦλος· «Ὅτε ηὐδόκησεν ὁ Θεὸς ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι.» Προσανατίθεται δὲ Μωσῆς. Μεμέρισται γὰρ, ὡς ἔφην, ἡ κατὰ νόμον ζωὴ, κεῖται δὲ ἔτι καὶ ὑπὸ τὸν τοῦ θανάτου φόβον. Ἐδεδίει γὰρ ὁ Μωσῆς καταβαίνειν εἰς Αἴγυπτον, τὸ τεθνάναι παραιτούμενος. Κατήργηται δὲ καὶ τοῦτο ἐν Χριστῷ. Καὶ πιστώσεται λέγων ὁ ἱερὸς Παῦλος περί τε Χριστοῦ καὶ ἡμῶν· «Ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν· ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι, τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας.» Τοιγάρτοι καὶ αὐτοῦ τοῦ τεθνάναι λοιπὸν, ὁ τῶν ἁγίων καταθρασύνεται νοῦς. Ἔφη γὰρ πάλιν ὁ Παῦλος· «Ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος.» Καὶ πάλιν· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;» Ὅτι δὲ τοῖς τοῦ θανάτου δείμασιν ἐνέχεται μὲν ἡ κατὰ νόμον ζωὴ, διέδρα δὲ τοῦτο τῆς ἐν Χριστῷ πολιτείας τὸ καύχημα, σαφὲς ἂν γένοιτο, βεβασιλευκέναι τὸν θάνατον ἀπὸ Ἀδὰμ καὶ μέχρι Μωσέως, ἱεροῦ βοῶντος Γράμματος. Ἀλλ' ὁ καταργήσας τὸν θάνατον, καὶ τῆς φθορᾶς κατασείσας τὸ κράτος, ἀνασώσας τε ὁμοῦ τοῖς πιστεύουσι καὶ τοὺς ὑπὸ νόμῳ παιδαγωγηθέντας ποτὲ, τίς ἂν εἴη ἕτερος, πλὴν ὅτι καὶ μόνος ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός; «Οὐ γὰρ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτοὺς,» προφητικὸν ἔφη χρησμῴδημα. Ἴδοις δ' ἂν καὶ μάλα σαφῶς τὸ ἐπὶ τῷδε μυστήριον ὡς ἐν τύπῳ πάλιν τοῖς συμβεβηκόσι τῷ μακαρίῳ Μωσῇ. Ἐξοιχομένῳ γὰρ ἤδη τῆς Μαδιηναίων, διασπεύδοντί τε λοιπὸν εἰς Αἴγυπτον, ἔφη Θεός· «Εἰσπορευομένου σου καὶ ἀποστρέφοντος εἰς Αἴγυπτον, ὅρα τὰ τέρατα πάντα, ἃ δέδωκα ἐν ταῖς χερσί σου, ποιήσεις αὐτὰ ἐναντίον Φαραώ.» Καὶ μεθ' ἕτερα· «Καὶ ἐγένετο, φησὶν, ἐν τῇ ὁδῷ, ἐν τῷ καταλύματι συνήντησεν αὐτῷ ἄγγελος Κυρίου, καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι· καὶ λαβοῦσα Σεπφώρα ψῆφον, περιέτεμε τὴν ἀκροβυστίαν τοῦ υἱοῦ, αὐτῆς, καὶ προσέπεσε πρὸς τοὺς 68.257 πόδας αὐτοῦ, καὶ εἶπεν· Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου.» Ἆρά σοι μακροῦ πρὸς σαφήνειαν δεήσει λόγου; ἤγουν ἐναργὲς τὸ θεώρημα; {ΠΑΛΛ.} Οὐ μὲν οὖν· συνίημι γὰρ οὐδαμῶς ὅ τί ποτέ ἐστι τὸ ὡς ἐν σκιᾷ τῷ συμβεβηκότι καταδεικνύμενον. {ΚΥΡ.} Οὐ γὰρ, ὦ φιλότης, ἀληθὲς εἶναι φῂς, ὅτι θανάτου κάτοχος ἡ ἀνθρώπου φύσις ἐκ τῆς ἀρχαίας ἐκείνης γέγονεν ἀρᾶς; εἴρηται γὰρ πρὸς ἡμᾶς, ὡς ἐν ἀπαρχῇ τοῦ γένους καὶ ῥίζῃ τῇ ἀνωτάτω τῷ Ἀδάμ· «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.» {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Οὐκοῦν ἐπειδήπερ τὴν τοῦ γένους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀρχὴν, τὸν ἐκ τῆς ἁμαρτίας συμβέβηκεν ἀῤῥωστῆσαι θάνατον, ἀναγκαίως καὶ εἰς ἡμᾶς αὐτοὺς τὸ χρῆμα διέβη, καὶ ὁμοῦ τῇ ῥίζῃ καὶ τὰ ἐξ αὐτῆς ἀναθέοντα κατενεμήθη φυτά. Φθαρτοῦ γὰρ σώματος φθαρτὸς ὁ καρπός. Οὕτω βεβασίλευκε κατὰ πάντων ὁ θάνατος, καὶ μέχρις αὐτοῦ Μωσέως, τοῦτ' ἔστι, τῶν κατὰ νόμον καιρῶν. Τύπος οὖν ἄρα σαφής τε καὶ ἐναργὴς τοῦ μέχρι Μωσέως ἰσχύσαι τὸν θάνατον, καὶ ὑποκεῖσθαι φθορᾷ τὰ ἀνθρώπινα, τὸ ἀγγελικὸν ἐγχείρημα κατὰ Μωσέως τότε. Πλὴν ἐδυσώπει τὸν ὀλοθρεύοντα, καὶ ἀφίστα Μωσέως, ἡ σύνοικός τε καὶ συνηρμοσμένη Σεπφώρα, ψήφῳ τὸ οἰκεῖον περιτεμοῦσα παιδίον, ἐκλιπαροῦσά τε καὶ λέγουσα· «Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου.» Ἔστη δὲ τὸ αἷμα, φησὶν, οὐχ ὡς τῆς τοῦ αἵματος ῥύσεως ἀποπαυσαμένης· οὐδὲ γὰρ, οἶμαι, τοῦτο μεθίστη ποτὲ τοῦ φονᾷν ἐθέλειν τὸν ὀλοθρευτὴν, ἀλλ' οἱονείπου ἔλεγε· Πέπρακται καὶ πεπλήρωται τὸ δοκοῦν τῷ Θεῷ, τοῦτ' ἔστιν, ἡ περιτομὴ τοῦ παιδίου· ὥσπερ ἂν εἴ τις λέγοι τυχόν· Ὁ τοῦδε τοῦ πράγματος ἔστη τύπος, ἤγουν, Ἔστη τυχὸν ὁ πρὸς τόδε λόγος. Ἀντὶ τοῦ, Πρὸς πέρας ἥκει καὶ δέδεικται. {ΠΑΛΛ.} Εἶτα τίς πρὸς ἡμῶν ἡ Σεπφώρα νοοῖτο; τί δὲ ἡ ψῆφος, καὶ ἡ δι' αὐτῆς γενομένη περιτομή; δεδυσώπηται δὲ ὅπως ὁ θεῖος ἄγγελος, καὶ διέδρα Μωσῆς τὸν ἐπηρτημένον αὐτῷ καὶ ὀφειλόμενον θάνατον, παιδίου περιτετμημένου; {ΚΥΡ.} Ἀσαφὴς ὁ λόγος, καὶ δυσέφικτος ἀληθῶς τῶν ζητουμένων ὁ νοῦς· Θεῷ δὲ πίσυνος, ὡς ἂν οἷός τε ὦ, πάλιν ἐρῶ. Ἡ Σεπφώρα, θυγάτηρ οὖσα τοῦ ἱερέως τοῦ Μαδιὰμ (ἀνὴρ δὲ οὗτος ἀλλογενὴς, καὶ οὐκ ἐξ αἵματος Ἰσραὴλ), τύπον ἡμῖν καὶ πρόσωπον τῆς ἐξ ἐθνῶν Ἐκκλησίας ἀποπληροῖ, κεκλημένης πρὸς Θεὸν ὡς ἐκ λατρείας κοσμικῆς. Εἴρηται γάρ που πρὸς αὐτὴν διὰ φωνῆς τοῦ Δαβίδ· «Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, 68.260 ὅτι ἐπεθύμησεν ὁ Βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστιν ὁ Κύριός σου.» Κέκληται τοίνυν ἀκολουθοῦσα τῷ νόμῳ, καὶ μονονουχὶ συνηρμοσμένη Μωσῇ τῷ παιδαγωγῷ, καὶ ἀποφέροντι καλῶς πρὸς τὸ Χριστοῦ μυστήριον. Στοιχειωτὴς γὰρ ὁ νόμος, καὶ ἀναφέρει μὲν εἰς ἀρχὰς τῶν λογίων τοῦ Θεοῦ, σπερματίζει δὲ ὥσπερ ἐν ἡμῖν δι' αἰνιγμάτων καὶ σκιᾶς τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν γνῶσιν. Καὶ γοῦν Ἰουδαίοις ἔφασκεν ὁ Χριστὸς, καὶ αὐτὸν ἠθετηκόσι Μωσέα τὸν ἱερώτατον· «Ἢ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα; Ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. Εἰ γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε.» Παραδεχθείσης τοιγαροῦν πρὸς ἡμῶν τῆς Σεπφώρας εἰς πρόσωπον τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, ἔσται που πάντως τὸ ἐξ αὐτῆς παιδίον εἰς τύπον τοῦ νέου λαοῦ, τὴν ἐν Χριστῷ διὰ πνεύματος νηπιότητα καὶ εἰς Θεὸν ἀναγέννησιν δεξαμένων τῶν πεπιστευκότων, οὓς καὶ λαὸν κτιζόμενον ἔφη που Δαβίδ. Τὸ τοίνυν ἀρτιγενὲς ἐν Χριστῷ παιδίον, τοῦτ' ἔστιν, ὁ νέος τε καὶ διὰ πίστεως λαὸς περιτομῆς δυσωπεῖ θάνατον. Σύμβολον γὰρ ἡ ψῆφος τῆς ἀῤῥήκτου φύσεως, ἧς τὸ εὐσθενές τε καὶ ἄθραυστον ὡς ἐν σκληρᾷ τῇ λίθῳ σημαίνεται. Καὶ γοῦν Ἰησοῦς ὁ τοῦ Ναυῆ διαβιβάσας τὸν Ἰορδάνην τοὺς ἐξ Ἰσραὴλ, μαχαίραις αὐτοὺς περιέτεμε πετρίναις, τὴν ἐν Χριστῷ διὰ πνεύματος περιτομὴν προανατυπῶν. Πέτρα γὰρ ὁ Χριστὸς, ὃν ὡς ἐν τύπῳ προδηλοῖ, καθάπερ ἔφην ἀρτίως, καὶ ἡ τὸ Σεπφώρας παιδίον περιτεμοῦσα ψῆφος. Ὅτε καὶ ἀπ-έδρα θάνατος, καὶ τῆς ἐν Χριστῷ περιτομῆς τετιμηκὼς τὸ μυστήριον ἀποπεφοίτηκε τοῦ Μωσέως ὁ ἀποκτεῖναι ζητῶν, αἰνιγματωδῶς ἡμῖν ὑποφωνοῦντος τοῦ πράγματος, ὡς οὐ μόνον τῶν ἠξιωμένων τῆς ἐν Χριστῷ περιτομῆς ἀπέστη θάνατος, ἀλλὰ καὶ αὐτοῖς τὸ χρῆμα, φημὶ δὲ δὴ τὸ Χριστοῦ μυστήριον, βεβοήθηκε τοῖς πατράσιν. Ὥσπερ γὰρ πάντες ἀπεθάνομεν ἐν Ἀδὰμ, οὕτω καὶ εἰς πάντας ἡ διὰ Χριστοῦ φέρεται χάρις. Ἀπέθανε γὰρ διὰ τοῦτο, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Οὐκοῦν ἐν καιρῷ τῆς τοῦ νέου λαοῦ περιτομῆς καὶ ἡ τῶν πατέρων συγκατωρθοῦτο ζωή. Ζῶσι γὰρ Θεῷ, ζήσειν μέλλοντες· τουτὶ γὰρ ἡμῖν καὶ ἱερὸς ἔφη λόγος. Καιρὸς δὲ περιτομῆς τῆς ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνεύματι νοουμένης ἡ Χριστοῦ παρουσία, ὡς Μωσέως μὲν πρεσβύτερος, ὡς Θεὸς, δεύτερος δὲ καὶ μετ' αὐτὸν, καθὸ πέφηνεν ἄνθρωπος εἰς διακονίαν τὴν ἐφ' ἡμῖν. Ἐπιτήρει γὰρ, ὅτι προεχειρίζετο Θεὸς, Μωσέα μὲν πρῶτον, εἶτα συνῆψε τὸν Ἀαρὼν, τῆς Μωσέως ἀποστολῆς τε καὶ διακονίας δευτέραν ἐν χρόνῳ προανατυπῶν τὴν ἀνάδειξιν τοῦ Χριστοῦ, ὃς ἦν ἐν ἰσότητι μὲν τῇ πρὸς Μωσέα διὰ τὸ ἀνθρώπινον, ἐν ὑπεροχῇ δὲ θείᾳ καὶ ἀσυγκρίτῳ διὰ τὸ ἐκ Θεοῦ γεγεννῆσθαι Πατρός. Πάρα δέ σοι καὶ τοῦτο ἰδεῖν ἐξ αὐτῶν, εἴπερ ἕλοιο, τῶν ἱερῶν Γραμμάτων. «Ἐποίησαν» γὰρ, φησὶ, «Μωσῆς καὶ Ἀαρὼν, καθάπερ ἐνετείλατο αὐτοῖς Κύριος, οὕτως ἐποίησαν· Μωσῆς δὲ ἦν ἐτῶν ὀγδοήκοντα, Ἀαρὼν δὲ ὁ ἀδελφὸς αὐτοῦ ὀγδοήκοντα τριῶν ἦν ἐτῶν, ἡνίκα ἐλάλησαν πρὸς Φαραώ.» Ἀκούεις ὅπως ἄμφω 68.261 μὲν ἤστην ἐν ἴσῳ κατά γε τὸ ἥκειν εἰς ὀγδοηκοστὸν ἔτος, εἰ καὶ μετ' αὐτὸν εἰς διακονίαν; Οὕτω καὶ ὁ Χριστός. Ἴσος μὲν κατά τι τῷ Μωσῇ, διὰ τὸ ἀνθρώ-πινον, καὶ δεύτερος εἰς οἰκονομίαν, ὑπερκείμενος δὲ καὶ ὑπερανεστηκὼς, ὡς ἐν Θεότητί τε καὶ δόξῃ τῇ κατὰ τὴν ἁγίαν Τριάδα. {ΠΑΛΛ.} Ὡς σαφής τε καὶ ἐναργὴς ὁ λόγος. {ΚΥΡ.} Τί δέ; οὐχὶ κἀκεῖνο πρὸς τούτοις ἄξιον ἰδεῖν; {ΠΑΛΛ.} Τὸ ποῖον; {ΚΥΡ.} Οὐ γάρτοι τῆς τῶν Αἰγυπτίων ἐκδεδραμήκασι γῆς οἱ ἐξ Ἰσραήλ. Ἀλλ' οὐδ' ἂν οὕτω τὴν δυσ-αχθῆ τε καὶ κατεστυγημένην αὐτοῖς ἀπελύσαντο δουλείαν, μᾶλλον δὲ, οὐδ' ἂν ὅλως διέδρασαν τὸν τοῖς ἐν Αἰγύπτῳ πρωτοτόκοις ἐπιῤῥιφέντα θάνατον, καὶ τὴν δυσδιάφυκτον χεῖρα τοῦ ὀλοθρευτοῦ, εἰ μὴ καταθύσαντες τὸν ἀμνὸν εἰς τύπον Χριστοῦ τοῦ αἴροντος τὰς ἁμαρτίας τοῦ κόσμου. Ἔχρισαν μὲν τῷ αἵματι τὰς φλιὰς, κατὰ τὸν σφίσι διὰ Μωσέως ὁρισθέντα νόμον· τὸ δὲ Χριστοῦ μυστήριον ὅπλον ὥσπερ τι καὶ ἀντατείχισμα τῆς ἑαυτῶν ἐποιοῦντο ψυχῆς. Λυ[κ]τικὸν γὰρ θανάτου φάρμακον ὁ Χριστοῦ θάνατος, καὶ φθορᾶς ἀμείνους οἱ τῆς μυστικῆς εὐλογίας μέτοχοι, κατά γε τὸ, «Ἀμὴν, ἀμὴν λέγω ὑμῖν· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον.» Κατεδηδοκότες δὲ τὸν ἀμνὸν, ἄρτους ἀζύμους ἤσθιον ἐπ' αὐτῷ, τῶν εὐαγγελικῶν παιδευμάτων ὡς ἐν ἀζύμῳ τε καὶ καθαρωτάτῃ τροφῇ παραδηλοῦντος τοῦ τύπου τὴν ἀστειότητα, πλὴν ἐσομένην οὐκ ἀνιδρωτὶ, καὶ πικρίας δίχα τῆς κατὰ τὰς θλίψεις. Τοιγάρτοι πικρίδας συνεσθίεσθαι τοῖς ἄρτοις τοῖς οὐκ ἐζυμωμένοις, τὴν ἄδολον καὶ καθαρωτάτην ἐν Χριστῷ ζωὴν οὐ δίχα πικρίας ἐσομένην ὑποδηλοῖ. Συνεισκομιστέον τοιγαροῦν ἀναγκαίως ταῖς ἀζύμοις τροφαῖς τὴν πικρίδα. «Πάντες γὰρ οἱ θέλοντες ζῆν ἐν Χριστῷ διωχθήσονται,» φησίν. Πλὴν οἵγε τοῦτο παθόντες, μακάριοι. Συμπάσχοντες γὰρ καὶ συμβασιλεύσουσι, κατὰ τὸ γεγραμμένον. Μὴ ἐξοίχεταί ποι πρὸς τὸ ἀκαλλὲς ὁ λόγος; {ΠΑΛΛ.} Οὐδαμῶς.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Ὅτι ἀμήχανον διαφυγεῖν τὸν ἐξ ἁμαρτίας θάνα τον, καὶ τὴν τοῦ διαβόλου πλεονεξίαν, εἰ μὴ δι' ἁγιασμοῦ τοῦ κατὰ Χριστόν· καὶ ὅτι οὐκ ἐν νόμῳ ἡ δικαίωσις, ἀλλ' ἐν Χριστῷ. Οὐκοῦν ἐπειδήπερ τῆς θυσίας ὁ τρόπος τοῖς ἐξ Ἰσραὴλ εὖ μάλα διεπεραίνετο, καὶ τὰ μὲν τῶν Αἰγυπτίων πρωτότοκα διολώλει λοιπὸν, ἀπεσόβει δὲ τῶν ἡγιασμένων ὡς ἐν τύπῳ Χριστὸς τὸν ὀλοθρευτὴν, τότε δὴ μόλις τῆς τῶν κρατούντων ἐκθέοντες γῆς, καὶ πρὸς τὴν ἐπηγγελμένην αὐτοῖς ἀφικέσθαι διασπεύδοντες, οὐκ εὐθυδρομοῦσιν εἰς αὐτὴν, περιαγωγαῖς δὲ ὥσπερ ταῖς ἐπὶ θάτερα τῆς εὐθείας ἀπεκομίζοντο. Γράφει μὲν γὰρ ὧδε πάλιν· «Ὡς δὲ ἐξαπέστειλε Φαραὼ τὸν λαὸν, οὐχ ὡδήγησεν αὐτοὺς ὁ Θεὸς ὁδὸν γῆς Φιλιστιεὶμ, ὅτι ἐγγὺς ἦν. Εἶπε γὰρ ὁ Θεός· Μήποτε μεταμελήσῃ τῷ λαῷ ἰδόντι πόλεμον, καὶ ἀποστρέψῃ εἰς Αἴγυπτον. Καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκύκλωσεν ὁ Θεὸς λαὸν αὐτοῦ ὁδὸν τὴν εἰς ἔρημον εἰς τὴν Ἐρυθρὰν θάλασσαν.» {ΠΑΛΛ.} Τί δὴ ἄρα κἀν τούτῳ τὸ κεκρυμμένον· {ΚΥΡ.} Ἐκβασανιστέον, εἰ δοκεῖ. Σύνες γὰρ ὅτι παρακειμένης ὁδοῦ τῆς ἐπ' εὐθείας αὐτοῖς, καὶ βραχυποροῦντας ἐξὸν ἀφικέσθαι συντόμως (Ἐγγὺς γὰρ ἦν, φησὶ, τῆς ἐπαγγελίας ἡ γῆ), δῆλον ὅτι δι' ἑτέρας αὐτοὺς ἀπεκόμιζε, τῆς ἐν κύκλῳ μακρῷ, τὸ ἕτοιμον εἰς ἀπόστασιν, καὶ τὸ ἀσχέτως ἔτι κατανενευκὸς εἰς δειλίαν τῶν πάλαι προεγνωκὼς ὁ πάντων Δημιουργός. {ΠΑΛΛ.} Οὐδέν τι μᾶλλόν ἐστι σαφὴς ὁ λόγος. {ΚΥΡ.} Ἰτέον δὴ οὖν ἐπὶ θεωρίαν τὴν πνευματικὴν, τοὺς ἀπὸ ζωῆς κοσμικῆς καὶ δαιμονιώδους πλεονεξίας, ὥσπερ τινὸς γῆς Αἰγυπτίων ἀπαίροντας, ὁδὸς εὐθεῖα καὶ ὀλίγη παντελῶς ἀποφέρει πρὸς ἁγιασμὸν, καὶ εἰς 68.265 ἐλπίδα τὴν παρὰ Θεῷ, πίστις ἡ ἐν Χριστῷ, καὶ ἡ κατ' αὐτὸν δικαίωσις, κατά γε τὸ ὑπὸ τοῦ Παύλου σοφῶς εἰρημένον· «Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, τοῦτ' ἔστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν, ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου ὅτι Κύριος Ἰησοῦς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.» Ταύτην οὖν ἄρα τὴν οὕτως ἀγχοῦ καὶ συνεσταλμένην ὁδὸν διαστείχειν οὐκ ἠφίει τοὺς πάλαι Θεός· ἐπενόει δὲ ὥσπερ τινὰ κύκλον τὴν ἐπ' εὐθείας οὐκ ἔχοντα, τὸν ἐν περιστροφαῖς λόγων καὶ ἐν αἰνίγμασι νόμον μακροτέραν ἔχοντα καὶ οὐκ ἀταλαίπωρον τὴν παιδαγωγίαν, ἵν' ὥσπερ τινὰ μελέτησιν τῶν τελειοτέρων τὰ ἐν σκιαῖς ἔχοντες, καὶ προκατηχούμενοι τὸ μυστήριον, μὴ τοῖς τυχοῦσιν ἁπλῶς καταπτοοῖντο δείμασιν, εἰς ἀποδρομὴν καὶ ἀπόστασιν τὴν ἀπὸ Χριστοῦ, προγεγυμνασμένοι δὲ ὥσπερ καὶ ἀναμανθάνοντες τὸ ἀληθῶς ὠφελοῦν, ἑτοιμότεροι μὲν ἂν εἶεν πρὸς τὴν τῆς ἀληθείας ἔφεσίν τε καὶ προθυμίαν, ἐρηρεισμένην δὲ καὶ ἀ[να]κατάσειστον ἔχοιεν τὴν εἰς Θεὸν ἀγάπησιν. Διὰ μακρᾶς οὖν ὥσπερ καὶ οὐκ εὐθείας ὁδοῦ, τῆς κατὰ τὸ γράμμα λατρείας, παιδαγωγὸς ἦν ὁ νόμος. Χριστὸς δὲ οὐχ οὕτω. Παρέδειξε γὰρ ἡμῖν τὴν εἰς εὐθὺ καὶ ἀγχοῦ, τοῦτ' ἔστι, τὴν διὰ πίστεως, μεταχαλκεύων εἰς εὐτολμίαν, καὶ εἰς τὸ χρῆναι λοιπὸν κατανδρίζεσθαι τῶν ἀνθεστηκότων· τληπαθεῖν δὲ ὅτι μάλιστα φιλεῖν ὑπέρ τε τοῦ ἀγαθοῦ, καὶ ταῖς τοῦ διαβόλου μεθοδ[ε]ίαις ἀντιφέρεσθαι γεννικῶς, ἐκεῖνό που τάχα τὸ ἐν προφήτῃ λέγοντας· «Ἰδοὺ Κύριος βοηθεῖ μοι, τίς κακώσει με;» Τὸ δὲ δὴ τὴν οὕτως ἡμῖν ἀξιάγαστον εὐτολμίαν ἐμποιοῦν εἴη δή που πάντων ἂν ἕτερον οὐδὲν, παρὰ τὴν ἐξ ὕψους δύναμιν, τοῦτ' ἔστι, τὴν τοῦ ἁγίου Πνεύματος μέθεξίν τε καὶ κοινωνίαν. {ΠΑΛΛ.} Συνίημι ὃ φῄς, καί σε τῆς ἀγχινοίας ἄγαμαι. {ΚΥΡ.} Καὶ τόν γε τῆς διὰ Χριστοῦ σωτηρίας καιρὸν κατασημήνειεν ἂν εὐθὺς τὸ παρεζευγμένον. «Πέμπτῃ γὰρ, φησὶ, γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου.» Ἐκλελυτρώμεθα γὰρ ἐκ δουλείας, καὶ μὴν καὶ πόνων τῶν ἐν εἰκαίοις περισπασμοῖς, καὶ ταλαιπωρίας τῆς περὶ γῆν τε καὶ χοῦν (συνίῃς δὲ ὅ φημι), κατὰ τὴν εὐαγγελικὴν παραβολὴν, ὡς ἐν πέμπτῃ γενεᾷ, τῷ πέμπτῳ καιρῷ. «Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ.» Τουτὶ δὲ καὶ περὶ τὴν ἕκτην τε καὶ τὴν ἐνάτην ἔφη δρᾷν· «Περὶ δὲ τὴν ἑνδεκάτην, εὗρεν ἄλλους ἀργοὺς, ἔφη τε πρὸς ἐκείνους· Τί ἑστήκατε ὧδε ὅλην τὴν ἡμέραν ἀργοί; ὑπάγετε, καὶ ὑμεῖς ἐργάζεσθε εἰς τὸν ἀμπελῶνά μου.» Ἄθρει δὴ οὖν, ὡς ἐν πέμπτῃ γενεᾷ πεμπομένους εἰς τὸν ἀμπελῶνα τοὺς τελευταίους, καὶ ἐν καιροῖς τοῖς 68.268 ἐσχάτοις, ὅτε γέγονεν ἄνθρωπος ὁ Μονογενὴς, καὶ τὴν ὑπὲρ τῆς ἁπάντων ζωῆς ὑπομεμένηκε σφαγήν. Τοιγάρτοι καὶ ὁ Μωσέως διετύπου νόμος, λαμβάνεσθαι μὲν τὸν ἀμνὸν ἀπὸ δεκάτης τοῦ πρώτου μηνὸς, σφάζεσθαι δὲ πρὸς ἑσπέραν τῆς τεσσαρεσκαιδεκάτης τοῦ αὐτοῦ μηνὸς, ἵν' ἐν ταὐτῷ καὶ ὁ πέμπτος ἡμῖν καιρὸς, ὡς ἐν ἡμέρᾳ τῇ πέμπτῃ, καὶ τοῖς ἐπὶ τέλει τοῦ αἰῶνος, τὴν τοῦ Σωτῆρος γενέσθαι σφαγὴν διὰ τοῦ, πρὸς ἑσπέραν, σημαίνηται. {ΠΑΛΛ.} Ἅπας οὖν, ὡς ἔοικε,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς θεοπνεύστου Γραφῆς ὁ σκοπὸς εἰς τὸ Χριστοῦ βλέπει μυστήριον; {ΚΥΡ.} Παντάπασι μὲν οὖν· τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός· «Ἐπεὶ μηδέ ἐστιν ὄνομα ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.» Ἔφη γὰρ ὧδε τοῦ Σωτῆρος ὁ μαθητὴς, καὶ γείτων ἡ δεῖξις, εἰ τοῖς ἐφεξῆς προσβάλλοιμεν. «Ἐξάραντες, φησὶν, οἱ υἱοὶ Ἰσραὴλ ἐκ Σοκχὼθ, ἐστρατοπέδευσαν ἐν Ὀθὼμ παρὰ τὴν ἔρημον· ὁ δὲ Θεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν ἐν στύλῳ νεφέλης, δεῖξαι αὐτοῖς τὴν ὁδὸν, τὴν δὲ νύκτα ἐν στύλῳ πυρός· οὐκ ἐξέλιπεν ὁ στύλος τοῦ πυρὸς νυκτὸς ἐναντίον παντὸς τοῦ λαοῦ.» Ὁρᾷς ὅπως τῆς τῶν Αἰγυπτίων γῆς ἐκπεφοιτηκότων τῶν ἐξ Ἰσραὴλ καθηγεῖτο Θεὸς ἐν στύλῳ νεφέλης καὶ πυρός; ἐγράφετο δὲ δι' ἀμφοῖν ὁ Χριστός. {ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Πρῶτον μὲν, ὅτι στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας ἐστὶν ἀκατάσειστόν τε καὶ ἄθραυστον παντελῶς, καὶ ἀνέχων τῆς γῆς ὑψοῦ. Ἀπηλλάγμεθα γὰρ ἐν Χριστῷ τοῦ φρονεῖν τὰ σαρκὸς, καὶ τοῖς ἐπιγείοις ἐγκαλινδεῖσθαι κακοῖς· αἰρόμεθα δὲ ὥσπερ ὑψοῦ δι' αὐτοῦ, ἄνω φρονοῦντες, καὶ ἐν οὐρανῷ πολιτευόμενοι. Γέγραπται γὰρ, ὅτι «Τοῦ Θεοῦ οἱ κρατα[ι]οὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.» Ἔφη δέ που Χριστὸς καὶ διὰ φωνῆς τοῦ Δαβὶδ περί τε τῆς γῆς καὶ τῶν ἁγίων ἀποστόλων· «Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς.» Ἐστερεώθησαν γὰρ οἱ τὴν γῆν ἀνέχοντες ἅγιοι μαθηταὶ τὴν ἐξ ὕψους δύναμιν, τοῦτ' ἔστι, τὴν διὰ τοῦ ἁγίου Πνεύματος χάριν ἀμφιασάμενοι. Στύλοι δὲ ἦσαν αὐτοὶ, κατὰ συμμορφίαν τὴν ὡς πρὸς Χριστὸν, καὶ καθ' ὁμοίωσιν τὴν ἐν χάριτι διὰ Πνεύματος. Ἐκδέξῃ δὴ οὖν οὐχ ἑτέρου του χάριν, ἢ ὧν ἔφαμεν ἀρτίως, στύλον ἡμῖν ὠνομάσθαι Χριστόν· καθηγεῖτό γε μὴν ἡμέρας μὲν οὔσης, ἐν στύλῳ νεφέλης, τὴν δὲ νύκτα, φησὶν, ἐν στύλῳ πυρὸς, δεῖξαι αὐτοῖς τὴν ὁδόν. Νύκτα μὲν ὀνομάζειν ἔθος τῇ θείᾳ Γραφῇ, τὸν πρὸ τῆς ἐπιδημίας καιρὸν, καθ' ὃν ἔτι τυραννοῦντος τοῦ Σατανᾶ, κατεκράτει τῶν ἐπὶ τῆς γῆς τῆς ἀγνωσίας ὁ σκότος· ἡμέραν δὲ αὖ, τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὸν χρόνον, καθ' ὃν πεφωτίσμεθα, τὰς τῆς ἀληθοῦς θεογνωσίας αὐγὰς εἰσδεξάμενοι κατὰ νοῦν, καὶ τὸν τῆς δικαιοσύνης ἥλιον τοῖς τῆς καρδίας ὄμμασι βλέποντες· καὶ μαρτυρήσει λέγων ὁ Παῦλος περὶ τοῦ χρόνου τοῦ πρὸ τῆς ἐπιδη 68.269 μίας καὶ τοῦ κατ' αὐτήν· «Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτὸς, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν.» Νοουμένου τοιγαροῦν εἰς νύκτα τοῦ πάλαι καιροῦ, εἰς ἡμέραν δὲ αὖ τοῦ καθ' ὃν γέγονεν ἄνθρωπος ὁ Μονογενὴς, φαμὲν ὅτι προηγεῖτο μὲν τῶν ἐξ Ἰσραὴλ ἐν εἴδει πυρὸς, ὡς ἐν τῷ κατακρίνοντί τε καὶ κολάζοντι νόμῳ (κολάσεως γὰρ σημεῖον τὸ πῦρ)· ἡμῶν δὲ ἐν εἴδει νεφέλης, ὡς ἐν τύπῳ τοῦ ἁγίου βαπτίσματος καὶ τῆς δι' ὕδατος σωτηρίας. Ἢ οὐχ ὕδωρ ἡ νεφέλη; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Ἐκπεφοιτηκότων δὲ τῆς Αἰγυπτίων τῶν ἐξ Ἰσραὴλ, ἀνεκαίετο πρὸς ὀργὰς ὁ πάλαι πλεονεκτῶν, τοῦτ' ἔστιν ὁ Φαραὼ, καὶ διώκειν ἐπεχείρει. «Ἔζευξε γὰρ,» φησὶ, «τὰ ἅρματα αὐτοῦ καὶ πάντα τὸν λαὸν συναπενέγκαι μεθ' ἑαυτοῦ, καὶ λαβὼν ἑξακόσια ἅρματα ἐκλεκτὰ, καὶ πᾶσαν τὴν ἵππον τῶν Αἰγυπτίων, καὶ τριστάτας ἐπὶ πάντων.» Καὶ μεθ' ἕτερα πάλιν· «Ἀναβλέψαντες δὲ οἱ υἱοὶ Ἰσραὴλ τοῖς ὀφθαλμοῖς ὁρῶσιν, καὶ ἰδοὺ οἱ Αἰγύπτιοι ἐστρατοπέδευσαν ὀπίσω αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. Ἀνεβόησαν δὲ οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον, καὶ κατεφέροντο τοῦ Μωσέως ἀναφανδὸν λέγοντες· Παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν γῇ Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς θανατῶσαι ἐν τῇ ἐρήμῳ; τί τοῦτο ἐποίησας ἡμῖν ἐξαγαγὼν ἡμᾶς ἐξ Αἰγύπτου; Οὐ τοῦτο ἦν τὸ ῥῆμα ὃ ἐλαλήσαμεν πρὸς σὲ ἐν Αἰγύπτῳ, λέγοντες· Πάρες ἡμᾶς ὅκως δουλεύσωμεν Αἰγυπτίοις; Κρεῖσσον γὰρ ἡμᾶς δουλεύειν Αἰγυπτίοις, ἢ ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ.» Πρὸς τὰ τοιάδε Μωσῆς· «Θαρσεῖτε, φησὶ, στῆτε καὶ ὁρᾶτε τὴν σωτηρίαν τὴν παρὰ τοῦ Κυρίου ἣν ποιήσει ἡμῖν σήμερον. Ὃν τρόπον γὰρ ἑωράκατε Αἰγυπτίους σήμερον, οὐ προσθήσεσθε ἔτι ἰδεῖν αὐτοὺς εἰς τὸν αἰῶνα χρόνον. Κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ὑμεῖς σιγήσετε. Εἶπε δὲ Κύριος πρὸς Μωσῆν· Τί βοᾷς πρός


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

με; λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἀναζευξάτωσαν· καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου, καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ξήρανον αὐτήν. Καὶ εἰσελθέτωσαν οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν.» Καὶ τόν γε τῆς ἐπικουρίας τρόπον φανερὸν ἐποίει Θεός· «Ἐξῆρε γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ ὁ προπορευόμενος τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ, καὶ ἐπορεύθη ἐκ τῶν ὄπισθεν· ἐξῆρε δὲ καὶ ὁ στύλος τῆς νεφέλης ἀπὸ προσώπου αὐτῶν, καὶ ἔστη ἐκ τῶν ὀπίσω αὐτῶν· καὶ εἰσῆλθεν ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν Αἰγυπτίων, καὶ ἀνὰ μέσον παρεμβολῆς Ἰσραὴλ, καὶ ἔστη, καὶ ἐγένετο σκότος καὶ γνόφος. Καὶ διῆλθεν ἡ νὺξ, καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα.» Καὶ ταυτὶ μὲν ἡμῖν ὁ τῆς ἱστορίας ἐξυφαίνει λόγος· χρῆναι δὲ οἶμαι πάλιν ἡμᾶς τὴν τῶν νοημάτων ἀκρίβειαν ἰδεῖν λεπτὸν ἐνιέντες τοῖς γεγραμμένοις τὸν νοῦν. {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἐξαίρουσι τοιγαροῦν οἱ ἐξ Ἰσραὴλ εἰς τὴν ἁγίαν σπεύδοντες γῆν, ὡς ἐν στύλῳ πυρὸς καὶ νεφέλης προβιβάζοντός τε καὶ ἡγουμένου Θεοῦ. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν εἰς τὴν ἄνω τε καὶ ἁγίαν ἀφικνεῖσθαι 68.272 πόλιν, μὴ οὐχὶ καθηγουμένου Χριστοῦ, καὶ ἐναργῆ καθιστάντος τὴν τῆς σωτηρίας ὁδόν. Τοῖς γε μὴν τοῦτο δρᾷν ᾑρημένοις, ἐπιτρίζουσι μὲν τοὺς ὀδόντας οἱ κατὰ τόνδε τὸν κόσμον ἐχθροὶ, παραθήγει γε μὴν εἰς εὐτολμίαν ὁ νόμος καὶ παραθαρσύνει πεφοβημένους· καὶ ὅτι πεσεῖται τῶν ἐναντίων τὸ στῖφος, εὖ μάλα καταδηλοῖ· τὸ γὰρ ἐκ ποδῶν γενέσθαι τοὺς Αἰγυπτίους τουτί που πάντως ἡμῖν ὑπαινίττεται· τοὺς δὲ ἐν φόβοις ὄντας τοῦ παθεῖν, ὡς ἐν τύπῳ πάλιν τοῦ ἁγίου βαπτίσματος διέσωζε Θεός. «Λάλησον γὰρ,» φησὶ, «τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἀναζευξάτωσαν· καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου, καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ξήρανον αὐτήν· καὶ εἰσελθέτωσαν οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης.» Ἢ οὐχ ὁ θεσπέσιος γράφει Παῦλος περὶ τῶν υἱῶν Ἰσραὴλ, ὅτι πάντες εἰς τὸν Μωσῆ ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ; {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Χρὴ τοιγαροῦν τοὺς ἀκολουθεῖν ἐθέλοντας τῷ Χριστῷ, καὶ πρὸς τὴν ἄνω σπεύδοντας πόλιν, μὴ ἐνιζῆσαι τῷ νόμῳ, μηδὲ ταῖς διὰ Μωσέως ἐντολαῖς ἀμεταστάτως ἐγκαταυλίζεσθαι, καὶ σκιαῖς καὶ τύποις ἐμφιλοχωρεῖν· ἀναζευγνύναι δὲ μᾶλλον καὶ μεταχωρεῖν ἑτέρωσε, τοῦτ' ἔστιν, ἐπὶ τὸ ἅγιον βάπτισμα. Τοῦτο γὰρ ἔδρων οἱ πάλαι κατὰ πρόσταξιν Θεοῦ διὰ μέσων ἰόντες κυμάτων, καὶ ὡς ὁ Παῦλός φησιν, ἐν θαλάσσῃ βαπτιζόμενοι· τότε γὰρ δὴ, τότε καὶ αὐτὸν ἕξουσιν ἀρωγὸν τὸν Θεοῦ τε καὶ ἀνθρώπων μεσίτην, Χριστὸν Ἰησοῦν. Θεὸς γὰρ ὢν ὁ Λόγος, γέγονε σάρξ· καὶ καθ' ἕτερον δὲ τρόπον, μεσίτην οἰκονομικῶς ὡς διὰ μέσου χωρεῖν εἰωθότα τῶν τε σεβομένων αὐτὸν καὶ τῶν διωκόντων αὐτοὺς, καὶ συμμίσγειν οὐκ ἐῶντα, τάς τε τῶν ἐναντίων ἐφόδους ἀποκωλύοντα. «Ἐξῆρε γὰρ,» φησὶν, «ὁ ἄγγελος τοῦ Θεοῦ, καὶ ὁ στύλος τῆς νεφέλης, καὶ εἰσῆλθεν ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν Αἰγυπτίων, καὶ ἀνὰ μέσον τῆς παρεμβολῆς Ἰσραὴλ, καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα.» Ὡς ἐν ἀγγέλῳ δὲ πάλιν καὶ ὡς ἐν στύλῳ νεφέλης ὁ Χριστὸς σημαίνεται. Καλεῖται γὰρ τὸ ὄνομα αὐτοῦ, «μεγάλης βουλῆς Ἄγγελος.» {ΠΑΛΛ.} Μεσολαβοῦντος ἄρα Χριστοῦ, τοῖς πολεμεῖν ἐθέλουσιν οὐ συμμίξομεν; {ΚΥΡ.} Ὧδε μὲν ἔχει τὸ χρῆμα· νοεῖς γὰρ ὀρθῶς. Πλὴν ἐκεῖνό φημι, καὶ οὐκ ἀπὸ σκοποῦ, καθάπερ ἐγῷμαι, τὸ δοκοῦν οἰχήσεται· ἄρτι μὲν γὰρ τῆς φιληδόνου τε καὶ ἐγκοσμίου ζωῆς ἀποφοιτᾷν ᾑρημένοι, ἕπεσθαί τε δεῖν ὅτι μάλιστα διεσπουδακότες τοῖς τοῦ Θεοῦ νόμοις, οὔπω γε μὴν τὴν διὰ τοῦ ἁγίου βαπτίσματος καταπλουτήσαντες χάριν, οὐ λίαν ἐσμὲν εὐσθενεῖς, ἤγουν ἐπιτήδειοι πρὸς τὸ χρῆναι τληπαθεῖν, καὶ ἀνασχέσθαι πόνων τῶν ὑπὲρ ἀρετῆς, καὶ πολέμων πεῖραν δύνασθαι διενεγκεῖν. Ὥσπερ δὲ τὰ ἀρτιθαλῆ τῶν φυτῶν, τῆς ἀκμαιοτάτης μὲν τοῦ ἡλίου βολῆς παραιτεῖται τὸ βλάβος, ἀδικοῖντο δ' ἂν οὐ μετρίως, εἰ πνευμάτων ἐμβολαῖς ἀγριωτέραις διακραδαίνοιντο, δεῖ δὲ δὴ πάντως αὐτοῖς τῶν ἐκ τέχνης ἐπικουρημάτων, καὶ τῆς ἐν κύκλῳ περιβολῆς· κατὰ τὸν αὐτὸν, οἶμαι, του 68.273 τονὶ τρόπον καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ, ἄρτι τῆς ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παθῶν δουλείας ἐκτρέχουσα, καὶ πρὸς τὰ ἀμείνω μεθορμιζομένη, καὶ τῷ θείῳ κατακολουθεῖν ἐθέλουσα νόμῳ, τρυφερόνους τέ ἐστι καὶ εὐαφεστέρα, καὶ ἀνασοβοῖτο εὐκόλως, ἀνόπιν ἱδρῶτα τεθεαμένη καὶ πολέμου νόμον, ἀσπαστὸν δὲ ἡγήσεται τὸ ἐν οἷς ἦν ποτε διαγενέσθαι πάλιν. Καὶ γοῦν οἱ ἐξ Ἰσραὴλ τὴν τῶν Αἰγυπτίων τεθεαμένοι παρασκευὴν, καὶ πρὸς μόνην τοῦ πολέμου τὴν θέαν ἀπειρηκότες, ἐπεφύοντο λέγοντες τῷ θεσπεσίῳ Μωσῇ· «Οὐ τοῦτο ῥῆμα ἦν ὃ ἐλαλήσαμεν ἐν Αἰγύπτῳ πρὸς σὲ λέγοντες, Πάρες ἡμᾶς, ὅπως δουλεύσωμεν τοῖς Αἰγυπτίοις; κρεῖσσον γὰρ ἡμᾶς δουλεύειν Αἰγυπτίοις, ἢ ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ.» Οὐκοῦν ἀδρανὴς εἰς μάχην, καὶ πρὸς δουλείαν ἑτοιμοτάτη, καὶ εὐκαταπτόητος κομιδῇ πρὸ τοῦ ἁγίου βαπτίσματος ἡ τοῦ ἀνθρώπου ψυχή· εἰ δὲ δὴ τυχοῦσα τῆς χάριτος τὴν ἐξ ὕψους δύναμιν ἀμφιάσαιτο, εὐσθενέστατα μὲν ἀντεγκομιεῖ τοῖς διώκειν ἐθέλουσι, καὶ διαμαχεῖται γενναίως, ῥᾷστα δ' ἂν διακρούσαιτο τὰς τῶν πολεμίων ἐπαναστάσεις, στρατηγοῦντός τε καὶ προασπίζοντος Χριστοῦ. Περιεσόμεθα γὰρ οὐχ ἑτέρως ἢ κατὰ τοῦτον αὐτὸν τὸν τρόπον. {ΠΑΛΛ.} Σκόπει δὴ οὖν διὰ ποίων ἡμῖν καὶ τοῦτο παραστήσεις παραδειγμάτων· ἀπορήσεις γὰρ οὔτι που. {ΚΥΡ.} Διὰ πλείστων μὲν οὖν ὅσων καταδεῖξαι ῥᾷον, πλὴν ἀπό γε πρώτου τοῦ γείτονος, καὶ ἐξ ὧν αὐτὸς γέγραφεν ὁ Μωσῆς· οἱ γὰρ πρὸς μόνην ἀπειρηκότες τῶν Αἰγυπτίων τὴν θέαν, ἐπειδὴ τὴν Ἐρυθρὰν διέβησαν θάλασσαν, καὶ τὸν τοῦ ἁγίου βαπτίσματος ἐπλήρουν τύπον (ἐβαπτίσθησαν γὰρ, φησὶν, εἰς Μωσέα, καθάπερ καὶ ὁ σοφὸς γράφει Παῦλος, ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ), μάχιμοί τε ἤδη καὶ δεινοὶ πρὸς ἀντίστασιν ἀνεδείκνυντο τοῖς ἐχθροῖς, πλὴν διὰ Χριστοῦ. Γέγραπται δὲ οὕτως· «Ἦλθε δὲ Ἀμαλὴκκαὶ ἐπολέμει Ἰσραὴλ ἐν Ῥαφδίν. Εἶπε δὲ Μωσῆς τῷ Ἰησοῦ· Ἐπίλεξαι σεαυτῷ ἄνδρας δυνατοὺς, καὶ ἐξελθὼν παράταξαι τῷ Ἀμαλὴκ αὔριον· καὶ ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς κορυφῆς τοῦ βουνοῦ, καὶ ἡ ῥάβδος τοῦ Θεοῦ ἐν τῇ χειρί μου. Καὶ ἐποίησεν Ἰησοῦς, καθάπερ αὐτῷ εἶπε Μωσῆς, καὶ ἐξελθὼν παρετάξατο τῷ Ἀμαλήκ· καὶ Μωσῆς, καὶ Ἀαρὼν, καὶ Ὢρ ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ. Καὶ ἐγίνετο, ὅταν ἐπῆρε Μωσῆς τὰς χεῖρας κατίσχυεν Ἰσραὴλ, ὅταν δὲ καθῆκε τὰς χεῖρας, κατίσχυεν Ἀμαλήκ. Αἱ δὲ χεῖρες Μωσῆ βαρεῖαι, καὶ λαβόντες λίθον ἐπέθηκαν ὑπ' αὐτὸν, καὶ ἐκάθητο ἐπ' αὐτοῦ, καὶ Ἀαρὼν, καὶ Ὢρ ἐστήριζον τὰς χεῖρας αὐτοῦ, ἐντεῦθεν εἷς, καὶ ἐντεῦθεν εἷς· καὶ ἐγίνοντο αἱ χεῖρες Μωσῆ ἐστηριγμέναι ἕως δυσμῶν ἡλίου· καὶ ἐτρέψατο Ἰησοῦς τὸν Ἀμαλὴκ, καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν φόνῳ μαχαίρας. Εἶπε δὲ Κύριος πρὸς Μωσῆν· Κατάγραψον τοῦτο εἰς μνημόσυνον ἐν βιβλίῳ, καὶ δὸς εἰς τὰ ὦτα Ἰησοῦ, ὅτι ἀλοιφῇ ἐξαλείψω τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν. Καὶ ᾠκοδόμησε Μωσῆς θυσιαστήριον τῷ Κυρίῳ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, Κύριος καταφυγή μου, ὅτι ἐν χειρὶ κρυφαίᾳ πολεμεῖ Κύριος ἐπὶ Ἀμαλὴκ ἀπὸ γενεῶν εἰς γενεάς.» 68.276 {ΠΑΛΛ.} Καὶ τίς ἂν γένοιτο τῶν γεγραμμένων ὁ νοῦς; συνίημι γὰρ οὐ σφόδρα. {ΚΥΡ.} Καὶ μὴν, ὡς ἐγῷμαι, χαλεπὸν οὐδὲν τοῖς ἐθέλουσιν ἰδεῖν· προσταττόμενον γὰρ ὑπὸ Μωσέως ἐννοήσας Ἰησοῦν, τί ἂν ἕτερον ὑποτοπήσαι τις ἂν, ἢ ἐκεῖνό που πάντως, ὅτι Θεὸς ὢν ὁ Λόγος, γέγονεν ὑπὸ νόμον, κατά γε τὸ τῆς ἀνθρωπότητος σχῆμα, καὶ ὑπετάχθη τρόπον τινὰ ταῖς διὰ Μωσέως ἐντολαῖς κατὰ διαφόρους τρόπους, ὧδε μὲν ὑπομένων τὴν κατὰ σάρκα περιτομὴν, ὧδε δὲ τὰ δίδραχμα τελῶν, καὶ τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον συγκαθιστάμενος, λέγων τε σαφῶς· «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι.» Ἀλλ' εἰ καὶ γέγονεν ὑπὸ νόμον διὰ τὸ ἀνθρώπινον, ἀλλ' ἦν καὶ οὕτω Θεός, Σωτήρ τε καὶ Λυτρωτὴς παντὸς τοῦ λαοῦ. Ἐπιλεξάμενος γὰρ ἐκ παντὸς τοῦ λαοῦ Ἰσραὴλ, καὶ ἐκ παντὸς ἔθνους ἄνδρας δυνατοὺς, φημὶ δὲ δὴ πάλιν τοὺς ἁγίους ἀποστόλους καὶ τοὺς διὰ πίστεως κεκλημένους, οἷς ἂν λέγοιτο καλῶς· «Ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν.» Παρετάξατο σὺν αὐτοῖς τῷ ἄρχοντι τοῦ αἰῶνος τούτου· περὶ οὗ φησιν ὁ πάντων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεσπότης, αὐτὸς ὁ πάντα νικῶν· «Νῦν κρίσις ἐστὶ τοῦ αἰῶνος τούτου, νῦν ὁ ἄρχων τοῦ αἰῶνος τούτου ἐκβληθήσεται ἔξω.» Στεφανοῖ δὲ ψήφῳ λαμπρᾷ καὶ τοὺς σὺν αὐτῷ τε καὶ δι' αὐτοῦ νικήσαντας ὁ θεσπέσιος Ἰωάννης· «Γράφω ὑμῖν,» φησὶ, «νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ νενικήκατε τὸν Πονηρόν.» Ἢ οὐκ ἀληθὲς ὅ φημι; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Καὶ εἰς αὔριον μὲν τὴν παράταξιν ἐπιτελεῖσθαι δεῖν ἔφη Μωσῆς· οὐ γὰρ ἐν χρόνῳ τῷ κατ' αὐτὸν τὰ Χριστοῦ πέφηνε κατορθώματα· πέπρακται δὲ μᾶλλον ἐν τῷ ἑξῆς καὶ γείτονι, τοῦτ' ἔστι, κατὰ Μωσέα καὶ νόμον. Εἶτα πρός τινα βουνὸν καὶ ἐπὶ κορυφὴν ἄνεισι γηλόφου Μωσῆς, ὡς ἂν δύναιτο καταθρεῖν τὴν μάχην καὶ τὰ ἐν αὐτῇ τοῦ πάντων Ἰησοῦ κατορθώματα. Ἀναβιβάζει γὰρ συμμέτρως καὶ ἡ κατὰ νόμον μυσταγωγία πρὸς τὸ οἱονεὶ μακρόθεν δύνασθαι καθορᾷν τὰ Χριστοῦ στρατηγήματα. Καὶ ἀνατείνοντος μὲν Μωσέως τὰς χεῖρας, κατίσχυεν Ἰσραήλ· καθιέντος δὲ, ἠσθένει, καὶ κατίσχυε Ἀμαλήκ· ἀνάλωτος γὰρ αὐτῷ τε τῷ διαβόλῳ καὶ παντὶ γέγονεν ἐχθρῷ, καὶ καταδηοῦν ἐθέλοντι πικρῶς, οὐχὶ δή που πᾶς Ἰσραὴλ, ἀλλ' ὅσοι τὴν πρὸς Χριστὸν τετιμήκασι συμμορφίαν, διὰ τοῦ φορέσαι τὸν ὀνειδισμὸν αὐτοῦ, τοῦτ' ἔστι, τὸν τίμιον σταυρόν· χεῖρες γὰρ ἀποτάδην εἰς ἀέρα δεικνύμεναι, τὸ τοῦ σταυροῦ σχῆμα γράφουσιν ἐναργῶς. Ὅσοι γε μὴν οὐ προσήκαντο τὸν σταυρὸν, εὐκατάδρομοι γεγόνασι τοῖς ἐχθροῖς, οὐκ ἔχοντες τὸν ἐπαρωγόν. Ὅταν οὖν ἡμῖν ἐκτείνῃ τὰς χεῖρας Μωσῆς, τὸ τοῦ σταυροῦ σχῆμα δεικνύων, πίπτει δὲ ἀτονήσας ὁ Ἀμαλὴκ, σημαίνει που πάντως τὸ σχῆμα ἡμῖν τοὺς διὰ τοῦ τιμίου σταυροῦ νικῶντας τὸν Σατανᾶν, καὶ κατισχύοντας τῶν ἐχθρῶν Ὅταν δὲ καθιέντα τὰς χεῖρας βλέπωμεν, εἶτα κατισχύοντα τὸν Ἀμαλὴκ, τοὺς ὑπὸ τῷ διαβόλῳ γεγενη 68.277 μένους καὶ νενικημένους ἐννοήσομεν, διὰ τὸ μὴ δεῖν ἐθέλειν προσήκασθαι τὸν σταυρὸν, οἷς καὶ ὁ Χριστὸς προσεφώνει λέγων· «Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ πιστεύσητε, ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε.» Βαρείας δὲ εἶναί φησι τὰς χεῖρας Μωσέως, καὶ μόλις ἐπαιρομένας, ὀκνηρῶς τε λίαν ἐκτεινομένας, εἰς τὸ καταδεῖξαι δεῖν τὸ τοῦ σταυροῦ τίμιον σχῆμα, ἐκεῖνο οἶμαί που δηλῶν αἰνιγματωδῶς, ὡς οὐ λίαν ἕτοιμος ἦν εἰς τὸ παραδέχεσθαι τὴν πίστιν ὁ Ἰσραὴλ, δυσοκνότατά τε καὶ μόλις ἐρχόμενος εἰς τὸ θέλειν ἀναλαβεῖν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· σκάνδαλον γὰρ Ἰουδαίοις διά τοι τοῦτο καλῶς ὀνομάζει τὸν σταυρὸν καὶ ὁ θεσπέσιος Παῦλος. «Καὶ λαβόντες,» φησὶ, «λίθον, ὑπέθηκαν ὑπ' αὐτὸν, καὶ ἐκάθητο ἐπ' αὐτοῦ, καὶ Ἀαρὼν καὶ Ὢρ ἐστήριζον τὰς χεῖρας αὐτοῦ, ἐντεῦθεν εἷς, καὶ ἐντεῦθεν εἷς.» Λίθος δὲ τίμιος, ἐκλεκτὸς, ἀκρογωνιαῖος, ἔντιμος ὁ Χριστὸς, ἐφ' ᾧ καὶ ἀναπαυόμενοι (δηλοῖ γὰρ ἡ κάθησις τὴν ἀνάπαυσιν) οἱ ἐπιεικέστεροι δὲ καὶ εὐμαθέστεροι τῶν ἐξ Ἰσραὴλ, τὸ λῆμμα τῆς χάριτος τῆς κατ' ἐκλογὴν, ἁπλοῦσι τὰς χεῖρας, τοῦτ' ἔστι, καταδέχονται τὸν σταυρὸν, στηρίζοντος οἱονεί που καὶ διακρατοῦντος αὐτοὺς καὶ πρός γε τοῦτο Χριστοῦ, ὡς ἐν Ὥρ τε καὶ Ἀαρὼν σημαίνεται, νοούμενος ἐν ταὐτῷ κριτὴς καὶ ἀρχιερεύς. Ὢρ μὲν γὰρ ἦν ἀδέκαστος κριτής· Ἀαρὼν δὲ ἀρχιερεὺς, ὁ τὸ λῆμμα συνέχων, τὸ κατ' ἐκλογὴν χάριτος τῶν ἐξ Ἰσραὴλ, πρὸς τὴν διὰ πίστεως σωτηρίαν. Τουτὶ γὰρ οἶμαι δηλοῦν τὸ διὰ φωνῆς Ἡσαΐου προφητικῶς εἰρημένον· «Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν.» Πεπτωκότος τοιγαροῦν τοῦ ἀνθεστηκότος, φημὶ δὴ τοῦ Ἀμαλήκ· «Κατάγραψον,» φησὶν, «εἰς μνημόσυνον τοῦτο εἰς βιβλίον, καὶ δὸς εἰς τὰ ὦτα Ἰησοῦ.» Ἔμελλε γὰρ διὰ τῆς τῶν ἁγίων εὐαγγελιστῶν συγγραφῆς εἰς ἀτελεύτητον καὶ μακρὰν ἐκτείνεσθαι μνήμην τὰ διὰ Χριστοῦ κατορθώματα. Δίδοσθαί γε μὴν ἔφη τὴν συγγραφὴν εἰς τὰ ὦτα τοῦ Ἰησοῦ. Ἀνάθημα γὰρ ὥσπερ ἔπαινοί τε καὶ ἐγκώμια τῷ Χριστῷ τὰ τῶν ἁγίων συγγράμματα. Πεπτωκότος δὲ ἤδη καὶ νενικημένου τοῦ Ἀμαλὴκ, ἀνίστησιν ὁ Μωσῆς θυσιαστήριον τῷ Θεῷ· καταγράφει δὲ καὶ αὐτῷ ὄνομα, «Κύριός μου, καταφυγή μου.» Τύπος δὲ ἂν εἴη καὶ τοῦτο Χριστοῦ. Κύριος γὰρ ἡμῖν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γέγονε καὶ καταφυγή· νενικηκὼς γὰρ τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, πατήσας δὲ τοῦ θανάτου τὸ κράτος, καὶ ἀναθεὶς ἑαυτὸν ὑπὲρ ἡμῶν ὥσπερ ἄμωμον ἱερεῖον, εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί. Τύπος οὖν ἄρα Χριστοῦ, τὸ θυσιαστήριον, ᾧ καὶ πρέπον τε καὶ ἀληθὲς ὄνομα, «Κύριός μου, καταφυγή μου.» {ΠΑΛΛ.} Σύμφημι· νοεῖς γὰρ ὀρθῶς. {ΚΥΡ.} Ἐν χειρὶ δὲ κρυφαίᾳ πολεμήσας τὸν νοητὸν Ἀμαλὴκ καὶ νενικηκὼς ὁ Χριστὸς, κατεκράτησε τῶν ἐθνῶν, καὶ διήρπασεν αὐτοῦ τὰ σκεύη, καθά 68.280 φησιν αὐτὸς, καταδήσας τὸν ἰσχυρόν. Τὴν γὰρ ὑπ' ἐκείνῳ πράττουσαν ἀγέλην ποτὲ, φημὶ δὴ τοὺς ἐξ ἐθνῶν, τοῖς ἀρχαιοτέροις συνῆψε ποιμνίοις· τοιγάρτοι καὶ ἔφασκε· «Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.» Χριστὸς δέ ἐστιν ἡ εἰρήνη ἡμῶν, κατὰ τὰς Γραφὰς, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, καὶ τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, καὶ εἰς ἕνα καινὸν ἄνθρωπον τούς τε ἐκ περιτομῆς καὶ τοὺς ἔξω νόμου συνενεγκών. Ἄθρει δὴ οὖν πάλιν τοῦτο μέγα μυστήριον, τοῖς ἀρτίως ἡμῖν εἰρημένοις παρεζευγμένον, ὡς ἐν σκιᾷ καὶ αἰνίγμασιν. «Ἤκουσε γὰρ,» φησὶν, «Ἰοθὸρ, ὁ ἱερεὺς Μαδιὰμ, ὁ γαμβρὸς Μωσῆ, πάντα ὅσα ἐποίησε Κύριος Ἰσραὴλ τῷ ἑαυτοῦ λαῷ· ἐξήγαγε γὰρ Κύριος τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου. Ἔλαβε δὲ καὶ Ἰοθὸρ ὁγαμβρὸς Μωσέως Σεπφώραν τὴν γυναῖκα Μωσῆ μετὰ τὴν ἄφεσιν αὐτῆς, καὶ τοὺς δύο υἱοὺς αὐτῆς· ὄνομα τῷ ἑνὶ Γερσὰν, λέγων· Πάροικος ἤμην ἐν γῇ ἀλλοτρίᾳ· καὶ τὸ ὄνομα τοῦ δευτέρου Ἐλιεζὲρ, λέγων· Ὁ γὰρ Θεὸς τοῦ πατρός μου βοηθός μου, καὶ ἐξείλετό με ἐκ χειρὸς Φαραώ. Καὶ ἦλθεν Ἰοθὸρ ὁ γαμβρὸς Μωσῆ, καὶ οἱ υἱοὶ καὶ ἡ γυνὴ, πρὸς Μωσῆν εἰς τὴν ἔρημον, οὗ παρέλαβεν ἐπὶ τὸ ὄρος τοῦ Θεοῦ. Ἀνηγγέλη δὲ Μωσῇ λέγοντες· Ἰδοὺ ὁ γαμβρός σου Ἰοθὸρ πα-ραγίνεται πρὸς σὲ, καὶ ἡ γυνὴ καὶ οἱ δύο υἱοί σου μετ' αὐτοῦ. Ἐξῆλθε δὲ Μωσῆς εἰς συνάντησιν τῷ γαμβρῷ αὐτοῦ Ἰοθὸρ, καὶ προσεκύνησεν αὐτῷ, καὶ κατεφίλησεν αὐτὸν, καὶ ἠσπάσαντο ἀλλήλους, καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν σκηνήν· καὶ διηγήσατο Μωσῆς τῷ γαμβρῷ πάντα ὅσα ἐποίησεν ὁ Κύριος τῷ Φαραὼ καὶ τοῖς Αἰγυπτίοις ἕνεκα τοῦ Ἰσραὴλ, καὶ πάντα τὸν μόχθον τὸν γενόμενον αὐτοῖς ἐν τῇ ὁδῷ, καὶ ὅτι ἐξείλετο αὐτοὺς Κύριος ἐκ χειρὸς Φαραὼ, καὶ ἐκ χειρὸς τῶν Αἰγυπτίων. Ἐξέστη δὲ ὁ Ἰοθὸρ ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς οἷς ἐποίησεν αὐτοὺς Κύριος, ὅτι ἐξείλετο αὐτοὺς Κύριος ἐκ χειρὸς Αἰγυπτίων καὶ ἐκ χειρὸς Φαραώ. Καὶ εἶπεν Ἰοθόρ· Εὐλογητὸς Κύριος, ὅτι ἐξείλετο τὸν λαὸν αὐτοῦ ἐκ χειρὸς τῶν Αἰγυπτίων, καὶ ἐκ χειρὸς Φαραώ. Νῦν ἔγνων, ὅτι μέγας Κύριος παρὰ πάντας τοὺς θεοὺς, ἕνεκεν τούτου, ὅτι ἐπέθεντο αὐτοῖς. Καὶ ἔλαβεν Ἰοθὸρ γαμβρὸς Μωσῆ ὁλοκαυτώματα καὶ θυσίας τῷ Θεῷ· παρεγένοντο δὲ Ἀαρὼν καὶ πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ συμφα-γεῖν ἄρτον μετὰ τοῦ γαμβροῦ Μωσέως ἐναντίον τοῦ Θεοῦ. Καὶ ἐγένετο μετὰ τὴν ἐπαύριον, συνεκάθισε Μωσῆς κρίνειν τὸν λαόν· παρειστήκει δὲ ὁ λαὸς πᾶς Μωσῇ ἀπὸ πρωΐθεν ἕως ἑσπέρας. Ἰδὼν δὲ Ἰοθὸρπάντα ὅσα ἐποίησε τῷ λαῷ, λέγει· Τί τοῦτο ὃ σὺ ποιεῖς τῷ λαῷ; διὰ τί σὺ κάθησαι μόνος, πᾶς δὲ λαὸς παρέστηκέ σοι ἀπὸ πρωΐ ἕως δείλης; Καὶ λέγει Μωσῆς τῷ γαμβρῷ· Ὅτι παραγίνεται ὁ λαὸς πρός με ἐκζητῆσαι κρίσιν παρὰ Θεοῦ. Ὅταν γὰρ γένηται αὐτοῖς ἀντιλογία καὶ ἔλθωσι πρός με, διακρίνω ἕκαστον, καὶ συμβιβάζω αὐτοὺς τὰ προστάγματα τοῦ 68.281 Θεοῦ καὶ τὸν νόμον αὐτοῦ. Εἶπε δὲ ὁ γαμβρὸς Μωσῆ πρὸς αὐτόν· Οὐκ ὀρθῶς σὺ ποιεῖς τὸ ῥῆμα τοῦτο, οὐ δυνήσῃ σὺ ποιεῖν μόνος. Νῦν δὲ ἄκουσόν μου, καὶ συμβουλεύσω σοι, καὶ ἔσται ὁ Θεὸς μετὰ σοῦ. Γίνου σὺ τῷ λαῷ τὰ πρὸς τὸν Θεὸν, καὶ ἀνοίσεις τοὺς λόγους αὐτῶν πρὸς τὸν Θεὸν, καὶ διαμαρτύρει αὐτοῖς τὰ προστάγματα τοῦ Θεοῦ καὶ τὸν νόμον αὐτοῦ, καὶ σημανεῖς αὐτοῖς τὰς ὁδοὺς, ἐν αἷς πορεύσονται ἐν αὐταῖς, καὶ τὰ ἔργα ἃ ποιήσουσι. Καὶ σὺ σαυτῷ σκέψαι ἀπὸ παντὸς τοῦ λαοῦ ἄνδρας, φησὶ, δυνατοὺς, καὶ κρινοῦσι τὸν λαόν.» Καὶ μεθ' ἕτερα πάλιν· «Ἤκουσε δὲ,» φησὶ, «Μωσῆς τῆς φωνῆς τοῦ γαμβροῦ αὐτοῦ, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐποίησεν ὅσα αὐτῷ εἶπεν.» {ΠΑΛΛ.} Ἴθι δή μοι πάλιν, καὶ ἀνὰ μέρος ἕκαστα διαλαβὼν, διασάφει. {ΚΥΡ.} Ἦ οὐκ εἶναι φῂς ἀλλογενῆ τε καὶ ἐξ ἐθνῶν τὸν Μαδιηναῖον; Οὐ γάρ που ῥίζης τῆς Ἀβραὰμ ἐξέφυ· ἦν δὲ καὶ ἑτέρως ἱερουργός τε καὶ λάτρις τῆς κατ' ἐκεῖνο καιροῦ νενομισμένης ἐπὶ τῆς γῆς ἐθελοθρησκείας. Προσεκύνουν μὲν γὰρ, ὡς πολὺς ἔχει λόγος, ᾤοντό τε αὐτοὶ κατὰ σφᾶς αὐτοὺς, ὑψίστῳ Θεῷ καθάπερ ἀμέλει καὶ Μελχισεδέκ· προσεδέχοντο δὲ καὶ ἑτέρους τάχα που θεοὺς, ἐναριθμοῦντες αὐτῷ τὰ ἐξαίρετα τῶν κτισμάτων, γῆν τε καὶ οὐρανὸν, ἥλιον καὶ σελήνην, καὶ τὰ τῶν ἄστρων ἐπισημότερα· καὶ πλημμέλημα μὲν ἀρχαῖον ἡ ἐπὶ τῷδε καταφθορὰ καὶ πλάνησις, διήκει δὲ καὶ εἰς δεῦρο καὶ παρατείνεται. Φρονοῦσι γὰρ ὧδε παραληροῦντες ἔτι τῶν ἐν τῇ Φοινίκῃ καὶ Παλαιστίνῃ τινὲς, οἳ σφᾶς μὲν αὐτοὺς θεοσεβεῖς ὀνομάζουσιν, οἶμον δέ τινα θρησκείας διαστείχουσι μέσην, οὔτε τοῖς Ἰουδαίων ἔθεσι καθαρῶς, οὔτε τοῖς Ἑλλήνων προσκείμενοι, εἰς ἄμφω δὲ ὥσπερ διαῤῥιπτούμενοι καὶ μεμερισμένοι. Ἑλομένοις δέ ποτε τοῖς ἐξ Ἰσραὴλ τὸ ὧδε φρονεῖν ὁ προφήτης Ἡλίας ἐπετίμα λέγων· «Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις; ἢ Βάαλ, Βάαλ, ἢ τῷ Θεῷ, Θεῷ.» Ἦν οὖν ἄρα καὶ Ἰοθὸρ τοιουτονί τινα, κατὰ τὸεἰκὸς, θρησκείας διέπων τρόπον. Ὃς ἐπείπερ ἔγνω τὰ παρὰ Θεοῦ γεγονότα πρὸς σωτηρίαν τῶν ἐξ Ἰσραὴλ, σεπτοῖς καὶ ἀξιαγάστοις διηγήμασι κατακηλούμενος, πανοικί τε καὶ παγγενεὶ πρὸς τὸν ἱερὸν ἀφικνεῖται Μωσέα· ὃς ἐπείπερ εἶδεν, ἀσμένως εἰσεδέξατό τε καὶ εἰσκεκόμικεν εἰς ἰδίαν σκηνήν. Ἀφηγεῖται δὲ ἀκριβέστερον τὰ διὰ τῆς θείας ἰσχύος εὖ μάλα κατορθώματα. Καὶ τὰ παντὸς ἐπέκεινα λόγου τερατουργήματα. Καλεῖται γὰρ εἰς μετάγνωσιν τὴν ὡς πρὸς Θεὸν ἡ τῶν πλανωμένων πληθὺς, φημὶ δὴ τὰ ἔθνη, ἐν πρώτοις μὲν ἐκ παρακουσμάτων ὧν ἄν τις ποιοῖτο περὶ Θεοῦ, εἶθ' οὕτως αὐτὰ δι' ἑαυτῶν πρὸς τὸν θεῖον ὥσπερ αὐτομολοῦντα νόμον, τοῦτ' ἔστι, τὴν διὰ γράμματος ἱεροῦ κατήχησιν. Ὥστε καὶ εἰς τὴν πρώτην εἰστρέχει σκηνήν. Εἰσαγωγικὸς γὰρ ὁ νόμος· εἶτα τοῖς ἀρχαιοτέροις διηγήμασιν ἀναπεπεισμένα, μεταχωρεῖ καὶ εἰς τὸ φρονεῖν ἑλέσθαι λοιπὸν, ὅτι δὴ Θεὸς εἷς τέ ἐστι καὶ μόνος, καὶ μὴν καὶ εἰς τὸ χρῆναι καρποφορεῖν αὐτῷ. Τὴν γάρ τοι Μωσέως διήγησιν ἀκηκοὼς ὁ Μαδιηναῖος, «Νῦν ἔγνων,» φησὶν, ὅτι μέγας Κύριος παρὰ πάντας τοὺς θεούς· 68.284 ἕνεκεν τούτου, ὅτι ἐπέθεντο αὐτοῖς. Καὶ ἔλαβεν Ἰοθὸρ ὁ γαμβρὸς Μωσῆ ὁλοκαυτώματα καὶ θυσίας τῷ Κυρίῳ.» Στειχειωτὴς οὖν ἄρα, καὶ εἰς πρώτας εἰσβολὰς ἡμᾶς τῆς ἀληθοῦς θεογνωσίας ἀποφέρει Μωσῆς, τοῦτ' ἔστιν, ἡ διὰ τῶν ἀρχαιοτέρων Γραμμάτων κατήχησις εἰσαγωγική. {ΠΑΛΛ.} Ἄραρεν. {ΚΥΡ.} Τελειοῖ δὲ Χριστὸς τοὺς διὰ νόμου κατηχουμένους. Νόμον δὲ εἰ λέγοιμι πάλιν, διαθήκην ἐννόει τὴν παλαιάν. Καὶ γοῦν πρὸς μὲν τὸν Ἰοθὸρ μόνοις ἐχρῆτο τοῖς περὶ Θεοῦ διηγήμασιν ὁ Μωσῆς· γνώμης τε εἰς τοῦτο μεθίστη λοιπὸν, ὡς διαῤῥήδην ὁμολογεῖν οὐκ εἶναι Θεὸν ἕτερον, πλὴν ὅτι μόνος ὁ εἷς, ὁ φύσει καὶ ἀληθῶς. Πίστις δὲ αὕτη κατηχουμένων ἡ πρώτη, τὸ τῆς πολυθέου δόξης ἀπαλλάττεσθαί φημι, καὶ τὸν ἀληθῶς ἕνα τε καὶ φύσει παραδέχεσθαι Θεόν. Ἀαρὼν δὲ τὸν Ἰοθὸρ καὶ τραπέζης ἠξίου, καὶ εἰς ἄρτου βρῶσιν ἐκάλει. «Παραγέγονε» γὰρ, φησὶν, «Ἀαρὼν καὶ πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ, συμφαγεῖν ἄρτον μετὰ τοῦ γαμβροῦ Μωσῆ ἐναντίον τοῦ Θεοῦ.» Τελειοῖ γὰρ ἡμᾶς ἄρτῳ τῷ ζῶντι Χριστὸς, ὁ ἀληθέστερος Ἀαρών· τελειοῖ δὲ οὐ μόνον τοὺς ἐξ ἐθνῶν, ἀναμὶξ δὲ μᾶλλον τοὺς ἐξειλεγμένους ἐξ αἵματος Ἰσραὴλ, ὧν ἂν εἶεν τύπος οἱ πρεσβύτεροι. Ἔμφασιν δὲ πρὸς ἁγιασμὸν οὐ μετρίαν ἔχει τὸ ὡς ἐνώπιον τοῦ Θεοῦ τὸν ἄρτον χρῆναι φαγεῖν. Τί γὰρ οὕτως ἐν ὄψει Θεοῦ, ὡς μυστικὴ τράπεζα, καὶ θυσία, καὶ οἱ ταύτης μέτοχοι; {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ὅτι διὰ Χριστοῦ τελειούμενοι, καὶ τῆς ἐν νόμῳ παιδαγωγίας πρὸς ἀμείνω σύνεσιν ἀναθρώσκομεν, ἀπονητὶ δὲ ὀψόμεθα σαφῆ τοῦ πράγματος εἰκόνα δεχόμενοι, Μωσέα τε καὶ Ἰοθόρ· «Μωσῆς μὲν γὰρ ὁ θεσπέσιος ἐκάθητο κρίνων,» φησί· «παρειστήκει δὲ αὐτῷ πᾶς ὁ λαὸς ἀπὸ πρωΐ ἕως ἑσπέρας.»



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εἰσηγεῖται δὲ γνώμην Ἰοθὸρ, ἣν τετίμηκε Μωσῆς, ἄριστά τε ἔχειν ἐννενοηκὼς προσεδέξατο· «Ἤκουσε γὰρ,» φησὶ, «Μωσῆς τῆς φωνῆς τοῦ γαμβροῦ, καὶ ἐποίησεν ὅσα αὐτῷ εἶπεν.» Ἠ γὰρ οὐχὶ πάντη τε καὶ πάντως ὁ τὴν ἀμείνω βουλὴν καὶ γνώμην οἷός τε λέγειν νοοῖτ' ἂν ὑπάρχειν καὶ ἐν συνέσει προφερεστέρᾳ; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Ὅτι δὲ ἀμείνων καὶ ἐπέκεινα πολὺ τῆς ἐν νόμῳ κατηχήσεως ἡ διὰ Χριστοῦ τελείωσις, εἰς γνῶσιν ἡμᾶς ὑπερφέρουσα τὴν ἀσυγκρίτως ὑπερκειμένην, ἐκδείξειεν ἂν εὐκόλως ὁ ἱερώτατος Παῦλος, διὰ τὸ ὑπερέχον τῆς γνώσεως τοῦ Χριστοῦ, καθά φησιν αὐτὸς, τὰ ἐν νόμῳ κέρδη προθυμότατα ζημιούμενος, σκύβαλά τε εἶναι νομίζων, ἵνα Χριστὸν κερδήσῃ. Καὶ πρὸς μὲν τοὺς μόνα τιμῶντας ἔτι τὰ διὰ Μωσέως, οὐ προσιεμένους δὲ τὴν διὰ Χριστοῦ τελείωσιν, ὁ προφήτης ἔφασκεν Ἱερεμίας· Πῶς ἐρεῖτε 68.285 ὅτι Σοφοί ἐσμεν ἡμεῖς, καὶ νόμος Κυρίου ἐστὶ μεθ' ἡμῶν; Εἰς μάτην ἐγενήθη σχοῖνος ψευδὴς Γραμματεῦσιν· ᾐσχύνθησαν σοφοὶ, ἐπτοήθησαν καὶ ἑάλωσαν· σοφία τίς ἐστιν ἐν αὐτοῖς, ὅτι τὸν λόγον Κυρίου ἀπεδοκίμασαν;» Ἡμῖν δὲ τοῖς τὸν σωτήριον οὐκ ἀποδοκιμάζουσι λόγον (προσιέμεθα γὰρ ἀσμένως τὰ διὰ Χριστοῦ κηρύγματα) γέγονεν αὐτὸς σοφία παρὰ Θεοῦ. Πεπλεονεκτήκαμεν οὖν ἄρα καὶ κατὰ σύνεσιν τοὺς ἐν νόμῳ, καὶ οἱ τοῖς κατὰ νόμον διηγήμασιν κατηχούμενοι, φαγόντες τὸν ἄρτον ἐνώπιον τοῦ Θεοῦ, τὰ ἀμείνω καὶ λαλεῖν καὶ φρονεῖν πεπαιδεύμεθα. Γνωμοδοτεῖ γὰρ Ἰοθὸρ, καὶ ἐπακούει Μωσῆς. Εἴη δὲ ἂν εἰκότως πρόσωπον μὲν ὥσπερ τῶν ἐξ ἐθνῶν Ἰοθὸρ, Μωσῆς δὲ τῶν κατὰ νόμον. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Οὐκοῦν ἡ διὰ Χριστοῦ τελείωσις, καὶ τῶν κατ' αὐτὸν μυστηρίων ἡ δύναμις, καὶ σοφοὺς ἡμᾶς ἀποτελεῖ, καὶ θανάτου κρείττονας ὁρᾶσθαι ποιεῖ, τὸν κεκρυμμένον τε καὶ νοητὸν Ἀμαλὴκ καταστρέφουσα, τοῦτ' ἔστι, τὸν Σατανᾶν. Καὶ ὀρθῶς γε λίαν ὁ Ψάλλων ἔφασκεν· «Ὅτι ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.» Ἡμῶν δὲ δὴ περὶ τῶν ἐν πίστει λελαμπρυσμένων, ἀνεφώνει πάλιν ὡς πρὸς αὐτόν· «Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν.» Καυχώμεθα γὰρ ἐν Χριστῷ σωζόμενοι, καὶ αὐτὸν ἔχοντες ὅπλον εὐδοκίας, κατὰ τὰς Γραφάς. Τούτου δὲ αὖ τύπος ἡμῖν καὶ εἰκὼν ἐναργὴς ἂν γένοιτο πάλιν, τὸ ἐν τῷ τέλει τῆς δευτέρας τῶν Βασιλειῶν γεγραμμένον· ἔχει δὲ οὕτως· «Καὶ ἀνέστη Δαβὶδ πρωΐ, καὶ λόγος Κυρίου ἐγένετο πρὸς Γὰδ τὸν προφήτην τὸν ὁρῶντα πρὸς Δαβὶδ, λέγων· Πορεύθητι καὶ λάλησον πρὸς Δαβὶδ, λέγων· Τάδε λέγει Κύριος· Τρία ἐγὼ ἐρῶ ἐπὶ σὲ, ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐτῶν, καὶ ποιήσω σοι. Καὶ εἰσῆλθε Γὰδ πρὸς Δαβὶδ, καὶ ἀπήγγειλε, καὶ εἶπεν αὐτῷ· Ἔκλεξαι σεαυτῷ γενέσθαι, ἢ ἔλθῃ σοι τρία ἔτη λιμὸς ἐν τῇ γῇ σου, ἢ τρεῖς μῆνας φεύγειν σε ἔμπροσθεν τῶν ἐχθρῶν σου, καὶ ἔσονται καταδιώκειν σε· ἢ τρεῖς ἡμέρας γενέσθαι θάνατον ἐν τῇ γῇ σου. Νῦν οὖν γνῶθι καὶ ἴδε τί ἀποκριθῶ τῷ ἀποστείλαντί με ῥῆμα. Καὶ εἶπε Δαβὶδ πρὸς Γάδ· Στενά μοι πάντοθεν σφόδρα ἐστὶ καὶ τὰ τρία· ἐμπεσοῦμαι δὴ εἰς χεῖρας Κυρίου, ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα· εἰς δὲ χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέσω. Καὶ ἐξελέξατο ἑαυτῷ Δαβὶδ τὸν θάνατον· ἦσαν δὲ αἱ ἡμέραι θερισμοῦ πυρῶν, καὶ ἔδωκε Κύριος θάνατον ἐν Ἰσραὴλ ἀπὸ πρωΐθεν ἕως ὥρας ἀρίστου· καὶ ἤρξατο ἡ θραῦσις ἐν τῷ λαῷ, καὶ ἀπέθανεν ἐκ τοῦ λαοῦ Κυρίου ἀπὸ Δὰν καὶ ἕως Βερσαβεὲ, ἑβδομήκοντα χιλιάδες ἀνδρῶν· καὶ ἐξέτεινεν ὁ ἄγγελος τοῦ Θεοῦ τὴν χεῖρα αὐτοῦ εἰς Ἱερουσαλὴμ τοῦ διαφθεῖραι αὐτήν· καὶ παρεκλήθη Κύριος ἐπὶ τῇ κακίᾳ, καὶ εἶπε τῷ ἀγγέλῳ τῷ διαφθείροντι ἐν τῷ λαῷ· Ἱκανὸν, ἄνες τὴν χεῖρά σου. Καὶ ὁ ἄγγελος τοῦ Θεοῦ ἦν ἑστὼς περὶ τῇ ἅλῳ Ὀρνᾶ τοῦ Ἰεβου 68.288 σαίου. Καὶ εἶπε Δαβὶδ πρὸς Κύριον, ἐν τῷ ἰδεῖν αὐτὸν τὸν ἄγγελον τὸν τύπτοντα ἐν τῷ λαῷ, καὶ εἶπεν· Ἰδοὺ ἐγώ εἰμι ὁ ποιμὴν, ἐγὼ ἡμάρτηκα, καὶ ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι τὰ πρόβατα τί ἐποίησαν; Γενέσθω δὴ ἡ χείρ σου ἐν ἐμοὶ, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου. Καὶ ἦλθε Γὰδ πρὸς Δαβὶδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἶπεν αὐτῷ· Ἀνάβηθι, καὶ στῆσον τῷ Κυρίῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θυσιαστήριον ἐν τῇ ἅλῳ Ὀρνᾶ τοῦ Ἰεβου-σαίου. Καὶ ἀνέβη Δαβὶδ κατὰ τὸ ῥῆμα Γὰδ τοῦ προφήτου, ὃν τρόπον ἐνετείλατο αὐτῷ Κύριος· καὶ διέκυψεν Ὀρνᾶ, καὶ εἶδε τὸν βασιλέα καὶ τοὺς παῖδας αὐτοῦ, παραπορευομένους ἐπάνω αὐτοῦ· καὶ ἐξῆλθεν Ὀρνᾶ, καὶ προσεκύνησε τῷ βασιλεῖ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν. Καὶ εἶπεν Ὀρνᾶ· Τί ὅτι ἦλθεν ὁ κύριός μου ὁ βασιλεὺς πρὸς τὸν δοῦλον αὐτοῦ; Καὶ εἶπε Δαβίδ· Κτήσασθαι παρὰ σοῦ τὴν ἅλω τοῦ οἰκοδομῆσαι θυσιαστήριον τῷ Κυρίῳ, καὶ συσχεθῇ ἡ θραῦσις ἐπάνωθεν τοῦ λαοῦ. Καὶ εἶπεν Ὀρνᾶ πρὸς  Δαβίδ· Λαβέτω καὶ ἀνενεγκάτω ὁ κύριός μου ὁ βασιλεὺς τῷ Κυρίῳ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ· ἰδοὺ οἱ βόες εἰς ὁλοκαύτωμα, καὶ οἱ τροχοὶ καὶ τὰ σκεύη τῶν βοῶν εἰς ξύλα. Τὰ πάντα ἔδωκεν Ὀρνᾶ τῷ βασιλεῖ. Καὶ εἶπεν Ὀρνᾶ πρὸς τὸν βασιλέα· Κύριος ὁ  Θεός σου εὐλογήσαι σε. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ὀρνᾶν· Οὐχί· ἀλλὰ κτώμενος κτήσομαι παρὰ σοῦ ἐν ἀλλάγματι. Καὶ οὐκ ἀνοίσω Κυρίῳ τῷ Θεῷ μου ὁλοκαύτωμα δωρεάν. Καὶ ἐκτήσατο Δαβὶδ ἅλω καὶ τοὺς βόας ἐν ἀργυρίῳ σίκλων πεντήκοντα, καὶ ᾠκοδόμησεν ἐκεῖ Δαβὶδ θυσιαστήριον τῷ Κυρίῳ, καὶ ἀνήνεγκεν ὁλοκαυτώσεις καὶ εἰρηνικάς. Καὶ προσέθηκε Σαλομὼν εἰς τὸ θυσιαστήριον ἐπ' ἐσχάτων, ὅτι μικρὸν ἦν ἐν πρώτοις. Καὶ ἐπήκουσε Κύριος τῇ γῇ, καὶ συνεσχέθη ἡ θραῦσις ἐπάνωθεν Ἰσραήλ. {ΠΑΛΛ.} Καὶ τίς ἂν εἴη πάλιν ἔν γε δὴ τούτοις ὁ νοῦς; ὡς δυσέφικτον κομιδῇ τὸ θεώρημα. {ΚΥΡ.} Δυσέφικτον μὲν ὁμολογουμένως, καὶ δυσάλωτον ἀληθῶς. Πλὴν ἐκεῖνό φημι τὴν τοῦ προκειμένου περίνοιαν, ὡς ἐν ὀλίγοις εὖ μάλα συνενεγκὼν, καὶ περιστρέψας εἰς νοῦν. Ἄθρει δὴ οὖν, ὦ Παλλάδιε, καθάπερ ἐν ἐσόπτρῳ καὶ ἐν ἰσχναῖς φαντασίαις τὸ Χριστοῦ μυστήριον, καὶ τῆς ἐφ' ἡμῖν οἰκονομίας τὸν τρόπον. {ΠΑΛΛ.} Οὐκοῦν δρῴης ἂν αὐτὸς εὖγε τουτὶ, τὸ συνιέναι δύνασθαι χορηγοῦντος Θεοῦ. {ΚΥΡ.} Ἄκουε δή. Βαδιοῦμαι γὰρ ἤδη ἐπὶ τὸ χρῆναι λέγειν. Ἐκ θείας ὀργῆς κατενεμήθη θάνατος τὸν λαὸν  Κυρίου, καὶ μέχρις ὥρας ἀρίστου, διακωλύοντος οὐδενὸς, ἴσχυσεν ὁ ὀλοθρευτής· μέλλοντα δὲ αὐτοῖς ἐπαφεῖναι τὴν χεῖρα τοῖς Ἱεροσολύμοις, ἀπείργει Θεός· τεθεαμένος δὲ τὸν ἄγγελον, ἐλιπάρει Κύριον  Δαβὶδ, λέγων πεπλημμεληκέναι ἑαυτόν· ἄμεινον δὲ εἶναι καὶ δικαιότερον τὸν ποιμένα καὶ ἡγούμενον ἐκτεθνάναι μᾶλλον, ἤγουν τὰ πρόβατα, διά τοι τὸ εἰδέναι μηδέν· εἶτα Θεοῦ σημαίνοντος, ἐγείρει θυσιαστήριον ἐν τῇ ἅλῳ Ὀρνᾶ, ἣν ἅμα τοῖς ἀλοῶσι βουσὶν ἐξεπρίατο σίκλων πεντήκοντα. Ἐπειδὴ δὲ τὸ θεῖον εὖ μάλα θυσιαστήριον ἀνεδείματο, τὰς ἐπ' αὐτῷ θυσίας ἐτέλει, ὁλοκαυτώματα καὶ εἰρηνικάς·  68.289 ἔστη δὲ οὕτω λοιπὸν ἡ θραῦσις, καὶ ὁ πάλαι δεινὸς 68.289 ἐνεκόπη θάνατος. Ἐπεσημαίνετο δὲ τὸ Γράμμα τὸ ἱερὸν, ὅτι βραχὺ μὲν ἦν ἐν ἀρχαῖς τὸ θυσιαστήριον, προσέθηκέ γε μὴν ἐν ἐσχάτοις Σαλομὼν αὐτῷ. Ἢ οὐκ εἶναι φῂς ὡς ἔν γε βραχεῖ τὴν τοῦ προκειμένου περίνοιαν ἐν τούτοις; {ΠΑΛΛ.} Φημί· πῶς δ' ἂν γένοιτο σαφὴς ὁ νοῦς, ἤδη διατράνου. {ΚΥΡ.} Ἦ οὐκ οἶσθα, ὅτι κατώλισθεν ὁμολογουμένως εἰς θάνατον καὶ φθορὰν ἡ ἀνθρώπου φύσις, καταθήξασα πρὸς ὀργὰς τὸν Δημιουργὸν, ὡς ἐν τῇ γένους ἡμῶν ἀπαρχῇ, τοῦτ' ἔστιν, Ἀδὰμ, ὃς τὴν θείαν ἐν ἀρχαῖς ἠθέτησεν ἐντολὴν, ἀκήκοε δὲ οὕτω· «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ;» {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἀπὸ πρωῒ τοιγαροῦν, τοῦτ' ἔστιν, ἐκ πρώτων τοῦ παρόντος αἰῶνος καιρῶν, κατενεμήθη θάνατος τοὺς ἐπὶ τῆς γῆς, μέχρις ὥρας ἀρίστου, τοῦτ' ἔστιν, ἕως καιρὸς τραπέζης. Ὅτε γὰρ ἡμῖν ἐνέστη καιρὸς τῆς ἁγίας τραπέζης, δῆλον δὲ ὅτι τῆς ἐν  Χριστῷ καὶ μυστικῆς, ἐφ' ᾗ τὸν ἄρτον ἐσθίομεν τὸν ἐξ οὐρανοῦ καὶ ζωοποιὸν, ὁ πάλαι δεινὸς καὶ δυσάντητος κατηργήθη θάνατος, παρακεκλημένου Θεοῦ· καὶ δεδυσώπηται μόλις ὁ ὀλοθρευτὴς, ὃς ἐπείπερ ἤθελε καὶ τοῖς τὴν ἁγίαν οἰκοῦσι πόλιν, τὴν νοητὴν Ἱερουσαλὴμ, τὴν διαφθείρουσαν ἐπαφεῖναι χεῖρα,  Θεοῦ παρακεκλημένου, τότε δὴ μόλις εἴργεται· «Ἄνες γὰρ νῦν,» φησὶν, «ἱκανόν ἐστιν.» Ἁγία δὲ πόλις, ἡ Ἐκκλησία, ἧς εἶεν ἂν οἰκήτορες οἱ διὰ ζῶντος ἄρτου τελειούμενοι πρὸς ἁγιασμόν. Τῆς οὕτω σεπτῆς καὶ ἀξιαγάστου πόλεως καὶ ὁ θεῖος Δαβὶδ διαμέμνηται λέγων· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεοῦ.» Κατῴκησε γὰρ ἐν ἡμῖν Χριστὸς, ὅς ἐστι ζωὴ καὶ ζωοποιός. Τοιγάρτοι καὶ ἀποσοβεῖ Θεὸς τῶν ἡγιασμένων τὸν ὀλοθρευτὴν, ὡς οὐκέτι νικᾷν ὀφείλοντα μετὰ τὴν ἀνάδειξιν τοῦ καιροῦ τῆς ἁγίας τραπέζης, ἣν ὁ τοῦ ἀρίστου καιρὸς ὑπαινίττεται. Ἐξείλετο τοίνυν ἡμᾶς ὁ Χριστὸς, ὡς ἐν προσώπῳ νοούμενος τοῦ Δαβίδ. Ἐπειδὴ γὰρ ἐθεᾶτο δαπανῶντα τὸν θάνατον τοὺς ἐπὶ τῆς γῆς, παράκλητος γέγονεν ὑπὲρ ἡμῶν πρὸς τὸν Πατέρα· προσεκόμιζε γὰρ ἑαυτὸν ὑπὲρ ἡμῶν, καὶ ὑπέθηκεν ἑκὼν τῷ θανάτῳ, δεδυσώπηκέ τε τὸν ὀλοθρευτὴν, ἑαυτοῦ λέγων εἶναι τὴν ἁμαρτίαν· οὐχ ὅτι πεποίηκε τὴν ἁμαρτίαν, ἀλλ' ὅτι, κατὰ τὰς Γραφὰς, «αὐτὸς τὰς ἁμαρτίας ἡμῶν αἴρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη,» καίτοι μὴ εἰδὼς ἁμαρτίαν· «καὶ γέγονεν ὑπὲρ ἡμῶν κατάρα.» Χρῆναι δέ φησι, τὸν ποιμένα μᾶλλον ἢ τὰ πρόβατα παθεῖν· ὡς γὰρ ποιμὴν ἀγαθὸς τὴν ψυχὴν αὐτοῦ τέθεικεν ὑπὲρ τῶν προβάτων. Εἶτα κατὰ θείαν ὑπόμνησιν, ὁ θεσπέσιος Δαβίδ, ἔνθα τὸν ἄγγελον τὸν ὀλοθρευτὴν ἀπρακτοῦντα ἤδη καὶ ἑστηκότα τεθέαται (εἶδε γὰρ αὐτὸν παρὰ τὴν ἅλω, φησὶν), ἐκεῖ διαπήξας θυσιαστήριον, ὁλοκαυτώματα καὶ εἰρηνικὰς (θυσιῶν δὲ τῶν κατὰ τὸν νόμον εἴδη τε καὶ τρόποι ταυτὶ) προσαγήοχε τῷ Θεῷ. Καὶ διὰ μὲν τῆς ἅλω νοήσεις τὴν Ἐκκλησίαν, εἰς ἣν 68.292 ἀφιγμένος, ἔστη τε λοιπὸν, καὶ κατηργήθη θάνατος, καὶ τὴν πάλαι δεινήν τε καὶ διαφθείρουσαν χεῖρα συνέστειλεν ὁ ὀλοθρευτής· οἶκος γάρ ἐστι τῆς κατὰ φύσιν ζωῆς, τοῦτ' ἔστι Χριστοῦ. Ἅλω δὲ εἶναί φαμεν ὡς ἐξ ὁμοιώσεως καὶ εἰκόνος τὴν Ἐκκλησίαν, ἐφ' ᾗ δραγμάτων, ἤγουν ἀσταχύων, συλλέγοντα[ι] δίκην οἱ τῆς ἀπὸ κόσμου ζωῆς διὰ τοῦ λόγου τῶν ἁγίων κειρόμενοι θεριστῶν, τοῦτ' ἔστιν, ἀποστόλων τε καὶ εὐαγγελιστῶν, ἵνα καὶ εἰς τὰς ἄνω συγκομισθεῖεν αὐλὰς, καὶ καθάπερ εἰς ἀποθήκην δεσποτικὴν, εἰς τὴν ἐπουράνιον Ἱερουσαλὴμ, οἷά τις σῖτος εἰσφέροιντο καθαρὸς, κατὰ τὴν τῶν ἀχρειοτέρων καὶ περιττῶν ἀπόθεσιν πραγμάτων τε ἅμα καὶ φρονημάτων, ἅπερ ὡς ἐν εἴδει τῶν ἀχύρων νοεῖται. Εἴρηται δέ που παρὰ Χριστοῦ τοῖς ἁγίοις ἀποστόλοις· «Οὐχὶ ὑμεῖς λέγετε ὅτι τετράμηνός ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ λέγω ὑμῖν· Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. Ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον.» Καὶ πάλιν· «Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι. Δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ἵνα ἐκβάλῃ ἐργάτας εἰς θερισμὸν αὐτοῦ.» Θερισμὸν, οἶμαι, τὸν νοητὸν τὴν τῶν μελλόντων πιστεύειν ὀνομάζων πληθὺν, ἁγίους δὲ θεριστὰς εἶναι λέγων τοὺς εἰς νοῦν καὶ γλῶτταν τὸν θεῖον ἔχοντας λόγον, ὅς ἐστι ζῶν τε καὶ ἐναργὴς, καὶ τομώτατος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ δικνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν.» Ὀνόματι δὲ τῆς ἅλω καὶ ὁ μακάριος Βαπτιστὴς κατεδήλου τὴν Ἐκκλησίαν, ὡδί που λέγων περὶ Χριστοῦ· «Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς, ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.» Ταύτην οὖν ἄρα τὴν ἅλω τὴν νοητὴν, φημὶ δὴ τὴν Ἐκκλησίαν, ἐξεπρίατο Χριστὸς πεντήκοντα σίκλων, τοῦτ' ἔστιν, οὐκ ἐλαφρῶν τιμημάτων· ἑαυτὸν γὰρ δέδωκεν ὑπὲρ αὐτῆς, καὶ ἔπηξεν ἐν αὐτῇ τὸ θυσιαστήριον· καὶ ἐπείπερ αὐτός ἐστιν ὁ ἱερουργὸς (γέγονε γὰρ ἀρχιερεὺς), καὶ αὐτὸς τὸ θῦμα προσεκόμισεν ἑαυτὸν, ὡς ἐν εἴδει καὶ τύπῳ τοῦ ἀλοῶντος μόσχου, καὶ γέγονεν ὁλοκαύτωμα καὶ εἰρηνικὴ θυσία. Λέλυται γὰρ τὸ μεσολαβοῦν ἐν Χριστῷ, καὶ οἱ πάλαι διεστηκότες τε καὶ ἀφωρισμένοι διὰ τὴν ἁμαρτίαν συνεισδυόμεθα δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τῷ Θεῷ καὶ Πατρὶ, τὴν ἀρχαίαν ἐκείνην καταλύσαντες ἔχθραν. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, κατὰ τὰς Γραφάς. {ΠΑΛΛ.} Μόσχον οὖν ἄρα νοήσομεν τὸν ἀλοῶντα Χριστόν; τίνα τρόπον φής; {ΚΥΡ.} Οὐ γὰρ, ὦ φιλότης, μόσχους ἡμῖν τοὺς ἀλοῶντας ὁ διὰ Μωσέως νόμος τοὺς ἁγίους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὠνόμασε μαθητάς; ἔφη γὰρ αἰνιγματωδῶς· «Οὐ φιμώσεις βοῦν ἀλοῶντα.» Ὃ δὴ καὶ μάλα σαφῶς ἐννενοηκὼς ὁ μακάριος Παῦλος· «Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; 68.293
Ἢ δι' ἡμᾶς πάντως λέγει; Δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾷν, καὶ ἀλοῶν ἐπ' ἐλπίδι τοῦ μετέχειν.» Μόσχοι τοιγαροῦν, κατ' εἰκόνα τοῦ πρώτου, τοῦτ' ἔστι, Χριστοῦ, καὶ οἱ μακάριοι μαθηταί. Μόσχος δὲ καὶ ἑτέρως ἀλωητὴς ὁ Χριστός· δι' αὐτοῦ γὰρ ἡ κάθαρσις καὶ ἡ τῶν περιττῶν πραγμάτων ἀπόθεσις, περισπασμῶν τέ φημι καὶ τῶν κατὰ τὸν κόσμον φρονημάτων σαρκικῶν, ἃ καὶ φλογός εἰσι τροφὴ, καθάπερ καὶ τὸ ἄχυρον. Ἐγηγερμένου δὲ τοῦ θυσιαστηρίου, ἐφ' ᾧ καὶ εἰρηνικὴ καὶ τὸ ὁλοκαύτωμα, λέλυται τὸ λυποῦν· ἐπήκουσε γὰρ Κύριος τῇ γῇ, καὶ συνεσχέθη ἡ θραῦσις. Ἑαυτὸν γὰρ ὑπὲρ ἡμῶν ἱερατεύσαντος τοῦ Χριστοῦ, κατηργήθη θάνατος, καὶ ἀνετράπη φθορὰ, ἕτοιμον ἤδη πως ταῖς ἁπάντων εὐχαῖς ὑποσχόντος τὸ οὖς τοῦ πάντα ἰσχύοντος Θεοῦ· «Ἔτι γὰρ λαλοῦντός σου, φησὶν, ἐρῶ· Τί ἐστιν;» Τὸ δέ γε μικρὸν εἶναι τὸ ἐν ἀρχαῖς θυσιαστήριον, προστεθεῖσθαι δὲ λέγειν ὕστερον αὐτῷ, τὴν κατὰ καιροὺς ἐσομένην τοῦ Εὐαγγελίου προκοπὴν δηλοῖ, καὶ τῶν ἁγίων Ἐκκλησιῶν τὸ συνεσταλμένον ἐν ἀρχαῖς, πλάτος δὲ ὥσπερ καὶ ἐν τοῖς ἐφεξῆς. Εὐρύνεται γὰρ οἷον ἀεὶ τὰ θυσιαστήρια, προστιθεμένων Ἐκκλησιῶν ἀεί πως ταῖς πρώταις ἑτέρων, καὶ εἰς πληθὺν ἀμέτρητον ἐκτεινομένων τῶν λαῶν, οἳ διὰ τῆς ἐν Χριστῷ θυσίας λελύτρωνται, αὐτὸν ἔχοντες ἱερουργὸν καὶ θῦμα τὸ ἅγιον, καὶ εὔοσμον διακαθαῖρον, καὶ ὡς ἀξιάγαστον θυσιαστήριον, καὶ ὡς ἐν εἴδει τῆς ἅλω τῆς Ἐκκλησίας δεσπότην. {ΠΑΛΛ.} Ὡς σαφής ἐστιν καὶ ἐναργὴς ὁ λόγος· πεποίηται γὰρ εὐτέχνως. {ΚΥΡ.} Ἢ γὰρ οὐχὶ κἂν αὐτὸς ἐνδοιάσας οὐδὲν, ἔφης ὡς ἔστι Χριστὸς ἡ πάντων ζωὴ καὶ λύτρωσις; {ΠΑΛΛ.} Φαίην ἂν, ἴσθι τοι. Φρονῶ γὰρ ὡδί. {ΚΥΡ.} Εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν ὁ πάντων ἀντάξιος· καὶ τὴν ἰδίαν ψυχὴν ἀντάλλαγμα τῆς ἡμῶν ἐποιήσατο, τὴν τοῦ διαβόλου δυστροπίαν ἐκδυσωπῶν, καὶ οἱονεί πως ἱστὰς τῆς καθ' ἡμῶν τυραννούσης ἁμαρτίας τὴν κατάῤῥησιν, καὶ τὴν ἐπὶ τοῖς ἁπάντων ἐγκλήμασιν ἀθυρογλωττίαν. {ΠΑΛΛ.} Τίνα φὴς τρόπον; {ΚΥΡ.} Ἐπειδὴ γὰρ βεβασίλευκε τῶν ἐπὶ τῆς γῆς ἡ ἁμαρτία, πολὺ διανενευκότων ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, καθὰ γέγραπται, καὶ ἐπιμελῶς ἐγκειμένης τῆς ἁπάντων καρδίας ἐπὶ τὸ χρῆναι καὶ βούλεσθαι κατορθοῦν αὐτὰ, πεπτώκαμεν ἀναγκαίως καὶ ὑπὸ θανάτου δίκην. Νόμου γὰρ θείου παράβασις, καὶ θελημάτων ἀθέτησις τῶν Δεσποτικῶν, θάνατον ἔχει τὴν δίκην. Κατεφθαρμένην δὲ οὕτω τὴν ἀνθρώπου φύσιν, ἐπῴκτειρε μὲν ὁ Δημιουργὸς, γέγονε δὲ ἄνθρωπος ὁ Μονογενὴς, καὶ τῷ θανάτῳ φυσικῶς ἐνεχόμενον πεφόρηκε σῶμα, καὶ κεχρημάτικε σὰρξ, ἵνα ὑπὲρ ἡμῶν ἀνατλὰς τὸν ἐξ ἁμαρτίας ἡμῖν ἐπαρτηθέντα θάνατον, καταργήσῃ τὴν ἁμαρτίαν, καὶ παύσῃ 68.296
λοιπὸν ἐγκαλοῦντα τὸν Σατανᾶν, ὡς ἐκτετικότων ἡμῶν ἐν αὐτῷ τῷ Χριστῷ τῶν εἰς ἁμαρτίαν αἰτιαμάτων τὰς δίκας· «αἴρει γὰρ ἡμῶν τὰς ἁμαρτίας, καὶ περὶ ἡμῶν ὀδυνᾶται,» κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἢ οὐχὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν; {ΠΑΛΛ.} Ἀληθές. «Ἐτραυματίσθη γὰρ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ γέγονεν ἐν κακώσει καὶ ἐν πληγῇ.» {ΚΥΡ.} Λέλυται τοίνυν ἡ ἁμαρτία, Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν, καὶ οὐκ ἂν οἶμαι καταβοήσειεν ἀναγκαίως ἔτι τῶν ἡγιασμένων διὰ Χριστοῦ, καὶ τοῦτο ἡμῖν διαδείξει σαφῶς ὁ προφήτης Ζαχαρίας ὡς ἐν ὁράσει λέγων· «Καὶ ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ εἶπε πρός με· Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τὸ ἐκπορευόμενον τοῦτο. Καὶ εἶπα; Τί ἐστι; καὶ εἶπε· Τοῦτο τὸ μέτρον τὸ ἐκπορευόμενον. Καὶ εἶπεν· Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. Καὶ ἰδοὺ τάλαντον μολίβδου ἐξαιρόμενον, καὶ ἰδοὺ μία γυνὴ ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου· καὶ ἔῤῥιψε τὸν λίθον τοῦ μολίβδου εἰς τὸ στόμα αὐτῆς· καὶ ἦρα τοὺς ὀφθαλμοὺς, καὶ εἶδον· καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι, καὶ πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν· καὶ αὗται εἶχον πτέρυγας ὡς πτέρυγες ἔποπος· καὶ ἀνέλαβον τὸ μέτρον ἀνὰ μέσον τῆς γῆς, καὶ ἀνὰ μέσον τοῦ οὐρανοῦ. Καὶ εἶπα πρὸς τὸν ἄγγελον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν λαλοῦντα ἐν ἐμοί· Ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον; Καὶ εἶπε πρός με· Οἰκοδομῆσαι αὐτῷ οἰκίαν ἐν γῇ Βαβυλῶνος, καὶ ἑτοιμάσαι, καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ.» Βούλει λέγωμεν τὰ ἐφ' ἑκάστῳ πάλιν, καὶ θεωρῶμεν ὡς ἔνι; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Μέτρον τι τῆς Ἱερουσαλὴμ ἐκτρέχον τεθέαται μὲν ὁ προφήτης, ἐρομένῳ δὲ ὅ τί ποτ' ἐστιν, ὁ ἄγγελος ἔφη· «Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ.» Ὅμοιον δὲ, ὡς εἰ λέγοι τυχόν· Ἐν τῷδε τῷ μέτρῳ μετρεῖται τῶν ἀνὰ πᾶσαν τὴν γῆν τὰ κατὰ καιροὺς πλημμελήματα. Μέχρι γὰρ δὴ ποσότητος φανερᾶς ἡκούσης ἡμῶν τῆς ἁμαρτίας, ἐπάγει δὴ τότε τὰς δίκας λελυπημένος ὁ νομοθέτης· διακαρτερεῖ δὲ πολλάκις ἐξ ἐμφύτου φιλανθρωπίας, καὶ πλημμελούντων ἀνέχεται, πρὸ τῆς συμπληρώσεως οὐκ εἰσάπαν ἀγανακτῶν. Καὶ γοῦν ἔφη πρὸς Ἀβραὰμ τὸν ἱερόν· «Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων ἕως τοῦ νῦν.» Πρὸς δὲ τοὺς Φαρισαίους ἀσχέτως ἐκλελυττηκότας ἔφη Χριστός· «Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.» Ἐκπορευομένοι τοιγαροῦν τοῦ μέτρου, ἐξαίρεται μὲν τοῦ μολίβδου τὸ τάλαντον, ἔῤῥιπται δὲ εἰς μέσον ἡ γυνὴ πληροῦσα τὸ μέτρον, ἢ καὶ ἐν στόματι τῷ ἰδίῳ τὸν τοῦ μολίβδου λίθον ἐδέχετο· εἶτά φησιν ὁ θεσπέσιος ἄγγελος· Αὕτη ἐστὶν ἡ ἀνομία. {ΠΑΛΛ.} Οὔπω λίαν ἐστὶν ἐναργὴς ὁ λόγος. {ΚΥΡ.} Οὐκοῦν ἔσται, καὶ οὐκ εἰς μακράν. Τὸ γάρ τοι τοῦ μολίβδου τάλαντον αὐτὸς ἂν εἴη Χριστὸς, ὃς ἐξαίρεται μὲν, τοῦτ' ἔστιν, ὑψοῦται διὰ τοῦ σταυ 68.297 ροῦ, καὶ τοῖς τῆς θεότητος ἀξιώμασιν ὁρᾶται διαπρεπής. Ὁ γὰρ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. Κατακλείει δὲ τῆς ἁμαρτίας τὸ στόμα, κατὰ τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· «Καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς·» εἰρημένη καταβοῶν τῶν ἐξ ἀσθενείας ἡμαρτηκότων, καὶ ἐν πίστει δεδικαιωμένων. «Θεὸς γὰρ ὁ δικαιῶν, τίς ὁ κατακρίνων; «Χριστοῦ δὲ παθόντος ὑπὲρ ἡμῶν, πῶς ἦν ἀκόλουθον καὶ ἡμᾶς αὐτοὺς ἔτι τὰς ὑπὲρ τῶν ἰδίων πλημμελημάτων ἐξαιτεῖσθαι δίκας; {ΠΑΛΛ.} Ὀρθότατα ἔφης. Δεδικαιώμεθα γὰρ ἐν Χριστῷ, καὶ τὴν ἐκ τῆς ἁμαρτίας καταβοὴν εὖ μάλα διεκρουσάμεθα. Ἥδιστα δ' ἂν ἀναμάθοιμί σου, διὰ ποίαν αἰτίαν σημαίνεται μὲν ὡς ἐν μολίβδῳ Χριστὸς, ὡς ἐν προσώπῳ δὲ γυναικὸς ἡ ἀνομία φαίνεται. {ΚΥΡ.} Καὶ μὴν καὶ τοῦτό γε ἔστιν εὔκολον ἰδεῖν ἀπό γε τῶν ἱερῶν Γραμμάτων· πολλοῖς γὰρ ἤδη καὶ ἑτέροις Χριστὸς παρεικάζεται, διὰ τῆς τῶν σημαινομένων ποιότητος, τῶν ἐπ' αὐτῷ νοουμένων. {ΠΑΛΛ.} Οἷον τί φῄς, {ΚΥΡ.} Γέγονεν ἡμῖν κρηπὶς καὶ ἀσφάλεια, καὶ ἀκλόνητος ὑποβάθρα, καὶ θεμέλιος ἀῤῥαγής· ὠνόμασται δὲ διὰ τοῦτο λίθος. «Ἰδοὺ γὰρ, φησὶ, τίθημι εἰς τὰ θεμέλια Σιὼν λίθον ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον. Καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ.» Ἔστι δὲ πάλιν αὐτὸς, τὸ λαμπρόν τε καὶ ἀξιάγαστον τῆς Ἐκκλησίας κειμήλιον, ὁ πλοῦτος ἡμῶν ὁ πνευματικός· εἴρηται δὲ μαργαρίτης. Ὁμοία γάρ ἐστι, φησὶν, ἡ βασιλεία τῶν οὐρανῶν ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας. Εὑρὼν δὲ ἕνα πολύτιμον μαργαρίτην ἀπελθὼν, ἐπίπρασκε πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν.» Συνῆψε δὲ ἡμᾶς δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρὶ, καταλύσας τὴν ἔχθραν ἐν τῷ σώματι αὐτοῦ, καθὰ γέγραπται· καὶ γοῦν ἔφη πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεὸν, περὶ τῶν ἐν πίστει τῇ εἰς αὐτὸν δεδικαιωμένων· «Πάτερ, θέλω ἵνα ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι.» Κέκληται ταύτῃ τοι κασσιτέρινος λίθος, κασσιτέρῳ γὰρ κολλᾶται τὰ κολλώμενα. Ἔφη δέ που Θεὸς διὰ φωνῆς Ζαχαρίου, τὸν ἴδιον ἡμῖν καταδεικνύων Υἱὸν, ὡς κατὰ καιροὺς ἥξοντά τε καὶ πορευσόμενον· «Καὶ χαρήσονται, καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ Ζοροβάβελ.» Οὕτω τοιγαροῦν κἀνθάδε τάλαντον μολίβδου φησὶν αὐτόν. Καὶ τίς ὁ τοῦδε λόγος, ἐρῶ δὴ πάλιν. Ὁ ἀδόκιμος ἄργυρος ἀναμὶξ μολίβδῳ τηκόμενος, εὖ μάλα διακαθαίρεται, εἰς ἑαυτὸν ἁρπάζοντος τοῦ μολίβδου φυσικῶς, τοῦ συγκαιομένου τὸν ῥύπον· τοιοῦτόν τι καὶ εἰς ἡμᾶς αὐτοὺς ἐπλήρωσε Χριστός. Ἀδοκίμοις γὰρ οὖσιν ἐμίχθη σωματικῶς τε ἅμα καὶ πνευματικῶς, οὕτω τε λοιπὸν τὸν ἐν ἡμῖν κατέτηξε ῥύπον. Αἴρει γὰρ ἡμῶν τὰς ἁμαρτίας, ἵν' ἡμεῖς δι' αὐτὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τε καὶ δι' αὐτοῦ καθαροί τε ὦμεν καὶ λελαμπρυσμένοι. Καὶ 68.300 γοῦν ὁ προφήτης Ἱερεμίας τοὺς τῶν Ἰουδαίων λαοὺς τὴν διὰ Χριστοῦ κάθαρσιν οὐ προσιεμένους, ἐποτνιᾶτο λέγων· «Ἐξέλιπε φυσητὴρ ἀπὸ πυρὸς, ἐξέλιπε μόλιβδος, εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ, πονηρίαι αὐτῶν οὐκ ἐτάκησαν· ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτοὺς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς Κύριος.» Συνίης οὖν ὅπως οὐκ ἠγνόηκεν ἡ θεία Γραφὴ τὴν ἐπ' ἀργύρῳ κάθαρσιν οὐ δίχα μολίβδου πράττεσθαι δυναμένην. Οὐκοῦν ἐπειδήπερ ἀδοκίμους ὄντας ἡμᾶς ἐξεκάθηρεν ὁ Χριστὸς, μολίβδῳ παρεικάζεται, καὶ αὐτὸς ἐμφράττει τῆς ἁμαρτίας τὸ στόμα, τῆς ὡς ἐν εἴδει γυναικός. Γυνὴ δὲ σύμβολον ἀσθενείας τε ἅμα καὶ ἡδονῆς, ἀνομία τε πᾶσα διὰ τούτων πράττεται. Ἡδονῇ γὰρ τινὶ τῇ εἰς τὸ τυχὸν, ἢ τόδε προκατεφθαρμένος ὁ νοῦς, οὕτω τε ἀπονευρούμενος, τοὺς εἰς ἀρετὴν ἀποφέροντας ἀνίησι πόνους, πίπτει δὲ πρὸς ἁμαρτίαν ἡ τοῦ ἀνθρώπου ψυχή· τοιγάρτοι φιλήδονοι μᾶλλον ἢ φιλόθεοι λέγονταί τινες. Ἐπιφωνεῖ δὲ καὶ ὁ προφήτης τοῖς ἐξ ἀσθενείας ψυχικῆς κατηῤῥωστηκόσι τὴν ἁμαρτίαν, καὶ τὴν εἰς φαυλότητα πάρεσιν· «Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα.» {ΠΑΛΛ.} Ἀλλ' ὧδε μὲν τόδε. Ξυνωρίς τε, εἰπέ μοι, γυναικῶν, αἳ τὸ μέτρον καὶ τὴν ἀνομίαν εἰς γῆν ἀποφέρουσι τὴν Βαβυλωνίων, τί ἂν βούλοιτο δηλοῦν; {ΚΥΡ.} Ἐμπέφρακται μὲν, ὦ γενναῖε, τῆς ἀνομίας τὸ στόμα διὰ Χριστοῦ· δεδικαιώμεθα γὰρ ἐν αὐτῷ, ἀπηλλάγμεθά τε παντὸς αἰτιάματος, καὶ πέπαυται καθ' ἡμῶν ἡ τῆς ἀνομίας κατάῤῥησις. Γέγονε γὰρ οὗτος τῆς εἰς ἡμᾶς οἰκονομίας ὁ σκοπὸς, τῷ δι' ἡμᾶς, καθ' ἡμᾶς, καὶ ὑπὲρ ἡμῶν, εἰς θάνατον, εἰ καὶ ἀνεβίω πάλιν· οὐ γὰρ ἐνεδέχετο τὴν ζωὴν ἡττᾶσθαι θανάτῳ. Ἀλλ' ἠπείθησάν τινες τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, καὶ τὴν ἐκ τῆς ἁμαρτίας οὐ προσηκάμενοι λύτρωσιν, ἀχθοφοροῦσι πάλιν αὐτὴν, ταῖς σφῶν αὐτῶν ἐπαρτήσαντες κεφαλαῖς διὰ φρενὸς ἀσθένειαν, καὶ νοῦ μαλακίαν καὶ ἀνανδρίαν ψυχῆς. Οὗτοι παντὶ πνεύματι περιφέρονται πονηρῷ, καὶ εἰς πᾶν εἶδος ἀκαθαρσίας βιαιότατα συνωθούμενοι πλείστην ὅσην ποιοῦνται τὴν εἰς τὰ φαῦλα σπουδήν. Σπουδῆς δὲ σημεῖον ἡ πτέρυξ, ἣν καὶ ἔποπος εἶναί φησιν, εἶδος δὲ τοῦτο στρουθίου, τὰ τῶν τελμάτων ἀεὶ δυσωδέστατα περιθέοντος, καὶ τὰ ἐκ βορβόρου καὶ ἀκαθαρσίας συλλέγοντος εἰς τροφήν. Ὅσοι τοιγαροῦν τὰς ἑαυτῶν σπουδὰς δαπανῶσιν εἰς μολυσμὸν, οὗτοι δὴ πάντως τὰς μὲν πτέρυγας ἔποπος εἰκότως ἂν ἔχειν λέγοιντο. Γυναικοειδεῖς δὲ καὶ αὐτοὶ, καὶ ἐκτεθηλυμμένοι, σύμμορφοί τε λοιπὸν τῇ τυραννευούσῃ κατὰ σφῶν ἁμαρτίᾳ. Ὅνπερ γὰρ τρόπον, σύμμορφοι τῷ Χριστῷ δι' ἁγιασμοῦ γεγόνασιν οἱ ὑπ' αὐτῷ τε καὶ σὺν αὐτῷ· οὕτω καὶ τῇ ἀνομίᾳ σύμμορφοί τε καὶ ὁμοειδεῖς οἱ ταύτην ἐπηχθισμένοι, καὶ τῇ ἀκαθάρτῳ φαυλότητι συζῆν ᾑρημένοι. Ἀποφέρουσι δὲ τὸ μέτρον εἰς Βαβυλῶνα, καὶ οἶκον αὐτῷ ζητοῦσιν ἐκεῖ, αἰνιγματω 68.301 δῶς, οἶμαί που, καὶ τοῦδε σημαίνοντος, ὡς εἰ μή τις ἕλοιτο τὰ διὰ Χριστοῦ, καὶ τῆς ἁμαρτίας ἀγαπήσει τὴν ἔμφραξιν, διὰ τὸ πρὸς μόνας ἔχειν ἀκαθαρσίας τὸ σπούδασμα, ἐξοιχήσεται μὲν τῆς ἁγίας Ἱερουσαλὴμ, τοῦτ' ἔστι, τῆς τῶν πρωτοτόκων ἁγίας μητρὸς, καλλιπόλεως δὲ τῆς ἄνω· μονονουχὶ δὲ δυσφόρητον ἔχων τὴν ἁμαρτίαν φορτίον, συνοικήσει τοῖς Βαβυλωνίοις, τοῦτ' ἔστι, μερίδα καὶ κλῆρον ἕξει μετὰ τῶν ἀθέων εἰδωλολατρῶν. Ἐν ἴσῳ γὰρ τοῖς ἀθέοις, οἱ τὴν διὰ Χριστοῦ λύτρωσιν ἀτιμάσαντες. Καὶ γοῦν ὁ Σωτήρ· «Ἐὰν ἁμαρτήσῃ, φησὶν, ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξύ σου καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μή σου ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα· ἐὰν δὲ καὶ τούτων παρακούσῃ, εἰπὲ τῇ Ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης.» Ἔστι τοίνυν οὐκ ἀσυμφανὲς, μᾶλλον δὲ διὰ πάσης ἡμῖν μεμαρτύρηται τῆς θείας Γραφῆς, ὅτι πᾶσα δικαίωσις καὶ πᾶσα λύτρωσις ἐν Χριστῷ. {ΠΑΛΛ.} Εὖ ἔφης.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑΙ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Ὅτι τὸν κεκλημένον εἰς δικαίωσιν παρὰ Θεοῦ καὶ λελυτρωμένον, αὐτῷ κατακολουθεῖν χρὴ, καὶ παραιτεῖσθαι μὲν τὸν εἰς φαυλότητα μαλακι σμὸν, ζῆν δὲ μᾶλλον ἐπείγεσθαι συννόμως καὶ νεανικῶς. Σφαλερὸν μὲν οὖν, ὡς ἔοικεν, ὦ Παλλάδιε, φαίην δ' ἂν ὅτι καὶ βδελυρώτατον, εἴσω τε πάσης βεβηκὸς ἀτοπίας, μὴ τὸ κατανδρίζεσθαι φιλεῖν φαυλότητός τε καὶ ἁμαρτίας· θρυπτομένους δὲ ὥσπερ εἰς ἐκτόπους ἡδονὰς, καὶ θηλυπρεπεῖς μαλακίας ἐγκαθιέντας τῷ 68.304 νῷ, τῆς εἰς ἀρετὴν εὐτολμίας ἀποφοιτᾷν, καί τοι παρὸν εὖ μάλα διὰ Χριστοῦ πρὸς πᾶν ὁτιοῦν ἀναθρώσκειν δύνασθαι τῶν ἐπαινουμένων, καὶ πρός γε τούτῳ, ἡμᾶς παραθήγει, λέγων, ὁ ἱερώτατος Παῦλος· «Τοῦ λοιποῦ ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ.» {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ποιήσομεν γὰρ δύναμιν ἐν Χριστῷ· πλὴν οὐκ ἂν οἶμαί τις ἀνιδρωτὶ κατορθώσειε τὸ κατανεανιεύεσθαι παθῶν, καὶ ἀπορθοῦν εἰς τοῦτο τὸν οἰκεῖον ἰσχῦσαι νοῦν. {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Τοιγάρτοι χρῆμα διαφανές τε καὶ ἀξιόληπτον, καὶ ἀναπίπτουσι μὲν οὐχ ἁλώσιμον, ἐκτετιμηκόσι δὲ τὸ πονεῖν, εὐπόριστον. Γέγραπται δὲ, ὅτι «Ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ, καὶ ἐκβιάζεται ἑαυτοῦ τὴν ἀπώλειαν.» Μικροῖς δὲ ἱδρῶσι δύνασθαι κατορθοῦν τὰ ἐξαίρετα τῶν πραγμάτων, ἀμαθὲς οἶμαί που, καὶ τὸ μόνον ἐννοεῖν. Ἢ οὐχὶ τῶν ἄλλων ἁπάντων ἡμῖν ὅτι μάλιστα τιμαλφέστατον εἴη ἂν, τὸ διασῶσαι τὴν ψυχὴν, καὶ τῆς ἰδίας ὑπεραθλῆσαι ζωῆς; {ΠΑΛΛ.} Μάλιστά γε. {ΚΥΡ.} Τὸ δὲ ἤδη περιφανὲς ἐν δόξῃ, τίσι μάλιστα τῶν ἀθλητῶν οἰήσῃ πρέπειν, πότερα τοῖς ἀθλοῦσιν ὀρθῶς καὶ ἐξησκημένως, καὶ οἷς ἐν λόγῳ τὸ χρῆναι νικᾷν, ἢ τοῖς ὡς ἥδιστα διαχεομένοις εἰς τρυφὰς, καὶ τὴν ἐν ῥᾳστώνῃ ζωὴν, τῆς ἀρίστης ἀνθῃρημένοις; {ΠΑΛΛ.} Καὶ πῶς, ἢ πόθεν ἀμφίλογον, ὡς ἥκιστα μὲν τὸ νικᾷν πρέποι ἂν τοῖς ἠῤῥωστηκόσι τὸ ῥᾳθυμεῖν, τό γε μὴν δύνασθαι κρατεῖν τοῖς ἐπιεικεστέροις; {ΚΥΡ.} Ἀρ' οὖν ἐροῦμεν ὡς καὶ προσήκοι εἰς εὐκλείας δύναμιν τὸ χρῆμα αὐτοῖς, ἐῤῥῶσθαι μὲν φράσουσι τὸ χρῆναι πονεῖν, τόγε μὴν ἀνεῖσθαι καὶ τρυφᾷν ἑλομένοις. {ΠΑΛΛ.} Οὐ μὲν οὖν. {ΚΥΡ.} Ἕψεται δὴ οὖν τοῖς ὅτι μάλιστα φιλοπονωτάτοις, τὸ εὐδοκιμεῖν καὶ ἀγώνων δίχα κατορθώσειεν ἂν οὐδεὶς τὸ εἶναι περιφανής. {ΠΑΛΛ.} Ἄραρεν. {ΚΥΡ.} Ἰτέον δὴ οὖν, Παλλάδιε, κατ' εὐθὺ τῶν ἐπαινουμένων, καὶ ἀνδρείας τῆς εἰς ἀρετὴν ἐπιμελητέον, εὐψυχίας τε τῆς ἄγαν καὶ τεθαυμασμένης παρά τε τῇ θεοπνεύστῳ Γραφῇ, καὶ τῆς ἐντριβοῦς καὶ φίλης τῶν ἁγίων ψυχαῖς. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Δαβὶδ εἰς τοῦτο διανενευκόσιν εὖ μάλα, προσεφώνει λέγων· «Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.» Ὡς δὲ αὐτὸ δὴ τουτὶ καὶ πρό γε τῶν ἄλλων κατωρθωκὼς, αὐτὸς ἑαυτῷ σεμνύνεται, καί φησι· «Κύριος φωτισμός μου καὶ Σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω·» Μύρια γὰρ ὅσα περὶ ἡμᾶς τὰ σκάνδαλα, κρείττων 68.305 δὲ, οἶμαι, παντὸς ἀριθμοῦ πληθὺς δαιμονίων κατερεθίζει πρὸς ἁμαρτίαν, καὶ προσέτι τῶν ἐμφύτων ἡδονῶν οὐκ ἀγεννὴς ἀγριότης, φιλοχρηματίαι τε καὶ ἀλαζονίαι, καὶ οἱ φόνου γείτονες ἐπισκήπτουσι φθόνοι, μῖσος καὶ καταλαλιαὶ, καὶ τί γὰρ οὐχὶ τῶν ὁμοίων κακῶν. Ἀλλ' οἱ μὲν εὔκολοι πρὸς ἀπαγωγὴν, οὐδ' ὅσον εἰπεῖν τοῦ χρῆναι γενναίως τὰ τοιάδε διενεγκεῖν ἄκρῳ τάχα που δακτύλῳ προσψαύσοντες, ἀμελητὶ τὸ νικᾷν ἀπονέμοντι τοῖς ἐχθροῖς, σευτλίον ἡμίεφθον, κατὰ τὴν τοῦ προφήτου φωνὴν, οἱονεί πως εἰς γῆν ἐῤῥιμμένοι, καὶ ἀμαχεὶ τρόπον τινὰ τοῖς τῆς φαυλότητος ὑπενηνεγμένοι ποσίν. Οἱ δὲ φιλάρετοί τε καὶ ἀγαθοὶ, καὶ τῆς ἄνωθεν ἐφιέμενοι δόξης, ζωῆς τε τῆς εἰς αἰῶνα μεταλαχεῖν γλιχόμενοι, γενναιότατα καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐτολμότατα ταῖς τῶν ἰδίων παθῶν ὑπαντιάζουσι προσβολαῖς, κατανεκροῦντες τὴν σάρκα, καὶ τῶν ἐν αὐτῇ τε καὶ ἐξ αὐτῆς κατεξανιστάμενοι κινημάτων. Ταύτῃ τοι καὶ πᾶν εἶδος φαυλότητός τε καὶ ἁμαρτίας εὐτεχνέστατα παρωθούμενοι, τὴν ἱερὰν καὶ ἀμώμητον κατορθοῦσι ζωὴν, οἷς καὶ ὁ θεσπέσιος Παῦλος ἐπιφωνεῖ, λέγων· «Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι.» Παντευχία γὰρ ἡ πνευματικὴ τοῖς ἁγίοις πρεπωδεστάτη, ἧς ἐφίεσθαι δεῖν ἡμᾶς, εἰ καὶ καθ' ἕτερον τρόπον, κελεύει δ' οὖν ὅμως καὶ αὐτὸς ὁ Σωτήρ· «Ἔστωσαν γὰρ ὑμῶν αἱ ὀσφύες, φησὶ, περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ἐν τοῖς ποσὶν ὑμῶν, καὶ οἱ λύχνοι καιόμενοι·» τὸ μὲν εὔζωνόν τε καὶ οἱονεί που συνεσταλμένον, ἐπὶ τὸ χρῆναι τληπαθεῖν ὑπέρ γε τοῦ ἀγαθοῦ, καὶ τῆς εἰς Θεὸν ἀγάπης, τοῦ διεζῶσθαι σημαίνοντος· τὸ δ' εὐτρεπές τε καὶ πρόθυμον, εἰς τὴν ἀπὸ τοῦ κόσμου κατάστασιν, τοῦ ὑποδεδέσθαι τοὺς πόδας, ὡς αὐτίκα δὴ μάλα βαδιουμένους, οἶπερ ἂν ἡμᾶς ὁ θεῖος ἰέναι βούλοιτο νόμος· τὸ δὲ καίεσθαι τοὺς λύχνους, τοῦ μὴ ὡς ἐν σκότει τε καὶ ἀμαθίᾳ ζῆν ἀνέχεσθαί τινας, ἐν φωτὶ δὲ μᾶλλον τῷ διὰ Χριστοῦ τὴν εἰς πᾶν ὁτιοῦν τῶν τεθαυμασμένων ποιεῖσθαι πορείαν. Ἰουδαίοις μὲν ἐκ φρενοβλαβείας τοῦτο δρᾷν οὐκ ἀνεχομένοις, προσεφώνει Χριστός· «Ἕως τὸ φῶς ἔχετε περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ.» Οὐκοῦν ἑτοιμότης εἰς ἀρετὴν καὶ ἀνδρεία φρονήσει συνεζευγμένη, λαμπρὸν καὶ περίοπτον ἀποφήνειεν ἂν τῆς εὐσεβείας τὸν ἐραστήν. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Οὐ γὰρ ἐν τῷ ἀνεῖσθαι φιλεῖν, τὸ εὐκλεὲς εὑρήσομεν· ἀλλ' εἴπερ ἱδροῦν ἕλοιτό τις, τότε δὴ μόλις ἔσται λαμπρός τε καὶ εὐδοκιμώτατος. Καὶ γοῦν ποιουμένοις ἔτι τὰς ἐν Αἰγύπτῳ διατριβὰς τοῖς υἱοῖς Ἰσραὴλ, ἐφίστησι μὲν ἐπιστάτας τῶν ἔργων δεινοὺς καὶ πικροὺς ὁ βέβηλος Φαραώ· οἱ δὲ, τὴν ἀνεθέλητόν τε αὐτοῖς, καὶ ὡς ἐξ ἀνάγκης ἐπεῤῥιμμένην σκληραγωγίαν γύμνασμα ποιούμενοι πρὸς τὸ τληπαθὲς, 68.308 ὠφέληνται μᾶλλον, ἤπερ ἠδίκηνται κατὰ τὸ ἀληθές. Ἐδεδίει μὲν γὰρ ὁ Φαραὼ τοὺς Ἑβραίους εἰς πληθὺν ἀμέτρητον ἐκτεινομένους ὁρῶν· κακουργότατα δὲ κολάζειν ἐπιχειρῶν τὴν ἔν γε δὴ τούτῳ φορὰν καὶ ἐπίδοσιν, «Ἐπέστησεν αὐτοῖς, φησὶν, ἐπιστάτας τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις.» Περιτρέπεται δὲ αὐτοῖς πρὸς τὸ ἐναντίον ἡ σκέψις. Ἡ γὰρ ἐπενηνεγμένη κάκωσις πρόφασις αὐτοῖς τῆς εἰς πληθὺν ἐπιδόσεως ἦν, Θεοῦ τὸ χρῆμα οἰκονομοῦντος, καὶ ταῖς ἐκείνου ῥᾳδιουργίαις τὴν οἰκείαν ὥσπερ ἀντεξάγοντος χάριν. «Καθότι γὰρ αὐτοὺς ἐταπείνουν, φησὶ, τοσούτῳ πλείους ἐγίνοντο καὶ ἴσχυον.» Ἐπιφέρει μὲν γὰρ τὰς θλίψεις ὁ Σατανᾶς, τοὺς ὀδόντας ἐπιτρίζων τοῖς ἁγίοις, καὶ ὧνπερ ἂν ὡς ἰδίων μετεποιεῖτο Θεὸς, τούτοις ἀεί πως ἀπολέγδην ἐπιπηδῶν· «Τὰ γὰρ βρώματα αὐτοῦ ἐκλεκτὰ,» φησίν· ἀλλ' οἱ πονοῦντες ἐν τούτοις, αὐτῶν ἀμείνους ἔσονται πειραζόμενοι· καὶ τὸ καρτερὸν ἐν ἀγῶσιν ἀποφαίνει δὴ πάντως εὐκλεεστέρους, ὥς τε δι' ὧν ἂν νοοῖτο λυπεῖν καὶ κακοῦν, διὰ τούτων μάλιστα καὶ οὐχ ἑκὼν, ὀνήσειεν ἄν, καὶ δι' ὧν αἱρήσειν ὑπείληφεν, εὐσθενεστέρους ἀποτελεῖ. Ἐπειδὴ δὲ τὸ πανοῦργον σόφισμα τῷ Φαραὼ πρὸς ἀδόκητον πέρας ἐκτελευτᾷ, καὶ δι' ὧν ἐκάκου, καὶ προσωφελῶν ἦν, ὀψὲ καὶ μόλις αἰσθάνεται, καὶ μεθίστησι παραχρῆμα τῆς ἐπιβουλῆς τὸν τρόπον· μεταπεμψάμενος γὰρ τῶν Ἑβραίων τὰς μαίας, «Ὅταν μαιοῦσθε τὰς Ἑβραίας, φησὶν, καὶ ὦσι πρὸς τὸ τίκτειν, ἐὰν μὲν ἄρσεν ᾖ, ἀποκτείνατε αὐτὸ, ἐὰν δὲ θῆλυ, περιποιεῖσθε αὐτό.» Ἐφοβήθησαν δὲ αἱ μαῖαι τὸν Θεὸν, καὶ οὐκ ἐποίησαν καθότι συνέταξεν αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου καὶ ἐζωογόνουν τὰ ἄρσενα.» Ἀπρακτούσης δὲ αὐτῷ τῆς κατὰ τοῦ γένους ἀνοσιότητος, καὶ μιαιφόνου βουλῆς, οὐ γὰρ ἠφίει Θεὸς δυσσεβεῖν τὰς μαίας, μέτεισι λοιπὸν ἐπὶ τὸ ἐκφάνδην ἀδικεῖν, καὶ λεληθότως μὲν, οὐκέτι λυπεῖν ἠξίου, γυμνῶς δὲ ἤδη πω; αἱρεῖται πόλεμον, καὶ θάνατον ἀπηνῆ τῶν τικτομένων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταψηφίζεται. «Συνέταξε γὰρ, φησὶ, Φαραὼ παντὶ τῷ λαῷ αὐτοῦ λέγων· Πᾶν ἄρσεν ὃ ἐὰν τεχθῇ τοῖς Ἑβραίοις, εἰς τὸν ποταμὸν ῥίψατε, καὶ πᾶν θῆλυ, ζωογονεῖτε αὐτό.» Μέλει γὰρ αὐτῷ τοῦ θήλεως οὐδαμῶς, ἀφιλοπόλεμον γὰρ χρῆμα γυνὴ, καὶ οὐκ ἀστεῖον εἰς σύνεσιν· λυπεῖ δὲ κατ' ἄμφω τὸ ἄρσεν, ὡς σοφόν τε καὶ μαχιμώτατον. Οὐκοῦν ἥδιστόν γε καὶ καταθύμιον κομιδῇ τῷ μιαιφόνῳ δράκοντι, φημὶ δὴ τῷ Σατανᾷ, ψυχῆς φρόνημα γυναικοπρεπὲς, ἐκτεθηλυμμένον τε καὶ ἄναλκι· καὶ πρός γε τούτῳ νοσοῦν τὸ εἰς σοφίαν ἀνεπιτήδειον, ἐχθρὸν δὲ καὶ κατεστυγημένον τὸ πρόθυμον εἰς ἀνδρείαν, καὶ μαλακισμοῦ μὲν ἄμεινον, δειλίας δὲ καθυπερτεροῦν, καὶ τὸ ἄγαν ἐμφρονέστατον. Διά τοι τοῦτο, ζωογονεῖ μὲν τὸ θῆλυ, καὶ ἐξίστησί πως τὴν ἐπ' αὐτῷ μιαιφόνον βουλήν τε καὶ σκέψιν. Εὔηθες γὰρ οἶμαι τὸ μάχεσθαι ζητεῖν τοῖς αὐτόθεν ὑπεστρωμένοις, οἴκοθέν τε νοσοῦσι τὸ ὑπεζεῦχθαι φιλεῖν, καταπνίγει δὲ ὥσπερ τὸ ἄρσεν ταῖς τῶν πειρασμῶν περιστάσεσιν ἐνιείς. Τοῦτό μοι δοκεῖ καὶ ὁ θεῖος Δαβὶδ 68.309 ἀναμελῳδεῖν καὶ λέγειν· «Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς· ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς, ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς· χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν.» {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Ἄθρει δὴ τῆς ἐπιβουλῆς τὸν τρόπον. Πρῶτον μὲν γὰρ αὐτοὺς ἀγρίοις κατῃκίζετο πόνοις, τὸ μὴ εἰς πληθὺν ἰέναι πολλὴν, κακουργότατα σοφιζόμενος, δι' ὧν ἠξίου κακοῦν· καὶ λαθραῖον ἦν ἔτι τὸ ἀδίκημα, καὶ οὐ λίαν ἐμφανὴς ὁ τοῦ τυράννου σκοπὸς, ἀντεφέρετο δὲ καθάπερ ἔφην ἀρτίως, ἡ τοῦ κατοικτείροντος χάρις. Ταπεινούμενοι δὲ, μᾶλλον εἰς αὔξησιν ἵεσαν, ἀλκῆς τε καὶ ἀριθμοῦ. Εἶτα διὰ μέσου τὰς μαίας ταῖς Ἑβραίων γυναιξὶν, ἐξοπλίζειν ἤθελεν. Ἀλλ' οὐδὲ τοῦτο κρατεῖν ἠφίει Θεός. Ἐπιβουλῆς δὲ λοιπὸν, ὡς ἐν τρίτῳ τε καὶ τελευταίῳ τρόπῳ παντὶ τῷ ἰδίῳ προστέταχε λαῷ καταπνίγειν τὸ ἄρσεν, τὸ λεληθότως πλεονεκτεῖν οὐκέτι παραιτούμενος. Οὐκοῦν τοῖς ἀνδριζομένοις, πολεμεῖ μὲν ἀοράτως ὁ Σατανᾶς, συντίθησι δὲ τὰ τῆς ἐπιβουλῆς, ὡς ἔν γε τρόπῳ τριπλῷ· καὶ ἀπάρχεται μὲν τῆς μάχης διὰ κακούργων σκεμμάτων, τὴν εἰς ἀρετὴν ἐπίδοσιν ἀποκωλύων τοῦ νοῦ· ἐντρύχεσθαι γὰρ ἀδοκήτοις παρασκευάζει πόνοις καὶ σκληροῖς ἀγῶσιν ὁμιλεῖν. Ἀδικεῖν δὲ ἰσχύσας διὰ τούτων οὐδὲν, ἐπαμύνοντος τοῦ Θεοῦ, τοὺς κατὰ πίστιν ἡμῖν ἰδίους καὶ ταυτοεθνεῖς παροτρύνει πολλάκις, καὶ καταθήγειν ἐπιχειρεῖ πρὸς ἀπέχθειάν τε καὶ μάχην. Καὶ μαρτυρήσει λέγων ὁ Παῦλος· «Κινδύνοις ἐν ψευδαδέλφοις, κινδύνοις ἐκ γένους.» Εἰ δὲ δὴ γένοιτο καὶ τούτου διαμαρτεῖν, τὸν θεῖον αὐτοῖς ἐνιέντος φόβον τοῦ τῶν ἁγίων προεστηκότος, καθὰ καὶ τὰ πάλαι ταῖς μαίαις· ἀναφανδὸν ἐγείρει λοιπὸν τοὺς σφετέρους ὑπασπιστὰς, εἰς ἀγριότητα καὶ μιαιφονίαν. Ἀνθεξόμεθα δὲ καὶ οὕτως τῆς εἰς εὐτολμίαν ἀγάπης, καὶ τῆς εἰς ἀνδρείαν σπουδῆς, οὐκ ἠγνοηκότες, ὅτι τὸ ἀπηχθημένον παρ' ἐκείνῳ, Θεῷ τίμιον. Τέθειται γὰρ ἐν λόγῳ καὶ φειδοῦς ἀξιοῖ, τὸ ἀνωτέρω μαλακισμοῦ. {ΠΑΛΛ.} Πείθομαι. Παρὸν δὲ οἶμαι καὶ τοῦτο πάλιν, καὶ ἐξ αὐτῆς ἡμῖν τῆς ἁγίας καταθεᾶσθαι Γραφῆς. Ἀπόρησις γὰρ ἐννοιῶν, οὔτι που. {ΚΥΡ.} Οὐκοῦν Θεοῦ διδόντος λέγομεν, ὡς ἐν τοῖς ἐπίκλην Ἀριθμοῖς, Μωσαϊκὸν δὲ τοῦτο βιβλίον· «Καὶ ἐλάλησε, φησὶ, Κύριος πρὸς Μωσῆν, ἐν τῇ ἐρήμῳ Σινᾶ, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐν μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου ἔτους, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου, λέγων· Λάβετε ἀρχὴν πάσης συγγενείας υἱῶν Ἰσραὴλ, καὶ κατὰ συγγενείας αὐτῶν, καὶ κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ἐξ ὀνόματος αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν· πᾶς ἄρσην ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν δυνάμει 68.312 Ἰσραὴλ, ἐπισκέψασθε αὐτοὺς ἐν δυνάμει αὐτῶν, σὺ καὶ Ἀαρὼν ἐπισκέψασθε αὐτούς.» Ὅτι μὲν οὖν τὸ ἄρσεν καὶ μαχιμώτατον, καὶ εἰς ἥβην ἀναβεβηκὸς, τουτέστιν, εἰς εὐεξίαν τὴν πνευματικὴν καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἐν ἀπογραφῇ τῇ θείᾳ, καὶ ἐν βιβλίῳ τέτακται Θεοῦ, σαφὲς ἂν γένοιτο καὶ διὰ τούτων εὖ μάλα· ἀριθμεῖται γὰρ οὐχ ἑτέρου του χάριν, καθάπερ ἐγῷμαι, τὸ ἄρσεν ἐν εἰκοστῷ τε καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔτι γεγονὸς ἐνιαυτῷ, ἢ ὥστε δύνασθαι νοεῖν καὶ ἡμᾶς αὐτοὺς, ὡς ἀπόβλητον μὲν καὶ ἀδόκιμον τὸ ἄναλκί τε καὶ ἀτελὲς εἰς σύνεσιν, ἃ δὴ προσεῖναί φαμεν τοῖς ἔτι μὲν νέοις κομιδῆ, καὶ οὔπω πρὸς ἥβης ἥκουσι μέτρον, ὅ περ ὁ θεῖος οἶδέ τε καὶ ὁρίζει νόμος, τουτέστι τὸ ἔτος τὸ εἰκοστόν· τίμιον δὲ καὶ ἐν ἀριθμῷ καὶ ἐγνωσμένον παρὰ Θεῷ, κατά τε πληθὺν, καὶ γένη καὶ κεφαλὰς, καὶ ὀνομαστὶ, τὸ ἐν ἀκμαῖς τε καὶ ἄρσεν. Ἀνδριζομένοις γὰρ οὕτω, καὶ εἰς τοῦτο προήκουσι διανοίας μέτρον, τοῖς ἁγίοις ἀποστόλοις εἴρηται διὰ Χριστοῦ, ποτὲ μὲν, ὅτι, «Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν, χαίρετε δὲ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς·» ποτὲ δὲ πάλιν· «Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς; Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι εἰσίν.» Τὸ ἀκριβὲς οἶμαί που τῆς ἐπ' αὐτοῖς φροντίδος, τοῦ αὐτὰς εἰπεῖν ἀπαριθμεῖσθαι τὰς τρίχας καταδηλοῦντος εὖ μάλα. Οὐκοῦν ἐν βιβλίῳ Θεοῦ τὸ ἐν ἀκμαῖς τε καὶ ἄρσεν. Ἐπράττετο δὲ τὰ τῆς ἀπογραφῆς, διά τε Μωσέως καὶ Ἀαρὼν, ἵνα δι' ἀμφοῖν τὸν ἕνα νοῶμεν Χριστὸν, ὡς ἐν Μωσῇ, νομοθέτην, ὡς ἐν Ἀαρὼν, ἀρχιερέα. Γέγονε γὰρ ἐφ' ἡμᾶς νομοθέτης τε ἅμα, καὶ ὅσιος καὶ ἄκακος ἀρχιερεὺς, καὶ διὰ τῆς αὐτοῦ μεσιτείας, τῶν ἀνδριζομένων καὶ ἐκπρεπεστέρων εἰς ἀρετὴν, ἐν θείαις βίβλοις ἀπογραφή. Προσεφώνει δὲ τούτοις καὶ σοφὸς Ἰωάννης λέγων· «Γράφω ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ νενικήκατε τὸν πονηρόν.» Οὐκοῦν εἶεν ἂν οὗτοι, περὶ ὧν ἔφαμεν ἀρτίως· ὅτι «Πᾶν ἄρσεν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν δυνάμει Ἰσραήλ·» οὓς ὅτι ποιεῖται διὰ φειδοῦς, καὶ φροντίδος ἀξιοῖ, φιλάρετος ὢν ὁ δημιουργὸς, κατίδοις, ὦ Παλλάδιε, καὶ διὰ τῶν ἐφεξῆς γεγραμμένων. Ἔφη γὰρ πάλιν τοῖς ἀμφὶ Μωσέα καὶ Ἀαρὼν, δῆλον δὲ ὅτι Θεὸς, «Καὶ μεθ' ὑμῶν ἔσονται ἕκαστος κατὰ φυλὴν ἑκάστου ἄρχοντος, κατ' οἴκους πατριῶν ἔσονται, καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν, οἵτινες παραστήσονται μεθ' ὑμῶν.» Φυλὴ γὰρ ἑκάστη τὸν εὐκλεέστερον καὶ μαχιμώτατον ἐφίστησιν ἡγεμόνα, καὶ προασπιστὴν, καὶ βουλῆς ἐξάρχοντα, καὶ τῶν πρακτέων εἰσηγητὴν, ὧν ἂν εἶεν εἰς τύπον, οἱ τοῖς ἀπολέκτοις καὶ ἐν βίβλῳ ζωῆς κειμένοις, ἐφεστηκότες ἄγγελοι. Γέγραπται γὰρ περὶ παντὸς δικαίου· «Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.» Ὅτι δὲ ἀγγελικαῖς ἐπικουρίαις διασεσώσμεθα κατὰ βούλησιν Θεοῦ, πανταχόθεν ἂν γένοιτο σαφὲς, καὶ 68.313 περιττὸν οἶμαι συλλέγειν εἰς τὸ παρὸν, τὰς δείξεις· καίτοι τοῖς ἐθέλουσι μετὸν καὶ λίαν εὐκόλως εἴπερ ἕλοιντο τοῦτο δρᾷν. {ΠΑΛΛ.} Οὐκοῦν ὡς ἐν τύπῳ τῷ κατὰ Μωσέα καὶ Ἀαρὼν διὰ Χριστοῦ γένοιτ' ἂν τῶν ἀνδριζομένων ἡ ἀπογραφή. {ΚΥΡ.} Οὕτω φημί· ἀποφέρει γὰρ ἡμᾶς εἰς τὸν ἐπὶ τῷδε λόγον, οὐκ ἀπίθανον ἔχον τὴν ὑποψίαν τὸ παρὰ τῷ μακαρίῳ Δανιήλ. {ΠΑΛΛ.} Τὸ ποῖον τί φῄς; {ΚΥΡ.} Τεθέαται μὲν γὰρ, ὡς ἐν ἡλικίᾳ τῇ πρεσβυτικῇ τὸν Πατέρα, λευκῇ μὲν πολιᾷ κατεστεμμένον, ἐνδύμασι δὲ τοῖς ἐν εἴδει χιόνος ἐκπρεπῆ, ἔφη δὲ ὅτι «Καὶ βίβλοι ἠνεῴχθησαν, καὶ κριτήριον ἐκάθισε, καὶ εἶδον. Καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ, καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία.» Ὅτε γὰρ ἐν εἴδει τῷ καθ' ἡμᾶς γέγονεν ὁ Μονογενὴς, τότε καὶ βίβλους ἠνέῳξεν ὁ Πατὴρ, καὶ ἀνῆκε μὲν τοῦ κρίνεσθαι τοὺς ἐνόχους ἁμαρτίαις· ἐφῆκε δὲ τοῖς ἀνδριζομένοις τὸ ἐγγράφεσθαί τε καὶ ἐναριθμεῖσθαι λοιπὸν τοῖς ἄνω χοροῖς, καὶ ἐν μνήμῃ κεῖσθαι Θεοῦ. Ἀκούω δὲ ψάλλοντος τοῦ μακαρίου Δαβὶδ περὶ τῶν εἰς Χριστὸν πεπαρῳνηκότων· «Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων οὐ γραφήτωσαν.» Πεπτώκασι μὲν γὰρ ἐξ ἀσθενοῦς λογισμοῦ καὶ τῆς εἰς Χριστὸν πολιτείας ἐξ ἀνανδρίας ἡμαρτηκότες, οἱ χρηστῷ τε καὶ φιλανθρώπῳ νεύματι τοῦ Θεοῦ καὶ Πατρὸς ἐκτετιμημένοι· κέκληνται μὲν γὰρ εἰς τοὺς γάμους, μαλακῶς δὲ καὶ παρειμένως τοῖς ἁγίοις δειπνοκλήτορσιν ἀπεκρίναντο, λέγοντες· ὁ μὲν, ὅτι ἀγρὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἠγόρασα· ὁ δὲ, ὅτι γυναῖκα ἔγημα, καὶ οὐ δύναμαι ἐλθεῖν. Ἀκούεις λεγόντων πανταχῇ, ὅτι Οὐ δύναμαι· νοῦς γὰρ ὁ ἀνθρώπινος εἰς φιληδονίαν κοσμικὴν ἀπονενευκὼς, ἀδρανής τέ ἐστι καὶ ἄναλκις εἰς τὸ ἐργάζεσθαι τὰ τοῦ Θεοῦ· ἔσται δὲ οὗτος καὶ τῆς οὐρανίου καὶ θείας ἀμέτοχος ἑορτῆς. {ΠΑΛΛ.} Μόνον οὖν ἄρα τὸ ἡβηκὸς καὶ ἀνδρεῖον, καὶ ἔμφρον ἤδη πως, ἐν ἀπογραφῇ Θεοῦ, καὶ ἐν βίβλῳ ζώντων, τὸ δὲ μὴ τοιοῦτον ἅπαν, ἀδόκιμον ἢ πῶς; {ΚΥΡ.} Ἀκριβῆ καὶ ἐγηγερμένον ἐνιεὶς τὸν νοῦν τοῖς Γεγραμμένοις, εἴσῃ τοι τὸ ἀληθές. Ἀπογράφεται γὰρ οὐχὶ τὸ ἐν ἥβῃ μόνον, καὶ ἐν ἔτει τῷ εἰκοστῷ γεγονὸς, προστέτακται δὲ ὅτι, πᾶν ἄρσεν. Ἢ οὐκ ἐννοεῖς ἃ λέγω; {ΠΑΛΛ.} Συνίημι. {ΚΥΡ.} Οὐκοῦν, εἰ μὲν τῆς ἐν Χριστῷ νοουμένης ἀνδρίας, καὶ ὁ τῶν ἐπιτηδείων εἰς τὸ δύνασθαι κατορθοῦν εὖ μάλα τὴν ἀρετὴν περιεργάζοιτο τρόπος, ἰδίαν ἕξουσι τὴν ἀπογραφὴν, οἱ πρὸς τοῦτο δόξης ἐλάσαντες, ὡς ἀνδρεῖοί τε ἤδη καὶ μαχιμώτατοι, καὶ 68.316 μειρακιώδη φρόνησιν ὑπερβεβηκότες, οὐχὶ ἑκάστῳ τῶν καθ' ἡμᾶς ἁρμόσειεν ἂν, ὦ ἑταῖρε, τόπος τις ἴδιός τε καὶ πρέπων ἀπογραφῆς καὶ δόξης, τῇ τῶν δρωμένων λαμπρότητι συμμετρούμενος; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Οὐ γὰρ ἔν γε τοῖς ἁγίοις ἀποστόλοις ὁ μὴ κατ' αὐτοὺς ἔσται ποθέν· πολλοῦ γε καὶ δεῖ. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Οὐδ' αὖ ἐκεῖνό φαμεν, ὡς τοῖς ἄγαν ἐκλελαμπρυσμένοις ἐκ πολυειδοῦς ἀρετῆς, καὶ βίου κατόρθωσιν τὴν ἐννομωτάτην ἐπησκηκόσιν, ὁ μὴ τοιοῦτος συντετάξεται, κληρονομήσει δὲ ὅτι, κατὰ τὸ ἴδιον μέτρον, οὐκ ἀσυμφανές. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Οὐκοῦν, καθὸ πεπιστεύκαμεν εἰς τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν, καὶ διὰ τοῦ βαπτίσματος τὴν ἐξ οὐρανοῦ καὶ ἄνωθεν ἰσχὺν πεπλουτήκαμεν· ἐνεδυσάμεθα γὰρ τὴν ἐξ ὕψους δύναμιν τῷ ἁγίῳ· κατεσφραγισμένοι Πνεύματι, τεθείμεθα καὶ ἡμεῖς ὡς ἐν ἀρσένων τάξει τε καὶ λόγῳ, καὶ κατελογίσθημεν ἐν βίβλῳ Θεοῦ. Πλὴν ἔστι τις κἀνθάδε διαφορά. Πρῶτοι γὰρ ὥσπερ ἐν ἀπογραφῇ, καὶ ἀγχοῦ Θεοῦ μᾶλλον οἱ ἱερώτεροί τε καὶ ἁγιώτεροι. Μία μὲν ἡ πίστις ἡ εἰς Χριστόν· πλὴν, οὐχ ἅπαντες οἱ πεπιστευκότες ἐν ὁμοίῳ καὶ ἴσῳ τρόπῳ τέ εἰσι καὶ βίῳ, ἀλλ' οἱ μὲν, οὕτως· οἱ δὲ οὕτως, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Οὐκοῦν, οἱ μὲν βίου σεμνότητι προὔχοντες, ἁγιώτεροι δὲ διὰ τοῦτο, πρώτην ἔχουσι τὴν τάξιν ἐν ἀπογραφῇ τῇ θείᾳ, καὶ ἐν μνήμῃ Θεοῦ· οἱ δὲ τὸ μεῖον ἔχοντες, ἐν ἁγιασμῷ, διὰ τὸ μεῖον ἐν ἀρετῇ, δεύτεροί που πάντως καὶ ἐν ἀπογραφαῖς. {ΠΑΛΛ.} Καὶ πῶς ἂν γένοιτο καὶ τοῦτο σαφές; {ΚΥΡ.} Ἀπό γε τῶν Γεγραμμένων. Ἔστι γὰρ ἡμῖν οὐ προαλὴς ὁ λόγος· μετὰ γάρ τοι τὴν ἐπαρίθμησιν ἣν ἐπὶ τοῖς ἄῤῥεσί τε καὶ ἀκμαιοτάτοις ἐποιήσατο, τρόπον ἡμῖν ἕτερον ἀπογραφῆς διετύπου πάλιν ὁ τῶν ὅλων Θεός. Ἔχει δὲ οὕτως· «Ἐλάλησε Κύριος πρὸς Μωσῆν ἐν τῇ ἐρήμῳ Σινᾶ λέγων· Ἐπίσκεψαι τοὺς υἱοὺς Λευὶ κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους. Πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω ἐπισκέψῃ αὐτούς. Καὶ ἐπεσκέψατο αὐτοὺς ὁ Μωσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου, ὃν τρόπον συνέταξεν αὐτοῖς Κύριος.» Γενομένης δὲ οὕτω τῆς ἀπογραφῆς κατὰ δήμους, καὶ κατ' οἴκους πατριῶν, ὅλον εὐθὺς τὸν ἐκλογισμὸν ἐπιφέρει, λέγων· «Πᾶσα ἡ ἐπίσκεψις τῶν υἱῶν Λευὶ, οὓς ἐπεσκέψατο Μωσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου κατὰ δήμους αὐτῶν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, δύω καὶ εἴκοσι χιλιάδες.» Ἐπισυνάπτει δὲ παραχρῆμα, καί φησι· «Καὶ εἶπε Κύριος πρὸς Μωσῆν, λέγων· 68.317 Ἐπίσκεψαι πᾶν πρωτότοκον ἄρσεν τῶν υἱῶν Ἰσραὴλ ἀπὸ μηνιαίου καὶ ἐπάνω, καὶ λάβε τὸν ἀριθμὸν αὐτῶν ἐξ ὀνόματος, καὶ λήψῃ τοὺς Λευίτας ἐμοὶ, ἐγὼ Κύριος, ἀντὶ πάντων τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ, καὶ τὰ κτήνη τῶν Λευιτῶν ἀντὶ πάντων τῶν πρωτοτόκων ἐν τοῖς κτήνεσι τῶν υἱῶν Ἰσραήλ. Καὶ ἐπεσκέψατο Μωσῆς, ὃν τρόπον ἐνετείλατο Κύριος αὐτῷ καὶ ἐγένετο πάντα τὰ πρωτότοκα τὰ ἀρσενικὰ κατὰ ἀριθμὸν ἐξ ὀνόματος ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἐκ τῆς ἐπισκέψεως αὐτῶν, δύο καὶ εἴκοσι χιλιάδες, τρεῖς καὶ ἑβδομήκοντα καὶ διακόσιοι. Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάβε τοὺς Λευίτας ἀντὶ πάντων τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ, καὶ τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κτήνη τῶν Λευιτῶν ἀντὶ τῶν κτηνῶν αὐτῶν, καὶ ἔσονται ἐμοὶ οἱ Λευῖται· ἐγὼ Κύριος· καὶ τὰ λύτρα τριῶν καὶ ἑβδομήκοντα καὶ διακοσίων οἱ πλεονάζοντες παρὰ τοὺς Λευίτας ἀπὸ τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραήλ· καὶ λήψῃ πέντε σίκλους κατὰ κεφαλὰς κατὰ τὸ δίδραχμα τὸ ἅγιον· λήψῃ εἴκοσιν ὀβολοὺς τοῦ σίκλου, καὶ δώσεις τὸ ἀργύριον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λύτρα τῶν πλεοναζόντων ἐν αὐτοῖς.» Ὡς βαθὺ τὸ χρῆμα καὶ δυσέφικτον, ὦ Παλλάδιε, τὸ προσβαλεῖν δύνασθαι, φημὶ δὴ τοῖς ὧδε διεσταλμένοις, λεπτῶς τε καὶ ἀκριβῶς. {ΠΑΛΛ.} Εὖ λέγεις· καθίει δ' οὖν ὅμως τὸν νοῦν εἰς βάσανον, Χριστῷ τῷ παντὸς ἀγαθοῦ δοτῆρι πίσυνος. {ΚΥΡ.} Σύνες δὴ, ὅτι ἐν ἀπογραφῇ τῇ πρώτῃ, πᾶν μὲν ἦν ἄρσεν, καὶ εἰκοσαετὲς τὸ ζητούμενον, τουτέστι τὸ ἔμφρον τε καὶ ἀνδρεῖον, καὶ ἐν ἀκμαῖς τοῦ δύνασθαι κατορθοῦν, ἃ ἂν βούλοιτο Θεός. Ἐχέτω δὲ ἅλις ἡμῖν ὁ περὶ τοῦδε λόγος. Πεποίηται γὰρ, ὡς ἐγῷμαι λίαν ἀποχρώντως ἔχων. Ἔν γε ταυταινὶ ταῖν δυαῖν ἀπογραφαῖν, ἅπαν μὲν ἄρσεν τὸ ἐκ φυλῆς Λευῒ, ταῖς θείαις τε καὶ ἱεραῖς ἐντάττεται ψήφοις. Ἀπό γε τῆς ἑτέρας πληθύος, οὐκέτι πᾶν ἄρσεν ἁπλῶς, ἀλλὰ τὸ πρωτότοκον, ἀπὸ μηνιαίου δὲ σύμπαν καὶ ἐπάνω τὸ ἀριθμούμενον. Καὶ ἡ μὲν τῶν Λευιτικῶν βρεφῶν ἀπαρίθμησις, δύο καὶ εἴκοσι χιλιάδες· ἡ δὲ τῶν πρωτοτόκων δύο καὶ εἴκοσι χιλιάδες καὶ τρεῖς καὶ διακόσιοι καὶ ἑβδομήκοντα. Εἶτα θεσπίζει Θεὸς, ἀντὶ τῶν πρωτοτόκων τοὺς Λευίτας ἀνατίθεσθαι δεῖν. Ἐπειδὴ δὲ ὑπερτεροῦν ἤτοι πλεονάζοι ἀριθμῷ τὸ δημοτικὸν εὑρίσκεται, διακοσίαις ἑβδομήκοντα καὶ τρισὶ κεφαλαῖς, δεδικαίωκεν ὁ νομοθέτης, προσκομίζεσθαι δεῖν ὑπὲρ αὐτῶν τὰ λύτρα τῇ φυλῇ τῇ Λευιτικῇ, ὡς ἂν καὶ ὑπὲρ αὐτῶν ποιοῖντο τὰς λειτουργίας, καὶ ἀναφέροιεν τὰς λατρείας, μισθὸν ὥσπερ τινὰ τὴν ἀπερισπάστου προσεδρείας τουτονὶ κομιζόμενος παρ' αὐτῶν. Ἢ οὐκ ἐν τούτοις φῂς τὴν τῶν προκειμένων περίνοιαν; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Οὐκοῦν ἐκεῖνο ἐρῶ· καί μοι πάλιν ὁ λόγος οὐκ ἀπὸ σκοποῦ βαδιεῖται, κατά γε τὸ εἰκὸς καὶ οὐκ ἀπιθάνως ἔχον· ἦτε μὲν γὰρ ἀνδρίας τε ὁμοῦ καὶ φρονήσεως τῆς ἐν Χριστῷ νοουμένης ἀνάμνησις ἦν, καὶ ὡς ἐν τύπῳ ζήτησις, ἀπεγράφετο τὸ ἄρσεν, οὐκ 68.320 ἀφανῆ τὴν τοῦ σώματος ἡλικίαν ἔχον. Ἐπειδὴ δὲ πρὸς τούτοις ἐχρῆν καὶ τὴν ὡς ἐν πίστει τε καὶ ἀγάπῃ τῇ εἰς Χριστὸν γενομένην ἀπογραφὴν εὖ μάλα κατασημαίνεσθαι, συμπεπλεγμένης διαφορᾶς, ἣν ὡς ἔν γε τοῖς πιστεύουσιν ἔστιν ἰδεῖν. Οἱ μὲν γὰρ, ὁμοῦ τῷ παραδέχεσθαι τὴν πίστιν, καὶ τὸ ἐν ἔργοις ἱερὸν, καὶ τὴν ὑπὸ Θεῷ δουλείαν ἐπιτηδεύουσιν· οἱ δὲ οὐχ ὁλόκληρον ποιοῦνται τὴν ἀφιέρωσιν, μεμερισμένοι πρὸς τὰ ἐν κόσμῳ· ταύτῃ τοι δικαίως ὁ νομοθέτης προτιμᾶσθαι θατέρου κελεύει τὸ ἱερὸν, ὡς ἐν τύπῳ νοούμενον γένει τῷ Λευιτικῷ· καὶ τὸν πρῶτον ἔχειν ἐν ἀπογραφῇ, προστέταχε τόπον. Πρώτου δὴ οὖν διὰ τοῦτο μνημονεύει τοῦ Λευτικοῦ, ἕπεται δὲ αὐτῷ καὶ παρέζευκταί πως, τὸ ἄρσεν τε καὶ τὸ πρωτότοκον. Ἐκτετίμηται γὰρ παρὰ Θεῷ λίαν, τὸ ὡς ἐν ἀνδρείᾳ τῇ πνευματικῇ καὶ ἐν συμμορφίᾳ νοούμενον, τῇ κατὰ Χριστὸν, ὅς ἐστι πρωτότοκος. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος ἐπιστέλλει τισὶ τῶν ὀκλαζόντων περὶ τὴν πίστιν, καὶ εἰς ἐννοίας ψυχρὰς ἐκτεθηλυμμένων· «Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.» Δεκτὸς οὖν ἄρα καὶ ἐν βίβλῳ Θεοῦ πᾶς, ὁ ὡς ἐν μορφώσει τῇ κατὰ Χριστὸν πρωτότοκος, ἄρσην τε καὶ ἐμφρονέστατος. Ἐπιτήρει δὲ ὅτι καθάπερ ἔφην ἀρτίως, ἀπὸ μὲν τῶν ἑτεροφύλων, οὐ πᾶν ἄρσεν ἁπλῶς ἐναρίθμιον, ἀλλὰ μόνον τὸ πρωτότοκον· οὐ γάρ τοι πᾶς ἄνθρωπος ἐν πίστει διαπρεπὴς, καὶ ἐν συμμορφίᾳ τῇ κατὰ Χριστὸν, πολλοὶ γὰρ οἱ μὴ πιστεύσαντες, ἀνάγραπτον δὲ καὶ ἐν ἀριθμῷ μόνον ἐστὶ τὸ πρωτότοκον, διὰ τὸν ἐν ἡμῖν πρωτότοκον, καὶ ἐν πολλοῖς ἀδελφοῖς. Ἅπαν δὲ ἄρσεν ἁπλῶς καὶ ἀδιακρίτως ἔν γε τοῖς Λευιτικοῖς ἐν ἀπογραφῇ καὶ ἐν ἐκλογισμοῖς· Θεῷ γὰρ οἰκεῖον ὁλοκλήρως τὸ ἅγιον. Μηνιαῖα δὲ καὶ ἐπάνω τὰ ἀπογραφόμενα· καὶ τίς ἡ πρόφασις; Ὅτι τῶν πεπιστευκότων ἡ ἐν Χριστῷ νηπιότης, οὐκ ἀπόβλητος παρὰ Θεῷ, σύμβολος δὲ ὥσπερ τῆς ἁπλότητος τῆς ἐν Χριστῷ, καὶ πνευματικῆς νηπιότητος, τὸ τῆς ἡλικίας κομιδῆ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βραχύ. Ὥσπερ γὰρ ἐλέγομεν ὡς ἐν τοῖς μαχιμωτάτοις, καλῶς τε καὶ ἀμωμήτως γεγενῆσθαι τὴν ἀπογραφὴν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, οὕτω φαμὲν, ὅτι τῆς ἐν Χριστῷ νηπιότητος, σημεῖον ἂν γένοιτο σαφὲς, ὁ ἐκ μηνιαίου καιρός. Τοιουτονὶ δὲ καὶ ὁ Παῦλός φησιν· «Ἀδελφοὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε· ταῖς δὲ φρεσὶν, τέλειοι γίνεσθε.» {ΠΑΛΛ.} Οἰησόμεθα δὴ οὖν, ὡς συμμεθέξομεν τοῖς ἁγίοις, ὧνπερ ἂν αὐτοὶ, ταῖς γε δὴ σφῶν αὐτῶν κατορθώσειαν ἂν κεφαλαῖς, ἀνδριζόμενοί τε καὶ εὐδοκιμεῖν ὅτι μάλιστα διεσπουδακότες. {ΚΥΡ.} Πάνυ μὲν οὖν, εἴπερ εἰσὶν ἀληθῶς, αὐτοὶ μὲν θείων ἀνάμεστοι χαρισμάτων, πόνοις καὶ ἱδρῶσιν ἑλόντες τὸ δῶρον, καὶ διὰ μυρίων ὅσων ἀγώνων ἐλάσαντες· ἀναπιμπλᾶσι δὲ καὶ ἡμᾶς τῶν σφίσι δεδωρημένων ἐξ ἀγάπης Θεοῦ. Καὶ γοῦν ὁ θεσπέσιος 68.321 Παῦλος προσεφώνει τισὶ τῶν πεπιστευκότων· «Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς ἵνα τι μεταδῶ ὑμῖν χάρισμα πνευματικόν.» Ἦ γὰρ, οὐχὶ ξένιον οὐράνιον, χάρισμά τε πνευματικὸν εἶναι φὴς, τὴν ἀμώμητόν τε καὶ ἀπλανῆ περὶ Θεοῦ γνῶσιν, καὶ τὴν ἐφ' ἅπασι τοῖς ἀρίστοις εἴδησιν ἀκριβῆ; {ΠΑΛΛ.} Ναί. Εἴπερ ἐστὶ τὸ χρῆμα ζωοποιόν. Τοιγάρτοι σαφῶς διειδέναι τίς μὲν ὁ φύσει τε καὶ ἀληθῶς τῶν ὅλων δημιουργὸς, καὶ Θεὸς, ποία δὲ ζωὴ, ἡ ἀρίστη τρίβος, εἰς μακραίωνά τε καὶ ἀτελεύτητον ἀποκομίζει ζωήν. {ΚΥΡ.} Ὀρθῶς ἔφης. Ταῦτά τοι διδάσκων ἡμᾶς καὶ αὐτὸς ὁ Χριστὸς, τοῖς ἁγίοις ἀποστόλοις διεκελεύετο, λέγων· «Δωρεὰν ἐλάβετε, δωρεὰν δότε.» Εἴη δ' ἂν καὶ ἑτέρως οὐκ ἀκερδὴς τοῖς ἄλλοις ἡ τῶν ἁγίων λαμπρότης· ἐν γὰρ ταῖς ἐκείνων εὐδοκιμήσεσιν, ἀφανίζεταί που τὰ ἡμῶν ἡττήματα, καὶ ταῖς τῶν εὐκλεεστέρων προσεσχηκὼς εὐψυχίαις, ὁ φιλάρετος ἡμῶν Θεὸς, τοῖς ἀσθενεστέροις ἀνίησι τὰ ἐγκλήματα. Καὶ γοῦν οἱ ἐξ Ἰσραὴλ ἀκαθέκτως ἀπονενευκότες εἰς παρακοὴν, καὶ τῶν φαύλων οὐδὲν ἐῶντες ἀνεπιτήδευτον, παρώτρυναν ἀναγκαίως τὸν νομοθέτην ἐφ' ἑαυτοῖς· ἐπειδὴ δὲ δίκας ἤδη τῶν τετολμημένων πράττειν ἤθελε τοὺς ἀγρίως οὕτω λελυπηκότας, προσεκόμιζε μὲν τὰς ἱκετηρίας ὁ προφήτης Ἱερεμίας. Τί δὲ πρὸς τοῦτο Θεός; «Περιδράμετε, φησὶν, ἐν ταῖς ὁδοῖς Ἱερου-σαλὴμ, καὶ ἴδετε καὶ γνῶτε, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, ἐὰν εὕρητε ἄνδρα εἰ ἔστι ποιῶν κρίμα, καὶ ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτοῖς, λέγει Κύριος.» Ἀνήσειν δὲ καὶ Σοδόμοις τὴν διὰ πυρὸς ἔφη δίκην, εἰ πέντε τινὲς εἶεν ἐν αὐτοῖς ὅσιοι καὶ ἀγαθοί. Οὐκοῦν ἡ τῶν ἁγίων λαμπρότης, καὶ τοῖς ἄγαν ἁμαρτωλοῖς, ἔσθ' ὅτε, τὸ μὴ κολάζεσθαι δεῖν παραχρῆμα προξενεῖ, τὸν θεῖον ὥσπερ ἐκδυσωποῦσα θυμὸν καὶ ἀνασειράζουσα τὴν ὀργήν· τοῖς δὲ τὴν πίστιν γνησίως εἰσδεδεγμένοις, εὐψυχίας γε μὴν εἰς τοῦτο ἰέναι μὴ δυναμένοις, ὡς πόνοις ἑλεῖν δύνασθαι, τὸ, καὶ θείων αὐτοὺς ἐμπίπλασθαι χαρισμάτων, μονονουχὶ συμμερίζονται τὰς εὐδοκιμήσεις, παιδαγωγοῦντες, ὡς ἔνι, καὶ πρὸς πᾶν ὁτιοῦν ἀποφέροντες τῶν ἀρεσκόντων Θεῷ, καὶ τῶν ἰδίων αὐτοὺς ἀνδραγαθημάτων ἀποφαίνοντες κοινωνούς· καὶ ἃ μόλις αὐτοὶ διὰ πλείστων ὅσων εὑρίσκουσι πόνων, ταῦτα ταῖς ἑτέρων ἐνιέντες ψυχαῖς. Ὅτι γὰρ συμμεθέξομεν τοῖς ἁγίοις καὶ τῆς ἐνούσης αὐτοῖς λαμπρότητος, καὶ τῶν ἀνδραγαθημάτων ἐσόμεθα κοινωνοὶ, ἐξ ἡμερότητος καὶ φιλανθρωπίας, τὰ ἡμῶν ἡττήματα τοῖς ἐκείνων κατορθώμασιν, οἱονεὶ συμφύροντός τε καὶ ἀνακιρνῶντος Θεοῦ, καὶ τὸ ἐνδεὲς τῷ τελειοτέρῳ συνείροντος, ἵν' εἴη δεκτόν· σαφὲς ἂν γένοιτο καὶ διὰ τούτου πάλιν. {ΠΑΛΛ.} Ποίου δή τινος φής; {ΚΥΡ.} Μωαβῖται καὶ Μαδιηναῖοι, ἔθνη μὲν ἤστην ἀνόσιά τε καὶ βάρβαρα, κατενέμοντο δὲ τῆς ἐπαγγελίας 68.324 τὴν γῆν, ἣν κληρονομίζειν ἔμελλον οἱ υἱοὶ Ἰσραήλ. Ἐπειδὴ δὲ ἀγχοῦ τε λοιπὸν καὶ γείτων ὁ πόλεμος ἦν ἤδη πως, ὡς αὐτίκα δὴ μάλα ἀπολούμενοι, καὶ ταῖς τοῦ Ἰσραὴλ δυνάμεσιν ἀντεξάγειν οὐχ οἷοί τε, προσεπειρῶντο μὲν, μάγων τέχνῃ, καὶ τοῖς παρὰ σφίσιν ἀνοσίοις ἐπιτηδεύμασι, προσαποσείεσθαι τοὺς ἐχθρούς. Ἐπειδὴ δὲ πάντα δρῶντες, ἠδίκουν οὐδὲν, Θεοῦ προασπίζοντος, καὶ τὸν ψευδόμαντιν Βαλαὰμ εἰς τὸ εὐλογεῖν περιτρέποντος, καί τοι πρὸς τὸ ἐπαρᾶσθαι δεῖν μεμισθαρνηκότα ὡς ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπορίαις ἤδη γενόμενοι ταῖς ἐσχάταις, ἐλογίζοντο κατὰ σφᾶς αὐτοὺς, μὴ ἂν ἑτέρως ἰσχύσειν ἀδικῆσαι τὸν Ἰσραὴλ, εἰ μὴ Θεῷ τῷ προεστηκότι προσκρούσειαν, καὶ γυμνοὶ τῆς ἄνωθεν ἐπικουρίας τῆς πρὸς αὐτοὺς, εἴπερ ἕλοιντο, συγκροτοῖεν μάχην. Εἰδότες δ' ὅτι θερμόν τε καὶ προαλὲς εἴς γε τὸ θῆλυ τὸ ἄρσεν, καὶ ταῖς εἰς τοῦτο μυσαρωτάταις ἡδοναῖς οὐκ ἀσφαλὴς ἡ νεότης, γύναια καθίεσαν ἐξωραϊσμένα, πρὸς ὁμιλίαν οὐκ εὐπρεπῆ τοῖς ἐξ Ἰσραὴλ, ὧν ταῖς ὥραις ἑτοιμότατα συνηρπάζετο πᾶν ὅσον ἦν εὐπετὲς εἰς τὸ νοσεῖν τὰ σαρκὸς, παρεκομίζετό τε κατὰ βραχὺ τῆς εἰς Θεὸν λατρείας, ταῖς ἐκείνων ἑπόμενοι γνώμαις. Συνηῤῥώστουν τε τῇ πορνείᾳ τὴν ἀπόστασιν. Γέγραπται γάρ· «Καὶ ἐτελέσθη ὁ λαὸς τῷ Βεελφεγώρ.» Αὐτὸ δὲ τουτὶ καὶ διὰ φωνῆς προφητῶν ἔφη Θεός· «Καὶ ὁ λαὸς ὁ συνιὼν συνεπλέκετο μετὰ πόρνης.» Ἠγανάκτει μὲν οὖν καὶ μάλιστα εἰκότως ἐπὶ τούτοις ὁ νομοθέτης, καὶ ἦν τὸ χρῆμα τοῖς ἐξ Ἰσραὴλ οὐκ ἀζήμιον. Ἐν ἀφορήτοις γὰρ ἦσαν εὐθὺς διὰ τοῦτο συμφοραῖς, ἀδελφοῦ καὶ γείτονος δαπανωμένων χειρὶ τῶν πεπορνευκότων. Αἱρεῖσθαι δὲ πρὸς Μαδιηναίους εὐθὺς διετύπου πόλεμον λέγων πρὸς τὸν ἱεροφάντην Μωσέα Θεός· «Ἐκδίκει τὴν ἐκδίκησιν τῶν υἱῶν Ἰσραὴλ ἐκ τῶν Μαδιανιτῶν, καὶ ἔσχατον προσθήσῃ πρὸς τὸν λαόν σου. Καὶ ἐλάλησε Μωσῆς πρὸς τὸν λαὸν, λέγων· Ἐξοπλίσατε τοὺς ἄνδρας ἐξ ὑμῶν, καὶ παρατάξασθε ἔναντι Κυρίου ἐπὶ Μαδιὰμ, ἀποδοῦναι ἐκδίκησιν τῷ Κυρίῳ τῇ Μαδιὰμ, χιλίους ἐκ φυλῆς, καὶ χιλίους ἐκ φυλῆς, ἐκ πασῶν φυλῶν υἱῶν Ἰσραὴλ, ἀποστείλατε παρατάξασθαι. Καὶ ἐξηρίθμησαν ἐκ τῶν χιλιάδων Ἰσραὴλ χιλίους ἐκ φυλῆς δώδεκα χιλιάδας ἐνωπλισμένους εἰς παράταξιν, καὶ ἀπέστειλεν αὐτοὺς Μωσῆς χιλίους ἐκ φυλῆς, καὶ χιλίους ἐκ φυλῆς, σὺν δυνάμει αὐτῶν· καὶ τὸν Φινεὲς υἱὸν Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως, καὶ τὰ σκεύη τὰ ἅγια, καὶ αἱ σάλπιγγες τῶν σημασιῶν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ παρετάξαντο ἐπὶ Μαδιὰμ, καθὰ ἐνετείλατο Κύριος τῷ Μωσεῖ, καὶ ἀπέκτειναν πᾶν ἀρσενικὸν, καὶ τοὺς βασιλεῖς Μαδιὰμ, ἀπέκτειναν ἅμα τοῖς τραυματίαις αὐτῶν· καὶ τὸν Νευεὶν, καὶ τὸν Ῥοκὸν, καὶ τὸν Σοὺρ, καὶ τὸν Οὗρ, καὶ τὸν Ῥοβὸκ, πέντε βασιλεῖς Μαδιὰμ, καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ, ἀπέκτειναν ἐν ῥομφαίᾳ σὺν τοῖς τραυματίαις αὐτῶν· καὶ προενόμευσαν τὰς γυναῖκας Μαδιὰμ, καὶ τὴν ἀποσκευὴν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν, καὶ πάντα τὰ ἔγκτητα αὐτῶν, καὶ τὴν δύναμιν αὐτῶν προενόμευσαν, καὶ πάσας τὰς πόλεις 68.325 αὐτῶν τὰς ἐν ταῖς κατοικίαις αὐτῶν, καὶ τὰς ἐπαύλεις αὐτῶν ἐνέπρησαν ἐν πυρὶ, καὶ ἔλαβον πᾶσαν τὴν προνομὴν αὐτῶν· καὶ πάντα τὰ σκῦλα αὐτῶν ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἤγαγον πρὸς Μωσῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα, καὶ πρὸς πάντας τοὺς υἱοὺς Ἰσ-ραὴλ τὴν αἰχμαλωσίαν καὶ τὰ σκῦλα καὶ τὴν προνομὴν εἰς τὴν παρεμβολὴν εἰς Ἀραβὼθ Μωὰβ, ἥ ἐστιν ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ. Καὶ ἐξῆλθε Μωσῆς καὶ Ἐλεά20ζαρ ὁ ἱερεὺς20, καὶ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς εἰς συνάντησιν αὐτοῖς ἔξω τῆς παρεμβολῆς, καὶ ὠργίσθη Μωσῆς ἐπὶ τοῖς ἐπισκόποις τῆς δυνάμεως χιλιάρχοις καὶ ἑκατοντάρχοις τοῖς ἐρχομένοις ἐκ τῆς παρατάξεως τοῦ πολέμου· καὶ εἶπεν αὐτοῖς Μωσῆς· Ἵνα τί ἐζωγρήσατε πᾶν θῆλυ; αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ κατὰ τὸ ῥῆμα Βαλαὰμ, τοῦ ἀποστατῆσαι καὶ ὑπεριδεῖν τὸ ῥῆμα Κυρίου, ἕνεκεν Φογώρ· καὶ ἐγένετο ἡ πληγὴ ἐν τῇ συναγωγῇ Κυρίου· νῦν ἀποκτείνατε πᾶν ἀρσενικὸν, ἐν πάσῃ ἀπαρτίᾳ, καὶ πᾶσαν γυναῖκα, ἥτις ἔγνω κοίτην ἄρσενος, ἀποκτείνατε· καὶ πᾶσαν τὴν ἀπαρτίαν τῶν γυναικῶν, ἥτις οὐκ οἶδε κοίτην ἄρσενος, ζωγρήσατε αὐτάς.» Ταῦτα Θεοῦ κεχρησμῳδηκότος, ἀπόλεκτοι νεανίαι πρὸς τὴν τοῦ πολέμου συνεκομίζοντο χρείαν· καὶ ἀπὸ πάσης συνέῤῥει φυλῆς, τὸ ὅτι μάλιστα τληπαθὲς καὶ δοκιμώτατον, ἵνα τὸ ἀφ' ἑκάστης εὐδοκιμοῦν, αὔχημα γένηται τοῦ παντὸς, καὶ ἡ τοῦ μέρους λαμπρότης εἰς ὅλον ἴοι τὸ πλήρωμα, κατά γε τὸ ὑπὸ Παύλου σοφῶς εἰρημένον· «Εἴτε γὰρ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. {ΠΑΛΛ.} Ὀρθῶς διανοῇ. {ΚΥΡ.} Κατεστρατεύετο τοίνυν τῶν Μαδιηναίων ἡ τῶν ἀπολέκτων ἀλκιμωτάτη πληθὺς,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνόντος αὐτοῖς Φινεές τε τοῦ ἱερέως, καὶ τῶν ἁγίων σκευῶν, καὶ μὴν καὶ σαλπίγγων, τῶν καλουμένων σημασιῶν. Καὶ γάρ ἐστιν ἀεὶ σύνοπλός τε καὶ συμπαραστάτης τοῖς ἀνδριζομένοις ὁ Χριστὸς, ὁ μέγας ἡμῶν ἀρχιερεύς· συναθλοῦσι δὲ καὶ ἄγγελοι, καθάπερ ἐν σκεύεσι τοῖς ἁγίοις ὑποδηλούμενοι. Σκεύη γὰρ ἅγια καὶ λειτουργικὰ, τὰ ἐν οὐρανῷ λογικὰ πνεύματα· τέτακται γὰρ παρὰ Θεοῦ πρὸς ἐπικουρίαν ἡμῶν. Πάρεισι δὲ οὐδὲν ἧττον καὶ αἱ σάλπιγγες τῶν σημασιῶν, τουτέστι τῶν θεηγόρων οἱ λόγοι, τὸ τίνα χρὴ τρόπον κατανδρίζεσθαι τῶν ἐχθρῶν, ἤτοι τῶν ἐν ἡμῖν ὄντων παθῶν, εὖ μάλα κατασημαίνοντες. Οὐκοῦν ὑποτύπωσις Χριστοῦ μὲν, ὁ ἱερεὺς, τουτέστιν, ὁ Φινεὲς, ἀγγέλων δὲ, σκεύη τὰ ἅγια· τῶν δὲ τὸν θεῖον ἡμῖν διακεκραγότων λόγον, αἱ σάλπιγγες τῶν σημασιῶν. Οὕτω γὰρ ἀμογητὶ περιεσόμεθα τῶν ἀνθεστηκότων ἐν Χριστῷ, λέγοντες τὸ ἐν Ψαλμοῖς ᾀδόμενον· «Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.» Ὃ δὴ καὶ πεπράχασιν οἱ ἐξ Ἰσραήλ· πᾶσαν γὰρ τῶν Μαδιηναίων πόλιν τε καὶ χώραν καταδῃώσαντες, παρεκομίζοντο πρὸς Ἐλεάζαρ τὸν ἱερέα, καὶ πρὸς πᾶσαν τὴν συναγωγὴν υἱῶν Ἰσραὴλ τὴν αἰχμαλωσίαν· ἱερὰ γὰρ ὥσπερ ἀναθήματα τῷ Χριστῷ τῷ πάντων 68.328 ἀρχιερεῖ, καὶ οὐκ ἀσυμφανῆ τοῖς λαοῖς τὰ τῶν ἁγίων κατορθώματα, κατά γε τό· «Οὐ γάρ ἐστι κρυπτὸν, ὃ οὐ μὴ φανερωθήσεται, οὐδὲ ἀπόκρυφον, ὃ οὐ μὴ γνωσθῇ, καὶ εἰς φανερὸν ἔλθη.» Ἄγεται τοίνυν ἐν ὄψει τοῦ ἱερέως, καὶ παντὸς τοῦ λαοῦ, τὰ ἐκ τῆς αἰχμαλωσίας, τυπικῶς δὲ καὶ οἰκονομικῶς. Πλὴν, ἐπετίμα Μωσῆς τοῖς νενικηκόσιν ὡς οὐ κατὰ λόγον τὸν ἀκριβῆ καὶ ἀδιάβλητον παντελῶς, τὸ πρᾶγμα συντεθεικόσιν· οὐ γὰρ ἔδει, φησὶ, ζωγρῆσαι τὸ ἄρσεν, οὐδ' ἂν αὖ θῆλυ τὸ ἐμπειρόγαμον. Καὶ πιθανὸς μὲν τῆς ἱστορίας ὁ λόγος· ἔδει γὰρ, ἔδει τῆς ὅσον οὐδέπω μελλούσης ὑπὸ αὐτοῖς ἔσεσθαι γῆς, ἀποκείρεσθαι τὸ ἄρσεν, ὡς ἧξον μετὰ βραχὺ πρὸς ἥβην τε καὶ ἀλκὴν, καὶ πολέμιον ἐσόμενον τῷ λαῷ· συναναιρεῖσθαι δὲ καὶ τὸ θῆλυ, σκανδάλου παραίτιον γεγονὸς, καὶ εἰ σέσωστο, τάχα που πάλιν ἐσόμενον· ὅσον δὲ ἧκον εἰς θεωρίαν τὴν πνευματικὴν, ἐκεῖνο οἶμαί που κατίδοι τις ἂν ἔν γε δὴ τούτοις ἡμῖν ἀστείως ὑποδηλούμενον. {ΠΑΛΛ.} Ὁποῖον τί φής; {ΚΥΡ.} Οὐκ ἀκαταιτίατοι μεμενήκασιν οἱ ἀπόλεκτοι τῶν φυλῶν, καί τοι τὴν νίκην ἀράμενοι· δι' οὗ σημαίνεται, καὶ μάλα σαφῶς, ὡς τὸ εἰσάπαν ἀμώμητον, οὐδ' ἂν αὐτοῖς τοῖς ἀνδριζομένοις ὑπάρξῃ ποτέ. Καὶ αὐτὸ γὰρ ἡμῶν τὸ ὀρθῶς εἰργάσθαι δοκοῦν, μομφῆς καὶ αἰτίας ἀμοιρήσειεν ἂν οὔτι που, περιεργαζομένου τε καὶ βασανίζοντος Θεοῦ. Τοιγάρτοι καὶ γέγραπται· «Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται;» Καὶ πάλιν· «Ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου· ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι.» Ἔνεστι δὴ οὖν ἔσθ' ὅτε καὶ ἐν ταῖς τῶν ἀπολέκτων ἀνδρείαις, μομφὴν ὁσίαν ἰδεῖν, ἣν ἡ τοῦ νομοθέτου γνῶσις καθορᾷ, παρατρέχει δὲ ἡμᾶς· συνίεμεν γὰρ οὔτι που, κατὰ τό· «Παραπτώματα τίς συνήσει;» Καὶ Ἡσαΐας δέ πού φησιν, ὅτι πᾶσα ἡμῶν ἡ δικαιοσύνη, ὡς ῥάκος ἀποκαθημένης. Διά τοι τὸ εἰς ἄγαν ἀστείως καὶ ἀμωμήτως, μὴ ἂν ἔχειν δύνασθαί ποτε. Παῦλος δὲ ὁ σοφώτατος, «Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα» γεγραφὼς, «Ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι, φησίν· ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστιν.» Ἡ δὲ μέμψις ἡ παρὰ Μωσέως οὐ πρὸς ἅπαντας ἁπλῶς, ἀλλὰ πρὸς μόνους ἐπράττετο τοὺς τῆς δυνάμεως ἐπισκόπους, καὶ πρὸς χιλιάρχους καὶ ἑκατοντάρχους· «Δυνατοὶ γὰρ, δυνατῶς ἐτασθήσονται,» καὶ κατ' αὐτῶν μάλιστα τὸ ἀκριβὲς τοῦ νόμου· «Ὧ γὰρ πολὺ παρέθεντο, φησὶ, πολὺ ζητήσουσιν ἀπ' αὐτοῦ.» Τοιγάρτοι καὶ γέγραφε, τοῦ Σωτῆρος ὁ μαθητής· «Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα ληψόμεθα.» Φέρεται τοίνυν ἐπὶ τοὺς ἐπισκόπους καὶ τῶν ταγμάτων προεστηκότας ἡ κατὰ πάντων αἰτίασις. Ἀεὶ γάρ που ταῖς νήψεσι τῶν καθηγουμένων εὐδοκιμεῖ τὸ ὑπήκοον. Τοιγάρτοι καὶ γέγραπται τοῖς ὑπὸ χεῖρα λαοῖς· «Πείθεσθε τοῖς ἡγουμένοις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυ 68.329 πνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες.» Μετὰ δὲ τὴν τῶν γυναικῶν τε καὶ παιδίων ἀναίρεσιν, ἀναπονίπτους οὐκ ἐᾷ τοὺς πολεμιστὰς ὁ θεσπέσιος Μωσῆς ἐναυλίζεσθαι τῇ παρεμβολῇ, προαποκαθαίρεσθαι δὲ δεῖν ἐπιτάττει, λέγων· «Καὶ ὑμεῖς παρεμβαλεῖτε ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας· πᾶς ὁ ἀνελὼν καὶ ὁ ἁπτόμενος τοῦ τετρωμένου ἁγνισθήσεται τῇ ἡμέρᾳ τρίτῃ, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ὑμεῖς καὶ ἡ αἰχμαλωσία ὑμῶν, καὶ πᾶν περίβλημα, καὶ πᾶν σκεῦος δερμάτινον, καὶ πᾶσαν ἐργασίαν ἐξ αἰγείας, καὶ πᾶν σκεῦος ξύλινον ἀφαγνιεῖσθε.» Ὁρᾷς ὅτι καὶ τὸ ἄριστόν τε καὶ εὐδόκιμον ἐν ἡμῖν τῶν ἀπολέκτων γένος οὐκ ἀμώμητον παντελῶς· «Καθαρὸς γὰρ οὐδεὶς ἀπὸ ῥύπου,» καὶ εἰ σφόδρα τις εἴη τῶν εὐδοκιμεῖν εἰωθότων· τετήρηται γὰρ τὸ τελείως ἅγιον εἰς αἰῶνα τὸν μέλλοντα. Ἔξω τοιγαροῦν καθίζει τῆς παρεμβολῆς τοὺς νενικηκότας, καὶ ἀφαγνίζεσθαι δεῖν αὐτοὺς ἐν ἡμέρᾳ φησὶ τῇ τρίτῃ καὶ τῇ ἑβδόμῃ. Τῆς μὲν ἡμέρας τῆς τρίτης ἢ τὸν τρίτον ἡμῖν σημαινούσης τὸν καιρὸν, καθ' ὃν ἡ διὰ Χριστοῦ γέγονε κάθαρσις μετὰ χρόνον τὸν κατὰ  Μωσέα, καὶ καθ' ὃν ὁ τῶν ἁγίων προφητῶν ἀνεδείχθη χορὸς, ἤτοι τὸν τῆς ἀναστάσεως, καθ' ὃν ἀνεβίω  Χριστὸς, προσηλώσας τῷ τιμίῳ σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον, καὶ λυτικὸν ἁμαρτίας τὸ δι' ἡμᾶς ὑπομείνας πάθος. Τῆς γε μὴν ἑβδόμης τὸν ἐπὶ τῇ συντελείᾳ τοῦ παρόντος αἰῶνος καιρὸν ἀναπειθούσης νοεῖν, καθ' ὃν ὁλοτρόπως τὸ τῆς ἁμαρτίας ἄχθος ἀποσεισάμενοι, καὶ εἰς λῆξιν ἰόντες ἁγιασμοῦ, συνεσόμεθα τῷ Χριστῷ, καθαρὰν καὶ ἡγνισμένην, καὶ ἐν μακαριότητι τῇ κατὰ Χριστὸν τρίβοντες ζωήν. {ΠΑΛΛ.} Εὖ ἔχει, κατά γε τὸ ἐμοὶ δοκοῦν. {ΚΥΡ.} Θαυμάσαις δ' ἂν καὶ πρὸς τούτοις ἔτι τὸ ἐφεξῆς μυστήριον· διαδέχεται γὰρ εὐθὺς τὴν Μωσέως λαλιὰν Ἐλεάζαρ ὁ ἱερεὺς, καί φησι πρὸς τοὺς ἄνδρας τῆς δυνάμεως τοὺς ἐρχομένους ἐκ τῆς παρατάξεως τοῦ πολέμου· «Τοῦτο τὸ δικαίωμα τοῦ νόμου ὃν συνέταξε Κύριος τῷ Μωσῇ, πλὴν τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ μολίβδου, καὶ κασσιτέρου, πᾶν πρᾶγμα ὃ διελεύσεται ἐν πυρὶ καὶ καθαρισθήσεται, ἀλλ' ἢ τῷ ὕδατι τοῦ ἁγνισμοῦ ἁγνισθήσεται· καὶ πάντα ὅσα μὴ διαπορεύσεται διὰ πυρὸς, διελεύσεται δι' ὕδατος· καὶ πλυνεῖτε τὰ ἱμάτια ὑμῶν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ καθαρισθήσεσθε, καὶ μετὰ ταῦτα εἰσελεύσεσθε εἰς τὴν παρεμβολήν.» Ἐπιτήρησον ὅτι Μωσῆς μὲν πρότερος τοῖς νενικηκόσι τὸν τοῦ διασμήχεσθαι κατεδήλου καιρὸν, οὐκέτι δὲ καὶ τὸν τρόπον. Προανακηρύττει γὰρ ὁ νόμος τῆς διὰ Χριστοῦ καθάρσεως τὸν καιρόν· δεύτερος δὲ καὶ μετὰ Μωσέα προσπεφώνηκεν ὁ ἱερεὺς, τουτέστιν, ὁ Ἐλεάζαρ.  Διατάττει μὲν γὰρ μετὰ Μωσέα Χριστὸς, καὶ τὸν καιρὸν μὲν οὐκέτι τοῦ καθαρισμοῦ τοῖς ἀνδριζομένοις καταδηλοῖ· αὐτὸς γὰρ ἦν ὁ καιρός· τὸν δὲ τρόπον εἰσηγεῖται, καὶ αὐτό πως ἤδη λοιπὸν ἐν ὄψει τίθησι   68.332 τὸ μυστήριον, τὸν ἀκριβῆ τοῦ νόμου διερμηνεύων σκοπόν. Προστέταχε γὰρ ὅσα μὲν ἦν ἐν τοῖς σκεύεσι τὴν πυρὸς ἀκμὴν διήκειν, οἷά τε παρενεχθῆναι διὰ πυρός· τὰ δὲ ὅσα μὲν εὐσθένειαν οὐκ ἔχοντα φυσικὴν, σαθρὰ δὲ καὶ ἑτοιμότερά πως εἰς τὸ παθεῖν δύνασθαι τὸν εἰσάπαν ἀφανισμὸν, ἐσθῆτα δὲ λέγων, καὶ τὸ ἐκ δερμάτων καὶ ξύλων δι' ὕδατος φέρεσθαι, ὡς ἐν σκεύεσιν ἡμᾶς χρυσοῖς τε καὶ ἀργυροῖς καὶ ἐν τοῖς ἑτέροις αἰνιγματωδῶς ὑποφαίνων, οἷς ἡ διὰ Χριστοῦ γέγονε κάθαρσις ὡς ἐν πυρί τε καὶ ὕδατι. Βεβαπτίσμεθα γὰρ ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Οὐκοῦν τὸ διακομίζεσθαι διὰ πυρός τε καὶ ὕδατος τὰ ἐκ τῆς αἰχμαλωσίας συνειλεγμένα, τὴν ἡμῶν ἀρτίως ὑποδηλοῖ κάθαρσιν, οὓς ὄντας ποτὲ πλοῦτον ὥσπερ τινὰ διαβολικὸν ἑαυτῷ περιεποιήσατο Χριστὸς, εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας, καὶ δήσας τὸν ἰσχυρόν. Εἰσελεύσεσθαι δὲ τότε μόλις εἰς τὴν παρεμβολὴν τοὺς νενικηκότας ὁ Ἐλεάζαρ φησὶν, ὅταν ἀποπλύνειαν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὰ ἱμάτια, καὶ οὕτως ἔσεσθαι καθαρούς. Ἡ γὰρ τελεία κάθαρσις, καὶ ῥύπου παντὸς ἀπόθεσις, ἐν ἐσχάτοις ἔσται τῆς συντελείας καιροῖς, καθάπερ ἔφην ἀρτίως, ἀναιρουμένης εἰσάπαν τῆς ἁμαρτίας, καὶ εἰς τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄνωθέν τε καὶ πρεσβύτατον κάλλος τῆς ἀνθρώπου φύσεως ἀναφερομένης. «Ἔσται γὰρ τότε,» φησὶν, «ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται. Καὶ οὐ μὴ παρέλθῃ ἐκείνῃ οὐδεὶς ἀκάθαρτος, ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι διὰ Κυρίου.» Οἶμαι μὲν οὖν ἔγωγε τῆς σαφηνείας τὸν λόγον οὐκ ἔξω φέρεσθαι τοῦ σκοποῦ. Πλὴν, εἰ ἕλοιτό τις τὸ καὶ ἑτέρως χρῆναι νοεῖν, ἐκεῖνό φαμεν, τὸ ἑκάστου τῶν νενικηκότων σκεῦος, εἴτε χρυσοῦν εἴη τυχὸν, εἴτε ἀργυροῦν, εἴτε καὶ ἐκ χαλκοῦ, καὶ ἐξ ἑτέρας ὕλης πεποιημένον, διὰ πυρὸς ἰέναι προστέταχεν· ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος, «Ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει.» Προστέταχε δὲ καὶ δι' ὕδατος ἔρχεσθαί τινα· δοκιμάζεσθαι γὰρ οὐχ ἑτέρως ὁ τῆς ψαλμῳδίας ἡμῖν ὑπαινίττεται λόγος, τὰς τῶν ἁγίων ψυχὰς, πλὴν ὅτι κατὰ τοιούσδε τινὰς τρόπους. Καὶ γοῦν ὁ Δαβὶδ ἔψαλλεν, ὅτι «Ἐδοκίμασας ἡμᾶς, ὦ Θεὸς, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. {ΠΑΛΛ.} Ἀλλ', ὦ γενναῖε, φαῖεν ἂν ἴσως ἡμῖν οἱ φιλομαθέστεροι· Τὸ μὲν γὰρ ὅπως τοῖς Μαδιηναίοις παρετάξαντό ποτε καὶ νενικήκασιν οἱ ἐξειλεγμένοι, τίνα τε τρόπον τὸν ἐκ τοῦ πολέμου διεσμήξαντο μολυσμὸν, διαρκῶς ἡμῖν ὁ λόγος ἐκδέδειχε· καιρὸς δὲ ἤδη πληροφορεῖν, εἰ καὶ μέτοχοι κατὰ τὸ ἀληθὲς τῆς τῶν ἀνδριζομένων εὐτολμίας ἐσόμεθα, καὶ συμμεθέξομεν αὐτοῖς τῶν κατορθωμάτων, καίτοι τὸ εἰσάπαν ἰσοστατοῦν οὐκ ἔχοντες ἐν ἀρετῇ, μειονεκτούμενοι δέ πως τῆς ἐκείνων εὐψυχίας. Ταυτὶ γὰρ ἡμῖν ὁ σὸς ὑπισχνεῖται λόγος. {ΚΥΡ.} Καὶ μὴν ἀγχοῦ τέ ἐστι καὶ γείτων εὐθὺς ὁ ἐπὶ τῷδε νόμος, ἐναργεστάτην εὖ μάλα τὴν ἀπόδειξιν ἔχων, καὶ οὐκ ἀνάντη τὴν προσβολήν· «Καὶ ἐλάλησε Κύριος,» φησὶ, «πρὸς Μωσῆν, λέγων· Λάβε 68.333 τὸ κεφάλαιον τῶν σκύλων τῆς αἰχμαλωσίας ἀπὸ ἀνθρώπου ἕως κτήνους, σὺ καὶ Ἐλεάζαρ ὁ ἱερεὺς, καὶ οἱ ἄρχοντες τῶν πατριῶν τῆς συναγωγῆς, καὶ διελεῖτε τὰ σκύλα ἀνὰ μέσον τῶν πολεμιστῶν τῶν ἐκπεπορευμένων εἰς παράταξιν, καὶ ἀνὰ μέσον πάσης τῆς συναγωγῆς, καὶ ἀφελεῖτε τὸ τέλος Κυρίῳ, παρὰ τῶν ἀνθρώπων τῶν πολεμιστῶν τῶν ἐκπορευομένων εἰς τὴν παράταξιν, μίαν ψυχὴν ἀπὸ πεντακοσίων. Ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν κτηνῶν, καὶ ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προβάτων, καὶ ἀπὸ τῶν ὄνων καὶ ἀπὸ τοῦ ἡμίσους αὐτῶν λήψεσθε· καὶ δώσεις Ἐλεάζαρ τῷ ἱερεῖ τὰς ἀπαρχὰς Κυρίου, καὶ ἀπὸ τοῦ ἡμίσους τοῦ τῶν υἱῶν Ἰσραὴλ λήψῃ ἕνα ἀπὸ τῶν πεντήκοντα, ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀπὸ τῶν βοῶν, καὶ ἀπὸ τῶν προβάτων, καὶ ἀπὸ τῶν ὄνων, καὶ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ δώσεις αὐτὰ τοῖς Λευΐταις τοῖς φυλάσσουσι τὰς φυλακὰς ἐν τῇ σκηνῇ Κυρίου. Καὶ ἐποίησε Μωσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς, καθὰ συνέταξε Κύριος τῷ Μωσῇ.» Διεπεραίνετο γὰρ εὐθὺς τὸ θεῖον χρησμῴδημα, λεπτῆς τε καὶ ἀκριβοῦς γενομένης τῆς ἀπαριθμήσεως τῶν σκύλων, καὶ τῆς ἐν ἡμίσει διανομῆς, καὶ ἀποδοθέντων τῶν ἀφαιρεμάτων, ἤτοι τῶν ἀπαρχῶν Κυρίῳ, τῷ ἱερεῖ τῷ Ἐλεάζαρ, φημὶ, καὶ τοῖς ἐκ φυλῆς Λευΐ· ἆρά σοι λήθης ἀμείνων ὁ νοῦς, καὶ εἰς ὅπερ ἔφαμεν ἐν ἀρχαῖς ἀναθεῖν εὐσθενής; {ΠΑΛΛ.} Τὸ ποῖον; {ΚΥΡ.} Οὐ γὰρ δὴ χιλίους τοὺς ἀφ' ἑκάστης φυλῆς εἰς τὴν τοῦ πολέμου συγκεκομίσθαι χρείαν ὁ ἱερὸς ἔφη λόγος; {ΠΑΛΛ.} Ἔφη γὰρ οὖν. {ΚΥΡ.} Τὴν δέ γε τοῦ μέρους λαμπρότητα καὶ εὐδοκίμησιν εἰς ὅλον ἥξειν τὸ πλήρωμα, σαφῶς τε καὶ ἐναργῶς ἐλέγομεν, ἡμερότητός τε καὶ φιλανθρωπίας Θεοῦ καὶ τοῦτο ἐφ' ἡμῖν εὖ μάλα διοικουμένης, ἵν' ὥσπερ ἑνὸς καὶ εὐοσμοτάτου θυμιάματος, ἐκ διαφόρων εἰδῶν πεποιημένου, μία τις ἡ πάντων εὐωδία λοιπὸν ἀναφέρηται τῷ Θεῷ, καὶ τῷ λίαν εὐδοκιμωτάτῳ συγκαταλαμπρύνοιτό πως τὸ μὴ οὕτως εὐδοκιμοῦν. {ΠΑΛΛ.} Ἀληθές. Ταυτὶ γὰρ ἡμῖν ὁ λόγος ἐκβασανίζειν ἤθελε. {ΚΥΡ.} Ἄθρει δὴ οὖν ἀπημφιεσμένως ταῦτα τοῖς ἐξ Ἰσραὴλ νομοθετοῦντα Θεόν· οἱ μὲν γὰρ ἀπόλεκτοι χίλιοι κατὰ φυλὴν κατεστρατεύοντο τῶν Μαδιηναίων· καὶ τὸ νικᾷν, οἶμαί που, πόνῳ καὶ ἱδρῶτι κερδαίνοντες, διενείμαντο τὰ ἐκ τοῦ πολέμου συνειλεγμένα πρὸς πᾶσαν εὐθὺς τὴν συναγωγὴν, καὶ τοῖς τῶν ἀνδριζομένων κατορθώμασιν ἡ ἑτέρα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πληθὺς κατεσεμνύνετο· «Διελεῖτε γὰρ,» φησὶ, «τὰ σκῦλα, σὺ καὶ Ἐλεάζαρ ὁ ἱερεὺς, καὶ οἱ ἄρχοντες τῶν πατριῶν τῆς συναγωγῆς· καὶ διελεῖτε τὰ σκῦλα ἀναμέσον τῶν πολεμιστῶν τῶν ἐκπορευομένων εἰς τὴν παράταξιν, καὶ ἀνὰ μέσον τῆς συναγωγῆς.» Ὅτι γὰρ συνευδοκιμήσει τοῖς ἄγαν ἐξειλεγμένοις καὶ περιφανεστέροις τὸ βραχύ τι καταδεὲς, καὶ κατόπιν ἰὸν τῆς ἐκείνων μεγαλοφυΐας, ὑπεσημαίνετό πως καὶ ὁ θεσπέσιος Παῦλος. Ἀπαριθμησάμενος γὰρ τῶν ἀρχαιοτέρων ἁγίων τοὺς διὰ πίστεως εὐδοκιμηκότας καὶ οἷς ἡ δόξα 68.336 περιφανὴς, ἀπό γε τῆς εἰς Θεὸν ἀκριβοῦς εὐσεβείας «Κατὰ πίστιν,» φησὶν, «ἀπέθανον οὗτοι πάντες, καὶ οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.» Ἐπιστέλλει δὲ καὶ ἑτέροις· «Ἤδη τετελειωμένοι ἐστέ· χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὤφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν.» Ὁρᾷς ὅπως συντελειωθήσονται τοῖς ἐν τέλει, καὶ οἱ τάξιν ἔχοντες τὴν καταδεᾶ, καὶ συνευλογοῦνται τοῖς ἐξειλεγμένοις οἱ μὴ κατ' αὐτοὺς εὐσθενεῖς; Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβίδ· «Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν· εὐλόγησε Κύριος τὸν οἶκον Ἀαρών· εὐλόγησε Κύριος τὸν οἶκον Ἰσραήλ· εὐλόγησε Κύριος τοὺς φοβουμένους αὐτὸν, τοὺς μικροὺς μετὰ τῶν μεγάλων.» Συνευλογοῦνται τοῖς μεγάλοις οἱ καλούμενοι μικροὶ, ἐν ῥώμῃ μὲν ἐπαυχεῖν οὐκ ἔχοντες ἴσῃ, καὶ ταῖς εἰς τὸ χρῆναι τληπαθεῖν ἡττώμενοι προθυμίαις, ζήλῳ δὲ τάχα καὶ πίστει παρισούμενοι, καὶ ταῖς κατὰ δύναμιν εὐσθενείαις Χριστὸν εὐφραίνοντες. Καὶ τύπος ἂν εἶεν Μωσῆς τε καὶ Ἐλεάζαρ ἑνὸς τοῦ ἀρχιερέως τε καὶ νομοθέτου Χριστοῦ, διανέμοντος τῷ λαῷ τὰ σκῦλα, συμπαρεστηκότων ἀγγέλων ἁγίων, ὧν καὶ τύπος εἶεν ἂν οἱ ἄρχοντες τῶν πατριῶν τῆς συναγωγῆς. Ἢ οὐκ εἶναι φὴς πολλοὺς ἐπὶ γῆς τῶν ἁγίων ἀγγέλων, παρὰ Θεοῦ τεταγμένους, εἴς γε τὸ δεῖν τοῖς πεπιστευκόσιν ἐπικουρεῖν, καὶ οἱονεὶ καθηγεῖσθαι λαῶν; {ΠΑΛΛ.} Φημί· πῶς γὰρ οὔ; {ΚΥΡ.} Ἥξειν ἀπ' οὐρανοῦ προσδοκᾶται Χριστὸς μετὰ τῶν ἁγίων ἀγγέλων, καὶ καθιεῖται μὲν ἐπὶ θρόνου δόξης αὐτοῦ, διανεμεῖται δὲ ἑκάστῳ τὰ αὐτῷ πρέποντα γέρα, καὶ ἀναλόγως τοῖς κατορθώμασι τὰς τιμάς· τοιγάρτοι καὶ ὁ σοφὸς ἡμῖν Ἡσαΐας περὶ Χριστοῦ φησι· «Διὰ τοῦτο αὐτὸς κυριεύσει πολλῶν, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη.» Ἐν Χριστῷ τοιγαροῦν ἡ τῶν ἀγαθῶν διανέμησις, ὡς ἐν Μωσῇ τε καὶ Ἐλεάζαρ ἐκτυπουμένων. Νομοθέτης γὰρ ἐν ταυτῷ καὶ ἀρχιερεὺς ὁ Χριστός. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Τίς δὲ δὴ καὶ αὐτὸς ὁ τοῦ διανείμασθαι τρόπος, ἆρ' οὐχὶ θαυμάζειν ἄξιον; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. Ἐν ἴσῃ γὰρ μοίρᾳ τετίμηται τῷ μαχίμῳ τὸ ἠρεμοῦν. {ΚΥΡ.} Οὐκ ἴσῃ μὲν οὖν, πολλοῦ γε καὶ δεῖ, κἂν εἰ τὴν τοῦ παντὸς ἡμίσειαν ἔχῃ τὸ μάχιμον, τὴν δὲ ἑτέραν ἡμίσειαν ἡ πᾶσα συναγωγή· σύμπας μὲν γὰρ τῶν ἐξ Ἰσραὴλ ὁ ἀριθμὸς εἰς ἑξακοσίας χιλιάδας ἦν, καὶ πεντακοσίους πεντήκοντα πρὸς τρισχιλίους, ἀνὰ μέρος οὔσης καὶ ἐξῃρημένης τοῦ καταλόγου τῆς ἱερατευούσης φυλῆς. Πληθὺς δὲ ἦν μαχιμωτάτη, χίλιοι κατὰ φυλήν. Ἐν ἴσῳ δὴ οὖν διαμοιρηθέντων τῶν σκύλων, καὶ τὴν τοῦ παντὸς ἡμίσειαν ἑκατέρας λαχούσης πληθύος, ἐν πολλῷ πλείονι τοῖς ἐλάττοσιν, αἱ τιμαὶ, καὶ οὐχὶ τοῖς πλείοσι καὶ ὑπερκειμένοις ἐν 68.337 ἀριθμῷ. Οὐκοῦν ἥτις ποτέ ἐστιν ἡ παντὶ τῷ λαῷ δοθησομένη δόξα κατὰ καιροὺς, καὶ τῆς οὐρανίου δωρεᾶς τὸ μέτρον, ταύτης ἡ ἀκριβὴς οἱονεί πως ἡμίσεια τοῖς ἐξειλεγμένοις ἀπονεμηθήσεται, καὶ τῆς θείας ἐπισκέψεως ἀξίους ὄντας ἑαυτοὺς ἀποφαίνουσι· τῆς δὲ ἑτέρας ἡμισείας τῷ παντὶ πλήθει δοθησομένης, καίτοι πλεονεκτοῦντι τοσοῦτον ἐν ἀριθμῷ· «Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί» ..... βαθὺς γὰρ ὁ λόγος. {ΠΑΛΛ.} Συνίημι. Εἰ γὰρ καὶ μέτοχοι τῆς τῶν ἁγίων ἐσόμεθα δόξης, ἀλλ' οὖν ἐν μείοσιν ἢ κατ' αὐτούς· τουτὶ γὰρ ἡμῖν ὁ λόγος ὁ σὸς οὐκ ἀμυδρῶς ὑπαινίττεται. {ΚΥΡ.} Ὀρθῶς ἔφης. Θέα δὲ δὴ πρὸς τούτοις ἕτερον, δι' οὗ μάλιστα τῶν ἀνδριζομένων τὴν εἰς Θεὸν παῤῥησίαν εὔκολον ἰδεῖν. {ΠΑΛΛ.} Τὸ τί δὲ φής; {ΚΥΡ.}



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Τὰς μὲν γὰρ δυοκαίδεκα χιλιάδας τῶν πολεμιστῶν, ἀπὸ τῆς τοῦ παντὸς ἡμισείας τῆς ἐκνεμηθείσης αὐτοῖς προσκομίζειν προστέταχε τῷ ἀρχιερεῖ μίαν κεφαλὴν ἀπὸ πεντακοσίων, ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς κτήνεσι· καὶ τοῦτο ἦν αὐτοῖς τῷ Κυρίῳ τὸ τέλος. Πληθύν γε μὴν τὴν ἑτέραν, μίαν ψυχὴν ἀπὸ πεντήκοντα, τῇ ἱερᾷ φυλῇ καταθέσθαι δεῖν ἐδικαίωσε Κύριος. Ἀνατυποῦντος δὲ πάλιν ἡμῖν τοῦ Ἐλεάζαρ ἐφ' ἑαυτῷ, τὸν ἕνα τε καὶ μόνον ἀληθῶς ἀρχιερέα, τουτέστι Χριστὸν, ἐξαιρέτως καὶ ἀληθῶς καὶ οἱονεί πως αὐτῷ κατὰ πρόσωπον ἰδικῶς, ἀνακείσεται τῶν ἐξειλεγμένων ἡ δωροφορία· αὐτῷ γὰρ προσάγουσι, μεσολαβοῦντος οὐδενός· ὃ δὴ καὶ ἔδρων οἱ μακάριοι μαθηταὶ, δρῶσι δὲ ἔτι καὶ νῦν οἱ λαῶν ἡγούμενοι, τοὺς ἐπὶ τῷ θείῳ κηρύγματι πόνους ἰδικὸν ἀνάθημα ποιούμενοι τῷ Χριστῷ· ἡ δὲ ἑτέρα τῶν εὐδοκιμούντων πληθὺς ποιεῖται μὲν τὰς δωροφορίας εἰς δόξαν Χριστοῦ, πλὴν διὰ μέσον, κειμένων ἁγίων, ὡς ἔν γε τῇ ἱερᾷ φυλῇ νοουμένων· εἴρηται γάρ· «Γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα.» Οὐκοῦν διὰ μέσων ἁγίων ἡ εἰς Θεὸν αἰδὼς καὶ τὸ σέβας αὐτῶν, καρποφορούντων μὲν, οὐ μὴν ἀνήκουσαν ἰδικῶς τῷ προσώπῳ Χριστοῦ ποιουμένων τὴν δωροφορίαν. Ὁποῖόν τι κατορθοῦν ἐσπούδαζον οἱ τὰς καλουμένας λογίας συμφέροντες, καὶ διακονίας πέμποντες τοῖς ἁγίοις ἐν Ἱερουσαλὴμ, ἢ καὶ δι' ἡστινοσοῦν ἑτέρας θεραπείας ἀνακτώμενοι τοὺς ἀνακειμένους Θεῷ. Ἰδικὸν οὖν ἀνάθημα τῷ Θεῷ, τῶν ἐκπρεπεστέρων τὰ δῶρα· διὰ μέσων δ' ὥσπερ ἁγίων, καὶ ὡς ἐν δευτέρᾳ τάξει, καὶ ἡ τῶν ὑποδεεστέρων. Καὶ οἱ μὲν ἀπὸ πεντακοσίων μίαν προσάγουσι ψυχὴν, οἱ δὲ ἀπὸ πεντήκοντα· ἐν ἐλάττοσι γὰρ ὀφλήμασι τὸ εὐδοκιμοῦν, διὸ καὶ μείων ἡ προσφορά· ἐν πολλῷ δὲ πλείοσι τὸ ὑποδεὲς, διὸ καὶ ἐν ἀριθμῷ πλείονι τὰ προσκομιζόμενα παρ' αὐτῶν, ἀναλόγως τοῖς ἑκάστου πταίσμασι, τὰ ὑπὲρ αὐτῶν προσφέρεται· «Ὧ γὰρ πλεῖον ἀφεθήσεται,» φησὶ, «πλεῖον ἀγαπήσει· καὶ ᾧ τὸ ἔλαττον ἀφίεται, ἔλαττον ἀγαπήσει.» Δεκαπλασίονα τοιγαροῦν προσφέρουσι 68.340 παρὰ τοὺς ἐξειλεγμένους, οἱ μὴ κατ' αὐτοὺς, οὐχ ὡς εὐλαβέστεροι καὶ ζῶντες ἐπιεικέστερον, ἀλλ' ὡς πολλῷ πλείοσιν ἐνεχόμενοι πταίσμασι, καὶ πολλαπλασίονος ἀναγκαίας δεόμενοι τοῦ καθαρισμοῦ. Ὡς γὰρ εἴρηκεν ὁ Σωτήρ· «Ὁ λελουμένος οὐ χρείαν ἔχει, εἰ μὴ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος.» Σμικροτάτης δὲ κομιδῇ τοῖς ἁγίοις καθάρσεως δεῖ· νοσεῖ γὰρ ἡ φύσις, τὸ μὴ δύνασθαι παντελῶς ἀμοιρεῖν ἁμαρτίας. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Οἱ μὲν οὖν ἀπόλεκτοι τῶν φυλῶν τοῖς θείοις εἴκοντες νόμοις, διεμοιρήσαντο τὰ ἐκ τοῦ πολέμου πρὸς πᾶσαν τὴν συναγωγὴν, καὶ προσαγηόχασι τὰ δῶρα Κυρίῳ κατὰ τὴν τοῦ νόμου σύνταξιν· ἀναθήμασι δὲ τοῖς εὐπρεπεστέροις καταγεραίρουσι Θεὸν οἱ τῶν ἀπολέκτων ἡγούμενοι, ὡς καὶ ἐμφανεστέραν ἔχοντες ἢ κατ' αὐτοὺς τὴν δόξαν. Γράφει γὰρ ὧδε πάλιν· «Καὶ προσῆλθον Μωσῇ πάντες οἱ καθεσταμένοι εἰς τὰς χιλιαρχίας τῆς δυνάμεως, χιλίαρχοι καὶ ἑκατόνταρχοι, καὶ εἶπαν πρὸς Μωσῆν· Οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν παρ' ἡμῖν, καὶ οὐ διαπεφώνηκεν ἀπ' αὐτῶν οὐδὲ εἷς, καὶ προσενηνόχαμεν τὸ δῶρον Κυρίῳ, ἀνὴρ ὃς εὗρε σκεῦος χρυσοῦν, καὶ χλιδῶνα, καὶ ψέλλιον, καὶ δακτύλιον, καὶ περιδέξιον, καὶ ἐμπλόκιον ἐξιλάσασθαι περὶ ἡμῶν ἔναντι Κυρίου. Καὶ ἔλαβε Μωσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρ' αὐτῶν πᾶν σκεῦος εἰργασμένον· καὶ ἐγένετο πᾶν τὸ χρυσίον τὸ ἀφαίρεμα ὃ ἀφεῖλον Κυρίῳ ἑκκαίδεκα χιλιάδες καὶ ἑπτακόσιοι καὶ πεντήκοντα σίκλοι παρὰ τῶν χιλιάρχων καὶ παρὰ τῶν ἑκατοντάρχων, καὶ οἱ ἄνδρες οἱ πολεμισταὶ ἐπρονόμευσαν ἕκαστος αὐτῷ. Καὶ ἔλαβε Μωσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρὰ τῶν χιλιάρχων καὶ ἑκατοντάρχων, καὶ εἰσήνεγκεν αὐτὰ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου μνημόσυνον τῶν υἱῶν Ἰσραὴλ, ἔναντι Κυρίου.» Ἀκούεις ὅπως ἀκριβῆ μὲν γενέσθαι φησὶ τῶν μεμαχημένων τὸν ἐκλογισμὸν, ὡς ἀπομεῖναι μηδένα παρ' οὗ τὸ δῶρον οὐ προσκεκόμισται, κατά γε τὸ τοῖς θείοις νεύμασι δοκοῦν; Βεβουλῆσθαι δὲ καὶ αὐτοὶ προσκομίσαι λέγουσι Κυρίῳ, καὶ ἃ μὴ χρῆναι προσάγειν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεδικαίωκεν αὐτὸς, χλιδῶνα καὶ ψέλλιον, καὶ περιδέξιον, καὶ ὅσαπερ ἐν κόσμῳ πεποίηται χρυσῷ. Προστέταχε γὰρ ὁ νομοθέτης, ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν κτηνῶν ποιεῖσθαι τὰ δῶρα· καὶ δὴ προσκεκόμισται κατὰ τὸ θεῖόν τε καὶ οὐράνιον σύνταγμα· ἐθελούσιον δὲ ποιοῦνται προσκομιδὴν τὰ ἐν κειμηλίοις ἐξαίρετα· καὶ νικῶσι ταῖς φιλοτιμίαις τοῦ νόμου τὸν ὅρον οἱ τῶν ἀπολέκτων ἡγούμενοι. Καὶ δὴ λαβόντες Μωσῆς τε καὶ Ἀαρὼν, εἰσκεκομίκασι μὲν εἰς τὴν ἁγίαν σκηνήν· ἀπόθετα δὲ ποιοῦντες μνημόσυνον ἔναντι Κυρίου· οἱ γάρ τοι λαῶν ἡγούμενοι, καὶ εἰς ἄρχοντας τεταγμένοι, λαμπροῖς καὶ εὐπρεπεστέροις ἀναθήμασι τιμῶσι Θεὸν, κόσμον ὥσπερ τινὰ προσάγοντες καὶ ἀνατι 68.341 θέντες Θεῷ, τὸ πολυειδὲς ἐν ἀρετῇ, καὶ οἱονεὶ καὶ αὐτὸ τοῦ νόμου τὸ μέτρον ὑπερθέοντες, εὐδοκιμοῦσι λαμπρότερον. {ΠΑΛΛ.} Οἷον δὴ τί φῄς; {ΚΥΡ.} Τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ Εὐαγγελίου ζῆν διετάξατο Χριστὸς, ὃ δὴ καὶ ἐκ νομικῆς ἐντολῆς βεβαιοῦν ἐσπούδαζε γράφων ὁ Παῦλος, ποτὲ μὲν, ὅτι «Οἱ ἐσθίοντες τὰς θυσίας κοινωνοὶ τῶν θυσιαστηρίων εἰσί·» ποτὲ δὲ πάλιν, ὡς ἐξ ἀναγκαίων παραδειγμάτων ἀκαταιτίατον παντελῶς ἀπεδείκνυε, λέγων· «Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; Ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; Ἢ οὐχὶ ὁ νόμος ταῦτα λέγει; Ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται, Οὐ φιμώσεις βοῦν ἀλοῶντα. Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; Δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾷν, καὶ ὁ ἀλοῶν ἐπ' ἐλπίδι τοῦ μετέχειν.» Εἶτα τούτοις ἐπήνεγκεν εὐθύς· «Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ.» Εἶτα πάλιν ἐπιστηρίζει· «Τίς οὖν μού ἐστιν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ Εὐαγγέλιον.» Ὁρᾷς ὅπως ὑπὲρ τὸ δοκοῦν τῷ Χριστῷ καὶ τῷ πάλαι νόμῳ, ἐξουσίαν ἔχων ἐκ τοῦ Εὐαγγελίου ζῆν, ἀδάπανον ἐτίθει τὸ Εὐαγγέλιον, δῶρον ὥσπερ ἑκούσιον ἀνατιθεὶς τὸ χρῆμα αὐτῷ; Τὸ δὲ δὴ μὴ χρῆναι γαμεῖν, οὔτε ὁ παλαιὸς νόμος, οὔτε τὸ νέον ἡμῖν τεθέσπικε κήρυγμα. Καὶ γοῦν ὁ Παῦλός φησι· «Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω.» Ἀλλ' οἱ σφόδρα νεανικοὶ πρὸς εὐσέβειαν, κατανεκροῦντες τὴν σάρκα, λαμπρὸν ἀνάθημα προσάγουσι τῷ Θεῷ, τὴν ὑπὲρ νόμον ἐγκράτειαν, καὶ ὥσπερ τινὰ κόσμον εὐτέχνως εἰργασμένον τὴν ἐξ ἔργου τε καὶ λόγου συντεθειμένην ἀρίστην ζωήν. Εἰσεκόμισαν δὲ Μωσῆς τε καὶ Ἀαρὼν εἰς τὴν ἁγίαν σκηνὴν τὰ προσκεκομισμένα· δεκτὰ γὰρ Χριστῷ, καὶ πλοῦτος αὔχημά τε λαμπρὸν, τὰ τῶν ἁγίων ἀνδραγαθήματα, δι' ὧν καὶ μακρὰν, μᾶλλον δὲ ἀτελεύτητον ἀποκερδαίνουσι μνήμην, καὶ τῆς θείας ἐπισκέψεως ἀξίους ὄντας ἑαυτοὺς ἀποφαίνουσι· τὸ γὰρ ἔναντι Κυρίου τεθεῖσθαι λέγειν τὰ ἀναθήματα, τοιοῦτόν τι δηλοῖ. Μέγα δὲ καὶ ἐξαίρετον τὸ ὡς ἐν ὄψει κεῖσθαι Θεοῦ· τιμᾷ γὰρ ὑπερφυῶς, οὓς καὶ ἐφορᾷν ἀξιοῖ. {ΠΑΛΛ.} Ἐκ πολλῶν μὲν ἡμῖν, ὡς ἔοικε, σημαίνει λέγων, τὸ ἀναπείθεσθαι καὶ φρονεῖν, ὡς τό τοι χρῆναι καρποφορεῖν πρέπει ἂν οὐχ ἑτέροις μᾶλλον, ἢ τοῖς ἄγαν ἀνδριζομένοις καὶ εἰωθόσιν εὐδοκιμεῖν. 68.344 {ΚΥΡ.} Εὖγε, ὦ Παλλάδιε, διανοῇ γὰρ ὀρθῶς. Ἔχει δὲ ὧδε τὸ χρῆμα τῇ φύσει, καὶ μαρτυρήσει τὸ γράμμα τὸ ἱερόν. Ἐπειδὴ γὰρ τοῖς υἱοῖς Ἰσραὴλ αὐλιζομέ-νοις ἔτι κατὰ τὴν ἔρημον τὴν ἁγίαν σκηνὴν ἐγείρειν ἐβούλετο ὁ Θεὸς, εἰς εἰκόνα καὶ τύπον τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, συναγείρεσθαι δεῖν τὰ εἰς τοῦτο χρήσιμα διετύπου πάλιν. Ἔφη τε οὕτω πρὸς τὸν ἱεροφάντην Μωσέα· «Ἐὰν λάβῃς τὸν συλλογισμὸν τῶν υἱῶν Ἰσραὴλ ἐν τῇ ἐπισκοπῇ αὐτῶν, καὶ δώσουσιν ἕκαστος λύτρα τῆς ψυχῆς αὐτοῦ Κυρίῳ, καὶ οὐκ ἔσται ἐν αὐτοῖς πτῶσις ἐν τῇ ἐπισκοπῇ αὐτῶν· καὶ τοῦτό ἐστιν ὃ δώσουσιν, ὅσοι ἐὰν πορεύωνται τὴν ἐπίσκεψιν, τὸ ἥμισυ τοῦ διδράχμου, ὅ ἐστι κατὰ δίδραχμον τὸ ἅγιον, εἴκοσιν ὀβολοὶ τὸ δίδραχμον, τὸ ἥμισυ τοῦ διδράχμου εἰσφορὰ τῷ Κυρίῳ. Πᾶς ὁ παραπορευόμενος εἰς τὴν ἐπίσκεψιν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω δώσουσι τὴν εἰσφορὰν τῷ Κυρίῳ. Ὁ πλουτῶν οὐ προσθήσει, καὶ ὁ πενόμενος οὐκ ἐλαττονήσει ἀπὸ τοῦ ἡμίσους τοῦ διδράχμου, ἐπὶ τὸ διδόναι τὴν εἰσφορὰν τῷ Κυρίῳ· ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν· καὶ λήψῃ τὸ ἀργύριον τῆς εἰσφορᾶς παρὰ τῶν υἱῶν Ἰσραὴλ, καὶ δώσεις αὐτοῖς εἰς κάτεργον τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἔσται τοῖς υἱοῖς Ἰσραὴλ μνημόσυνον ἐναντίον Κυρίου ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν.» Ἰδοὺ δὴ πάλιν ἀκριβῆ τὸν ἐκλογισμὸν διαπεραίνεσθαι δεῖν ὁ νομοθέτης φησί· συνενεγκεῖν δὲ προστέταχε τὰ δῶρα Κυρίῳ, τὸ ἥμισυ τοῦ διδράχμου. Τίνες δ' ἂν εἶεν οἱ προσκομίζειν ὀφείλοντες, διορίζει σαφῶς· οὐ γὰρ δὴ γυναίοις τοῦτο δρᾷν, οὔτε μὴν τοῖς ἔτι νηπίοις ἐφῆκε Θεός· ἀποδοκιμάζων, οἶμαί που, τὸ ἄναλκί τε καὶ μαλθακὸν, καὶ τὸ ἀτελὲς εἰς σύνεσιν· ἐγκαταγράφων δὲ ὥσπερ τοῖς ὀφείλουσι καρποφορεῖν τὸν ἡβηκότα ἤδη καὶ σφριγῶντα νεανίαν, καὶ παραπορευόμενον εἰς τὴν ἐπίσκεψιν, οἷς καὶ ἔτος ὁρίζει τὸ εἰκοστόν. Μόνοι γὰρ ἄξιοι τοῦ χρῆναι προσάγειν τὰ δῶρα Κυρίῳ, κατὰ τὸν νόμον, οἱ μειρακιώδη φρόνησιν καὶ θηλύφρονα νοῦν ἀναθρώσκοντες, καὶ εἰς ἀνδρὸς ἤδη τελοῦντες μέτρον, ἡλικίας ἔχοντες πλήρωμα τῆς ἐν Χριστῷ νοουμένης καὶ πνευματικῆς. Οὗτοι παραπορεύονται εἰς τὴν ἐπίσκεψιν, τουτέστιν, ἀξίους ἑαυτοὺς ἀποφαίνουσι τοῦ καὶ ἐν ὄψει γενέσθαι Θεοῦ, κατὰ τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· «Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους.» Ὑπὲρ σωτηρίας δὲ τῆς τῶν προσαγόντων τὰ λύτρα, καὶ εἰς τὰ κάτεργα τῆς ἁγίας σκηνῆς, καὶ εἰς μνημόσυνον ἔναντι Κυρίου· συνίστησι γὰρ ἐκκλησίας, καὶ εἰς κόσμον χρήσιμα τῆς ἁγίας σκηνῆς, τὰ τῶν ἁγίων ἀνδραγαθήματα, μετὰ τοῦ καὶ τὴν τῆς ψυχῆς σωτηρίαν εὖ μάλα συγκατορθοῦν, καὶ ἀτελευτήτῳ δόξῃ στεφανοῦν τοὺς ἀνδριζομένους. Ἦ οὐκ ἀληθὴς ὁ λόγος εἶναί σοι δοκεῖ; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Τὸ μὲν οὖν λύτρον, ἤτοι τὸ δίδραχμον, δασμολογεῖσθαι δεῖν κεχρησμῴδηκε Θεὸς, καὶ ἦν τῶν ἀνδριζομένων ἐν τούτῳ τὰ τέλη. Οἱ δὲ τῶν φυλῶν ἡγούμενοι, προστιθέντες τοῖς ἐκ νόμου προστεταγμένοις, 68.345 τὰ ἔτι μείζω καὶ ἀξιολογώτερα προσεκόμιζόν τινα τῶν παρὰ σφίσι τὰ ἐξαίρετα. Γέγραπται γὰρ, ὅτι «Καὶ οἱ ἄρχοντες ἤνεγκαν τοὺς λίθους τῆς σμαράγδου, καὶ τοὺς λίθους τῆς συμπληρώσεως, εἰς τὴν ἐπωμίδα, καὶ τὸ λόγιον, καὶ τὰς συνθέσεις, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος.» Ἆρ' οὖν οὐχὶ τοῖς ὀπίσω βραχὺ ταυτὶ συγγενῆ; Ἡ μὲν γὰρ τῶν μαχίμων πληθὺς τὰ τῆς αἰχμαλωσίας προσεκόμιζεν τῷ Θεῷ, κατὰ τὴν δοθεῖσαν ἐντολὴν, ἀπὸ ἀνθρώπου ἕως κτήνους· οἱ δὲ χιλίαρχοί τε καὶ ἑκατόνταρχοι προσέθεσαν τούτοις χλιδῶνα καὶ ψέλλιον, καὶ ἐμπλόκιον, καὶ δακτύλιον, καὶ πᾶν σκεῦος χρυσοῦν εἰργασμένον, ἃ καὶ εἰς αὐτὴν τὴν ἁγίαν ἐτίθει σκηνὴν Ἐλεάζαρ ὁ ἱερεύς. Ἐν δέ γε τούτοις ἡ μὲν πᾶσα τῶν ἡβηκότων πληθὺς ἐτέλει τὸ δίδραχμον, προσάγουσι δὲ πάλιν οἱ ἄρχοντες λίθους ἐκλεκτοὺς, εἰς τὴν ἐπωμίδα, καὶ τὸ λόγιον, ἅπερ εἰς κόσμον συνετέλει τοῦ προὔχοντος ἐν ἱερωσύνῃ. Προσάγουσι γὰρ ἑαυτοὺς, εἰς κόσμον Χριστῷ, καθάπερ τινὰς λίθους τιμίους, οἱ λαῶν ἡγούμενοι. Τοιγάρτοι καὶ ὁ προφήτης τοὺς ἁγίους ἡμῖν ἀποστόλους καταδηλῶν, «Λίθοι, φησὶν, ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς·» ὁποῖός τις ἦν ὁ θεσπέσιος Παῦλος, ὁ ἀπὸ Ἱερουσαλὴμ καὶ ἕως τοῦ Ἰλλυρικοῦ περιθέων διὰ τὸ κήρυγμα. Λίθοι τοιγαροῦν οἱ τίμιοι καὶ εἰς δόξαν Χριστοῦ, τῶν ἁγίων τὸ στῖφος. Εἶεν δ' ἂν αὐτοὶ καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ ἡ σύνθεσις τοῦ θυμιάματος, τὴν Χριστοῦ γνῶσιν εὐωδιάζοντες, καὶ, ὥσπερ ἐν ἐλαίῳ, καταπιαίνοντες ταῖς πανσόφοις διδασκαλίαις καὶ τοῖς διὰ τοῦ Πνεύματος λόγοις τὰς τῶν μυσταγωγουμένων ψυχάς. Σύνθετον δὲ τὸ θυμίαμα· συντέθειται γὰρ ἡ περὶ Χριστοῦ γνῶσις ἐκ δυοῖν, ἥπερ ἐστὶν ἐν ταὐτῷ Θεὸς καὶ ἄνθρωπος· πλὴν εἷς ἐξ ἀμφοῖν, υἱὸς καὶ Χριστὸς, πρὸς ὃν εἴρηταί που καὶ πρός γε ἡμῶν αὐτῶν· «Μύρον ἐκκενωθὲν ὄνομά σοι.» {ΠΑΛΛ.} Ἐν ἐπισκέψει δὴ οὖν τῇ παρὰ Θεῷ, τὸ μάχιμόν τε καὶ εὔρωστον, οὗ καὶ ὁ καρπὸς, Ἐκκλησιῶν σύστασις, καὶ τὰ εἰς δόξαν Θεοῦ. Τουτὶ γὰρ ἡμῖν ἐμφαίνει τὰ θεωρήματα. {ΚΥΡ.}



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὀρθῶς ἔφης. Κλῆρος δὲ ὅτι λαμπρὸς καὶ ἐξαίρετος, καὶ τό γε δὴ χρῆναι παντὸς ἀγαθοῦ μεταλαχεῖν, τοῖς οὕτως εὐδοκιμεῖν εἰωθόσιν ἀπονεμηθήσεται παρὰ Θεοῦ, πῶς ἂν ἢ πόθεν ἐνδοιάσειέ τις; Ἢ οὐκ ἐπαΐεις ἀναμελῳδοῦντος μὲν τοῦ Δαβίδ· «Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι;» καὶ μὴν τοῦ σοφοῦ καὶ ἱεροῦ γράφοντος Παύλου· «Ὃ γὰρ ἂν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει;» {ΠΑΛΛ.} Ἐπυθόμην. {ΚΥΡ.} Ἀνδριεῖται γάρ τις οὐκ ἀμισθὶ, καὶ ἔστι που πάντως ἀληθὴς ὁ λέγων· «Οὐ γὰρ ἄδικος ὁ Θεὸς, ἐπιλαθέσθαι τοῦ κόπου ὑμῶν καὶ τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ.» Ἐπιλήσεται 68.348 μὲν ἥκιστά γε, διανεμεῖ δὲ ὅτι τῶν πόνων τὰ γέρα, τοῖς ἀνωτέρω μαλακισμοῦ, τοῦ καταβιάζοντος εἰς τὸ πλημμελὲς, πληροφορήσει πάλιν τὰ ἐν τοῖς Ἀριθμοῖς γεγραμμένα· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆ καὶ Ἐλεάζαρ τὸν ἱερέα λέγων· Λάβε τὴν ἀρχὴν πάσης συναγωγῆς υἱῶν Ἰσραὴλ, ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, κατ' οἴκους πατριῶν αὐτῶν· πᾶς ὁ ἐκπορευόμενος παρατάξασθαι ἐν Ἰσραήλ.» Εἶτα γενομένης τῆς ἀπαριθμήσεως κατὰ δήμους, καὶ κατὰ φυλὰς, ἐπιφέρει πάλιν· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆ, λέγων· Τούτοις μερισθήσεται ἡ γῆ κληρονομεῖν ἐξ ἀριθμοῦ ὀνομάτων· τοῖς πλείοσι πλεονάσεις τὴν κληρονομίαν, καὶ τοῖς ἐλάττοσιν ἐλαττώσεις τὴν κληρονομίαν αὐτῶν· ἑκάστῳ, καθὼς ἐπεσκέπησαν, δοθήσεται ἡ κληρονομία αὐτῶν, ἀνὰ μέσον πολλῶν καὶ ὀλίγων.» Καὶ νόμος μὲν οὗτος ἐπί γε τὸ χρῆναι κληρονομεῖν τοὺς τὸ εἰκοστὸν ἤδη τρίβοντας ἔτος. Μετὰ δέ γε τὸν ἐκλογισμὸν τῆς ἀγελαίου πληθύος, ἐπαριθμεῖται τὸ γένος τὸ Λευϊτικόν· «Καὶ οἱ υἱοὶ,» φησὶν, «τοῦ Λευῒ κατὰ δήμους αὐτῶν τῷ Γεδσὼν, δῆμος ὁ Γεδσωνὶ, τῷ Καὰθ, δῆμος ὁ Κααθὶ, τῷ Μεραρὶ, δῆμος ὁ Μεραρί· οὗτοι δῆμοι υἱῶν Λευΐ.» Καὶ μεταξὺ γενεαλογήσας Μωσέως τε πέρι καὶ Ἀαρὼν, ἐπιφέρει πάλιν περὶ τῶν υἱῶν Λευΐ· «Καὶ ἐγενήθησαν ἐξ ἐπισκέψεως αὐτῶν τρεῖς καὶ εἴκοσι χιλιάδες, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω· οὐ γὰρ συνεπεσκέπησαν ἐν τοῖς υἱοῖς Ἰσραήλ. Καὶ αὕτη ἡ ἐπίσκεψις Μωσῆ καὶ Ἐλεάζαρ τοῦ ἱερέως, οἳ ἐπεσκέψαντο τοὺς υἱοὺς Ἰσραὴλ ἐν Ἀραβὼθ Μωὰβ ἐπὶ τοῦ Ἰορδάνουκατὰ Ἱεριχώ. Καὶ ἐν τούτοις οὐκ ἦν ἄνθρωπος τῶν ἐπεσκεμμένων ὑπὸ Μωσῆ καὶ Ἀαρὼν, οὓς ἐπεσκέψαντο τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ Σινᾶ, ὅτι εἶπε Κύριος αὐτοῖς· Θανάτῳ ἀποθανοῦνται ἐν τῇ ἐρήμῳ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς, πλὴν Χαλὲβ υἱὸς Ἰεφωνῆ, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ.» Καὶ φέρε ἂν, πάλιν ἐπιτροχάδην καὶ ἀνὰ μέρος ἕκαστα διϊόντες, λέγωμεν σαφέστερόν τε καὶ εὐκρινέστερον. {ΠΑΛΛ.} Φράζε δὴ οὖν ὀκνήσας οὐδὲν, ὡς ἔν γε δὴ τούτοις ἡδὺ τὸ στενολεσχεῖν. {ΚΥΡ.} Οὐκοῦν ἐν ὀλίγοις τῶν προκειμένων τὸν νοῦν συναγείροντες, ἐκεῖνό φαμεν· Τὸ ἡβηκὸς δὴ πάλιν, καὶ τὴν ἐμπειροπόλεμον ἡλικίαν ἀπαριθμεῖσθαι δεῖν προστάττει Θεός. Ὡς γὰρ ἤδη φθάσαντες εἴπομεν, ἐν γνώσει τε καὶ ἀπογραφῇ τῇ παρὰ Θεῷ, καὶ ἐν βίβλῳ ζώντων, οὐ τὸ ἄναλκι καὶ ἀδρανὲς, οὔτε μὴν τὸ ἔτι νηπιάζον κατὰ τὴν φρόνησιν, ἀλλὰ πᾶν ὅσον ἐστὶν εὐσθενές τε ἤδη καὶ ἕτοιμον εἰς παράταξιν τὴν κατὰ παθῶν τε καὶ ἁμαρτίας, καὶ βεβηκὸς εἰς σύνεσιν, εὐπρεπές τε ἤδη πρὸς τὸ χρῆναι δρᾷν καὶ δύνασθαι κατορθοῦν, ἃ ἂν βούλοιτο Θεός· οὗτοί τε τὴν γῆν κατά τε τὰς φυλὰς, καὶ ἐξ ὀνόματος, καὶ καθ' ἕκαστον εὖ μάλα διεμοιρήσαντο· κληρονόμοι γὰρ ἔσονται τῆς ἁγίας γῆς, καὶ τῶν ἐν ἐλπίσι μεθέξουσιν ἀγαθῶν, οἱ περὶ ὧν ὁ λόγος κατὰ φυλάς τε καὶ κατὰ γένος, ὡς ἐν τῷ, «Μακάριοι οἱ πραεῖς, 68.349 ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται·» καὶ ὡς ἐν τοῖς ἑτέροις μακαρισμοῖς. Κλῆρος γὰρ οὗτός ἐστιν ὥσπερ τις ἴδιος τῶν ἠλεημένων, πραέων τε καὶ τῶν πτωχῶν ἐν πνεύματι, καὶ δεδιωγμένων ἕνεκα τῆς δικαιοσύνης. Πλὴν καὶ καθ' ἕνα καὶ ἐξ ὀνόματος τῆς εὐκλείας ὁ στέφανος, ἀναλόγως ἕκαστον τοῖς αὐτοῦ κατορθώμασι τιμῶντος Θεοῦ, καὶ τὴν δέουσαν τοῖς ἀνδριζομένοις ἐπιμετροῦντος χάριν, εἰ καὶ [φορτ. ἢ καὶ] νοοῖτο τυχὸν, ὡς ἐν μέτρῳ πλείονι, καὶ πλουσιωτέρᾳ διανομῇ· «Μέτρον γὰρ,» φησὶ, «καλὸν πεπιεσμένον,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σεσαλευμένον, ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν·» καὶ αὐτὸ δὴ τοῦτο δηλοῦν οἶμαί που τὸ φάναι Θεόν· «Τοῖς πλείοσι πλεονάσεις τὴν κληρονομίαν αὐτῶν, καὶ τοῖς ἐλάττοσιν ἐλαττώσεις τὴν κληρονομίαν αὐτῶν, ἑκάστῳ, καθὼς ἐπεσκέπησαν, δοθήσεται ἡ κληρονομία αὐτῶν.» Τὸ γὰρ ὡς ἐν ἀριθμῷ τῶν ὀνομάτων πλείονι, τύπος ἂν γένοιτο σαφὴς τοῦ ὑπερκειμένου καὶ πλεονάζοντος ἐν ἀρετῇ· ὁ μὲν γὰρ οὕτως, ὁ δὲ οὕτως εὐδοκιμεῖ, κατὰ τὸν μακάριον Παῦλον. Κληρωτὴ δὲ ἡ γῆ, κατ' ἐκεῖνό που τάχα τό· «Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου·» πρὸς Θεὸν εἰρημένον. Θείᾳ γὰρ ψήφῳ γενήσεται τῶν ἐσομένων ἀγαθῶν ἡ ἀπλανὴς διανέμησις, ἑκάστῳ τὸ πρέπον εἰς ἀποκλήρωσιν ὁρίζοντος τότε τοῦ πάντα εἰδότος τὰ καθ' ἡμᾶς. Ἰδικὴ δὲ πάλιν ἡ τῶν Λευϊτῶν ἀπαρίθμησις, ἀπὸ μηνιαίου καὶ ἐπάνω. Καὶ κλῆρος αὐτοῖς οὐ δίδοται ἐν μέσῳ τῶν υἱῶν Ἰσραὴλ, οὐδὲ συνεπεσκέπησαν αὐτοῖς. Ἁγιώτερον γὰρ ἀεί που τὸ ἱερώτερον γένος. Διὸ καὶ ἐξῃρημένη τῶν ἄλλων ἡ ἀπογραφὴ περὶ αὐτοῦ, καὶ κλῆρος αὐτοῖς οὐ μετὰ τῶν ἄλλων, ἀλλὰ καὶ ἐπίσκεψις ἰδική· μερὶς δὲ αὐτοῖς καὶ κλῆρος, αὐτὸς ὁ τῶν ὅλων Θεὸς, κατὰ τὸ, «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.» Τῶν γὰρ καλουμένων πτωχῶν τῷ πνεύματι τὴν τῶν οὐρανῶν βασιλείαν μελλόντων κληρονομεῖν, παρακληθησομένων δὲ καὶ τῶν ἑλομένων τὸ πενθεῖν, ἐλεηθησομένων δὲ καὶ τῶν ἐλεημόνων· Οἱ καθαροὶ τῇ καρδίᾳ, φησὶ, μακάριοι, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, Οὗτοι δ' ἂν εἶεν οἱ παρὰ τοὺς ἄλλους ἅπαντας ἱερώτεροί τε καὶ ἁγιώτεροι, καὶ κλῆρος αὐτοῖς καὶ μερὶς ἡ ἀκριβὴς θεοπτία, τοῦτ' ἔστιν, ἡ περὶ τῆς θεότητος γνῶσις. Τοῦτό τοι Χριστὸς τοῖς ἁγίοις ἀποστόλοις ἐπηγγέλλετο χαριεῖσθαι, λέγων· «Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἔρχεται ὥρα, ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ Πατρὸς ἀπαγγελῶ ὑμῖν.» Ἀπὸ μηνιαίου δὲ τῶν ἱερωτέρων ἡ ἀπογραφὴ, καθάπερ ἔφην ἀρτίως. Ἀνάγραπτον γὰρ, καὶ ἐν βίβλῳ Θεοῦ, τῶν ἁγιωτέρων οὐχὶ δὴ μόνον τὸ ἐν ἰσχύϊ πνευματικῇ καὶ ἐν σοφίᾳ περιφανέστερον, ἀλλὰ καὶ ὅσον ἐστὶν ἐν ἁπλότητι τῇ κατὰ Χριστὸν, καὶ ἐν κακίᾳ νηπιάζον. Ἀνάγραπτον οὖν ἅπαν ἐστὶ τὸ γένος τὸ ἱερώτερον, καὶ τὸ σοφόν τε καὶ ἁπλοῦν. Ἴδοις δ' ἂν, ὦ Παλλάδιε, τοιάνδε τινὰ διαφορὰν ἐν ταῖς τῶν ἁγίων ψυχαῖς, γνώμαις τε καὶ τρόποις. Προστέθεικε δὲ ὅτι οὐκ ἦν ἄνθρωπος ἐν τοῖς 68.352 ἐπεσκεμμένοις ὑπὸ Μωσῆ καὶ Ἀαρὼν, οὓς ἐπεσκέψαντο τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ Σινᾶ, ὅτι εἶπε Κύριος αὐτοῖς· Θανάτῳ ἀποθανοῦνται ἐν τῇ ἐρήμῳ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς, πλὴν Χαλὲβ ὁ υἱὸς Ἰεφονῆ, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ· παραδεικνὺς ἐναργῶς, ὅτι μὴ τοῖς ἀπειθήσασιν ἡ κληρονομία, καὶ τὸ ἐν βίβλῳ γεγράφθαι Θεοῦ· πρέποι δ' ἂν μᾶλλον τοῖς τὴν πίστιν εἰσδεδεγμένοις, δῆλον δὲ ὅτι τὴν ἐν Χριστῷ· περὶ μὲν γὰρ τῶν ἠπειθηκότων τὸ, «Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν,» ὁ θεσπέσιος ἔφη Δαβίδ. Ὑπεμφαίνει δὲ ἡμῖν καὶ τὸ θεῖον ἐν τούτοις λόγιον, ὅτι τοῖς πιστεύουσιν ἡ χάρις· διὰ γάρ τοι τοῦτο πρὸς τῷ Ἰορδάνῃ τὴν ἀπογραφὴν γενέσθαι φησὶ μυστικῶς ὁ λόγος· ἀνάγραπτος γὰρ ὁ βεβαπτισμένος· πλὴν οὐχ ὁλοκλήρως ἀποπέπτωκε τῆς ἐλπίδος ὁ Ἰσραήλ. Σέσωσται γὰρ τὸ κατάλειμμα, κατὰ τὴν τοῦ προφήτου φωνὴν, οὗ τύπος ἂν εἶεν οἱ ἐκ πάντων καταλελειμμένοι μόνοι Χαλέβ τε καὶ Ἰησοῦς, συγκληρονομοῦντές τε καὶ ἀπογραφόμενοι τοῖς τῆς ἀπιστίας ἐγκλήμασιν οὐκ ἐνεχομένοις. Ἐπιτήρει δὲ πανταχῇ τὴν τῶν ἁγίων ἀπογραφὴν καὶ κληροδοσίαν. Πράττεται γὰρ διά τε Μωσέως καὶ τοῦ προὔχοντος ἐν ἱερωσύνῃ, ἵνα, καθάπερ ἤδη προεῖπον, τὸν ἕνα δι' ἀμφοῖν νοήσῃς Χριστὸν, ὡς ἀρχιερέα καὶ νομοθέτην, δι' οὗ πᾶσα χάρις, καὶ τὸ ἐν ταῖς ἄνω φέρεσθαι βίβλοις, ἃς καὶ ὁ μακάριος Δανιὴλ τεθεᾶσθαί φησιν ἑαυτόν. «Βίβλοι γὰρ ἠνεῴχθησαν,» φησὶν, ὅτι πολλή που πάντων καὶ διάφορος ἡ ἀπογραφὴ, διὰ δή τοι τοῦτο πολλὰ, καὶ οὐχ ἓν τὸ βιβλίον. {ΠΑΛΛ.} Ὀρθῶς οὖν ἄρα καὶ σοφῶς ὁ τῆς Παροιμίας ἡμῖν ἔφη λόγος· «Πλούτου ὀκνηροὶ ἐνδεεῖς γίνονται· οἱ δὲ ἀνδρεῖοι ἐρείδονται πλούτῳ.» {ΚΥΡ.} Ἐρείδονται γὰρ οὖν, καὶ Θεὸν ἔχουσιν εὐμενῆ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προεστηκότα, καὶ καταπιαίνοντα μὲν εὐλογίαις ταῖς ἄνωθεν, διαφανεστάτῃ δὲ λίαν στεφανοῦντα τιμῇ, καὶ διαβοήτοις αὐχήμασι πλουσίως κατακαλλύνοντα. Ἢ οὐκ ἀληθεύει, λέγων· «Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω;» {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἀποπεραίνει γε μὴν τὰ εἰς δόξαν Θεοῦ πᾶς τις οὖν, οἶμαι, νεανικὸς, καὶ ἐπησκηκὼς ἀνδρείαν τὴν πνευματικὴν, καὶ ἀντανίστασθαι μεμελετηκὼς ὁρατοῖς τε καὶ ἀοράτοις ἐχθροῖς, ἑαυτόν τε καὶ ἑτέρους ἀνασώζειν εἰδὼς, καὶ ἐν Θεῷ πάντα δυνάμενος. {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Βούλει δὴ οὖν αὐτὸ δὴ τοῦτο καταθρῶμεν εὖ μάλα, καθάπερ ἐν πίνακι σκιαγραφηθὲν, ἐν τοῖς κατὰ τὸν θεσπέσιον Ἀβραὰμ ἐπωφελεστάτοις ἡμῖν διηγήμασιν; {ΠΑΛΛ.} Ἑλοίμην ἂν σφόδρα. Πῶς γὰρ οὔ; {ΚΥΡ.} Γέγραπται τοίνυν, ὡς κατῴκει τε καὶ κατηυλίζετο μὲν ἐν Σοδόμοις ὁ Λώτ· ἐπειδὴ δὲ τὴν γῆν 68.353 δεινὸς καὶ βαρὺς κατέθει πόλεμος, τῶν τε ἀγχοῦ, καὶ τῶν ἐκ τῆς ὁμόρου χώρας, ὁμοῦ τοῖς ἡγεῖσθαι λαχοῦσι κατὰ κράτος ἑλόντων τὴν πόλιν, συναπεκομίζετο τοῖς ἐξαναστᾶσιν ὁ Λὼτ, καὶ ὁμοῦ τοῖς ἄλλοις δορύληπτος ἦν· παραγενόμενος δέ τις τῶν ἀνασεσωσμένων, «Ἀπηγγέλη,» φησὶν, «Ἀβραὰμ τῷ περάτῃ, αὐτὸς δὲ κατῴκει πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, Ἀμοῤῥαίου τοῦ ἀδελφοῦ Ἐσχὼλ, καὶ τοῦ ἀδελφοῦ Αὐνᾶν, οἳ ἦσαν συνωμόται τοῦ Ἀβράμ. Ἀκούσας δὲ Ἀβρὰμ, ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ, τριακοσίους δέκα καὶ ὀκτώ. Καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν· καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τὴν νύκτα αὐτὸς, καὶ οἱ παῖδες αὐτοῦ. Καὶ ἐπάταξεν αὐτοὺς, καὶ κατεδίωξεν αὐτοὺς ἕως Χοβὰ, ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ. Καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων, καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὰς γυναῖκας, καὶ τὸν λαόν. Ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτοῦ, μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς Χοδολλογομὸρ, καὶ τῶν βασιλέων τῶν μετὰ αὐτοῦ εἰς τὴν κοιλάδα τοῦ Σαβῆ. Τοῦτο ἦν τὸ πεδίον τῶν βασιλέων. Καὶ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ ὑψίστου· καὶ εὐλόγησε τὸν Ἀβρὰμ, καὶ εἶπεν· Εὐλογημένος Ἀβρὰμ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν. Καὶ εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. Καὶ ἔδωκεν αὐτῷ δεκάτην μοῖραν ἀπὸ πάντων. Εἶπε δὲ βασιλεὺς Σοδόμων πρὸς Ἀβράμ· Δός μοι τοὺς ἄνδρας, τὴν δὲ ἵππον λάβε σεαυτῷ. Εἶπε δὲ Ἀβρὰμ πρὸς τὸν βασιλέα Σοδόμων· Ἐκτενῶ τὴν χεῖρά μου πρὸς Κύριον τὸν Θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰ ἀπὸ σπαρτίου ἕως σφυρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν, ἵνα μὴ εἴπῃς ὅτι Ἐγὼ ἐπλούτισα τὸν Ἀβρὰμ, πλὴν ὧν ἔφαγον οἱ νεανίσκοι, καὶ τῆς μερίδος τῶν ἀνδρῶν τῶν συμπορευθέντων μετ' ἐμοῦ, Ἐσχὼλ, Αὐνᾶν, Μαμβρῆ· οὗτοι λήψονται μερίδα. Μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα Κυρίου πρὸς Ἀβρὰμ ἐν ὁράματι τῆς νυκτὸς, λέγων· Μὴ φοβοῦ, Ἀβρὰμ, ἐγὼ ὑπερασπίζω σου, ὁ μισθός σου πολὺς ἔσται σφόδρα. Λέγει δὲ Ἀβρὰμ, Δέσποτα Κύριε, τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος, ὁ δὲ υἱὸς Μασὲχ τῆς οἰκογενοῦς μου, οὗτος Δαμασκὸς Ἐλιέζερ· καὶ εἶπεν Ἀβράμ· Ἐπειδὴ ἐμοὶ οὐκἔδωκας σπέρμα, ὁ δὲ οἰκογενής μου κληρονομήσει με. Καὶ εὐθὺς φωνὴ Κυρίου ἐγένετο πρὸς αὐτὸν, λέγουσα· Οὐ κληρονομήσει σε οὗτος· ἄλλος ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει σε. Ἐξήγαγε δὲ αὐτὸν ἔξω, καὶ εἶπεν αὐτῷ· Ἀνάβλεψον δὴ εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. Καὶ εἶπεν· Οὕτως ἔσται τὸ σπέρμα σου.» Ὁρᾷς τῶν ἁγίων τὸ ἕτοιμον εἰς εὐτολμίαν, καὶ ὅπως ἔχουσι τὸ τληπαθὲς ἐθελούσιον; Ἅμα γὰρ ἐπύθετο κεκινδυνευκότα τὸν Λὼτ, κατηλέει μὲν εὐθὺς τοῦ προσγενοῦς τὴν συμφορὰν, ἁρπάσας δὲ τοὺς οἰκογενεῖς, καί τινας τῶν συνωμοτῶν, 68.356 οὐκ ὄντας Ἑβραίους, ἐχώρει ῥᾳδίως κατὰ τῶν λελυπηκότων, καὶ κατεχειροῦτο μὲν εὐκόλως, ἀπήλλαττε δὲ τῆς αἰχμαλωσίας, αὐτόν τε τὸν ἀδελφόπαιδα Λὼτ, καὶ τοὺς ὑπὸ χεῖρα πεσόντας τῶν κεκρατηκότων. Εἶτα λοιπὸν, ὡς νενικηκότι τὴν αὐτῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρέπουσαν τιμὴν ἀποσώζοντες, ὑπήντων εἰκότως, ὅ τε βασιλεὺς Σοδόμων, καὶ Μελχισεδὲκ ὁ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, καθὰ γέγραπται. Ὑπήντα δὲ οὐ ψιλῶς, ἐπεκομίζετο δὲ τῆς ἱερωσύνης τὰ σύμβολα, τῆς τὸ τηνικάδε νενομισμένης, ἄρτους τε καὶ οἶνον, καὶ κατηυλόγει τὸν Ἀβραὰμ, καὶ γέρας ἐδίδου φωνὰς ἱεράς. Ἠνδρίσατο τοιγαροῦν καὶ νενίκηκεν Ἀβραάμ· τοιοῦτοι γὰρ ἀεί πώς εἰσιν οἱ κατὰ Χριστὸν ἀνδρεῖοι, καὶ θεοφιλεστάτην εἰς νοῦν ἔχοντες τὴν εὐτολμίαν. Προσθήσω δὲ, ὥσπερ εἰς παράδειγμα καὶ πίστιν τοῦ λόγου, τοὺς ἁγίους ἀποστόλους, οἳ, πάντα εὐκόλως διαρπάζοντος τοῦ Σατανᾶ, καὶ μὴν τῶν ἀνθεστηκότων τοῖς τῆς ἀληθείας δόγμασι, τὰς τῶν ἁπλουστέρων καταληϊζομένων ψυχὰς, ἀντεφέροντο νεανικῶς, συνεξοπλίζοντες ἑαυτοῖς τοὺς οἰκογενεῖς, τουτέστι, τοὺς τοῖς ἱεροῖς ἐντεθραμμένους Γράμμασι, καί τινας τῶν συνωμοτῶν, οὐκ ὄντας Ἑβραίους, φημὶ δὲ δὴ πάλιν, τοὺς φρονοῦντας μὲν ἔτι τὰ ἐν κόσμῳ, συναθλοῦντας δὲ τοῖς ἁγίοις, καὶ ζηλοῦντας αὐτοὺς, ἀνδριζόμενοι δὲ οὕτω νενικήκασι, καὶ τῆς ἐκείνου πλεονεξίας ἐξήρπαζον τοὺς ἑαλωκότας. Τοὺς μὲν γὰρ ἐκ τῆς εἰδωλολατρείας, καὶ τοῦ προσκυνεῖν τῇ κτίσει παρὰ τὸν κτίσαντα, τοὺς δὲ, τῆς ψευδωνύμου γνώσεως ἐξέλκοντες, ἀνασώζουσιν· ἀλλὰ τῆς οὕτω λαμπρᾶς καὶ μεγαλοφυοῦς εὐψυχίας, ἀποκερδαίνουσιν ἀμοιβὴν, τάς τε παρὰ τῶν ἐν κόσμῳ τιμάς· «Ἐξῆλθε γὰρ, φησὶ, βασιλεὺς Σοδόμων εἰς συνάντησιν τῷ Ἀβραὰμ, καὶ Μελχισεδὲκ, ὁ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου,» εὐλογίαν τὴν διὰ Χριστοῦ, τῇ ζωοποιῷ χάριτι κατευφραίνοντος ἄρτῳ τε καὶ οἴνῳ. Τοιγάρτοι καὶ ἀληθεύοντες ἐφ' ἑαυτοῖς, εὖ μάλα φασίν· «Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.» Τύπος δ' ἂν εἴη τῆς κατὰ Χριστὸν ἱερωσύνης ὁ Μελχισεδὲκ, καὶ οὐ πολλῶν, οἶμαι, τὸ χρῆμα πρὸς ἀπόδειξιν δεήσεται λόγων, ἐξαρκοῦντος εἰς τοῦτο Γράμματος ἱεροῦ. Φάσκοντος δὲ τοῦ Σοδόμων βασιλέως πρὸς τὸν θεσπέσιον Ἀβραὰμ, ὡς νενικηκότα· Δός μοι τοὺς ἄνδρας, τοὺς δὲ ἵππους λάβε σεαυτῷ, μηδὲν τὸ σύμπαν λαβεῖν ἀπώμνυτο παραχρῆμα, πλὴν εἰ ἄρα τὰς τροφὰς τῶν συγκεκμηκότων, καὶ τοῖς συνωμόταις μερίδα Ἐσχὼλ, Αὐνᾶν, καὶ Μαμβρῆ. Πολεμοῦντες γὰρ καὶ ὑπεραθλοῦντες γεννικῶς ὑπὲρ τῆς τῶν ἀπολωλότων ἐλευθερίας οἱ ἅγιοι, καὶ πάντα πόνον εἰσβαίνοντες, οὐδὲν ἀπὸ κόσμου λαμβάνουσιν, οὔτε μὴν τὸν ἐπίγειον συλλέγουσι πλοῦτον, παραιτούμενοι σφόδρα τὸν ἐντεῦθεν ὀνειδισμόν· «Ἵνα μὴ εἴπῃς,» φησὶν, «ὅτι Ἐγὼ ἐπλού-τισα τὸν Ἀβραάμ·» πλὴν ὅτι μόνας δέχονται τροφὰς, τὰς ἐκ τῶν ὠφελουμένων. «Ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ·» καὶ τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ Εὐαγγελίου ζῆν ἐκέλευεν ὁ 68.357 Χριστός. Οἵ γε μὴν συνωμόται δέχονται μερίδας, εὐλογοῦντος οἶμαί που Θεοῦ, καὶ ἐν τοῖς κατὰ τόνδε τὸν βίον πράγμασι τοὺς τῶν ἁγίων συζηλωτάς· πλεονάζει γὰρ αὐτοῖς ἐκ δικαίας ὁδοῦ συμμέτρως τὰ ὄντα· τοῖς γὰρ οὔπω παντελῶς τῶν ἐπιγείων ἀποφοιτήσασι, μεμερισμένοις δὲ ὥσπερ Θεῷ τε καὶ κόσμῳ, καὶ τὰς ἐπὶ γῆς εὐλογίας διανέμει Θεός. Οὕτως ηὐλόγει τὸν Ἰακὼβ, εἰς πλῆθος ἄγων τὰ θρέμματα. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Εὐδοκιμοῦσι δὲ οὕτως, καὶ λελαμπρυσμένοις, ὡς ἤδη γνησίοις, τὸ μήτε χρῆναι καταναρκᾷν φησιν ὁ σώζειν εἰδὼς, καὶ μὴν ὅτι καὶ ἀμφιλαφῆ κομιοῦνται μισθὸν, χρησίμως κατεπαγγέλλεται· ὁμοῦ τὸ ἄναλκί τε καὶ ἀποτολμότατον πάθος ὡς ἀπωτάτω τιθεὶς τῆς τῶν φοβουμένων αὐτὸν ἀγέλης, καὶ ἐλπίδι τῶν ἐπηγγελμένων καταθήγων εἰς προθυμίας, καὶ καθιστὰς ἐῤῥωμενεστέρους. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Παῦλος, οὕτω διατιθεὶς, ποτὲ μὲν ἔφασκε· «Πάντα ἰσχύω ἐν τῷ δυναμοῦντί με Χριστῷ·» ποτὲ δὲ αὖ· «Τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος.» Ἀσχάλλει δὲ λίαν ὁ θεσπέσιος Ἀβραὰμ, καὶ υἱὸν ἔχων οἰκογενῆ, δυσθυμίας οὐκ ἀμοιρεῖ. Τί γάρ μοι δώσεις, φησὶν, εἰ ἄτεκνος ἀπολύομαι; καὶ ἀπαιδίας ἐν ἴσῳ ποιεῖται τὸ νόθον ἔχειν καρπόν. Εἶτα Θεὸς ἐπαγγέλλεται τὸν ἐξ ἐλευθέρας υἱὸν, τουτέστι τὸν Ἰσαὰκ, καὶ ἔσεσθαί φησιν αὐτὸν ἐν ἐκείνῳ πατέρα πολλῶν ἐθνῶν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἕξειν δὲ τὸ σπέρμα καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ· ἐλύπει γὰρ λίαν τοὺς ἁγίους ἀποστόλους, τὸ ὥσπερ ἀπό τινος δούλης, τῆς κατὰ νόμον λατρείας, νόθον ἔχειν καρπόν. Ἐζήτουν δὲ μᾶλλον τὸν ἐκ τῆς ἐλευθερίας, τουτέστι, τὸν ἐκ τῆς Καινῆς Διαθήκης. Οὗτος δὲ ἦν ὁ Χριστὸς, οὗ καὶ εἰς τύπον ὁ Ἰσαὰκ κατ' ἐπαγγελίαν νοεῖται, καὶ διὰ πίστεως. Καὶ γοῦν ὁ μακάριος Παῦλος, περὶ τῶν ἐν ἑαυτῷ νόμου φησὶν αὐχημάτων, «Ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν· ἀλλὰ μὲν οὖν γε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην, τὴν διὰ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ.» Ἐν Χριστῷ γὰρ γεγόνασι πατέρες πολλῶν ἐθνῶν καὶ ἀναριθμήτου σπέρματος, καθάπερ ἀμέλει καὶ Ἀβραὰμ ἐν Ἰσαάκ. Ἀναθήσομεν δὲ τὸνἐπὶ τῷδε λόγον, οὐχὶ δὴ μόνοις τοῖς πάλαι τε καὶ ἁγίοις ἀποστόλοις, ἀλλὰ καὶ τοῖς μετ' ἐκείνους τὸ ἱεροῦσθαι λαχοῦσι, καὶ Ἐκκλησιῶν ἡγουμένοις, ἢ καὶ παντί τε λοιπὸν ὁσίῳ καὶ ἀγαθῷ.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ

Περὶ ἀνδρείας τῆς ἐν Χριστῷ. Σκοπὸς οὖν ἁγίοις, κἂν εἰ τῆς τῶν ἄλλων ὑπεραθλοῖεν ζωῆς, ὦ Παλλάδιε, μηδὲν τῶν ἐν κόσμῳ προσοικειοῦσθαι φιλεῖν· εἶεν γὰρ ἂν οὕτω σοφοί τε καὶ δυνατοὶ, καὶ ἀγαθῆς ἐλπίδος ἔμπλεῳ, καὶ εὐμενείαις ταῖς ἄνωθεν εὖ μάλα τετειχισμένοι, καὶ, ὡς εὖ ἴσθι τοι, μὴ ἑτέρως ἔχειν τὸ χρῆμα, ὦ τᾶν. Ἀνωτέραν μὲν γὰρ τῶν ἐν κόσμῳ περισπασμῶν καὶ προσκαίρων ἐπιθυμιῶν τὴν διάνοιαν ἔχοντες, εὐκαταγωνίστοις κομιδῆ περιτεύξονται τοῖς ἐχθροῖς, περιέσονταί τε καὶ μάλα ῥᾳδίως τῶν ἀνθεστηκότων, προκατασείοντος τοῦ Θεοῦ τὴν ἐκείνων δύναμιν· ἐναλόντες δὲ καὶ αὐτοὶ πάθεσι κοσμικοῖς, καὶ γεωδεστέραις ἐπιθυμίαις ἐνειλημμένοι, εὐκατάτροχοι μὲν ὥσπερ καὶ εὐαλωτότατοι λίαν παρακείσονται τότε τοῖς διώκειν αὐτοὺς ᾑρημένοις, γυμνοὶ δὲ τῆς ἄνωθεν ἀσφαλείας ἐκδεδειγμένοι, θήρα τις ὥσπερ ἑτοιμοτάτη παρακείσονται τοῖς ἐχθροῖς. {ΠΑΛΛ.} Καὶ τίς ἂν γένοιτο τῶν εἰρημένων ἡ πίστις, ἐθέλοιμ' ἂν εἰδέναι σαφῶς. {ΚΥΡ.} Τὸ Γράμμα τὸ ἱερὸν, τὰ τοῖς ἀρχαίοις συμβεβηκότα χρησίμως παραφωνοῦν. Ἦ γὰρ, οὐχὶ πρὸς νουθεσίαν ἡμῶν ἐκεῖνα γεγράφθαι καὶ ὁ θεσπέσιος ἔφη Παῦλος; {ΠΑΛΛ.} Φημί· ἐμποιήσει γὰρ οὐ μετρίαν ἡμῖν τὴν ὄνησιν τὰ ἐξ αὐτῶν δηλούμενα. Τύποι γὰρ ἦσαν τῆς ἀληθείας αἱ σκιαί. {ΚΥΡ.} Οὐκοῦν ἤδη λέγωμεν. Διαπεραιωσάμενοι γὰρ τὸν Ἰορδάνην οἱ ἐξ Ἰσραὴλ, προσέβαλον τῇ Ἱεριχῷ· καὶ δὴ καὶ θείοις ἑπόμενοι νεύμασιν ἐκπολιορκεῖν ἐσπούδαζον, ὡς αὐτίκα δὴ μάλα περιεσόμενοι, καὶ αἱρήσοντες, καὶ τὸν πολέμου νόμον ἐξηρτημένοι παρῆσαν οἱ μαχιμώτατοι. Γέγραπται γάρ· 68.361 ὅτι «Καὶ εἰσῆλθεν Ἰησοῦς ὁ τοῦ Ναυῆ πρὸς τοὺς ἱερεῖς, καὶ εἶπεν αὐτοῖς λέγων· Παραγγείλατε τῷ λαῷ περιελθεῖν καὶ κυκλῶσαι τὴν πόλιν, καὶ οἱ μάχιμοι παραπορευέσθωσαν ἐνωπλισμένοι ἔναντι Κυρίου.» Προστάττοντος γὰρ τοῦ Χριστοῦ διὰ τῆς τῶν ἡγουμένων φωνῆς, καταστρατευόμεθα τῶν ἐχθρῶν, οὐ πρὸς αἷμα καὶ σάρκα τὴν μάχην αἱρούμενοι, πρὸς ἀρχὰς δὲ μᾶλλον καὶ ἐξουσίας, καὶ τὸν ἐν τοῖς μέλεσι τῆς σαρκὸς τυραννήσαντα νόμον. Ἐσόμεθα δὲ τότε καὶ ἐν ὄψει Θεοῦ, παντευχίᾳ μὲν ὥσπερ ἐνηρμοσμένοι τῇ θείᾳ τε καὶ νοητῇ. (Τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικὰ, κατὰ τὴν τοῦ Παύλου φωνὴν), τοῖς δὲ τῆς δικαιοσύνης αὐχήμασιν ἐκπρεπεῖς. Ἐφορᾷ δὴ οὖν τοὺς μαχιμωτάτους ὁ πάντων Δεσπότης Θεὸς, τὰ λαμπρὰ τῆς δικαιοσύνης σκεύη περικειμένους, τοῦτ' ἔστι, τὸ ὡς ἐνώπιον Χριστοῦ παραπορεύεσθαι τοὺς μαχίμους


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνωπλισμένους. Τίμιον δὲ σφόδρα καὶ πολύευκτον ἀληθῶς, τὸ ἐν ἐπισκέψει γενέσθαι Θεοῦ, εἴπερ ἐστὶν οὐκ ἀπίθανον ἐννοεῖν, ὅτι τοῖς λελυπηκόσι, κόλασιν ὥσπερ τινὰ τὴν ἀποστροφὴν ἐπιτίθησι Θεὸς, λέγων· «Ὅταν τὰς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν.» Παρατεινούσης δὲ τῆς πολιορκίας καὶ εἰς ἡμέραν ἑβδόμην, ἔφη πάλιν Ἰησοῦς ὁ τοῦ Ναυῆ τοῖς υἱοῖς Ἰσραήλ· «Κεκράξατε πρὸς Κύριον· παραδέδωκε γὰρ ἡμῖν Κύριος τὴν πόλιν, καὶ ἔσται ἡ πόλις ἀνάθεμα, αὕτη καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ, τῷ Κυρίῳ τῶν δυνάμεων Σαβαώθ· πλὴν Ῥαὰβ τὴν πόρνην περιποιεῖσθε αὐτὴν, καὶ πάντα ὅσα ἐστὶν ἐν τῷ οἴκῳ αὐτῆς. Ἀλλ' ὑμεῖς φυλάξασθε ἀπὸ τοῦ ἀναθέματος, μή ποτε ἐνθυμηθέντες ὑμεῖς αὐτοὶ λάβητε ἀπὸ τοῦ ἀναθέματος, καὶ ποιήσητε τὴν παρεμβολὴν τῶν υἱῶν Ἰσραὴλ ἀνάθεμα, καὶ ἐκτρίψητε ἡμᾶς, καὶ πᾶν ἀργύριον καὶ χρυσίον, καὶ χαλκὸς καὶ σίδηρος ἅγιον ἔσται τῷ Κυρίῳ, εἰς θησαυρὸν Κυρίου εἰσενεχθήσεται.» Ἠφίει μὲν γὰρ ταῖς ἄλλαις λαφυραγωγίαις ἐντρυφᾷν τοὺς ἀνδριζομένους, εἰσκομίζεσθαι δὲ δεῖν εἰς θησαυρὸν Κυρίου, φησὶ, πᾶν ἀργύριον καὶ χρυσίον, χαλκόν τε καὶ σίδηρον· τοῦτο γὰρ ἦν τὸ ἐπίκλην ἀνάθεμα, τουτέστι, τὸ ἀπονεμηθὲν ἐκ πάντων καὶ ἀφορισθὲν τῷ Θεῷ. Ἀλλ' οὐδενὸς ἀξιώσας λόγου τὴν ἐντολὴν, «Ἔλαβε, φησὶν, Ἄχαρ ὁ υἱὸς Χαμμὶ, υἱοῦ Ζαμβρῆ, υἱοῦ Ζαρᾶ ἐκ τῆς φυλῆς Ἰούδα, ἀπὸ τοῦ ἀναθέματος. Καὶ ἐθυμώθη ὀργῇ Κύριος τοῖς υἱοῖς Ἰσραήλ.» Χρῆναι γὰρ οἶμαι τοὺς ταῖς κοσμικαῖς ἡδοναῖς καὶ τοῖς ἐν τῷδε τῷ βίῳ περισπασμοῖς τὸ εὐσθενὲς ἐν Χριστῷ παρεξάγοντας φρόνημα, καὶ διὰ τῶν τῆς δικαιοσύνης ὅπλων εὐδοκιμεῖν ᾐρημένους, ἐν ἐπισκέψει τε ἤδη γεγονότας Χριστοῦ, μηδενὸς ἐφίεσθαι τῶν ἐν κόσμῳ τεθαυμασμένων, μὴ πλούτου, μὴ δόξης, μὴ δυναστείας, ἢ ὑπεροχῆς, μὴ τῶν ἐκ τῆς σοφίας Ἑλληνικῆς ἀνοσίων δογμάτων. Εἶεν δ' ἂν, εἰς τύπον λαμπρότητος μὲν τῆς ἐν ἀξιώμασι καὶ ὑπεροχαῖς, τὸ ἀργύριον· λαμπρὰ γὰρ ἡ ὕλη· πλούτου δὲ, ὁ χρυσός. Τὸ δὲ τῆς γλώττης εὔηχες τῶν ἐν κόσμῳ σοφῶν, κατασημήνειεν ὁ 68.364 χαλκός· ἰσχὺν δὲ καὶ δυναστείαν, σκληρὸς ὢν ἄγαν ὁ σίδηρος, καὶ τῇ ὕλῃ πάσῃ μαχόμενος. Ὧν εἴπερ τις ἕλοιτο μεταλαχεῖν, καίτοι τὴν ἀρίστην τάξιν ἔχων παρὰ Θεῷ, καὶ ἀναμετρούμενος ἐν πολεμισταῖς, καὶ μὴν καὶ πνευματικαῖς εὐψυχίαις γεγονὼς ἐκπρεπὴς, προσκρούσει Θεῷ, καὶ κιβδήλοις παρατροπαῖς καταλυπεῖν ᾐρημένος τὸν σύνοπλόν τε καὶ ἀρωγὸν, ταῖς ἐντεῦθεν ὀργαῖς ὑποκείσεται. {ΠΑΛΛ.} Εὖ ἔφης. Συναινέσαιμι γὰρ ἄν. Πλὴν, ἐκεῖνό μοι φράσον, βραχὺ τοῦ πράγματος καὶ τῆς ἱστορίας ἀποκομίσας τὸν λόγον· διατί Κυρίῳ τὸ ἀργύριον καὶ τὸ χρυσίον, καὶ ὁ χαλκὸς καὶ σίδηρος, καὶ οὐχὶ δὴ μᾶλλον, ἢ ὡς ἄχρηστα τυχὸν, ἢ ὡς καταμολύνειν εἰδότα, τῆς παρεμβολῆς ἐξεπέμπετο· μυσαρὰ γὰρ δέδειχεν αὐτὰ τῆς πνευματικῆς θεωρίας ἡ δύναμις. {ΚΥΡ.} Ὅτι, ὦ Παλλάδιε, λαμπρότης μὲν ἅπασα, σοφία τε καὶ πλοῦτος, καὶ μὴν καὶ ἰσχὺς, πρεπόντως τε καὶ ὁσίως ἀνακείσεται τῷ Θεῷ. Αὐτοῦ γὰρ ἡ δόξα καὶ ἡ πᾶσα λαμπρότης, πλοῦτός τε καὶ σοφία, καὶ δύναμις. Ἀλλ' εἰ μέν τις ἕλοιτο παρ' αὐτοῦ, καὶ ἀπὸ θησαυροῦ Κυρίου πλουτίζοιτο, πλοῦτον δηλονότι τὸν νοητὸν, δόξαν τε καὶ σύνεσιν, καὶ ἰσχὺν ἔχει πνευματικὴν, περίοπτος ἔσται καὶ ζηλωτός. Εἰ δὲ δὴ βούλοιτο ταυτὶ παρὰ τοῦ κόσμου λαβεῖν, βδελυρὸς ἔσται καὶ ἀπηχθημένος παρά γε τῷ φιλαρέτῳ Θεῷ, καὶ ὑπὸ κρίσιν ἔσται καὶ δίκην. Ἕψεται γὰρ πάντως τῷ μὲν πλούτῳ τὸ φιλήδονον, λαμπρότητι δὲ καὶ ὑπεροχαῖς γείτων εὐθὺς ἡ ὑπεροψία· δυναστείαις γε μὴν παραπέπηγεν ἡ πλεονεξία· σοφίᾳ δὲ τῇ ἐν κόσμῳ, τὸ ἐν δόγμασιν ἀκαλλὲς, κἂν εἰ τὸ εὔηχες ἔχοι τῶν ἐκεῖνα γεγραφότων ἡ γλῶττα. Τοιοῦτόν τι καὶ ὁ Παῦλός φησιν· «Εἴ τίς ἐστιν ἐν ὑμῖν σοφὸς, μωρὸς γενέσθω, ἵνα γένηται σοφός· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ Θεῷ ἐστιν.» Ἄχαρ δὴ οὖν, οὐκ ἐκ θησαυροῦ Χριστοῦ λαβὼν, ἀλλ' ὥσπερ ἀπὸ κόσμου τῆς Ἱεριχοῦς, προσκρούει Θεῷ. Τὰ δὲ ἐντεῦθεν βλάβη καὶ τὰ ἐκ θείας ὀργῆς συμβαίνοντα, οὐκ ἐπὶ μόνον ἐχώρει τὸν ἐπὶ τοῖσδε κατεγνωσμένον, ἀλλ' ὅλην ἐκάκου τὴν συναγωγήν· ἀμέτοχος γὰρ γεγονὼς ἐπικουρίας τῆς ἄνωθεν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀδρανής τε καὶ ἄναλκις ἦν ὁ πάλαι δυσαλωτότατος Ἰσραήλ. {ΠΑΛΛ.} Καὶ πῶς ἢ πόθεν ἀναμάθοιμεν, ὡς ἔστιν ἀληθὴς ὁ ἐπὶ τῷδε λόγος; {ΚΥΡ.} Ἀπό γε τῶν ἐφεξῆς γεγραμμένων. Μετὰ γὰρ τὰ κατὰ τὴν Ἱεριχὼ καὶ τὰ ἐπ' αὐτῇ λαμπρῶς καὶ νεανικῶς εἰργασμένα παρὰ παντὸς Ἰσραὴλ, ἀπέστειλεν Ἰησοῦς ἄνδρας ἀπὸ Ἱεριχὼ εἰς Γαΐ, λέγων· «Ἀναβάντες κατασκέψασθε τὴν Γαΐ. Καὶ ἀνέβησαν οἱ ἄνδρες καὶ κατεσκέψαντο τὴν Γαΐ, καὶ ἀνέστρεψαν πρὸς Ἰησοῦν, καὶ εἶπαν πρὸς αὐτόν· Μὴ ἀναβαινέτω πᾶς ὁ λαὸς, ἀλλ' ὡσεὶ δισχίλιοι ἢ τρισχίλιοι ἄνδρες ἀναβαινέτωσαν, καὶ ἐκπολιορκησάτωσαν τὴν πόλιν. Μὴ ἀναγάγῃς ἐκεῖ τὸν λαὸν ἅπαντα· ὀλίγοι γάρ εἰσι. Καὶ ἀνέβησαν ἐκεῖ ὡσεὶ τρισχίλιοι 68.365 ἄνδρες, καὶ ἔφυγον ἀπὸ προσώπου ἀνδρῶν Γαΐ, καὶ ἀπέκτειναν ἀπ' αὐτῶν ἄνδρες Γαῒ εἰς τριακονταὲξ ἄνδρας, καὶ κατεδίωξαν αὐτοὺς ἀπὸ τῆς πύλης, καὶ συνέτριψαν αὐτοὺς ἀπὸ τοῦ καταφεροῦς· καὶ ἐπτοήθη ἡ καρδία τοῦ λαοῦ, καὶ ἐγένετο ὥσπερ ὕδωρ.» Οἱ πόλεις ἑλόντες, καὶ χώρας καταδῃώσαντες, καὶ τὰ ὠμότατα τῶν ἐθνῶν ἀμογητὶ νικήσαντες, ἀκαταμαχήτοις περιτυγχάνουσι τοῖς ἀπὸ τῆς Γαΐ, καὶ μόλις ἐσώζοντο, καὶ ἀπεχώρουν οὐκ ἀζήμιοι, μηδὲ ὅλην ἐν ἀρχαῖς τὴν τῶν μαχίμων πληθὺν ἐν ὅπλοις εἶναι θελήσαντες, εὐκαταγώνιστον δὲ κομιδῇ καὶ ὀλίγοις ἔσεσθαι τὴν πόλιν διαῤῥήδην ὁμολογήσαντες. Μὴ ἀναβαινέτω γὰρ, ἔφασκον, πᾶς ὁ λαὸς, ἀλλ' ὡσεὶ δισχίλιοι ἄνδρες. Πρὸς δὲ τὸ ἀδόκητον πάθος, καὶ τὴν τῆς ἐλπίδος ἐπέκεινα συμφορὰν, βαρυθυμήσαντος λίαν τοῦ Ἰησοῦ, καὶ περιῤῥηγνύντος μὲν τὴν ἐσθῆτα, τῷ δὲ Θεῷ προσπίπτοντος, καὶ τί ποτέ ἐστι τὸ χρῆμα κατατεθηπότος, ἔφη Θεός· «Ἀνάστηθι· ἵνα τί σὺ οὕτω συμπέπτωκας ἐπὶ πρόσωπόν σου; Ἡμάρτηκεν ὁ λαὸς καὶ παρέβη τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς αὐτοὺς, καὶ κλέψαντες ἀπὸ τοῦ ἀναθέματος ἐνέβαλον εἰς τὰ σκεύη αὐτῶν. Οὐ μὴ δύνωνται οἱ υἱοὶ Ἰσραὴλ ὑποστῆναι κατὰ πρόσωπον τῶν ἐχθρῶν αὐτῶν· αὐχένα ἐπιστρέψουσιν ἔναντι τῶν ἐχθρῶν αὐτῶν, ὅτι ἐγενήθησαν ἀνάθεμα, οὐ προσθήσω ἔτι εἶναι μεθ' ὑμῶν, ἐὰν μὴ ἐξάρητε τὸ ἀνάθεμα ἐξ ὑμῶν αὐτῶν.» Παραδειχθέντα δὴ τὸν Ἄχαρ ἤρετο μὲν Ἰησοῦς, λέγων· «Δὸς δόξαν σήμερον Κυρίῳ τῷ Θεῷ Ἰσραὴλ, καὶ δὸς τὴν ἐξομολόγησιν καὶ ἀνάγγειλόν μοι τί ἐποίησας, καὶ μὴ κρύψῃς ἀπ' ἐμοῦ. Ἀπεκρίθη δὲ Ἄχαρ τῷ Ἰησοῦ, καὶ εἶπεν· Ἀληθῶς ἥμαρτον ἐναντίον Κυρίου Θεοῦ Ἰσραὴλ, οὕτως καὶ οὕτως ἐποίησα. Εἶδον ἐν τῇ προνομῇ ψιλὴν ποικίλην καὶ διακόσια δίδραχμα ἀργυρίου, καὶ γλῶσσαν μίαν χρυσῆν πεντήκοντα διδράχμων, καὶ ἐνθυμηθεὶς αὐτῶν ἔλαβον, καὶ ἰδοὺ κέκρυπται ταῦτα ἐν τῇ γῇ, ἐν τῇ σκηνῇ μου, καὶ τὸ ἀργύριον κέκρυπται ὑποκάτω αὐτῶν.» Συνίης ὅτι καὶ αὐτὸς ὁ κεκλοφὼς ἑωρακέναι φησὶν ἐν τῇ προνομῇ ψιλὴν ποικίλην, καὶ διακόσια δίδραχμα ἀργυρίου, καὶ γλῶσσαν χρυσῆν πεντήκοντα διδράχμων, ἐνθυμηθῆναί τε αὐτῶν, τουτέστιν, εἰς ἄθεσμον αὐτῶν ἐπιθυμίαν ἐλθεῖν. Τὴν μὲν οὖν ψιλὴν, στρατιωτικὴν οἴονται στολὴν, χλαμύδα τε εἶναί φασι ποικίλως ἐξυφασμένην· στρατιωτικὸν δὲ τὸ ἔσθημα, καὶ πλεονεξίας σύμβολον. Παραπέφυκε γὰρ ἀεί πως τῷ στρατευσίμῳ γένει τὸ ὡς ἥδιστα πλεονεκτεῖν. Τύπος δὲ αὖ λαμπρότητος κοσμικῆς, τὸ ἀργύριον· καὶ σοφίας τῆς Ἑλληνικῆς τῆς ἡδυεποῦς, ἡ γλῶσσα. Τοιαύτη τίς ἐστι καὶ ἡ τῶν παρ' Ἕλλησι σοφῶν γλῶσσά τε καὶ παίδευσις, οἱονεὶ χρυσῆ τε καὶ ἐντιμωτάτη, διά γε τὸ ἐν λέξει περιφανές. Ἐκκεκαλυμμένης δὲ ἤδη τῆς ἁμαρτίας, ποιναῖς ὑπετίθει τὸν Ἄχαρ ὁ Ἰησοῦς, οὐχ ἑαυτὸν ἠδικηκότα μόνον, ἀλλ' εἰς ὅλην τὴν συναγωγὴν τὴν ἐκ τῆς ἰδίας ἀκρατοῦς ἐπιθυμίας ἐκτείναντα βλάβην. Καὶ τάχα που τοῦτό ἐστι τὸ ἄριστά τε καὶ σαφῶς διὰ τῆς τοῦ Παύλου φωνῆς πρὸς ἡμᾶς εἰρημένον· «Ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν· 68.368 μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.» Ἆρά σοι δέδεικται σαφῶς, ἐν μὲν τῷ πρώτῳ τῷ Ἀβραὰμ, ὡς ἀπήμαντα μὲν τοῖς ἁγίοις διαμένει τὰ εἰς ἀλκὴν αὐχήματα· ἕψηται δὲ ῥᾳδίως τὸ δεδυνῆσθαι καταθλεῖν τῶν ἐχθρῶν, εἰ μηδὲν ἕλοιντο τῶν ἀπὸ κόσμου ζητεῖν· ἐν δέ γε τῷ Ἄχαρ, εἰς τὸ τούτοις ἐναντίον ἐκκεχωρηκότα τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πράγματα, ἀποκλίναντι τῆς εὐθείας, καὶ νενευκότι πρὸς τὰ ἐν κόσμῳ; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν· σαφὴς γὰρ ὁ λόγος. {ΚΥΡ.} Ὅτι δὲ χρὴ τοὺς ἁγίους πανταχῇ μονοτρόπους ὁρᾶσθαι, καὶ οὐχ ἑτερογνώμονας, σαφὲς ἂν γένοιτο, τοῦ νόμου λέγοντος ἐναργῶς· «Οὐκ ἔσται σκεύη ἀνδρὸς ἐπὶ γυναικὶ, οὐδὲ μὴ ἐνδύσηται ἀνὴρ στολὴν γυναικείαν, ὅτι βδέλυγμά ἐστιν ἐνώπιον Κυρίου πᾶς ὁ ποιῶν ταῦτα.» Βδέλυγμα γὰρ ἐν ἴσῳ παρὰ Θεῷ καὶ ἀκαλλέστατον θέαμα, γενναιότητος ὑπόληψις ἐπὶ μαλακισμοῖς· τοῦτο γάρ ἐστι τὸ εἶναι σκεύη ἀνδρὸς ἐπὶ γυναικί· καὶ τὸ νοσεῖν ἐν ἀνδρείαις τὸν μαλακισμόν· τοῦτο γὰρ ὁμοίως τὸ ἐνδύσασθαι τὸν ἄνδρα στολὴν γυναικείαν. {ΠΑΛΛ.} Οἷον δὴ τί φής; {ΚΥΡ.} Οὐ χρῆμα πονηρὸν καὶ ἀδόκιμον ἡ ὑπόκρισις παρά τε Θεῷ καὶ ἀνθρώποις; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἆρ' οὖν εἴ τις εἴη φιλήδονος καὶ ἀκρατὴς, καὶ ἐξ αὐτῶν ἐλέγχοιτο τῶν δρωμένων, ὡς ἔστι τοιοῦτος, εἶτα τῆς ἐπιεικείας κατάπλαστον ἐφ' ἑαυτῷ ποιοῖτο τὴν δόξαν, ἐπαινέσαις ἂν τόν γε τοιοῦτον αὐτὸς, ὦ Παλλάδιε; {ΠΑΛΛ.} Οὐ μὲν οὖν. {ΚΥΡ.} Τί δὲ δὴ τὸν ἀληθῶς κόσμιον καὶ εὐσχήμονα, οὐκ οἰήσῃ δεῖν ἐν ταυτότητι γνώμης ἐρηρεισμένον, οὐχ ἕτερόν τι παρ' ὅπερ ἐστὶ γινώσκεσθαι; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Οὐκοῦν μήποτε τὸ εὔθρυπτόν τε καὶ μαλθακὸν φρόνημά τινων, τὴν τῆς ἀνδρείας ὑποτρεχέτω δόξαν· τοῦτο γὰρ τὸ, Οὐκ ἔσται σκεύη ἀνδρὸς ἐπὶ γυναικί· μήτε μὴν τὸ ἀληθῶς εὐσθενὲς ζητείτω τὸ μαλθακόν· τοῦτο γὰρ πάλιν τὸ, Οὐ μὴ ἐνδύσηται ἀνὴρ στολὴν γυναικείαν. Ἴση γὰρ ὥσπερ ἐν ἀμφοῖν ἡ φαυλότης, καὶ ὕβρις εἰς ἀρετὴν τὰ ἐγκλήματα. {ΠΑΛΛ.} Σφαλερὸν, ὡς ἔοικεν, ὁ μαλθακισμὸς, καὶ τὸ χρῆμά ἐστιν οὐκ ἀζήμιον. {ΚΥΡ.} Μὴ γὰρ ἐνδοιάσῃς ὅλως. Ἀπόβλητον γὰρ κομιδῇ, καὶ θεομισὲς τὸ πάθος· τοιγάρτοι καὶ τῶν ἱερῶν ἐκπέμπεται καταλόγων ὁ τοῖς τοιοῖσδε τυχὸν ἐγκλήμασιν ἐνεχόμενος. Χρῆναι γὰρ ἔγωγέ φημι τόν γε ἀληθῶς εὐσθενῆ τε καὶ γενναιότατον, μηδαμῇ τὸν οἰκεῖον περιθραύεσθαι νοῦν ἀμελετήτως ἐᾷν, δείματος δὲ καὶ ὄκνου παντὸς ἀνωτέρω τηρεῖν, καὶ πίστει μὲν τῇ εἰς Θεὸν ἀμωμήτως ἐρηρεισμένον, «Πάντα ἰσχύω,» λέγειν, «ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ·» παραιτεῖσθαι δὲ ὡς ὀλέθρου πρόξενον, καὶ ἀδοκίμους ἡμᾶς ἀποφαῖνον παρὰ Θεῷ, τὸ φρονεῖν ἑλέσθαι τὰ 68.369 γεωδέστερα. Καὶ γοῦν ἐν τῷ Δευτερονομίῳ γέγραπται πάλιν· «Ἐὰν ἐξέλθῃς εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου, καὶ ἴδῃς ἵππον καὶ ἀναβάτην, καὶ λαὸν πλειόνά σου, οὐ φοβηθήσῃ ἀπ' αὐτῶν, ὅτι Κύριος ὁ Θεός σου μετὰ σοῦ, ὁ ἀναβιβάσας σε ἐκ γῆς Αἰγύπτου, καὶ ἔσται ὅταν ἐγγίσῃς τῷ πολέμῳ, καὶ προσεγγίσας ὁ ἱερεὺς λαλήσει τῷ λαῷ, καὶ ἐρεῖ πρὸς αὐτούς· Ἄκουε, Ἰσραὴλ, ὑμεῖς προπορεύεσθε σήμερον εἰς τὸν πόλεμον ἐπὶ τοὺς ἐχθροὺς ὑμῶν, μὴ ἐκλυέσθω ἡ καρδία ὑμῶν, μὴ φοβεῖσθε, μηδὲ θραύεσθε, μηδὲ ἐκκλίνητε ἀπὸ προσώπου αὐτῶν· ὅτι Κύριος ὁ Θεὸς ὑμῶν, ὁ προπορευόμενος μεθ' ὑμῶν, συμπολεμήσει ὑμῖν τοὺς ἐχθροὺς ὑμῶν διασῶσαι ὑμᾶς. Καὶ λαλήσουσιν οἱ γραμματεῖς πρὸς τὸν λαὸν, λέγοντες· Τίς ὁ ἄνθρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν, καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν. Καὶ τίς ὁ ἄνθρωπος ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ οὐκ εὐφράνθη ἀπ' αὐτοῦ; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ. Καὶ τίς ὁ ἄνθρωπος ὅστις μεμνήστευται γυναῖκα, καὶ οὐκ ἔλαβεν αὐτήν; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος λήψεται αὐτήν. Καὶ προσθήσουσιν οἱ γραμματεῖς λαλῆσαι πρὸς τὸν λαὸν, καὶ ἐροῦσι· Τίς ὁ ἄνθρωπος ὁ φοβούμενος καὶ δειλὸς τῇ καρδίᾳ; Πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, ἵνα μὴ δειλιάνῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ αὐτοῦ, ὥσπερ ἡ αὐτοῦ.» {ΠΑΛΛ.} Ἀλλ' ὅτι χρὴ μὲν τεθαῤῥηκότας ἐπὶ Θεῷ διαπρέπειν ἀρεταῖς καὶ πρὸς πᾶν ὁτιοῦν ἀνδρίζεσθαι τῶν ἀγαθῶν, καὶ αὐτὸς ἐγὼ φαίην ἄν. Ἀποπέμπονται δὲ τοῦ πολέμου τινὲς, ὡς ἀνεπιτήδειοι, πῶς ἢ τίνα τρόπον οὐκ ἔχω μαθεῖν. {ΚΥΡ.} Ἦ οὐκ οἶσθα ὅτι οὐκ ἂν εὐδόκιμος γένοιτο παρὰ Θεῷ, ἀλλ' οὐδ' ἂν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἕλοιτό τις τοὺς ὑπὲρ τῆς εἰς αὐτὸν εὐσεβείας ἀνατλῆναι πόνους, εἰ μὴ παροικίαν ἡγεῖτο τὴν ἐν τῷδε τῷ κόσμῳ ζωήν; Ὅπερ ἡμῖν ἄριστά τε καὶ ἐναργῶς, ὡς ἐν εἰκόνι καὶ τύποις, ἐν ταῖς τῶν ἁγίων ἐγράφετο πολιτείαις. Παρῴκει μὲν γὰρ ἐν σκηναῖς ὁ θεσπέσιος Ἀβραὰμ, καὶ τὴν ἐκ τόπων εἰς τόπους ἐποιεῖτο παραδρομήν· καὶ ἅπας δὲ κατὰ τὴν ἔρημον ὁ Ἰσραὴλ συχνὰς ἐποιεῖτο τὰς ἀπάρσεις, καὶ κατῴκηκεν ἐν σκηναῖς. Ἐπισεμνύνεται δὲ τούτῳ λίαν καὶ ὁ προφήτης Δαβὶδ, οὕτω λέγων πρὸς τὸν Θεόν· «Ἄνες μοι, ὅτι πάροικός εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.» Ἀπεδέχετο δὲ σφόδρα τὰς ἄνω μονὰς, οὕτω λέγων· «Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων! Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.» Φρονοῦσι δὴ οὖν οἱ τοιοῦτοι τὰ ἄνω, καὶ τὰς ἐν τοῖς οὐρανοῖς διψῶσι μονὰς, ἃς καὶ αὐτὸς ὁ Σωτὴρ τοῖς ἀγαπῶσιν αὐτὸν ὑπισχνεῖται, λέγων· «Πορεύομαι, καὶ ἑτοιμάσω τόπον ὑμῖν, καὶ πάλιν ἥξω, καὶ παραλήψομαι ὑμᾶς μετ' ἐμαυτοῦ, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς 68.372 ἐκεῖ μετ' ἐμοῦ ἦτε.» Τύπος οὖν ἄρα, τοῦ παροικίαν ἡγεῖσθαι μὴ ἀνεχομένου τὴν παροῦσαν ζωὴν, ὁ οἰκίαν οἰκοδομῶν, καὶ ταῖς περὶ ταύτην φιλεργίαις σπουδαίως ἐγκείμενος· τοῦ δὲ φιλοκτήμονος καὶ φιλοκερδοῦς, ὁ ἀμπελῶνα φυτεύων· τὸν δέ γε γυναικομανῆ, καὶ ἐκτεθρυμμένον, καὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις ἐπιδόντα τὸν νοῦν, κατασημήνειεν ἂν ὁ γυναικὸς μνηστείᾳ προσιών. Τοιγάρτοι τῇ τοῦ στρατοκήρυκος φωνῇ, τῆς ἱερᾶς καὶ μαχιμωτάτης ἀποχωροῦσι πληθύος. Ἃ δὲ ἦν εἰκὸς τοὺς τοιοῖσδε συνειλημμένους πάθεσιν ἐννοεῖν τε καὶ λέγειν, ταῦτα δὴ φθάσας ὁ κῆρυξ ἀνεφώνει. Ἢ οὐκ ἀληθὲς, ὡς τοῖς τὰ τοιαῦτα νοσεῖν εἰωθόσι, φίλον πως ἐν διωγμοῖς τὸ ἀφερέπονον ἀγαπᾷν, καὶ ταῖς ὑπὲρ τῆς εἰς Θεὸν ἀγάπης μὴ κατακολουθεῖν σπουδαῖς, ἐννοοῦντας ὅτι εἴ τι γένοιτο παθεῖν ἀγωνιζομένους, οἴκων τε καὶ κτήσεων, καὶ τῶν παρὰ σφίσι τετιμημένων ἐκπίπτουσιν ἐπιθυμιῶν; ἐντεῦθεν γὰρ αὐτοῖς συμβαίνει τὸ ἀτολμωτάτους ὁρᾶσθαι καὶ ἀγεννεῖς. Ἅπερ οὖν εἰκὸς φρονεῖν τε καὶ λέγειν ἐκείνους, ταῦτα διακέκραγεν ὁ γραμματεὺς, πλαγίοις ὥσπερ ἐλέγχοις καὶ ἀστείοις ὀνειδισμοῖς καταπλήττων τὸν ἀγεννῆ, καὶ προφασιζόμενον πρόφασιν ἐν ἀσθενείαις, καὶ τροφὴν ὥσπερ τινὰ τῇ δειλίᾳ, κοσμικὰς ἡδονὰς συλλέγοντα. Διὰ τοῦτο τὴν τελευταίαν φωνὴν, γυμνήν τε καὶ ἀπημφιεσμένην ποιεῖσθαι προστέταχε τὸν στρατοκήρυκα Θεός. «Καὶ προσθήσουσι γὰρ, φησὶν, οἱ Γραμματεῖς λαλῆσαι πρὸς τὸν λαὸν, καὶ ἐροῦσιν· Εἴ τις ἄνθρωπος φοβούμενος καὶ δειλὸς τῇ καρδίᾳ, πορευέσθω εἰς τὸν οἶκον αὐτοῦ, ἵνα μὴ δειλιάνῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ αὐτοῦ, ὥσπερ τὴν αὐτοῦ.» Μονονουχὶ γὰρ σαφῶς ἐκεῖνό φησιν· Ὁ τοῖς γηΐνοις ἐγκείμενος, καὶ οἰκίας οἰκοδομῶν, καὶ φυτεύων ἀμπελῶνα, καὶ ταῖς εἰς φιλοσαρκίαν ἡδοναῖς ἡττώμενος, ἔσται που πάντως δειλός τε καὶ ἄναλκις· ἀδόκιμος δὲ παντελῶς ὁ τοιοῦτος, καὶ πρὸς ζημίας ἔσται τοῖς ἄλλοις· Φθείρουσι γὰρ ἤθη χρηστὰ, ὁμιλίαι κακαί.» Καὶ καθέλκει πρὸς ἀνανδρίαν ἔσθ' ὅτε τὸν εὐσθενῆ τε εὔψυχον ὁ δειλίαις εὐαλωτότατος. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Παῦλος ἐπετίμα τισὶν, οἳ διακωλύειν αὐτὸν ἤθελον ἀναβαίνειν εἰς Ἱεροσόλυμα· φησὶ γάρ· «Τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; Ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.» Σημειωτέον δὲ ὅτι καὶ τῶν κεκλημένων εἰς τοὺς γάμους ἡ παραίτησις ἦν τὸ, «Ἀγρὸν ἠγόρασα, καὶ γυναῖκα ἔγημα, καὶ οὐ δύναμαι ἐλθεῖν.» Γέγραπται δὲ οὕτως ἐν τῷ Εὐαγγελίῳ καὶ ἐν παραβολαῖς. Χαλεπὸν δὲ οὔτι που καὶ ἐξ ἀρχαίων παραδειγμάτων, εἴγε σοι δοκεῖ, τὴν ἐπὶ τῷδε δέχεσθαι πίστιν. {ΠΑΛΛ.} Φράζε δὴ οὖν, μελλήσας οὐδέν· ὀνήσεις γὰρ λίαν. {ΚΥΡ.} Οὐκοῦν ὡς ἐν τοῖς Ἀριθμοῖς ἀνέγνωμεν· «Καὶ μετὰ ταῦτα ἐξῆρεν ὁ λαὸς ἐξ Ἀσηρὼθ, καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ τῇ Φαράν. Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Ἀπόστειλον σεαυτῷ 68.373 ἄνδρας, καὶ κατασκεψάσθωσαν τὴν γῆν τῶν Χαναναίων, ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ κατάσχεσιν, ἄνδρα ἕνα κατὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φυλὴν, κατὰ δήμους πατριῶν αὐτῶν ἀποστελεῖς αὐτοὺς, πάντα ἀρχηγὸν ἐξ αὐτῶν. Καὶ ἐξαπέστειλεν αὐτοὺς Μωσῆς ἐκ τῆς ἐρήμου Φαρὰν διὰ φωνῆς Κυρίου, πάντες ἄνδρες ἀρχηγοὶ υἱῶν Ἰσραήλ.» Ἀπηριθμημένων δὲ κατὰ φυλάς τε καὶ γένη τῶν ἐξαπεσταλμένων, ἐπιφέρει πάλιν· «Καὶ ἀναβάντες κατεσκέψαντο τὴν γῆν ἀπὸ τῆς ἐρήμου Σὶν, ἕως Ῥοὼβ, εἰσπορευομένων Ἐμάθ.» Καὶ μεθ'ἕτερα· «Καὶ ἦλθον ἕως φάραγγος Βότρυος, καὶ κατεσκέψαντο αὐτὴν, καὶ ἔκοψαν ἐκεῖθεν κλῆμα, καὶ βότρυν σταφυλῆς ἕνα ἐπ' αὐτοῦ, καὶ ἦραν αὐτὸ ἐπ' ἀναφορεῦσι, καὶ ἀπὸ τῶν ῥοιῶν, καὶ ἀπὸ τῶν σύκων· καὶ τὸν τόπον ἐκεῖνον ἐπωνόμασαν, φάραγξ Βότρυος, διὰ τὸν βότρυν, ὃν ἔκοψαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἀπέστρεψαν ἐκεῖθεν κατασκεψάμενοι τὴν γῆν, μετὰ τεσσαράκοντα ἡμέρας· καὶ πορευθέντες ἦλθον πρὸς Μωσῆν καὶ Ἀαρὼν, καὶ πρὸς πᾶσαν συναγωγὴν τῶν υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Φαρὰν Κάδης. Καὶ ἀπεκρίθησαν αὐτοῖς ῥῆμα, καὶ πάσῃ συναγωγῇ, καὶ ἔδειξαν τὸν καρπὸν τῆς γῆς, καὶ διηγήσαντο αὐτῷ, καὶ εἶπον· Ἤλθομεν εἰς τὴν γῆν εἰς ἣν ἀπέστειλας ἡμᾶς, γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ οὗτος ὁ καρπὸς αὐτῆς. Ἀλλ' ἢ ὅτι θρασὺ τὸ ἔθνος τὸ κατοικοῦν ἐπ' αὐτῆς, καὶ πόλεις ὀχυραὶ τετειχισμέναι καὶ μεγάλαι σφόδρα, καὶ τὴν γενεὰν Ἐνὰκ ἑωράκαμεν ἐκεῖ.» Συνίης ὅπως οἱ εὐπτόητοί τε καὶ ἀτολμότατοι τῶν κατεσκεμμένων τὴν γῆν τῆς ἐπαγγελίας ὡμολογήκασιν ἐναργῶς, ὡς εὐάμπελός τε καὶ πίων ἡ γῆ, καὶ καρποῖς ὡραίοις διαβριθὴς, παραπλέκουσι δὲ τούτοις τὰ εἰς δειλίαν, θρασὺ μὲν τὸ ἔθνος τὸ κατοικοῦν ὀνομάζοντες, πόλεις τε ὀχυρὰς καὶ τετειχισμένας ἄνω καὶ κάτω λέγοντες, καὶ τῆς ἐπὶ τὸ κρατήσειν ἐλπίδος ἐξιστῶντες τὸν Ἰσραὴλ, καὶ καταφοβοῦντες εἰς ἀνανδρίαν; {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Ἀλλ' οἵγε σοφοὶ καὶ νεανικοὶ, Χαλὲβ τε καὶ Ἰησοῦς, ταῖς ἐκείνων τερθρείαις ἀνθειστήκεισαν, λέγοντες πρός τε τὸν λαὸν καὶ τὸν Μωσέα τὸν ἱερόν· «Οὐχί· ἀλλὰ ἀναβάντες ἀναβησόμεθα καὶ κατακληρονομήσομεν αὐτὴν, ὅτι δυνησόμεθα πρὸς αὐτούς.» Κατέληγον δὲ οὐδαμῶς οἱ συναπεσταλμένοι, δυσάλωτον ἔσεσθαι διαβεβαιούμενοι τοῖς ἐξ Ἰσραὴλ τῆς ἐπαγγελίας τὴν γῆν. Εἶτά φησιν· «Καὶ ἀναλαβοῦσα πᾶσα ἡ συναγωγὴ, δέδωκε φωνὴν, καὶ ἔκλαιεν ὁ λαὸς ὅλην τὴν νύκτα ἐκείνην, καὶ διεγόγγυζον ἐπὶ Μωσῆν καὶ Ἀαρὼν πάντες οἱ υἱοὶ Ἰσραήλ· καὶ εἶπε πρὸς αὐτοὺς πᾶσα ἡ συναγωγή· Ὄφελον ἀπεθάνομεν ἐν γῇ Αἰγύπτου, ἢ ἐν τῇ ἐρήμῳ ταύτῃ, εἰ ἀπεθάνομεν· καὶ ἵνα τί Κύριος εἰσάγει ἡμᾶς εἰς τὴν γῆν ταύτην πεσεῖν ἐν τῷ πολέμῳ; Αἱ γυναῖκες ἡμῶν καὶ τὰ παιδία ἔσονται εἰς διαρπαγήν. Νῦν οὖν βέλτιον ἡμῖν ἐστιν ἀποστραφῆναι εἰς Αἴγυπτον. Καὶ εἶπον ὁ ἕτερος τῷ ἑτέρῳ· Δῶμεν ἀρχηγὸν, καὶ ἀποστρέψωμεν 68.376 εἰς Αἴγυπτον.» Εἰς τοῦτο μὲν ἀθλιότητός τε καὶ ἀνανδρίας ἡ πᾶσα κατώλισθε συναγωγή. Μεθιστάντος δὲ ὥσπερ εἰς εὐτολμίαν αὐτοὺς Ἰησοῦ τοῦ Ναυῆ, καὶ περιῤῥηγνύντος μὲν τὴν ἐσθῆτα, μυρία δὲ ὅσα τῆς γῆς ἐγκώμια καταχέοντος, ἀναθαρσεῖν οὐκ ἤθελον· καταλυποῦντες δὲ ταῖς ἀνοήτοις μικροψυχίαις τὸν ἐπαμύνοντα Θεὸν, καὶ ταῖς ἑαυτῶν δυνάμεσιν ἀπονέμοντες τὴν τῆς ἐλπίδος κατόρθωσιν. Τοιγάρτοι λοιπὸν καὶ ἀπώμνυ, λέγων· «Εἰ ὄψεταί τις τῶν ἀνδρῶν τούτων τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, πλὴν Χαλὲβ υἱὸς Ἰεφονῆ, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ.» Ἆρά ἐστιν ἐνδοιαστὸν ὡς ὁ δειλός τε καὶ ἀφερέπονος, καὶ βραχὺς εἰς πίστιν, προσαπόλλυσιν αὐτῷ καὶ ἑτέρους, κακαῖς παραφθείρων ὁμιλίαις, κλήρου τε ἀποπεσεῖται καὶ ἐλπίδος τῆς εἰς Θεόν· ὁ δὲ εὐσθενής τε καὶ ἀλκιμώτατος εἴσω τε κείσεται τῆς ἐλπίδος, καὶ γνώριμος ἔσται Θεῷ; {ΠΑΛΛ.} Οὐκ ἀμφίβολον· ἀπόχρη γὰρ ἡ δεῖξις. {ΚΥΡ.} Οὐκοῦν καθάπερ ἔφαμεν ἐν ἀρχαῖς, ἀνεπιτήδειος εἰς παράταξιν τὴν πνευματικὴν ὁ ταῖς κοσμικαῖς ἐνειλημμένος ἡδοναῖς. {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Προσθεί[ν]ην δ' ἂν ὅτι (χρῆναι γὰρ οἶμαι τὸ ὠφελοῦν εὖ μάλα φιλοθηρεῖν) καὶ ὁ νεωστὶ κατορθοῦν ἀρετὴν ἡντιναοῦν ἀρξάμενος, οὔπω πρὸς μάχην ἱκανὸς, εὐκατακόμιστος δὲ κομιδῇ πρὸς τὸ ἀδικοῦν. {ΠΑΛΛ.} Πῶς λέγεις; {ΚΥΡ.} Ἐν τῷ Δευτερονομίῳ γέγραπται· «Ἐὰν δέ τις λάβῃ γυναῖκα προσφάτως, οὐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξελεύσεται εἰς πόλεμον, καὶ οὐκ ἐπιβληθήσεται αὐτῷ οὐδὲν πρᾶγμα. Ἀθῶος ἔσται ἐν τῇ οἰκίᾳ αὐτοῦ, ἐνιαυτὸν ἕνα εὐφρανεῖ τὴν γυναῖκα αὐτοῦ ἣν ἔλαβεν.» Ἆρ' οὖν, ὦ Παλλάδιε, προσεκτέον μόνῳ τε καὶ ψιλῷ τῷ γράμματι, καὶ ὁ φιλάρετος νομοθέτης οἴκοι καθίζει τὸ μάχιμον, καὶ οὐκ ἐᾷ εὐδοκιμεῖν ταῖς εἰς γυναῖκα ψυχραῖς ὁμιλίαις ἡττώμενον, καὶ προὐργιαιτέραν τῶν ἀναγκαίων ποιούμενον τὴν φιλοσαρκίαν; {ΠΑΛΛ.} Ἥκιστά γε τουτὶ δοίην ἂν ἔγωγε τὸ τῷ νομοθέτῃ δοκοῦν· πιθανὸς δέ τις, ὡς ἔοικεν, ὁ ἐπ' αὐτῷ κεῖται λόγος. {ΚΥΡ.} Οὐκοῦν ὅπερ ἔφην ἀνακυκλήσας ἐρῶ. Ἀνὴρ ἀρετῆς ἁψάμενος, καὶ οὔπω ταύτην εὖ μάλα κατωρθωκὼς, εὐκατακόμιστος εἰς τὸ ἐναντίον. {ΠΑΛΛ.} Φράσον ὅπως. Ἕπομαι γὰρ οὐ σφόδρα. {ΚΥΡ.} Ὁ Σολομών πού φησιν· «Εἶπον τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι· τὴν δὲ φρόνησιν γνώριμον περιποίησαι σεαυτῷ.» Οἰκειούμεθα γὰρ ὥσπερ τὰς ἀρετὰς, τὸ ἐν αὐταῖς καρποφορεῖν ὅτι μάλιστα διεσπουδακότες· ὁ μὲν γάρ τις τυχὸν τὸ ἐν γνώσει σοφὸν, ὁ δὲ τὴν πραότητα καὶ ἀοργησίαν οὐκ ἀνεπιτήδευτον ἔχει, ἤγουν ἕτερόν τι τῶν τοιούτων ὅπερ ἂν ἕλοιτο κατορθοῦν. Ἆρ' οὖν εὐθὺς ὁ τῆς ἔν γε τούτοις 68.377 ἐπιεικείας ἀρξάμενος νοῦς, ἱκανὸς εἰς τὸ δοκιμάζεσθαι καὶ πειράζεσθαι; καὶ τοῖς τὰ ὀρθὰ διαστρέφουσι περιτυχὼν ὁ σοφίᾳ συνοικήσας προσφάτως, οὐ διαστραφήσεται μᾶλλον, ἤγουν περιέσται καὶ διακρούσεται τὰ ἐκείνων βλάβη, βεβηκὼς καὶ ἐρηρεισμένος διαρκῶς οὔπω πρὸς σύνεσιν· {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Παροτρύνοντος δέ τινος, ὁ τὴν πραότητα μελετῶν, εἰ μήπω τις εἴη πρὸς τοῦτο γεγυμνασμένος, οὐ κατοιχήσεται πρὸς ὀργὴν εὐκόλως; {ΠΑΛΛ.} Οἶμαί γε. {ΚΥΡ.} Ἐντριβὴς δὲ σοφὸς διαμαχεῖται σοφοῖς, καὶ ἀντεξάγει νεανικῶς ταῖς ἐκείνων πανουργίαις τὰ ἐξ ὀρθότητος λογισμῶν; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Τί δέ, ὁ πραότητι κατωρθωκὼς οὐ δυσχερὴς εἰς ὀργὰς, κἂν εἰ πρὸς τοῦτο αὐτὸν παραθήγοιεν ἔσθ' ὅτε τινές; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Ὀρθῶς οὖν ὁ νόμος καθάπερ ἐν εἴδει τῷ γυναικὸς διαμορφώσας ἀστείως τὴν τοῖς ἁγίοις σύνοικον ἀρετὴν, «Ἐάν τις λάβῃ γυναῖκα προσφάτως, φησὶν, οὐκ ἐξελεύσεται εἰς πόλεμον, καὶ οὐκ ἐπιβληθήσεται αὐτῷ οὐδὲν πρᾶγμα· ἀθῶος ἔσται ἐν τῇ οἰκίᾳ αὐτοῦ. Ἐνιαυτὸν ἕνα εὐφρανεῖ τὴν γυναῖκα ἣν ἔλαβε.» Καταφορτίζεσθαι γὰρ οὐκ ἐᾷ πόνοις τε καὶ διωγμοῖς τὸν οἱονείπως ἀρτιπαγῆ, καὶ νεαρωτέραν ἔχοντα τὴν εἰς τὸ ἀγαθὸν σπουδὴν, σχολαῖον δὲ ὥσπερ καὶ ἐφ' ἑαυτῷ μένοντα, καὶ θαλπόμενον ταῖς εἰς ἀρετὴν καταδεσμεῖσθαι φιλοστοργίαις. Τοιοῦτόν τι πεπραχότας εὑρήσομεν τοὺς ἁγίους ἀποστόλους, οἳ τοῖς ἐξ ἐθνῶν ἐπιστρέφουσι, καὶ νεωστὶ κεκλημένοις εἰς ἐπίγνωσιν Θεοῦ, σαφῶς ἐπιστέλλουσιν· «Ἔδοξε γὰρ τῷ ἁγίῳ Πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν ἀπέχεσθαι ὑμᾶς πορνείας καὶ πνικτοῦ, καὶ αἵματος.» Παρέντες γὰρ οἰκονομικῶς τῶν ἐνταλμάτων τὰ φορτικώτερα, ὀλίγα τε καὶ ἀναγκαῖα τηρεῖν ἐκέλευον, τῶν ἀρτίως εἰσκεκομισμένων ἐπὶ τὸ χρῆναι θεοσεβεῖν τὸ ἀτληπαθὲς οὐκ ἠγνοηκότες. Καὶ γοῦν, ἀνίησι μὲν τοὺς τοιούτους ὁ τῶν ὅλων Θεὸς καὶ ὀργῆς καὶ αἰτιαμάτων, κἂν εἰ περιπέσοιεν ὀλιγοψυχίαις, τὴν ἀσυνήθη τῶν πόνων διαστείχοντες ὁδόν. Εἰσπράττεται δὲ μετὰ τοῦτο δίκας, καὶ ὑποφέρει λοιπὸν τοῖς ἐξ ὀργῆς κινήμασιν, ἀσθενοῦντας μὲν οὐκέτι διὰ τὸ ἄηθες ἐν τοῖς πόνοις, ἀναπίπτοντας δὲ μᾶλλον εἰς τὸ ἡδύ τε καὶ ἄτραχυ, καὶ ἑτοιμότατα παραχεομένους εἰς τὸ ἀπᾶδον αὐτῶν. Ἢ γὰρ οὐκ ἀνάντης μὲν ἡ ἀρετὴ, καὶ τὸ εἰς αὐτὴν ἰέναι τραχὺ, καὶ ἱδροῦν ἀνάγκη τὸν κατορθοῦν ᾑρημένον; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Ἀλλ' ἦν που οὐκ ἀπεικὸς, μᾶλλον δὲ, οὐχ ὅσιόν τε καὶ πρέπον, τοὺς μὲν ἄρτι πρὸς τοῦτο ἠγμένους, παιδαγωγεῖσθαι συγγνώμαις, προθυμίαις οὔπω ταῖς ἄγαν ἐρηρεισμένους, ἁπαλοῖς δὲ ὥσπερ ἰόντας 68.380 ποσὶ, καὶ νοσοῦντας ἔτι τὸ ἄναλκι, πόνοις τε καὶ φόβοις σκληραγωγεῖσθαι τὸν ἐντριβῆ, καθάπερ ἐξ ἀνάγκης ἤδη που ἀποφέρεσθαι λοιπὸν εἰς τὸ τληπαθὲς καὶ εὐήνιον· {ΠΑΛΛ.} Ἄριστα διανοῇ. {ΚΥΡ.} Καὶ τὸ χρῆμά ἐστιν οὐκ ἀσυμφανὲς, εἰ τὰ τυπικῶς τοῖς ἀρχαίοις συμβεβηκότα πολυπραγμονεῖν ἐθέλοιμεν. Γέγραπται γὰρ ὡδί· «Ἐξῆρε δὲ Μωσῆς τοὺς υἱοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰσραὴλ ἀπὸ θαλάσσης Ἐρυθρᾶς, καὶ ἤγα-γεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ· καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ, καὶ οὐχ ηὕρισκον ὕδωρ, ὥστε πιεῖν. Ἦλθον δὲ εἰς Μεῤῥᾶν, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μεῤῥᾶς· πικρὸν γὰρ ἦν. Διὰ τοῦτο ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Πικρία· καὶ διεγόγγυζεν ὁ λαὸς πρὸς Μωσῆν, λέγοντες· Τί πιόμεθα; Ἐβόησε δὲ Μωσῆς πρὸς Κύριον· καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ.» Ἄρτι μὲν γὰρ τῆς Αἰγυπτίων ἀπαίροντες γῆς οἱ ἐξ Ἰσραὴλ, καὶ τῆς ὑπ' αὐτοῖς θητείας τὸν δυσαχθῆ τε καὶ ἄτλητον ἀποῤῥιπτοῦντες ζυγὸν, εἰς τὴν πάλαι τοῖς πατράσιν ἐπηγγελμένην μεθορμίζεσθαι γῆν, Θεοῦ καλοῦντος, ἐσπούδαζον. Πρῶτος δὲ αὐτοῖς ὑπαντιάζει πόνος, τῶν ὑδάτων ἡ σπάνις, ἃ μόλις μὲν διὰ μακροῦ καμοῦσιν εὑρέθη, πλὴν οὐκ ἀταλαίπωρον ἔχοντα τὴν ἀπόλαυσιν· πικρὰ γὰρ ἦν, καθὰ γέγραπται. Ξύλου δὲ μίξει μετεσκευάζετο πρὸς τὸ ἡδύ τε καὶ γλυκὺ, Θεοῦ παραδεδειχότος τοῦ πράγματος τὴν ὁδὸν τῷ θεσπεσίῳ Μωσῇ. Νόμῳ γὰρ θείῳ παιδαγωγούμενοι πρὸς τὸ δεῖν ἑλέσθαι κατακολουθεῖν τῷ Θεῷ, τῆς ἐκ παθῶν δουλείας ἐξέλκοντι, καὶ ἐκ τῆς τῶν δαιμονίων ἀπαλλάττεσθαι τυραννίδος, ἱδροῦν ἀνάγκη πειραζομένους, καὶ τὸν τῆς εὐδοκιμήσεως ἀναδεῖσθαι στέφανον, τοῖς ἐξ ἀσκήσεως πόνοις κατατήκοντας τὰ σαρκὸς, καὶ ὥσπερ τινὰ θῆρα δεινὸν καταγοητεύοντας, δίψει τε καὶ ἀσιτίαις, τὸ πρὸς ἡδονὴν ἀεὶ βλέπον ἀτίθασσον κίνημα. Πρώτη γὰρ ἡμῖν ἡ μάχη, κατορθοῦν ἐθέλουσι τὴν ἐγκράτειαν, πρὸς σάρκα τε καὶ τὰ αὐτῆς· καὶ οὐκ ἂν οἶμαί τις ἑτέρως ἐκμελετῴη τὴν ἀρετήν. Τύπος οὖν ἄρα τῶν ἐν ἀσκήσει πόνων, ἡ δίψα τοῖς πάλαι συμβᾶσα κατὰ τὴν ἔρημον· καὶ ἀπαρχὴ γυμνασμάτων, τὰ σωματικά. Ἐπιτήρει γὰρ ὅπως οὐκ ἐν ἀρχαῖς εὐθὺς πολέμῳ προσβάλλουσιν (οὐ γὰρ τοῖς ἀρτίως κατανδρίζεσθαι τῶν παθῶν καὶ κατορθοῦν ἀρετὴν ἠργμένοις, εὐθὺς ἡ πάλη πρὸς τὰς ἀρχάς τε καὶ ἐξουσίας, διὰ τὸ τῶν δοκιμαζομένων ἀγεννὲς ἔτι καὶ οὔπω λίαν ἀσφαλὲς), ἀλλὰ τοῖς τῆς σαρκὸς δοκιμάζονται πόνοις, ἐπιμετροῦντος Θεοῦ ταῖς τῶν πειρωμένων ἕξεσι τοῦ πόνου τὸ δυσαχθές. Καὶ τοῦτό ἐστιν οἶμαί που τὸ, «Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος· πιστὸς δὲ, φησὶν, ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν.» Πικροὺς δὲ ὄντας λίαν τοὺς ὑπὲρ ἀρετῆς ἱδρῶτας, εἰς τὸ ἡδύ τε καὶ γλυκὺ μεταπλάττει 68.381 Χριστὸς, ὃς εἴρηταί τε καὶ ἔστι ξύλον ζωῆς. Ἔφη δέ που καὶ αὐτὸς ἐν εὐαγγελικοῖς συγγράμμασιν· «Εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ἔδρασαν, ἐν τῷ ξηρῷ τί δράσουσιν;» ὑγρόν τε καὶ εὐανθὲς ἑαυτὸν ὀνομάζων ξύλον. Δείκνυται δὲ τῷ θεσπεσίῳ Μωσῇ παρὰ Θεοῦ ξύλον. Ἀποκαλύπτει γὰρ μόνος τὸν Υἱὸν ὁ Πατὴρ, ἐπεὶ καὶ μόνος οἶδεν αὐτόν. «Οὐδεὶς γὰρ οἶδε τίς ἐστιν ὁ Υἱὸς, εἰ μὴ Πατήρ.» Οὐκοῦν ἐν Χριστῷ τῷ τῆς ζωῆς ξύλῳ, γλυκέα μὲν τὰ πικρὰ, φορητὰ δὲ τὰ δύσοιστα, καὶ εἰς ζωὴν ἀναγκαῖα τὰ ὡς ἐν ἰδίᾳ φύσει καταφθείρειν εἰωθότα. {ΠΑΛΛ.} Τίνα φῂς τρόπον; {ΚΥΡ.} Εἴπερ ἐστὶν ἀληθὲς, ὅτι τὸ μὲν σῶμα πικροὶ λίαν ὄντες καταφθείρουσιν οἱ πόνοι, ζωῆς δὲ τῆς αἰωνίου μέτοχον ἀποτελοῦσι ψυχὴν (ἔφη δή που καὶ ὁ Παῦλος· «Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι.» Καὶ πάλιν· «Εἰ γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ»)· τίς δ' ἂν ἕλοιτό ποτε τοὺς ὧδε δριμεῖς ἀνατλῆναι πόνους, μὴ οὐχὶ γλυκεῖαν ἔχων ἐλπίδα τὴν ἐν Χριστῷ; {ΠΑΛΛ.} Οὐδεὶς ἂν, οἶμαι, παντελῶς. {ΚΥΡ.} Ὅρα δὴ οὖν (ἰέναι γὰρ δὴ πρὸς ἀνάμνησιν τῶν ἐν ἀρχαῖς ἀναγκαῖον ἡμῖν, ὦ Παλλάδιε) δεδιψηκότα μὲν ἐν ἐρήμῳ τὸν Ἰσραὴλ, καὶ τοῦ πανσόφου Μωσέως καταγογγύζοντα, νηποινί γε μὴν εἰς τοῦτο πεσόντα μικροψυχίας· οὐ γὰρ ἐκτέτικε δίκας, οὐδὲ ὑπέστη τὰ ἐξ ὀργῆς, καίτοι κολάζειν εἰωθότος Θεοῦ τοὺς ἐπὶ τῷδε κατεγνωσμένους. Ἐλεεῖται γὰρ ἐν ἀρχαῖς ὁ ἐν γυμνάσμασιν ἔτι τοῖς ὑπὲρ ἀρετῆς ἔσθ' ὅτε καὶ πταίων· ἀσύγγνωστον δὲ μετὰ τοῦτο τὴν ἄγαν ἔχει μικροψυχίαν, καὶ τὴν ἀχάλινον ἀποδρομὴν, ἣν ἂν ποιοῖτο τυχὸν εἰς ἐκτόπους ἐπιθυμίας. Καὶ γοῦν ἐν τοῖς Ἀριθμοῖς περὶ τῶν υἱῶν Ἰσραὴλ ἔφη που πάλιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ Γράμμα τὸ ἱερόν· «Καὶ ἐξῆραν ἐκ τοῦ ὄρους Κυρίου ὁδὸν τριῶν ἡμερῶν, καὶ ἡ κιβωτὸς τῆς διαθήκης Κυρίου προεπορεύετο προτέρα αὐτῶν ὁδὸν τριῶν ἡμερῶν κατασκέψασθαι αὐτοῖς ἀνάπαυσιν. Καὶ ἐγένετο ἐν τῷ ἐξαίρειν τὴν κιβωτὸν, καὶ εἶπε Μωσῆς· Ἐξεγέρθητι, Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, φυγέτωσαν πάντες οἱ μισοῦντές σε. Καὶ ἐν τῇ καταπαύσει εἶπεν· Ἐπίστρεφε, Κύριε, χι-λιάδας μυριάδας ἐν τῷ Ἰσραήλ· καὶ ἡ νεφέλη ἐγένετο σκιάζουσα ἐπ' αὐτοῖς ἡμέρας, ἐν τῷ ἐξαίρειν αὐτοὺς ἐκ τῆς παρεμβολῆς· καὶ ἦν ὁ λαὸς γογγύζων πονηρὰ ἔναντι Κυρίου· καὶ ἤκουσε Κύριος, καὶ ἐθυμώθη ὀργῇ, καὶ ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου, καὶ κατέφαγε μέρος τι τῆς παρεμβολῆς, καὶ ἐκέκραξεν ὁ λαὸς πρὸς Μωσῆν. Καὶ ηὔξατο Μωσῆς πρὸς τὸν Κύριον, καὶ ἐκόπασε τὸ πῦρ. Καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Ἐμπυρισμός· ὅτι ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου.» Καὶ μετὰ τοῦτο πάλιν· «Καὶ ἐξάραντες ἐξ Ὢρ τοῦ ὄρους ὁδὸν ἐπὶ θάλασσαν Ἐρυθρὰν, περιεκύκλωσαν τὴν γῆν Ἐδώμ· καὶ ὠλιγοψύχησεν ὁ λαὸς ἐν τῇ ὁδῷ. Καὶ κατελάλει ὁ 68.384 λαὸς πρὸς τὸν Θεὸν καὶ κατὰ Μωσῆ, λέγοντες· Ἵνα τί ἐξήγαγες ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ; ὅτι οὐκ ἔστιν ἄρτος, οὐδὲ ὕδωρ· ἡ δὲ ψυχὴ ἡμῶν προσώχθισεν ἐν τῷ ἄρτῳ τῷ διακένῳ τούτῳ. Καὶ ἀπέστειλε Κύριος εἰς τὸν λαὸν τοὺς ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακνον τὸν λαὸν, καὶ ἀπέθανε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ.» Ὁρᾷς οὖν ὅτι πυρὶ καὶ ὄφεσιν ὁ ψίθυρός τε καὶ γογγυστὴς δεδαπάνηται λαός. Οἱ μὲν γὰρ ἐξαίρουσιν ἐκ τοῦ ὄρους Κυρίου, προβιβαζούσης αὐτῶν τῆς κιβωτοῦ, καὶ προαναζητούσης ἀνάπαυσιν· ἐπευχομένου δὲ καὶ πρεσβεύοντος τοῦ Μωσέως, καὶ μὴν καὶ νεφέλης ἐπισκιαζούσης αὐτοῖς, οἱ δὲ, διάκενον ὀνομάζοντες τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, πλείστην ὅσην κατά τε τοῦ Θεοῦ καὶ Μωσέως ἐποιοῦντο τὴν καταβοήν. Διά τοι τοῦτο, πυρὸς μὲν ἔργον ἐκεῖνοι γεγόνασιν ἀναγκαίως, οἱ δὲ πικρῶν ὄφεων δήγμασιν ἀμελ[λ]ητὶ διολώλασι. {ΠΑΛΛ.} Καὶ τίς γένοιτο πάλιν ἐν ἀμφοῖν ἐπιτήρησις; καὶ τί τὸ ὄρος Κυρίου; {ΚΥΡ.} Ὄρος οἶμαί που Κυρίου φησὶ τὸ Σινὰ, ἐφ' ὃ καταβέβηκεν ἐν εἴδει πυρὸς ὁ πάντων Δημιουργὸς, ὤφθη τε παντὶ τῷ λαῷ, κατὰ τὸ γεγραμμένον, καὶ τοὺς ἐπὶ τοῖς πρακτέοις κατεχρησμῴδησε νόμους· «Ἔθετο γὰρ ἐκεῖ τοῖς υἱοῖς Ἰσραὴλ δικαιώ-ματα καὶ κρίσεις.» Ἀλλ' ἦν καὶ πάλαι θεσμοθετῶν ἐκεῖνα Χριστός. Τοιγάρτοι καὶ λόγους ἰδίους τοὺς διὰ Μωσέως καλεῖ νόμους. Ἔφη γάρ· «Ἀμὴν λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.» Φέρε δὴ οὖν τῆς ἱστορίας τὸ πάχος ἀφέντες, τῶν πνευματικῶν ἐννοιῶν τὴν ἰσχνότητα καταθρήσωμεν. Οἱ γάρ τοι θεοπτίας μὲν ἤδη καὶ θεογνωσίας ἠξιωμένοι, καὶ τῆς θείας φύσεως τὴν λαμπρότητα τοῖς τῆς διανοίας ὄμμασι, καθάπερ ἐν ὄρει, τεθεαμένοι, τουτέστιν, ἐν ὑπερτάτῃ καὶ ἀνῳκισμένῃ λίαν ὑπεροχῇ (παντὸς γὰρ ἐπέκεινα δόξα τε καὶ φύσις Θεοῦ), οἱ παραστήσαντες ἑαυτοὺς οἱονεὶ διὰ τῆς πίστεως τῷ Χριστῷ, καὶ τῶν παρ' αὐτοῦ γεγονότες οὐκ ἀνήκοοι ῥημάτων, ὑποσχόμενοί τε τὴν ὑπακοὴν (τοῦτο γὰρ ἔδρα καὶ τότε λέγων ὁ Ἰσραήλ· «Πάντα, ὅσα εἶπε Κύριος ὁ Θεός σου, ποιήσομεν καὶ ἀκουσόμεθα») τῆς ἤδη γνησίως πρεπούσης φειδοῦς ἀπολαύσουσι, καὶ μεθέξουσι φροντίδος τῆς ἀποχρώσης εἰς σωτηρίαν αὐτοῖς· αὐτὸν γὰρ ἕξουσιν ἡγεμόνα, προασπιστήν τε καὶ προβιβάζοντα πρὸς τὸ κατασκέψασθαι αὐτοῖς τὴν ἀνάπαυσιν. Πρῶτος γὰρ ὁ Χριστὸς δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἑαυτὸν ἀντέταξε τῷ πάλαι νικήσαντι Σατανᾷ, νενηστευκώς τε καὶ πειραζόμενος ἐν τῇ ἐρήμῳ, ἵν' ἡμεῖς ἔχωμεν τὴν ἀνάπαυσιν, νενικημένον, καὶ πεπτωκότα, καὶ τοῖς ἑαυτῶν ποσὶν ὑπεστρωμένον ὁρῶντες αὐτόν. Τοιγάρτοι καὶ ἔλεγε· «Θλίψιν ἔχετε ἐν τῷ κόσμῳ, ἀλλὰ θαρσεῖτε· ἐγὼ νενίκηκα τὸν κόσμον.» Καὶ πάλιν· «Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ Ἐχθροῦ.» 68.385 Πρῶτος γὰρ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν τῷ θανάτῳ προσβαλὼν, κατέλυσε μὲν τὸ ἐκείνου κράτος,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατεσκέψατο δὲ ἡμῖν τὴν ἀνάπαυσιν, ἀνακαινίσας εἰς ἀφθαρσίαν. Πρῶτος εἰσῆλθεν εἰς τὸν παράδεισον, ἐκδυσωπήσας μὲν ὥσπερ τὴν στρεφομένην ῥομφαίαν, ἀποστήσας δὲ ἡμῶν τὴν ἐξείργουσαν ἁμαρτίαν. Ἐκτέτικε γὰρ αὐτὸς ὑπὲρ ἡμῶν τὰ ὀφειλήματα, καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, κατὰ τὸ γεγραμμένον. Πρῶτος γὰρ ἀνέβη πρὸς τὸν Πατέρα καὶ Θεὸν, ἐγκαινίζων ἡμῖν τὴν ἄνω πορείαν, καὶ προετοιμάζων τὰς ἄνω μονάς. Τοιγάρτοι καὶ ἔφασκε· «Πορεύσομαι καὶ ἑτοιμάσω τόπον ὑμῖν.» Προανετυποῦτο δὴ οὖν ὡς ἔν γε τῇ κιβωτῷ Χριστός· κατεσκεύαστο γὰρ ἐκ ξύλων ἀσήπτων ἐκείνη, καὶ τὸν θεῖον ἐν ἑαυτῇ κατεπύκαζε νόμον, ὅς ἐστι Λόγος Θεοῦ. Ἴδοις δ' ἂν τούτῳ προσεοικὸς, τὸ ἐπὶ Χριστοῦ μυστήριον. Θεὸς γὰρ ἦν ὁ Λόγος ἐν ἀφθάρτῳ ναῷ. Οὐκοῦν προεβάδιζεν ἡ κιβωτὸς κατασκεψομένη τοῖς ἐξ Ἰσραὴλ τὴν ἀνάπαυσιν. Προβαδίζει δὲ καὶ ἡμῶν ὁ Χριστὸς κατὰ τοὺς ἀρτίως ἡμῖν εἰρημένους τρόπους· καὶ πρός γε δὴ τούτῳ τὴν μεσίτου χρείαν ἀποπληρῶν, παράκλητος γίνεται πρὸς τὸν Πατέρα, καὶ ἱλασμὸς ὑπὲρ ἡμῶν, καθὰ καὶ πάλαι Μωσῆς· ὃς ἐν μὲν τῷ ἐξαίρειν τὴν κιβωτὸν ἔφασκεν· «Ἐξεγέρθητι, Κύριε, διασκορπισθήτωσαν οἱ ἐχθροί σου, φυγέτωσαν πάντες οἱ μισοῦντές σε·» ἐν δὲ τῷ καταπαύειν· «Ἐπίστρεφε, Κύριε, χιλιάδας μυριάδας ἐν τῷ Ἰσραήλ.» Ὅτε γὰρ ἐγήγερται πρὸς ἐπικουρίαν ἡμῶν ὁ Μονογενὴς καὶ ὁ πάλαι λέγων διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· «Ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει Κύριος·» τότε πεπτώκασιν οἱ ἐχθροὶ, καὶ πεφεύγασιν οἱ ἀνθεστηκότες καὶ τῇ θείᾳ δόξῃ μαχόμενοι. Τεθριάμβευκε γὰρ ἐν τῷ σταυρῷ ἀρχάς τε καὶ ἐξουσίας· καὶ κατήργηκεν ἀποθανὼν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, κατὰ τὸ γεγραμμένον· καταπαύσας δὲ ὥσπερ, καὶ εἰς τέλος ἐνεγκὼν, τὴν ὅλην οἰκονομίαν διὰ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν καὶ πορείας τῆς εἰς τὸ ἄνω πρὸς τὸν Πατέρα, πᾶσαν ἐπέστρεψε τὴν γῆν, καὶ χιλίας μυριάδας τοὺς ἰδίους ἐποιεῖτο προσκυνητάς· «Ὅταν γὰρ, ἔφασκεν, ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.» Οὐκοῦν ἡ Μωσέως εὐχὴ τύπος ἂν εἴη τῆς μεσιτείας Χριστοῦ, κατά γε τὸ σχῆμα τὸ ἀνθρώπινον, εὐχομένου τε καὶ ἐξαιτοῦντος ἡμῖν τὰ κάλλιστα παρὰ τοῦ Θεοῦ καὶ Πατρός. Ὡς γὰρ ὁ θεσπέσιος Ἰωάννης φησί· «Παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ ὑπὲρ ὅλου τοῦ κόσμου.» Καὶ προσέτι πάλιν αὐτὸν ἔχομεν σκεπαστὴν, ὡς ἐν τῇ νεφέλῃ τῇ κατασκιαζούσῃ νοούμενον. Ἀκουέτω γὰρ ὁ πίστει τῇ εἰς αὐτὸν δικαιούμενος· «Ἡμέρας ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.» Φάσκουσι δὲ καί τινες ἐν τῇ τῶν μισθῶν διανομῇ, κατὰ τὴν εὐαγγελικὴν παραβο 68.388 λήν· «Ἡμεῖς ἐβαστάσαμεν τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα,» τὸ σφοδρὸν οἶμαί που καὶ ἀκμαῖον εἰς πύρωσιν, τῶν ἐξ ἀτιθάσσων ἡδονῶν, ἢ τάχα που καὶ πειρασμῶν καύσωνά τε καὶ ἡμέρας ὀνομάζοντες βάρος· βοηθὸς οὖν ἄρα καὶ σκεπαστὴς εἰς σωτηρίαν γέγονεν ἡμῖν ὁ Χριστός. Ὅταν οὖν τινες τῶν θεοπτίας ἠξιωμένων, καὶ οἵπερ ἂν γένοιντο τῶν θείων αὐτήκοοι κηρυγμάτων, διά τε τῆς ἐπὶ τῷ πιστεύειν ὁμολογίας οἱονεί πως ἤδη καθυποσχόμενοι τὸ εὐήκοον, ἀθετῶσι ταῖς εἰς τὸ χεῖρον μεταβολαῖς τὸν προβαδίζοντα καὶ ἡγούμενον, φημὶ δὴ Χριστὸν, τὸν κατασκεπτόμενον αὐτοῖς τὴν ἀνάπαυσιν, τὸν ὡς ἐν μεσίτου τάξει πρεσβεύοντα, τὸν ὡς ἐν τύπῳ νεφέλης νοούμενον σκεπαστὴν, τότε δὴ τότε καὶ μάλα εἰκότως τῆς σφῶν αὐτῶν εὐηθείας εἰσπραττόμενοι λόγους, τὴν διὰ πυρὸς ἀγρίαν ὑπομένουσι δίκην· καὶ τοῦτο, οἶμαι, ἐστὶν ὃ καὶ αὐτὸς ὁ σοφὸς ἔφη Παῦλος· «Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους.» {ΠΑΛΛ.} Οἱ πᾶσαν οὖν τὴν οἰκονομίαν τὴν ἐν Χριστῷ νοουμένην ἐξ ἁμαρτίας ἠθετηκότες, πυρὸς ἔσονται τροφή. Δηλοῖ δὲ ὁ γογγυσμὸς, ὡς ἔοικε, τὴν ἀπόστασιν καὶ τὸ μὴ θέλειν ποιεῖσθαι δεκτὴν τὴν παρ'


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ σωτηρίαν, καίτοι γευσαμένοις τῆς χάριτος, καὶ ἀσφαλὲς τῶν μελλόντων ἐνέχυρον, τὴν ἐπὶ τοῖς ἤδη παρῳχηκόσιν ἔχοντες πεῖραν. {ΚΥΡ.} Οὕτω φημί· μικροψυχήσαντες δὲ καὶ ἕτεροι, τὴν αὐτὴν ἐποιοῦντο καταβοὴν, καὶ κατεψιθύριζον ἀδρανῶς τοῦ Θεοῦ καὶ Μωσέως, ἄρτον διάκενον ὀνομάζοντες τὸ μάννα τὸ ἐξ οὐρανοῦ. Ἀλλ' ὑπὸ τῶν ὄφεων ἀπώλλυντο. Οἱ γὰρ ταῖς ἀχαριστίαις τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν ἀτιμάζοντες, καὶ ἐν οὐδενὶ τιθέντες λόγῳ τῆς ἐλευθερίας τὴν χάριν, καὶ πρὸς τούτοις ἔτι τὸν ζωοποιὸν αὐτοῦ Λόγον, καὶ τὴν διὰ τοῦ Πνεύματος δωρεὰν ὡς ἄχρηστον διασύροντες, τοῖς τοῦ μιαιφόνου δράκοντος περιπεσοῦνται δήγμασιν. Ἀλλ' οἵ γε τοῖς οὕτως ἐκτόποις οὐκ ἐναλόντες πταίσμασι, συνδιαφεύξονται τῇ φαυλότητι καὶ τὴν ἐπηρτημένην αὐτῇ κόλασίν τε καὶ δίκην, καὶ ἀμείνους ἔσονται τῶν ἐχθρῶν· «Ἐπὶ ἀσπίδα γὰρ καὶ βασιλίσκον ἐπιβήσονται, καὶ καταπατήσουσι λέοντα καὶ δράκοντα.» Ἄραρε δὴ οὖν, καὶ ἐξ αὐτῶν ἡμῖν μεμαρτύρηται τῶν πραγμάτων, σφαλερὸν ὅτι τὸ ῥᾳθυμεῖν, καὶ ἀναπίπτειν εἰς ἀτολμίας, τοὺς ἤδη γεγυμνασμένους, καὶ οὐκ ἀμελέτητον ἔχοντας τὸ διὰ πόνων εὐδοκιμεῖν, ἐντριβὲς δέ πως ἤδη καὶ κατημαξευμένον τὸ ἱδροῦν ὑπὲρ ἀρετῆς. {ΠΑΛΛ.} Ἄραρέ γε καὶ ἔστιν ἀληθές. {ΚΥΡ.} Διεβεβαιοῦτο δὲ ἡμῖν ὁ λόγος, ὡς οὐ μόνον ἐστὶ θεομισές τε καὶ ὑπὸ δίκην τὸ γογγύζειν κατὰ Θεοῦ, καὶ ὥσπερ τινὰ κατάῤῥησιν ἢ καταβοὴν τῆς τοῦ σώζοντος ἡμερότητος ποιεῖσθαι τὴν ὀλιγοψυχίαν, κἂν εἰ βραχεῖς διὰ μέσου φαίνοιντο πόνοι, ἐπάρατον δὲ οὐδὲν ἧττόν ἐστι τὸ ἀνεῖσθαι φιλεῖν, καὶ παρὸν αὐτοῖς τοῖς θείοις χαρίσμασιν ἀδιαβλήτως ἐντρυφᾷν, καὶ τοῖς ἄνωθέν τε καὶ διὰ τοῦ Πνεύματος ἀποτρέ 68.389 φεσθαι λόγοις, ἐπὶ φθαρτὰς ἡδονὰς καὶ ἀκαθάρτους φιλοσαρκίας ἀχάλινον ποιεῖσθαι τὴν ἀποφοίτησιν. Ὕβρις γὰρ ἐναργῶς εἰς τὰ ἀμείνω καὶ σώζοντα, τὸ ἀνθελέσθαι τὰ πονηρὰ, καὶ νοῦ ψῆφος ἀνοσιωτάτη τὸ τῶν οὐρανίων προτάξαι τὰ γεωδέστερα, καίτοι πλείστην ἐφ' ἑαυτοῖς νοσοῦντα τὴν βδελυρίαν· καὶ ὀρθῶς ἐπὶ τούτοις μονονουχὶ καὶ δακρύει λέγων ὁ προφήτης Ἡσαΐας· «Οὐαὶ, οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· οἱ λέγοντες τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ· οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος.» Τοιούτοις κακοῖς ἐναλόντας πταίσμασι τοὺς ἐξ Ἰσραὴλ εὑρήσομεν. Μετὰ γάρ τοι τὴν ἐπὶ τῷ γογγύσαι δίκην, γείτονα καὶ παρεζευγμένην εὐθὺς τὴν ἐφ' ἅπασι τοῖς αἰσχίστοις ἐνόσουν ἐπιθυμίαν. Περιπτύοντες γὰρ ὥσπερ τὰ παρὰ τοῦ Θεοῦ, καὶ τοῖς οὐρανόθεν ἀγαθοῖς ἀνοσίως ἐπιστυγνάζοντες, παρώτρυνον ἀναγκαίως ἐφ' ἑαυτοῖς τὸν κριτήν. Γέγραπται γὰρ, ὅτι «Καὶ ὁ ἐπίμικτος ὁ ἐν αὐτοῖς, ἐπεθύμησεν ἐπιθυμίαν, καὶ καθίσαντες ἔκλαιον οἱ υἱοὶ Ἰσραὴλ, καὶ εἶπον· Τίς ἡμᾶς ψωμιεῖ κρέα; Ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεὰν, καὶ τοὺς σικύους, καὶ τοὺς πέπονας, καὶ τὰ πράσα, καὶ τὰ κρόμμυα, καὶ τὰ σκόροδα. Νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος. Οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν. Καὶ ἤκουσε, φησὶ, Μωσῆς κλαιόντων αὐτῶν κατὰ δήμους αὐτῶν, ἕκαστον ἐπὶ τῆς θύρας αὐτοῦ· καὶ ἐθυμώθη ὀργῇ Κύριος σφόδρα, καὶ ἔναντι Μωσῆ ἦν πονηρόν.» Ἦ οὐκ ἄξιον εἶναι φὴς ὀργῆς τε τῆς θείας, καὶ καταγνώσεως τῆς ὡς ἐξ ἀνδρῶν ἁγίων, τὸ πρὸς τοῦτο καθικέσθαι μαλακισμοῦ καὶ λογισμῶν ἀνανδρίας τοὺς ἤδη γεγυμνασμένους, ὡς νοσῆσαι μὲν ἀκρατῶς τὸ ὑπονοστεῖν ἐθέλειν εἰς ἐκτόπους οὕτως ἀκαθαρσίας, καὶ παραλελύσθαι τοσοῦτον εἰς ἀκρασίαν, ὡς μειρακιωδῶς ὀλοφύρεσθαι, τὴν δριμεῖαν ὥσπερ οὐ φέροντας τῆς ἐπιθυμίας προσβολήν; {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ἀλύοντος δὲ τοῦ πανσόφου Μωσέως, καὶ δυσθυμίαν ἔχοντος τὴν ἐπὶ τῷδε δεινὴν, καὶ ἀναφανδὸν κεκραγότος, ὡς οὐκ ἄν ποτε μόνος ἰσχύσῃ διενεγκεῖν τὸν οὕτως εὐκόλως εἰς παραφορὰν καὶ ἀπόστασιν ἰόντα λαὸν, συλλήπτορας μὲν καὶ ἐπαρωγοὺς τῆς ἐπὶ τῷδε φροντίδος ἄνδρας ἀνέδειξε Θεὸς, τὸν ἀριθμὸν ἑβδομήκοντα, οὓς καὶ τῇ τοῦ Πνεύματος δόσει διαφανεστέρους ἐτίθει· προεφήτευσαν γὰρ ἐν τῇ παρεμβολῇ. Πρὸς δέ γε Μωσέα φησί· «Καὶ τῷ λαῷ ἐρεῖς· Ἁγνίσασθε εἰς αὔριον, καὶ φάγεσθε κρέα,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅτι ἐκλαύσατε ἐναντίον Κυρίου, λέγοντες· Τίς ἡμᾶς ψωμιεῖ κρέα; ὅτι καλὸν ἡμῖν ἐστιν ἐν Αἰγύπτῳ· καὶ δώσει Κύριος ὑμῖν φαγεῖν κρέα, καὶ φάγεσθε κρέα. Οὐχ ἡμέραν μίαν φάγεσθε κρέα, οὐδὲ δύο, οὐδὲ πέντε ἡμέρας, οὐδὲ δέκα ἡμέρας, οὐδὲ εἴκοσι ἡμέρας, ἕως μηνὸς ἡμερῶν φάγεσθε, ἕως ἂν ἐξέλθῃ ἐκ τῶν μυκτήρων ὑμῶν, καὶ ἔσται ὑμῖν εἰς χολέραν, ὅτι ἠπειθήσατε Κυρίῳ, ὅς ἐστιν ἐν ὑμῖν, καὶ ἐκλαύσατε ἐναντίον αὐτοῦ, λέγοντες· Ἱνατί ἡμῖν ἐξελθεῖν 68.392 ἐξ Αἰγύπτου;» Ἐλύπει γὰρ τοῦτο λίαν τὸν Λυτρωτὴν, τὸ καὶ αὐτῆς δουλείας ἀλογῆσαι τὸν Ἰσραὴλ, καὶ ἡγεῖσθαι παρ' οὐδὲν τοὺς ἐν Αἰγύπτῳ πόνους, κρεῶν καὶ λαχάνων ἕνεκα τῶν δυσωδεστάτων. Καὶ ἡμᾶς δὲ αὐτοὺς θερμαὶ καὶ δριμεῖαι πολλάκις ἀναπείθουσιν ἡδοναὶ, τὴν ὑπὸ τῷ διαβόλῳ δουλείαν ἡγεῖσθαι φορητὴν, καὶ φθαρτῶν ἕνεκα καὶ γεωδεστέρων ἐπιθυμιῶν, τοῖς τῆς ἁμαρτίας ἐγκαταδεσμεύεσθαι ζυγοῖς. Ἀλλ' ἐδίδου καὶ τότε τὸ σαρκοφαγεῖν, οὐκ εἰς μίαν, οὐδὲ εἰς δέκα τυχὸν, ἀλλ' εἰς ἡμέρας τριάκοντα, δι' οὗ σημαίνεται τῆς ἐπ' αὐτοὺς ὀργῆς ἡ παράτασις. Ἐφίησι δὲ καὶ νῦν τοῖς ἀσχέτως ἀπονενευκόσιν εἰς κοσμικὰς ἡδονὰς, τὸ καὶ μετασχεῖν, εἰ ἕλοιντο, τῶν σαρκικῶν, καὶ εἰς χρόνους ἔσθ' ὅτε μακρούς. Οὕτω γὰρ λέγεται παραδοῦναί τινας εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα. Ἀλλ' ἐκείνοις γέγονεν εἰς χολέραν ἡ βρῶσις, καὶ τοῖς ἀγαπῶσι τὰ σαρκικὰ καὶ προτιμῶσι τοῦ μάννα τοῦ νοητοῦ, ὅ ἐστι ῥῆμα Θεοῦ, τὰ φθαρτὰ καὶ ἐπίγεια, καταλήξει πρὸς θάνατον τὸ ἐγχείρημα· καὶ ἔστιν, οἶμαι, τουτὶ τὸ, «Ὁ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν.» Ἀῤῥωστίας δὲ τῆς τοιᾶσδε τυχὸν ἡ λύσις· «Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. Στρατεύεται γὰρ ἡ σὰρξ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα γὰρ ἀντίκειται ἀλλήλοις.» Ὡς εἴπερ ἠβουλήθησαν οἱ ἐξ Ἰσραὴλ ἀποχρῶσαν ἡγεῖσθαι τρυφὴν τὴν τοῦ μάννα χορηγίαν, ὅ ἐστιν ἄρτος ἀγγέλων νοητὸς, καὶ τύπος γλυκύτητος τῆς διὰ τοῦ Πνεύματος, οὐκ ἂν ἐτέλεσαν ἐπιθυμίαν σαρκὸς, οὐδ' ἂν ἐξ αὐτῆς ἐθέρισαν τὴν φθοράν.» Ἐπισημότατα δὲ τοῦ λαοῦ τὰ μνήματα· ἐκεῖ γὰρ, φησὶν, ἔθαψαν τὸν λαὸν τὸν ἐπιθυμητὴν, κατὰ τὸ, «Ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί·» καὶ λαὸς ἐπιθυμητὴς ὁ ἐκεῖνα παθὼν ὠνόμασται, κατ' ἐκεῖνο οἶμαί που τὸ περί τινων εἰρημένον· «Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν·» ἀπὸ γὰρ τῆς ἁμαρτίας, ἡ κλῆσις· καὶ ἀτελεύτητος ἐπεγράφετο τοῖς τεθνεῶσιν οἰκτρῶς ὁ ἐπὶ ταῖς ἀνανδρίαις ὀνειδισμὸς, καὶ ἐξ ὧν κατεγινώσκοντο τὸ ἐπίσημον. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Οὐκοῦν ὅτι μάλιστα παραιτητέον τοῖς γε ἀληθῶς φιλομαθεῖν ᾑρημένοις, τό γε ἀτληπαθὲς ἐν πόνοις, καὶ γογγυσμὸν ἀδρανῆ, καὶ ἀχάριστον εἰκαιομυθίαν, καὶ τό γε τῶν ἄλλων ἀνοσιώτερόν πως, τῶν ἐκ φαυλότητος καὶ φιλοσαρκίας ἐφίεσθαι μολυσμῶν. Ἐπαμφοτερίζει γὰρ ὁ τοιοῦτος, καὶ τὴν τῆς διανοίας ἰγνὺν χωλεύουσαν ἔχει. Γέγραπται γὰρ, ὅτι «Οὐαὶ καρδίαις δειλαῖς, καὶ χερσὶ παρειμέναις, καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους.» Χρῆναι δὲ οἶμαι τὸ τληπαθὲς καὶ τὸ καρτερὸν εἰς ὑπομονὴν παντὸς ἀξιοῦντας λόγου διαμεμνῆσθαι λέγοντος τοῦ Χριστοῦ· «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω 68.393 μοι.» τουτέστιν, Εἰ δὴ βούλοιτό τις ἐμὸς εἶναι μαθητὴς, διὰ τῶν ἴσων ἐμοὶ παθημάτων ἡκέτω προθύμως, καὶ οἱονεὶ τὴν αὐτὴν ἴτω τε καὶ ἀγαπάτω τρίβον· συναναπαύσεται γὰρ οὗτος καὶ συνδιαιτήσεται. Τοῦτο δὲ ἡμῖν αὐτὸς ἐζήτει παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, λέγων· «Θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ αὐτοὶ μετ' ἐμοῦ ὦσι.» Καὶ ἑτέρως δὲ σύνεσμεν τῷ Χριστῷ, περιπατοῦντες μὲν ἐπὶ γῆς, οὐκέτι δὲ σαρκικῶς, ἀλλὰ πνευματικῶς πολιτευόμενοι, καὶ κατάλυμα καὶ ἀνάπαυσιν ποιεῖσθαι σπουδάζοντες, τὸ δοκοῦν αὐτῷ. Ἔχεις γεγραμμένον ἐν τοῖς Ἀριθμοῖς τὸν ἐπὶ τῷδε τύπον· «Καὶ τῇ ἡμέρᾳ,» φησὶν, «ἐν ᾗ ἐστάθη ἡ σκηνὴ, ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνὴν, τὸν οἶκον τοῦ μαρτυρίου. Καὶ τὸ ἑσπέρας ἦν ἐπὶ τῆς σκηνῆς ὡς εἶδος πυρὸς ἕως πρωΐ· οὕτως ἐγίνετο διαπαντός· ἡ νεφέλη ἐκάλυπτεν αὐτὴν ἡμέρας, καὶ εἶδος πυρὸς τὴν νύκτα. Καὶ ἡνίκα ἀνέβη ἡ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νεφέλη ἀπὸ τῆς σκηνῆς, μετὰ ταῦτα ἀπῆραν οἱ υἱοὶ Ἰσραήλ· καὶ ἐν τῷ τόπῳ οὗ ἂν ἔστη ἡ νεφέλη, ἐκεῖ παρενέβαλον οἱ υἱοὶ Ἰσραήλ· διὰ προστάγματος Κυρίου παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ διὰ προστάγματος Κυρίου ἀπαροῦσι. Πάσας τὰς ἡμέρας ἐν αἷς σκιάζει ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς, παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ· καὶ ὅταν ἐφέλκηται ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς ἡμέρας πλείους, καὶ φυλάξονται οἱ υἱοὶ Ἰσραὴλ τὴν φυλακὴν τοῦ Θεοῦ, καὶ οὐ μὴ ἐξάρωσι· καὶ ἔσται ὅταν σκεπάζῃ ἡ νεφέλη ἡμέρας ἀριθμῷ ἐπὶ τῆς σκηνῆς, διὰ φωνῆς Κυρίου παρεμβαλοῦσι, καὶ διὰ προστάγματος Κυρίου ἀπαροῦσι· καὶ ἔσται ὅταν γένηται ἡ νεφέλη ἀφ' ἑσπέρας ἕως πρωῒ, καὶ ἀναβῇ ἡ νεφέλη τὸ πρωῒ, καὶ ἀπαροῦσιν ἡμέρας ἢ νυκτὸς, καὶ ἀναβῇ ἡ νεφέλη, ἀπαροῦσιν ἡμέρας, ἢ μηνὸς ἡμέρας πλεοναζούσης τῆς νεφέλης σκιαζούσης ἐπ' αὐτῆς, παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ οὐ μὴ ἀπαροῦσιν, ὅτι διὰ προστάγματος Κυρίου ἀπαροῦσι. Τὴν φυλακὴν Κυρίου ἐφυλάξαντο διὰ προστάγματος Κυρίου ἐν χειρὶ Μωσῆ.» Ἐγηγερμένης κατὰ τὴν ἔρημον τῆς ἁγίας σκηνῆς, πεπληρωκέναι φησὶ τὴν νεφέλην αὐτήν· εἶτα συναπαίρειν καὶ συγκαταλύειν αὐτῇ προστέταχε τοὺς ἐξ Ἰσραὴλ, ἄνω τε καὶ κάτω μετὰ πολλῆς ἀκριβείας τὴν τῶν ἀπάρσεων ἐπιτήρησιν ποιεῖσθαι παρεγγυῶν, καὶ ἐπισφαλῆ τὴν παράβασιν τοῖς ἐθέλουσι ῥᾳθυμεῖν ἀπό γε τούτου δεικνύς. Ἀλλὰ ταυτὶ μὲν ἱστορικῶς. Θεωρῶμεν δὲ ἤδη πνευματικῶς. Ἅμα τε γὰρ ἐγήγερ-ται καὶ ἀνέτειλεν ἐπὶ τῆς γῆς ἡ ἀληθεστάτη σκηνὴ, τουτέστιν ἡ Ἐκκλησία, πεπλήρωται τῆς δόξης τοῦ Χριστοῦ· τὸ γὰρ καλύπτεσθαι τῇ νεφέλῃ τὴν ἀρχαίαν σκηνὴν, οὐχ ἕτερον, οἶμαί που, παρὰ τοῦτο δηλοῖ. Πεπλήρωκε τοίνυν τῆς ἑαυτοῦ δόξης τὴν Ἐκκλησίαν ὁ Χριστὸς, καὶ τοῖς μὲν ἐν ἀμαθίᾳ καὶ πλάνῃ, καθάπερ ἐν νυκτὶ καὶ σκότῳ διατρίβουσι, πυρὸς ἀναλάμπει δίκην, τὸν νοητὸν δηλονότι φωτισμὸν ἐνιεὶς, τοῖς γε μὴν ἤδη πεφωτισμένοις, καὶ ἡμέραν ἔχουσιν ἐν καρδίᾳ τὴν νοητὴν, τὴν παρ' ἑαυτοῦ σκιάν τε καὶ σκέπην δωρούμενος, καὶ δρόσοις αὐτοὺς καταπιαίνων πνευματικαῖς, τουτέστι, ταῖς ἄνωθέν τε καὶ διὰ τοῦ Πνεύματος παρακλήσεσι. 68.396 Τοῦτο γάρ ἐστι τὸ ὡς ἐν εἴδει μὲν πυρὸς ὁρᾶσθαι τὴν νύκτα, ἐν δὲ εἴδει νεφέλης, τὴν ἡμέραν. Ἔδει γὰρ, ἔδει τοῖς μὲν ἔτι νηπίοις φωτισμοῦ καὶ ἐλλάμψεως, τῆς ἀποφερούσης εἰς θεογνωσίαν· τοῖς δὲ τούτων ἀνωτέρω καὶ λελαμπρυσμένοις διὰ τῆς πίστεως, σκέπης καὶ ἐπικουρίας, ὡς ἂν δύναιντο γενναίως διενεγκεῖν τοῦ παρόντος βίου τὸν καύσωνα καὶ τῆς ἡμέρας τὸ βάρος· «Πάντες γὰρ οἱ θέλοντες ζῇν εὐσεβῶς ἐν Χριστῷ, διωχθήσονται.» Ἀπαιρούσης δὲ τῆς νεφέλης, συναπαίρει καὶ ἡ σκηνὴ, καὶ καταλυούσης συγκαθίσταται, καὶ σὺν αὐτῇ τοῦτο ἔδρων οἱ ἐξ Ἰσραήλ· ἕπεται γὰρ ἡ Ἐκκλησία παν-ταχῆ τῷ Χριστῷ, καὶ ἡ τῶν πιστευόντων ἁγία πληθὺς τοῦ καλοῦντος εἰς σωτηρίαν οὐκ ἀπονοσφίζεται. {ΠΑΛΛ.} Καὶ τίς ἂν νοοῖτο τυχὸν ἥ τε ἄπαρσις ἡμῶν καὶ ἡ κατάλυσις, προβιβάζοντός τε καὶ ἡγουμένου Χριστοῦ; {ΚΥΡ.} Ἀδιαφορήσει μέν πως ἔν γε δὴ τούτοις ἡμῖν ὁ λόγος, τύπον ὥσπερ τινὰ καταδεικνύντος ἡμῖν τοῦ θέλειν εἶναι μετὰ Θεοῦ τοῦ τε συναπαίρειν καὶ συγκαθίστασθαι τῇ νεφέλῃ· πλὴν εἰς ἐννοίας ὡς ἔνι λεπτὰς τὸν νοῦν ἐνιέντες, πάλιν ἐκεῖνο ἐροῦμεν, ὅτι πρώτη μὲν ἄπαρσις ἡ ἐξ ἀπιστίας εἰς πίστιν, καὶ ἐξ ἀγνοίας εἰς γνῶσιν, καὶ ἐκ τοῦ μὴ εἰδέναι τίς ὁ φύσει τε καὶ ἀληθῶς Θεὸς, ἐπὶ τὸ εἰδέναι σαφῶς τὸν τῶν ὅλων Δεσπότην καὶ Ποιητήν. Ἄπαρσις δὲ ὥσπερ μετ' ἐκείνην δευτέρα καὶ ἐπωφελὴς, ἡ ἐκ φαυλότητός τε καὶ ἀσελγείας, ἐπὶ τὸ θέλειν ἤδη πως τὰ ἀμείνω δρᾷν τε καὶ φρονεῖν. Τρίτη δὲ ταύτης προφερεστέρα καὶ ἐν εὐκλείᾳ μείζονι, ἡ ἐκ τοῦ ἐνδεοῦς ἐπὶ τὸ ἀρτίως ἔχον, πρακτικῶς τε ἅμα καὶ δογματικῶς. Ἢ οὐχὶ κατὰ βραχὺ πρὸς αὔξησιν ἴμεν τὴν ἐν Χριστῷ νοουμένην, προκόπτοντες μὲν εἰς ἄνδρα τέλειον, ἀναθρώσκοντες δὲ καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος αὐτοῦ; Τοῦτο τάχα πού ἐστι τὸ διὰ φωνῆς τοῦ θεσπεσίου Παύλου ὑμνούμενον ἡμῖν· «Τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω εἰς τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βραβεῖον τῆς ἄνω κλήσεως.» Ἀπαίροντες δὲ νοητῶς ἐξ ἀγνοίας εἰς ἐπίγνωσιν, ἐξ ἀμαθίας εἰς σύνεσιν, ἐξ ἀπιστίας εἰς πίστιν, καὶ ἀεὶ προκόπτοντες ἐν ἀρεταῖς, ἆρ' οὐχὶ τόπον ἐκ τόπου μεθορμιζόμεθα, καὶ ἐκ διαθέσεως ἤγουν ἕξεως τῆς τοιᾶσδε τυχὸν, εἰς τὴν τοιάνδε αὖ μεθιστάμενοι προσεοίκαμεν ἤδη πως τοῖς εἰωθόσιν ὁδοιπορεῖν; {ΠΑΛΛ.} Συνίημι ὃ φής. {ΚΥΡ.} Ἀλλ' οὔτε τὴν ἐκ φαυλότητος ἄπαρσιν, οὔτε μὴν τὸ ἐφικνεῖσθαι τυχὸν καὶ ἐγκαταυλίσθαι τρόπον τινὰ τοῖς ἀμείνοσι, κατορθῶσαί τις ἂν δυνηθῇ, μὴ οὐχὶ συνόντος τε καὶ ἡγουμένου Χριστοῦ. Τοιγάρτοι καὶ τοῖς ἁγίοις ἔφασκε μαθηταῖς· «Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.» Οὐκοῦν τὸ συνεῖναί τε τῷ Θεῷ, καὶ σὺν αὐτῷ πάντα δρᾷν, ὑποφήνειεν ἂν αἰνιγματωδῶς τότε συναπαίρειν ἀπαιρούσῃ τῇ νεφέλῃ, καὶ ἠρεμούσῃ συνηρεμεῖν. Πλὴν, διὰ προστάγματος 68.397 Κυρίου, φησὶν, ἀπαροῦσι· καὶ τοῦτο, οἶμαι, δηλοῖ τὸ καὶ λόγου δεῖσθαι τοῦ παροτρύνοντος εἰς ἀλκὴν, καὶ εἰς τὴν τοῖς ἁγίοις πρέπουσαν εὐκοσμίαν τοὺς ἕπεσθαι δεῖν οἰομένους ἐν Χριστῷ· «Πάντα γὰρ, φησὶν, εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.» Τύπος δὲ ἄρα καὶ τοῦδε δὴ πάλιν, τὸ ἐφεξῆς γεγραμμένον. Ἔφη γὰρ ὧδε Θεὸς πρὸς τὸν ἱεροφάντην Μωσέα· «Ποίησον σεαυτῷ δύο σάλπιγγας ἐλατὰς, ἀργυρᾶς ποιήσεις αὐτὰς, καὶ ἔσονταί σοι ἀνακαλεῖν τὴν συναγωγὴν, καὶ ἐξαίρειν τὰς παρεμβολάς. Καὶ σαλπιεῖς ἐν αὐταῖς, καὶ συναχθήσεται πᾶσα ἡ συναγωγὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, Ἐὰν δὲ ἐν μιᾷ σαλπίσωσι, ἐλεύσονται πρὸς σὲ πάντες οἱ ἄρχοντες ἀρχηγοὶ Ἰσραήλ. Καὶ σαλπιεῖτε σημασίαν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι ἀνατολάς· καὶ σαλπιεῖτε σημασίαν δευτέραν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι λίβα. Καὶ σαλπιεῖτε σημασίαν τρίτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι παρὰ θάλασσαν. Καὶ σαλπιεῖτε σημασίαν τετάρτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι πρὸς βοῤῥᾶν· σημασίᾳ σαλπιοῦσιν ἐν τῇ ἐξάρσει αὐτῶν, καὶ ὅταν συναγάγητε τὴν συναγωγὴν, σαλπιεῖτε, καὶ οὐ σημασίᾳ. Καὶ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς σαλπιοῦσι ταῖς σάλπιγξι· καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν.» {ΠΑΛΛ.} Τί δὴ οὖν ἄρα φαμὲν τὴν τῶν σαλπίγγων εἶναι δυάδα, καὶ τὰς τῶν σημασιῶν διαφορὰς, ἐλατὰς δὲ ἀνθ' ὅτου, καὶ ἐξ ἀργύρου δεῖν ποιεῖσθαι προστέταχε; {ΚΥΡ.} Δύο μὲν οὖν αἱ σάλπιγγες· διπλοῦν γὰρ ἐν ἐκκλησίαις τὸ τῆς παρακλήσεως κήρυγμα· ἓν μὲν γὰρ εἰς ὀρθότητα τὴν δογματικὴν ἀποφέρει τοὺς πεπιστευκότας, καὶ τὸν τῶν διεστραμμένων κατακιβδηλεύει λόγον· ὁποῖός τις ἦν ὁ τῶν κωλυόντων γαμεῖν, καὶ ἀσυμφύλως δεδιδαχότων ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν τοῖς πιστοῖς. Καταλογισαίμην δ' ἂν ἐν τούτοις καὶ τοὺς τῶν Ἰουδαίων καθηγητὰς, οἳ τὸ τῷ θείῳ νόμῳ τετιμημένον καὶ δοκοῦν μεθέντες ὡς ἕωλον, καὶ ὀλίγου παντελῶς ἀξιοῦντες λόγου, ταῖς παρὰ σφῶν διδασκαλίαις καὶ ἀνθρωπίνοις ἐντάλμασι προσανακεκλίσθαι δεῖν τοὺς παιδευομένους ἐκέλευον. Καὶ ἕτεροι δέ τινες περιτέμνεσθαι τοὺς ἐν πίστει δεδικαιωμένους ἀσυνετοῦντες ἐδίδασκον, ἵνα ἐν τῇ ἀλλοτρίᾳ σαρκὶ καυχήσονται κατὰ τὸ γεγραμμένον. Ἀλλ' ἐλέγετο περὶ αὐτῶν· «Ἔξω τοὺς κύνας, ἔξω τοὺς κακοὺς ἐργάτας.» Ἕτε-ρον δὲ πρὸς ἠθικὴν ἐπανόρθωσιν ξεναγεῖ, καὶ τῆς ἐν Χριστῷ πολιτείας καταλευκαίνει τὴν ὁδόν. Ἀργυραῖ δὲ αἱ σάλπιγγες· τὴν ἐπ' ἀμφοῖν τοῖν λόγοιν λαμπρότητα, καὶ τὸ ἄγαν εἰλικρινές· ὡς ἐν ἰδίᾳ φύσει τῆς ὕλης ὑμῖν ὑποφαινούσης ἀστείως. Ἐν δέ γε ταῖς σάλπιγξιν, ἀνακαλείσθω, φησὶν, ἐπὶ τὴν σκηνὴν ὁ λαός. Κηρύγμασι γὰρ τοὺς ἐν σκηναῖς ὥσπερ ἰδίαις συναγείρομεν εἰς ἐκκλησίας· συνδεδραμηκότας δὲ, καὶ ἀπαίρειν ἀναπείθομεν ἐκ τῶν αἰσχιόνων ἐπὶ τὰ πρέποντα τοῖς ἡγιασμένοις, καὶ οἱονεὶ μεθορμίζεσθαι πρὸς τὸ ἀγαθὸν ἐκ φαυλότητος εὖ μάλα μεταπαι 68.400 δεύομεν. Ἢ οὐχὶ λόγος εἰς ὀρθότητα τὴν δογματικὴν καὶ εἰς ἠθῶν ἐπανόρθωσιν ἀποφέρει τὸν ἐπιεικῆ καὶ ζωῆς τῆς ἐν Χριστῷ γνήσιον ἐραστήν; {ΠΑΛΛ.} Οὕτω φημί. {ΚΥΡ.} Οὐκοῦν δύο μὲν αἱ σάλπιγγες, αἱ συλλέγουσαι τὸν λαὸν ἐπὶ τὴν σκηνήν. Ἐὰν δὲ μιᾷ σαλπίσωσι, φησὶ, προσελεύσονται πρὸς σὲ πάντες οἱ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄρχοντες ἀρχηγοὶ υἱῶν Ἰσραήλ. Δεῖν μὲν γὰρ ὑπολαμβάνω παρακλήσεώς τε καὶ προτροπῆς, καὶ τοῖς τὴν ἕξιν τελειοτέροις, πλὴν οὐ τοσαύτης ὅσησπερ ἂν δέοιτο καὶ ἡ τῶν ἑτέρων πληθύς· διὰ τοῦτο τοὺς μὲν ἄλλους ἅπαντας δύο μόλις ἀνακαλοῦσι σάλπιγγες, μία δὲ τοὺς ἐξειλεγμένους· ἀρκεῖ γὰρ ὀλίγον τῷ σοφῷ, καὶ ἀφορμὴν εἰ λάβοι, προσθήσει τὸ λεῖπον, κατὰ τὸ· «Δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι.» Εἶτα προστέταχε τέσσαρας ποιεῖσθαι σημασιῶν διαφορὰς, ὥστε δι' αὐτῶν ἀναζευγνύναι τε καὶ ἀπαίρειν τούς τε πρὸς ἠῶ καὶ λίβα, βοῤῥᾶ καὶ νότον· οἶμαι οὖν τὰς τέσσαρας ἡμῖν τῶν Εὐαγγελίων συγγραφὰς διὰ τούτου σημαίνεσθαι, δι' ὧν ὁ σύμπας παιδαγωγεῖται κόσμος πρὸς δογματικήν τε ἅμα καὶ ἠθικὴν ἐπιστήμην. Εἰ δὲ δή τι χρὴ καὶ ἕτερον ἐπινοοῦντας λέγειν, κατοκνήσομεν οὐδαμῶς, ὕπνου καὶ ἱδρῶτος κρείττονα τὴν τοῦ χρησίμου ποιούμενοι θήραν. Λόγου τοιγαροῦν τοῦ παρ' ἡμῖν τέσσαρας εὑρήσομεν τὰς διαφορὰς, δι' ὧν ἡ σύμπασα γῆ τὸν ἄριστόν τε καὶ εὐδόκιμον ἀληθῶς κατορθώσει βίον· μία μὲν οὖν ἐστι καὶ πρώτη, δι' ἧς πρὸς ἐπίγνωσιν ἀληθείας καὶ εἰς ἀνάληψιν θείου φωτὸς καλεῖν εἰθίσμεθα τοὺς τῇ κτίσει παρὰ τὸν Κτίστην λελατρευκότας, καὶ λέγοντας ἀμαθῶς τῷ ξύλῳ· Πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ· Σὺ ἐγέννησάς με, κατὰ τὴν τοῦ προφήτου φωνήν. Τοῖς γε μὴν ἤδη πεπιστευκόσιν, αἱ τρεῖς ἕτεραι τοῦ λόγου διαφοραὶ πρέποιεν ἂν εἰκότως· ἐπεί τοι καὶ τρεῖς εἶναι βίου καὶ πολιτείας διαφορὰς ἐδίδασκεν ὁ Σωτήρ· ἔφη γὰρ ὅτι, τὰ καταβληθέντα τῶν σπερμάτων ἐπὶ τὴν καλὴν γῆν ἐποίησε καρπὸν, ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. Οὐκοῦν ἐστί τις ἑκάστῳ τῶν τοιούτων, ὁ αὐτῷ μάλιστα πρέπων λόγος· οὐ γάρ πω δρῶντες ὀρθῶς, τοὺς Θεῷ καὶ κόσμῳ μεμερισμένους, διὰ τὸ κατὰ νόμον ὑπεζεῦχθαι γάμοις, καὶ τοὺς τὸν πανάριστόν τε καὶ ἀσκητικὸν ἐπανελομένους βίον, ἤγουν τὸν ἱερωσύνῃ πρέποντα, τοῖς ἴσοις ἀφυλάκτοις ὠφελήσομεν λόγοις, ἀλλ' ἐκείνοις μὲν ἐροῦμεν· «Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα·» καὶ ὅσα τοῖς γεγαμηκόσιν ἁρμόζει φρονεῖν τε καὶ δρᾷν. Τοῖς γε μὴν ἀσκητικοῖς καὶ καρτερεῖν ἐγνωκόσι· «Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν.» Καὶ τὸ, «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.» Τοῖς δὲ κεκλημένοις εἰς ἱερωσύνην· «Χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ,» καὶ ὅσα Τιμοθέῳ παρεγγυᾷ γράφων ὁ σοφώ 68.401 τατος Παῦλος. Ἆρά μοι τοῦ πρέποντος ἐξέρπει τὰ 68.401 διηγήματα, καὶ ἀποφέρεταί ποι πρὸς τὸ οὐκ ἔχον ὀρθῶς; {ΠΑΛΛ.} Ἥκιστά γε. {ΚΥΡ.} Ἐπιτήρει δὲ ὅτι μόνοις ἀπονέμει τοῖς ἱερᾶσθαι λαχοῦσι, τὸ κεχρῆσθαι ταῖς σάλπιγξιν· ἀνατιθεὶς, οἶμαί που, τοῖς τῶν λαῶν παιδευταῖς καὶ ἡγιασμένοις εἰς ἱερωσύνην, τὸν μυσταγωγοῦντα, καὶ μὴν καὶ εἰς ἔφεσιν ἀρετῆς ἐπαλείφοντα λόγον. Διὰ τοῦτο γὰρ, οἶμαι, πρὸς μὲν Μωσέα φησί· «Ποίησον σεαυτῷ δύο σάλπιγγας.» Νόμῳ δὲ ὥσπερ κατασφραγίζων τὸ χρῆμα· «Καὶ οἱ υἱοὶ Ἀαρὼν,» φησὶν, «οἱ ἱερεῖς, σαλπιοῦσι ταῖς σάλπιγξι· καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν.» {ΠΑΛΛ.} Οὐκοῦν τῶν σημασιῶν τοὺς τρόπους, εἰς τὸν ἑκάστῳ τῶν εἰωθότων εὐδοκιμεῖν ἐοικότα λόγον, παραδεξόμεθα. Συναπαροῦμεν δὲ οὕτω καὶ συγκαταλύσομεν τῇ νεφέλῃ, τουτέστι, συμβαδιούμεθα νοητῶς, καὶ συναναπαυσόμεθα τῷ Χριστῷ. {ΚΥΡ.} Εὖ λέγεις. Τουτὶ γὰρ ἡμᾶς ἀναπείσει φρονεῖν, καὶ προφήτου λόγος ἔχων ὡδί· «Καὶ νῦν, Ἰσραὴλ, τί Κύριος ὁ Θεὸς ἐπιζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τὸ ποιεῖν κρῖμα, καὶ ἀγαπᾷν ἔλεος, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου Θεοῦ σου;» {ΠΑΛΛ.} Ἀλλ' ὅτι μὲν χρῆμα καλὸν, καὶ τοῦ παντὸς ἄξιον, καὶ τὴν ἐπ' ἀνδρείᾳ δόξαν καταπλουτοῦν, τὸ πορεύεσθαι μετὰ Κυρίου Θεοῦ σου, πῶς οὐκ ἂν γένοιτο σαφές; Τί δ' ἂν εἴη πάλιν τὸ, ἕτοιμον εἶναι, φράσαις ἂν ἐθέλοντί μοι. {ΚΥΡ.} Πῶς γὰρ οὔ; τοῦ γὰρ φρονεῖν τε καὶ δρᾷν ἐπείγεσθαι τὰ Θεοῦ, παρὰ πόδας ἡμῖν κειμένου, καὶ ἀπείργοντος οὐδενὸς, οὔτε μὴν ἀνθέλκοντος εἰς ἀδόκιμον νοῦν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτο, οἶμαι, ἔστι τὸ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Θεοῦ. {ΠΑΛΛ.} Τίνας δὲ ὅλως εἶναί φαμεν τοὺς ἀκολουθεῖν τῷ Θεῷ ἐθέλοντας, μὴ μὴν ἔτι καὶ ἐξ ὅλης τοῦτο δρᾷν ἑλομένους ψυχῆς, ὀκλάζοντας δὲ πρὸς τὸ ἄναλκι καὶ παραιτουμένους τὸ καρτερόν; {ΚΥΡ.} Τοὺς, οἵ γε βραδεῖς τέ εἰσι, καὶ μόλις ἱέντας μὲν ἐπὶ τὸ φρονεῖν ἐθέλειν τὰ ἐφ' οἷς ἂν ἥδοιτο Θεὸς, οὐ μὴν ἔτι καὶ ἀντεχομένους ὁλοκλήρῳ διανοίᾳ πολιτείας ἁγιοπρεποῦς, οἳ μοῖραν μὲν ὥσπερ ὀλίγην τῆς ἐνούσης αὐτοῖς σπουδῆς τε καὶ προθυμίας ἀπονέμουσι τῇ εἰς Θεὸν ἀγάπῃ, τὸ δέ γε λοιπὸν ἅπαν ἀσωτότατά τε καὶ προαλῶς δαπανᾷν ἐγνώκασι τοῖς ἐν τῷδε βίῳ περισπασμοῖς, καὶ ἀνονήτοις ἱδρῶσι καὶ πικροῖς φροντίσμασιν, ὧν εἰς τύπον ἂν εἶεν οἱ ἐκ Ῥουβείμ τε καὶ Γάδ· γέγραπται γὰρ πάλιν ἐν τοῖς Ἀριθμοῖς· «Καὶ κτηνῶν πλῆθος ἦν τοῖς υἱοῖς Ῥουβεὶμ καὶ 68.404 τοῖς υἱοῖς Γὰδ, πλῆθος πολὺ σφόδρα. Καὶ εἶδον τὴν χώραν Ἰαζὴρ, καὶ τὴν χώραν Γαλαὰδ, καὶ ἦν ὁ τόπος, τόπος κτήνεσι. Καὶ προσελθόντες οἱ υἱοὶ Ῥουβεὶμ καὶ οἱ υἱοὶ Γὰδ, εἶπον πρὸς Μωσῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα, καὶ πρὸς τοὺς ἄρχοντας τῆς Συναγωγῆς λέγοντες· Ἀταρὼθ, καὶ Δαιβὼν καὶ Ἰαζὴρ, καὶ Ναμρὰ, καὶ Ἐσεβὼν, καὶ Ἐλεαλὴ, καὶ Σεβαμὰ,καὶ Ναβαὺ, καὶ Βαιὰν τὴν γῆν, ἣν παρέδωκε Κύριος ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ, γῆ κτηνοτρόφος ἐστὶ, καὶ τοῖς παισί σου κτήνη ὑπάρχει. Καὶ ἔλεγον· Εἰ εὕρομεν χάριν ἐνώπιόν σου, δοθήτω ἡ γῆ αὕτη τοῖς οἰκέταις σου ἐν κατασχέσει, καὶ μὴ διαβιβάσῃς ἡμᾶς τὸν Ἰορδάνην. Καὶ εἶπε Μωσῆς τοῖς υἱοῖς Γὰδ καὶ τοῖς υἱοῖς Ῥουβείμ· Οἱ ἀδελφοὶ ὑμῶν πορεύσονται εἰς τὸν πόλεμον, καὶ ὑμεῖς καθίσεσθε αὐτοῦ; Καὶ ἵνα τί διαστρέφετε τὰς διανοίας τῶν υἱῶν Ἰσραὴλ, μὴ διαβῆναι εἰς τὴν γῆν ἣν Κύριος ὁ Θεὸς δίδωσιν αὐτοῖς;» Εἶτα πρὸς τούτοις κατονειδίσας αὐτοῖς τῶν πατέρων τὴν ἀπείθειαν, καὶ τὰ ἐκείνοις ἐντεῦθεν συμβεβηκότα· «Τετελευτήκασι γὰρ ἐν τῇ ἐρήμῳ,» φησὶν, οὐδ', ὅσον εἰπεῖν, τεθεαμένοι μόνον τῆς ἐπαγγελίας τὴν γῆν. Ἐπιφέρει πάλιν· «Καὶ ἰδοὺ ἀνέστητε ἀντὶ τῶν πατέρων ὑμῶν, σύστρεμμα ἀνθρώπων ἁμαρτωλῶν, προσθεῖναι ἔτι ἐπὶ τὸν θυμὸν τῆς ὀργῆς Κυρίου ἐπὶ Ἰσραὴλ, ὅτι ἀποστραφήσεσθε ἀπ' αὐτοῦ προσθεῖναι ἔτι καταλιπεῖν αὐτὸν ἐν τῇ ἐρήμῳ, καὶ ἀνομήσετε εἰς ὅλην τὴν συναγωγὴν ταύτην. Καὶ προσῆλθον αὐτῷ καὶ ἔλεγον· Ἐπαύλεις προβάτων οἰκοδομήσομεν ὧδε τοῖς κτήνεσιν ἡμῶν, καὶ πόλεις ταῖς ἀποσκευαῖς ἡμῶν· καὶ ἡμεῖς ἐνοπλισάμενοι προφυλακὴν πρότεροι τῶν υἱῶν Ἰσραὴλ ἕως ἂν ἀγάγωμεν αὐτοὺς εἰς τὸν ἑαυτῶν τόπον· καὶ κατοικήσει ἡ ἀποσκευὴ ἡμῶν ἐν ταῖς πόλεσι τετειχισμέναις διὰ τοὺς κατοικοῦντας τὴν γῆν· οὐ μὴ ἀποστραφῶμεν εἰς τὰς οἰκίας ἡμῶν, ἕως ἂν καταμερισθῶσιν οἱ υἱοὶ Ἰσραὴλ ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ. Καὶ οὐκέτι κληρονομήσομεν ἐν αὐτοῖς ἀπὸ τοῦ πέραν τοῦ Ἰορδάνου καὶ ἐπέκεινα, ὅτι ἀπέχομεν τοὺς κλήρους ἡμῶν ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν ἀνατολαῖς.» Συνίης ὅτι κτηνοτροφίας ἕνεκα καὶ κτήσεων, καὶ τῆς εἰς γυναῖκάς τε καὶ παῖδας ἀγάπης, οὐδ' ἂν ὅλως παρῆλθον οἱ τοιοίδε τὸν Ἰορδάνην, ἀλλ' οὐδ' ἂν ὅσον ὅλως ἀποθήγειν ἠνέσχοντο πολέμου καὶ μάχης, οὐδ' ἂν εὐκλείας τοῖς ἄλλοις συμμετασχεῖν ἠθέλησαν, καὶ τῶν ἐπ' ἐλπίσιν ἀγαθῶν· ἄριστον δὲ καὶ πολύευκτον ἐδόκει τὸ μένειν αὐτοὺς, μηδ', ὅσον εἰπεῖν, τοῖς Ἰορδάνου νάμασιν ἐνθέντας τὸν πόδα· κατονειδίζοντος δὲ τοῦ Μωσέως καὶ ὀῤῥωδεῖν ἀναπείθοντος, ὑποβλέπεσθαί τε τὴν θείαν ὀργὴν, ὑπισχνοῦνται μόλις συμπαρελεύσεσθαι μὲν τοῖς ἄλλοις τὸν Ἰορδάνην, καὶ συμμετασχεῖν ἱδρώτων αὐτοῖς τῶν ἐν πολέμῳ καὶ μάχαις· οὐ μὴν ὅτι καὶ συμμεριοῦνταί φασι, διὰ τὸ ἀπέχειν ἢ ἀποσχεῖν τὸν κλῆρον, ἐν τῷ πέραν τοῦ Ἰορδάνου. Τοιοῦτοί τινες τὸν τρόπον εἰσὶν, οἱ ταῖς τοῦ παρόντος βίου μερίμναις κατεσφιγμένοι. Καὶ ὅλην μὲν ὥσπερ ἀπονέμοντες τὴν καρδίαν τῷ φρονεῖν
68.405 ἑλέσθαι τὰ ἐπὶ τῆς γῆς, ὀλίγα δὲ μόλις τῶν ἀναγκαίων φροντίζοντες, καὶ οὐκ ἐν σπουδῇ ποιούμενοι τὰ Θεοῦ. «Πολλοὶ γὰρ,» φησὶ, «κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.» Οἱ τοίνυν τελοῦντες μὲν ἐν τοῖς κεκλημένοις διά γε τὴν πίστιν, οὐ μὴν ἔτι τοῖς ἐξειλεγμένοις ἐναρίθμιοι, διὰ τὸ ἀνεῖσθαι πρὸς τὸ ἡδὺ, βραδεῖς ἔσθ' ὅτε καὶ ὀκνηροὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λίαν εἰσὶ, καὶ περὶ αὐτὴν τάχα που τὴν τοῦ ἁγίου βαπτίσματος χάριν· καταπεφρίκασι δὲ τὸ ὑπὲρ εὐκλείας Θεοῦ καὶ ὠφελείας τῆς σφῶν αὐτῶν, τοὺς ἁγίοις πρέποντας ἀνατλῆναι πόνους, καὶ συνδιώκεσθαι τοῖς γνησίοις, εἰ καὶ πρὸς τοῦτο ἄγοι καιρός· κατονειδίζοντος δὲ αὐτοὺς νόμου τοῦ θείου, καὶ καταπτοούσης ἔσθ' ὅτε τῆς θείας ὀργῆς, ἴενται μὲν ὀκνηρῶς ἐπὶ τὸ σωτήριον βάπτισμα, καὶ συμμετέχουσι πόνων τοῖς ἐξειλεγμένοις, ἢ μετριώτερον συννηστεύοντες, ἢ καὶ συζηλοῦντες ἔσθ' ὅτε τῶν πολεμουμένων Ἐκκλησιῶν, οὐ μὴν ἔτι καὶ καταφρονεῖν τῶν ἐν κόσμῳ πειθόμενοι, ἀλλ' ὥσπερ ἴδιον καὶ ἐκνεμηθέντα αὐτοῖς ὑπονοστοῦντες κλῆρον, τὰς ἐπὶ τοῖς ἐπιγείοις ἡδονάς τε καὶ τέρψεις. Διὰ τοῦτο ἔφασκεν ὁ Χριστὸς τοῖς τῆς ὀρθότητος ἐρασταῖς, καὶ εὐσεβεῖν ὅτι μάλιστα διεσπουδακόσι· «Προσέχετε, μή ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι φροντίσι καὶ μερίμναις βιωτικαῖς.» Ἢ οὐκ ἐπιζήμιον εἶναι φὴς τὸ χρῆμα, ὦ τᾶν; {ΠΑΛΛ.} Φημὶ, πῶς γὰρ οὔ; {ΚΥΡ.} Λεπτὸν δὲ τοῖς γεγραμμένοις τὸν τῆς διανοίας ὀφθαλμὸν ἐνιεὶς, καταθαυμάσαις εὖ μάλα τῆς εἰκόνος τὸ κάλλος. {ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Οἱ κτηνοτροφίας ἕνεκα παίδων τε καὶ γυναικῶν, ἐπαύλεών τε καὶ οἰκοδομημάτων, τὸν ἐπὶ τοῖς ἀρίστοις ὄκνον εἰσδεδεγμένοι, Ῥουβεὶμ ἐστι καὶ Γάδ. {ΠΑΛΛ.} Καὶ τί δὴ τοῦτό ἐστιν; {ΚΥΡ.} Ὁ μὲν γὰρ ἦν πρωτότοκος ἐξ Ἰακὼβ, ὁ δὲ θεραπαίνης ἐξέφυ τῆς Ζελφᾶς. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Οὐκοῦν πρωτότοκοι μὲν διὰ τὴν πίστιν, οἱ κεκλημένοι, καὶ κλῆρον λαχόντες παρὰ Θεῷ τὸν ἐξαίρετον, ὅσον ἧκεν εἰς τὴν χάριν, οὐ φιλελεύθεροι δὲ, διά γε τὴν εἰς τὰ αἰσχίω ῥοπήν· ἐκκλησίαν δὲ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, τοὺς ἐν πίστει δεδικαιωμένους, διακεκλῆσθαί φαμεν. Ἀλλ' οὐ φιλελεύθερος ὁ πρωτότοκος, κοινωνὸς δὲ μᾶλλον καὶ συνεραστὴς τοῖς τὸ τῆς δουλείας αἶσχος οὐ πεφευγόσιν. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Ἀλλ' ἤδη μου πρὸς ἀκτὴν ἰόντος τοῦ λόγου, καὶ οἱονεί που τῶν πεισμάτων ποιουμένου τὰς ἐκβολὰς, ἔπεισιν εἰπεῖν καὶ προσαναμνῆσαι πάλιν, ὅτι χρὴ πρὸς πᾶν ὁτιοῦν ἀνδρίζεσθαι τῶν τελούντων εἰς ὄνησιν, καὶ γύμνασμα εἰς ἀρετὴν ἡγεῖσθαι τοὺς πόνους, διακεῖσθαι δὲ οὐχ ἑτέρως ἢ ὅτι Θεὸς ὁ σώζων 68.408 ἐστὶ, καὶ τὸ καταθλεῖν δύνασθαι τῶν ἀνθεστηκότων δωρούμενος, κἂν εἰ πολὺ μείζοσιν ἢ ταῖς ἐν ἡμῖν ἀντιφέροιντο ἀλκαῖς. Ὅτι γὰρ οὐκ ἀνόνητον ἱδρῶτα καταστάζομεν, τοὺς ὑπὲρ ἀρετῆς ἀνατλάντες πόνους, διδάξει λέγων ἐν τῷ Δευτερονομίῳ Μωσῆς· «Καὶ μνησθήσῃ πᾶσαν τὴν ὁδὸν, ἣν ἤγαγέ σε Κύριος ὁ Θεός σου ἐν τῇ ἐρήμῳ, ὅπως ἂν κακώσῃ σε καὶ ἐκπειράσῃ σε, καὶ διαγνωσθῇ τὰ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξῃ τὰς ἐντολὰς αὐτοῦ, ἢ οὔ.» Νοσεῖν δὲ τὴν ἄνανδρον οὐκ ἐᾷ δειλίαν, ἀνασκοπουμένους εὖ μάλα τὴν τοῦ προασπίζοντος χεῖρα. Γράφει δὲ οὕτω πάλιν· «Ἐὰν δὲ λέγῃς ἐν τῇ διανοίᾳ σου, ὅτι Πολὺ τὸ ἔθνος τοῦτο, ἢ ἐγὼ, πῶς δυνήσομαι ἐξολοθρεῦσαι αὐτούς; οὐ φοβηθήσῃ αὐτούς· μνείᾳ μνησθήσῃ ὅσα ἐποίησε Κύριος ὁ Θεός σου τῷ Φαραὼ, καὶ πᾶσι τοῖς Αἰγυπτίοις τοὺς πειρασμοὺς τοὺς μεγάλους, οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου· τὰ σημεῖα, καὶ τὰ τέρατα τὰ μεγάλα ἐκεῖνα, τὴν χεῖρα τὴν κραταιὰν, καὶ τὸν βραχίονα τὸν ὑψηλόν· ὡς ἐξήγαγέ σε Κύριος ὁ Θεός σου· οὕτως ποιήσει Κύριος ὁ Θεὸς ἡμῶν πᾶσι τοῖς ἔθνεσιν, οὓς σὺ φοβῇ ἀπὸ προσώπου αὐτῶν.»

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΕΚΤΟΣ.

Ὅτι χρὴ Θεῷ τῷ κατὰ φύσιν ἡμᾶς προσκεῖσθαι μόνῳ, καὶ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας. {ΚΥΡ.} Ἀνδρείας μὲν οὖν πέρι τῆς ἐν Χριστῷ νοουμένης, καὶ πνευματικῆς εὐσθενείας ἀποχρῶν, ἡμῖν, ὡς ἔοικεν, ἐκπεποίηται λόγος, ὦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Παλλάδιε· τὰ δὲ ἐφ' οἷς ἂν γένοιτο ταυτὶ πρὸς ἡμῶν, περιαθρεῖν ἀναγκαῖον, καθάπερ ἐγῷμαι, πάλιν. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Φέρε δὴ οὖν, τῆς διανοίας τὸν ὀφθαλμὸν ἐν κύκλῳ περιελίττοντες, καὶ εἰς ἀκριβῆ κατάσκεψιν 68.409 τῶν καθ' ἡμᾶς ἱέντες πραγμάτων, ἀνασκοπῶμεν εὖ μάλα, διὰ ποίας ἰόντες τρίβου, λαμπροί τε ἐσόμεθα, καὶ τὴν ἐφ' ἅπασι τοῖς ἐπαινουμένοις οἷά τινα στέφανον ἀναδησόμεθα ψῆφον. Ἢ οὐ δοκῶ σοι φρονεῖν ὀρθὰ, τὸ ἕν γε τούτοις φιλοκρινεῖν ᾑρημένος; {ΠΑΛΛ.} Παντάπασι μὲν οὖν. Φαίην γὰρ ἂν καὶ αὐτὸς ἐγὼ προκλήσει τῇ πρὸς ἀνδρίαν προκαταθήγεσθαι δεῖν, ἑλέσθαι τε τὰ δι' ὧν ἄν τις ἔσοιτο λαμπρὸς, καὶ τῆς ἀμωμήτου ζωῆς ἔρχοιτο κατ' εὐθύ. {ΚΥΡ.} Οὐκοῦν ἤδη λέγωμεν, ὡς ἁπάσης μὲν οἰκίας ἔρεισμα, κρηπίς· νεὼς δὲ τρόπις, ἀρχή· τοῦ δὲ κατορθοῦν ᾑρημένου, θεμέλιος ἂν γένοιτο καὶ ὑποβάθρας ἀρχὴ, τῆς ἀληθείας ἡ γνῶσις, καὶ ὁ περὶ πίστεως τῆς εἰς Θεὸν τὸν ἕνα καὶ φύσει καὶ ἀληθινὸν ἀκιβδήλευτος λόγος· «Ἐὰν γὰρ μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε,» φησὶ τὸ Γράμμα τὸ ἱερόν. Συνιέντας δὲ οὔπω τῶν ἀναγκαίων οὐδὲν ἀπρακτεῖν ἀνάγκη, τὸ κατορθοῦν οὐκ εἰδότας. Ἢ οὐκ ἂν ἀναγκαῖον εἶναι φὴς πρὸς εὐδοκίμησιν ἡμῖν, τὴν ἐπὶ παντὶ τῷ πρακτέῳ διάσκεψιν, εἰ ἐν λόγῳ πεποιήμεθα τὸ δρᾷν ὀρθῶς, ἃ ἐρᾷν ἀναγκαῖον; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Τροφὸς οὖν ἄρα συνέσεως, πίστις. Σύνεσις δὲ, τῶν πρακτέων ἡμῖν ποιεῖται τὴν βάσανον. Καὶ γοῦν ὅτε τοῖς ἐξ Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς παιδαγωγὸν ὥσπερ τινὰ, καὶ ἰθυντῆρα σοφὸν, τὸν διὰ Μωσέως ἐπέστησε νόμον, ὑποβάθραν ὥσπερ τινὰ καὶ ἀκατάσειστον ἀρχὴν, τὴν παρὰ τῆς μιᾶς τε καὶ ἀληθοῦς Θεότητος προκατεβάλετο γνῶσιν· μὴ γὰρ ἂν ἰσχύσειν αὐτοὺς ὑπελάμβανε τῆς ἀδιαβλήτου καὶ ἀκραιφνοῦς ἐφικέσθαι ζωῆς, ἤγουν τῷ τῶν καλλίστων εἰσηγητῇ καταρυθμίζεσθαι νόμῳ, καὶ ὑπείκειν ἐντολαῖς, εἰ μὴ καθάπερ προανατείχισμα τὴν ἐπὶ Θεῷ πίστιν ἑλόντες εἰς νοῦν, ἀντιφέροιντο γενναίως ταῖς εἰς ῥᾳθυμίαν αὐτοὺς ἀκονούσαις ἡδοναῖς. Ἔδει δὴ οὖν, ἔδει, καθάπερ τινὰ ψυχικὴν ἀῤῥωστίαν, προαποθέσθαι τοὺς πάλαι τὴν πολύθεον πλάνησιν, πίστει τε τῇ εἰς Θεὸν τὸν ἕνα φύσει καὶ ἀληθῶς ἐρηρεῖσθαι καλῶς· τοιγάρτοι καὶ πρῶτος αὐτοῖς προανέλαμψε νόμος· «Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὅστις ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου ἐξ οἴκου δουλείας. Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς, οὐ προσκυνήσεις αὐτοῖς, οὐδ' οὐ μὴ λατρεύσῃς αὐτοῖς. Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ Θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με· καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ φυλάσσουσι τὰ προστάγματά μου.» Ἔδει γὰρ, ἔδει σκληροῖς καταπτοεῖσθαι δείμασι, τοὺς ἀνεξίτητον μέλλοντας ποιεῖσθαι τὴν ἐντολήν· τοιγάρτοι καὶ ζηλωτὴν ἑαυτὸν ὀνομάζει Θεὸν, καὶ ἁμαρτίας πατέρων ἐπιτιθέντα τοῖς ἐξ αὐτῶν, εἴ γε κατ' ἐκείνους ἕλοιντο βιοῦν, καὶ προ 68.412 γονικοῖς ἁμιλλᾶσθαι πταίσμασιν. Οὐ γάρ πού φαμεν, ὡς τοῖς γε ὅλως οὐδὲν πεπλημμεληκόσιν αἱ τῶν πατέρων ἐγκατασκήπτουσιν ἁμαρτίαι, καί τοι διαῤῥήδην ἀνακεκραγότος Θεοῦ· «Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, οὐδὲ τέκνα ὑπὲρ πατέρων, ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται.» Ἀλλ' εἰ ταῖς τῶν πατέρων ἕποιντο γνώμαις οἱ ἐξ αὐτῶν, καὶ προγονικῆς δυσσεβείας ἔσοιντο ζηλωταὶ, παρατείνει που τάχα καὶ εἰς αὐτοὺς ὁ θυμός. Κἂν εἰ γένοιτό πως ἐξ ἐμφύτου φιλανθρωπίας ἀνεῖναι τοῖς πρώτοις τὸν ὑπὲρ πάντα Θεὸν, τὸ κολάζεσθαι δεῖν, ἀλλ' οὖν ὀψὲ τοῖς δευτέροις ἤγουν τοῖς τρίτοις ἐπάγει τὴν ἐν ἀρχαῖς τῷ βεβήλῳ γένει πρέπουσάν τε καὶ ὀφειλομένην ὀργήν. Κατεσόβει τοίνυν εἰς τὸ φοβεῖσθαι δεῖν, ζηλωτὴν ἑαυτὸν ὀνομάζων Θεόν· ἐβεβαίου γε μὴν καὶ ἑτέρως εἰς πίστιν αὐτοὺς, ποιεῖν ἔλεος εἰς χιλιάδας ὑπισχνούμενος τοῖς ἀγαπῶσιν αὐτόν. Προσετίθει δὲ τούτοις γείτονά τε καὶ ἀδελφὴν ἐντολήν· «Οὐ γὰρ λήψῃ, φησὶ, τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.» Τοῦτό τινες ἔδρων, ξύλοις τε καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λίθοις τὴν τοῦ Θεοῦ κλῆσιν ἀνάπτοντες, καὶ τὸν ὑπὲρ πᾶν ὄνομα κατακομίζοντες ἀμαθῶς εἰς ἀνθρωπίνης χειρὸς φιλοτέχνημά τε καὶ πόνον. Ἔφη δέ που περὶ αὐτῶν διὰ φωνῆς Ἡσαΐου Θεός· «Ἐκλε-ξάμενος τέκτων ξύλον, ἔστησεν αὐτὸ ἐν μέτρῳ, καὶ ἐν κόλλῃ ἐῤῥύθμισεν αὐτὸ, καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς, καὶ ὡς ὡραιότητα ἀνθρώπου στῆσαι αὐτὸ ἐν οἴκῳ· ἔκοψε ξύλον ἐκ τοῦ δρυμοῦ ὃ ἐφύτευσε Κύριος, καὶ ὑετὸς ἐμήκυνεν, ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν, καὶ λαβὼν ἀπ' αὐτοῦ, ἐθερμάνθη, καὶ καύσαντες ἔπεψαν ἄρτους ἐπ' αὐτῶν· τὸ δὲ λοιπὸν εἰργάσαντο εἰς θεοὺς, καὶ προσκυνοῦσιν αὐτοῖς.» Καὶ μεθ' ἕτερα· «Γνῶτε, ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται.» Οὗτοι λαμβάνουσι τὸ ὄνομα Κυρίου ἐπὶ ματαίῳ. Ἀλλ' οἶμαι δεῖν τοὺς οἵ γε λοιπὸν ἔξω τε πάγης γεγόνασι διαβολικῆς, καὶ Θεὸν ἐγνώκασι τὸν ἀληθινὸν, μὴ εἰς ψυχρὰς ὀκλάζειν ἐννοίας, μήτε μὴν τὸ ἀγεννὲς ἔν γε δὴ τούτῳ τιμᾷν φληνάφως, ἀνθελκομένους εἰς τὸ δεῖν ἑτέρους εἰδέναι θεοὺς, ἤγουν οἴεσθαί τινας ὑπάρχειν ὅλως παρὰ τὸν ἕνα καὶ ἀληθῶς. «Εἰ γὰρ καὶ λέγοιντό τινες θεοὶ καὶ κύριοι, ἔν τε τῷ οὐρανῷ, καὶ ἐπὶ γῆς, ἀλλ' ἡμῖν εἷς Θεὸς, ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ· καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα, καὶ ἡμεῖς ἐν αὐτῷ.» Ἥκιστα μὲν γὰρ τὴν τῆς θεότητος φύσιν συστελοῦμεν Ἰουδαϊκῶς, εἰς μόνον τὸν ἕνα Θεὸν καὶ Πατέρα, κατευρύνοντες δὲ ὥσπερ εἰς ἁγίαν τε καὶ ὁμοούσιον Τριάδα· καὶ μὴν καὶ προσώπων ποιότητι, καὶ ὑποστάσεως ἰδιότητι διαστέλλοντες, εἰς ἕνα δὴ πάλιν συστελοῦμεν Θεὸν, διὰ τὸ τῆς οὐσίας ταυτὸν, καὶ αὐτῷ λατρεύσομεν, αὐτῷ προσκυνήσομεν, ἐπικαλούμενοι τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον. «Οὐ γὰρ ἔσονται,» φησὶ, «θεοὶ ἕτεροι πλὴν ἐμοῦ·» καὶ πάλιν· «Κύριον τὸν Θεόν σου προσκυ 68.413 νήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.» Ἐπειδὴ δὲ εἷς μὲν ἔστι Θεὸς ὁ Πατὴρ, εἷς δὲ Κύριος ὁ Υἱὸς, ἓν δὲ Πνεῦμα ἅγιον ἐκπορευτὸν, οὔτε τὸν ἕνα Θεὸν τῆς ἀληθοῦς κυριότητος ἐξοίσομεν· οὔτε μὴν τὸν ἀληθῶς καὶ φύσει Κύριον, τοῦ εἶναι Θεὸν ἐκπέμψομεν· ἕψεται γὰρ θεότητι μὲν πάντως τῇ κατὰ φύσιν, ἡ κυριότης· κυριότητι δὲ αὖ τῇ κατ' ἀλήθειαν, ἡ τῆς θεότητος δόξα. {ΠΑΛΛ.} Ὀρθότατά γε καὶ ὅτι μάλιστα σοφῶς ἔφης. {ΚΥΡ.} Ἕνα δὴ οὖν, Παλλάδιε, Θεὸν εἰσόμεθα, καὶ ἐπ' αὐτῷ τὸ σύμπαν οὐδένα καταλογιούμεθα, τὴν ἀνόσιόν τε καὶ βέβηλον διψυχίαν, ὡς ἀλαζόνα καὶ ὑβρίστριαν ἀληθῶς, ἀπωτάτω ποιούμενοι τῆς ἑαυτῶν ψυχῆς, ἵνα μὴ καὶ ἡμῖν αὐτοῖς ἱερὸς ἐπιφωνῇ λόγος· «Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις; ἢ Βάαλ Βάαλ, ἢ Θεῷ Θεῷ.» Μονοτρόπους γὰρ ἡμᾶς, οὐχ ἑτερόφρονας καὶ σεσαλευμένους, εἰς ἃ μὴ προσῆκεν ἑτοιμότατα μεταπίπτοντας ὁρᾶσθαι δεήσει· ὡς τό τοι χωλεύειν ἐπ' ἄμφω καὶ καταδονεῖσθαι φιλεῖν, φαίην ἂν ἔγωγε τῶν ὅτι μάλιστα δυσαθεωτάτων. Καὶ γοῦν καὶ ὁ πάλαι νόμος θανάτῳ τιμᾶται τὸν οὐκ ἀσφαλῆ, φησὶ γάρ· «Ὁ θυσιάζων θεοῖς ἐξολοθρευθήσεται, πλὴν Κυρίῳ μόνῳ.» Τοιγάρτοι τῆς θείας κατεπαίρεσθαι δόξης, καὶ τὰ αὐτῇ καὶ μόνῃ διανέμειν πρέποντα, ἐπιχειρεῖν οἷς ἂν ἕλοιτό τις, καὶ τοῖς μὴ φύσει χαρίζεσθαι θεοῖς, νοσημάτων αἴσχιστον, μᾶλλον δὲ δυσσεβείας ἂν γένοιτο τῆς ἐσχάτης ἔγκλημα καὶ γραφή. Ἀπηλλάχθαι δὴ οὖν τῶν τοιούτων ἀνάγκη, τόν γε ὡς ἀληθῶς γνήσιον καὶ θεοφιλῆ, καὶ οὐχὶ δὴ μόνον ἀποκαθαίροντα τὴν καρδίαν, ἀλλὰ μηδ' ὅσον εἰπεῖν διὰ γλώσσης ἱέντα ποτὲ τὸ εἴδωλον ὄνομα. Γέγραπται γὰρ, ὅτι «Καὶ ὄνομα θεῶν ἑτέρων οὐκ ἀναμνησθήσεσθε, οὐδ' οὐ μὴ ἀκουσθῇ ἐκ τοῦ στόματος ὑμῶν.» Ἃ γὰρ αἰσχρὸν εἰδέναι, λαλεῖν οὐκ ἀζήμιον. Πανταχῇ δὲ τὸ ἐν πίστει γνήσιον τιμᾷν ἡρημένους, διαμεμνῆσθαι προσήκει τοῦ μακαρίου Παύλου γράφοντος ὧδε· «Ἀδύνατον γὰρ τοὺς ἅπαξ πεφωτισμένους, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν.» Οἱ γὰρ ἅπαξ εἰς μετάληψιν τῆς οὐρανίου καὶ θείας ἐνηνεγμένοι χάριτος, διά γε τοῦ ἁγίου βαπτίσματος, ἀναστάσεώς τε πέρι, καὶ τῆς τοῦ Χριστοῦ βασιλείας τὸν ἀληθῆ καὶ ζωοποιὸν παραδεξάμενοι λόγον, εἰ παλινδρομεῖν ἕλοιντο πρὸς τὸ ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀρχαῖς, καὶ νόσον ὑποδραμεῖν τὴν πρώτην, οὐκ ἀνακαινισθήσονται πρὸς καθαρισμὸν διὰ δευτέρου βαπτίσματος· «Οὐ γὰρ ἡ αὐτῶν ἀπιστία τὴν πίστιν τοῦ Θεοῦ καταργήσει,» καθά φησιν ὁ θεσπέσιος Παῦλος. Οὐδὲ ἐπείπερ καταπεφρονήκασί τινες ἀνόπιν ἰόντες τῆς θείας χάριτος, τὸ ἀβέβαιον καταγράψομεν· ποιναῖς δὲ μᾶλλον ὁ τῶν ὅλων ὑποθήσει κριτὴς τοὺς εἰς τοῦτο κατολισθεῖν δυσσεβείας οὐ παραιτουμένους, ὡς τὸν Υἱὸν τοῦ Θεοῦ καταπατῆσαι καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγήσασθαι, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσαι, ἐν ᾧ 68.416 ἡγιάσθησαν, καὶ γεγόνασι τῆς θείας φύσεως κοινωνοί. Ὥσπερ γὰρ στρατιώτην τὸν ῥιψάσπιδά τε καὶ φυγοπόλεμον, οὐ δευτέροις τιμᾶσθαι σημάντροις, ἀλλ' ἤδη κολάζεσθαι χρὴ, καὶ τῆς ἀνανδρείας ἀποτιννύναι λόγους· τὸν αὐτὸν, οἶμαι, προσήκει τρόπον, τοὺς οὕτω σεπτήν τε καὶ ἀξιάγαστον περιυβρίζοντας χάριν, οὐ τοῦ δευτέρου τιμᾶσθαι Πνεύματος δόσει, τῆς πρώτης ἀθετουμένης, ἀλλ' ἤδη ποιναῖς ὑποκεῖσθαι πρέπει. Ὅτι γὰρ τοὺς ἅπαξ πεφωτισμένους εἰς τοῦτο ἰέναι προσήκει γνώμης, καὶ ἑδραιότητος λογισμῶν, ὡς εἰδέναι μὲν ἕνα τὸν φύσει Θεὸν, καταμυσάττεσθαι δὲ τοὺς ἕτερόν τι παρὰ τοῦτο εἰσηγουμένους, καὶ ἐπιθυμημάτων ποιεῖσθαι κάλλιστον, τὸ ἐπιθρώσκειν εἰδώλοις, καὶ κατασείειν ναοὺς, καὶ οὐδὲν ἡγεῖσθαι τὰ Ἑλλήνων σεβάσματα, καὶ ἀρχαῖος ἡμᾶς διδάξει λόγος. Γέγραπται γὰρ ἐν τοῖς Ἀριθμοῖς· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην κατὰ Ἱεριχὼ, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην εἰς γῆν Χαναὰν, καὶ ἀπολεῖτε πάντας τοὺς κατοικοῦντας ἐν τῇ γῇ πρὸ προσώπου ὑμῶν. Καὶ ἐξαρεῖτε τὰς σκοπιὰς αὐτῶν, καὶ πάντα τὰ εἴδωλα τὰ χωνευτὰ αὐτῶν ἀπολεῖτε αὐτὰ, καὶ πάσας τὰς στήλας αὐτῶν ἐξαρεῖτε.» Συνίης ὅτι τοὺς παρελθόντας τὸν Ἰορδάνην, ἐκ μέσου ποιεῖσθαι χρὴ βωμοὺς καὶ τεμένη, καὶ αὐτοῖς εἰδώλοις καὶ στήλαις ἀναμοχλεύειν ἀμελητί; ὡς τό γε φειδὼ τοῖς τοιούτοις τυχὸν ἀπονέμειν κακοῖς μήνυσις ἂν γένοιτο σαφὴς, τοῦ μὴ ἐρηρεῖσθαι καλῶς, μήτε μὴν ἀκαταιτίατον τῷ Θεῷ τὴν καρδίαν ἀφιεροῦν, καίτοι λέγοντι σαφῶς περὶ τῶν ἀθέων καὶ πονηρῶν· «Οὐ προσκυνήσεις τοῖς θεοῖς αὐτῶν, οὐδ' οὐ μὴ λατρεύσῃς κατὰ τὰ ἔργα αὐτῶν, ἀλλὰ καθαιρέσει καθελεῖς, καὶ συντρίβων συντρίψεις τὰς στήλας αὐτῶν, καὶ λατρεύσεις Κυρίῳ τῷ Θεῷ σου, καὶ εὐλογήσω τὸν ἄρτον σου, καὶ τὸν οἶνόν σου, καὶ τὸ ὕδωρ σου· καὶ ἀποστρέψω μαλακίαν ἀφ' ὑμῶν· οὐκ ἔσται ἄγονος, οὐδὲ στεῖρα ἐπὶ τῆς γῆς σου, τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσω.» Ἔστι γὰρ οὐκ ἀσυμφανὲς, ὡς τοῖς ἄγαν ἐρηρεισμένοις καὶ ἐξ ὑγιοῦς διανοίας τῷ τῶν ὅλων Θεῷ προσκειμένοις, ἀπόδειξίν τε τοῦ πράγματος ἐναργῆ ποιεῖσθαι μεμελετηκόσι, τὸ κατασείειν βωμούς τε καὶ στήλας, καὶ ἀνθρώπων ἀθύρματα παρεφθαρμένων τὸν νοῦν, θείων ἔσται χαρισμάτων πρόξενον. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Εἰ γὰρ δὴ καθέλῃς τὰ χειροποιητὰ, φησὶ λατρεύσειάς τε Θεῷ, τὰ παρ' ἐκείνοις ἔθη μεμισηκὼς, «Εὐλογήσω τὸν ἄρτον σου, καὶ τὸν οἶνόν σου. καὶ τὸ ὕδωρ σου.» Μυστικὸς ὁ λόγος καὶ βαθύς· τοῖς γὰρ Θεῷ γνησίοις, πρὸς εὐλογίας ἔσται πνευματικῆς, τῶν τοῦ Χριστοῦ μυστηρίων ἡ μέθεξις, καὶ ἡ διὰ τοῦ ἁγίου βαπτίσματος χάρις. Τοῖς γε μὴν διψυχοῦσιν ἔτι, κεκινημένοις εἰς ἀπόστασιν, ὀργὴ καὶ κατάκριμα· καὶ τί γὰρ οὐχὶ τῶν δεινῶν, τὸ μεταλαχεῖν ἐστι τῆς εὐλογίας τῆς πνευματικῆς; καὶ τοῦτο, 68.417 οἶμαι, ἔστιν, ὃ καὶ ὁ σοφὸς ἔφη Παῦλος, ὅτι «Ὁ ἐσθίων καὶ πίνων τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ ἀναξίως, κατάκριμα ἑαυτῷ ἐσθίει καὶ πίει, μὴ διακρίνων τὸ σῶμα Κυρίου. Δοκιμαζέτω δὲ,» φησὶν, «ὁ ἄνθρωπος ἑαυτὸν, καὶ τότε ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω·» Ἔσται τοίνυν πρὸς εὐλογίας, φησὶ, τῶν ἁγίων μυστηρίων ἡ μέθεξις, τοῖς γε ὡς ἀληθῶς φιλοθεωτάτοις. Καὶ ἀπαλλαγήσονται δὲ μαλακισμοῦ, τουτέστι, τοῦ νοσεῖν ἑτοίμως τὸ ἀδικεῖν πεφυκὸς, καὶ ἀποκομίζον εἰς ἀνανδρίαν· ἀλλ' οὐδὲ ἄγονος ἔσται, φησὶν, ἐν αὐτοῖς, οὐδὲ στεῖρα. Γονιμωτάτη γὰρ πᾶσα θεοφιλὴς καὶ ὁσία ψυχὴ, καὶ καρποῖς ἁγίοις κατάκομος, φημὶ δὲ δὴ πάλιν, τοῖς ἐξ ἀρετῆς αὐχήμασιν. {ΠΑΛΛ.} Ὧδε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχει. {ΚΥΡ.} Εὐκατάσειστον δὲ τὴν καρδίαν ἔχειν οὐκ ἐῶν, εὐμηχανῶς ἐπιτρέπει πρὸς τὸ δεῖν ἑλέσθαι τὸ βεβηκὸς εἰς πίστιν, καὶ εἰς εὐσέβειαν ἀσφαλές· ποτὲ μὲν γὰρ λογισμοῖς τοῖς καθήκουσιν μεταπαιδεύων ἐπὶ τὸ ἄμεινον, ἀποσπουδάζειν κελεύει, μᾶλλον δὲ ἀποστρέφεσθαι παντελῶς, ὡς ὀλέθρου πρόξενον, τὸ θύειν εἰδώλοις ἢ προσκυνεῖν, διαβολῆς τῆς ἐσχάτης, μᾶλλον δὲ δυσσεβείας τῆς ἀνωτάτω δεικνὺς ἀνάπλεων τὴν τοιάνδε νόσον· ποτὲ δὲ καὶ φόβον, τὸν τοῦ κολάζεσθαι λέγω, παιδαγωγὸν ὥσπερ τινὰ καὶ γενναῖον ἡμῖν ἐπιστήσας φύλακα, περιτρέπει πανταχόθεν ἐπὶ τὸ ἀρέσκον αὐτῷ. Καὶ γοῦν ἐν τῷ Δευτερονομίῳ φησὶν ὁ μακάριος Μωσῆς· «Καὶ ταῦτα τὰ προστάγματα καὶ τὰ κρίματα, ἃ φυλάξεσθε τοῦ ποιῆσαι ἐπὶ τῆς γῆς, ἣν Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ πάσας τὰς ἡμέρας, ἃς ὑμεῖς ζῆτε ἐπὶ τῆς γῆς. Ἀπωλείᾳ ἀπολεῖτε πάντας τοὺς τόπους, ἐν οἷς ἐλάτρευσαν ἐκεῖ τὰ ἔθνη τοῖς θεοῖς αὐτῶν, οὓς ὑμεῖς κληρονομεῖτε αὐτοὺς ἐπὶ τῶν ὀρέων τῶν ὑψηλῶν, καὶ ἐπὶ τῶν θινῶν, καὶ ὑποκάτω δένδρου δασέος. Καὶ κατασκάψετε τοὺς βωμοὺς αὐτῶν, καὶ συντρίψετε τὰς στήλας αὐτῶν, καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρὶ, καὶ ἀπολεῖτε τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου.» Οἱ μὲν Ἑλλήνων σοφοὶ καὶ λογάδες, ποιηταὶ δὲ μάλιστα, ὀρειάδας τινὰς καὶ ἁμαδρυάδας ὀνομάζουσι νύμφας, ἤτοι δαίμονας. Εἰσὶ δὲ οἳ καὶ τοῖς κατὰ τόπον ὑψώμασι τοὺς παρὰ σφίσι τιμᾷν ᾑρημένοι θεοὺς, βωμοὺς ἱστάντες ἐν ὄρεσι, βουθυτεῖν ἐσπούδαζον, καὶ τοῖς τῶν δένδρων εὐφυεστέροις περιιδρύσαντες ἔλη καὶ δαιμονίων ἰνδάλματα, μηλοσφαγίαις ἐκέχρηντο. Ἀλλ' ἦν ἀναγκαῖον κατοῤῥωδοῦντας οὐδὲν τοὺς ὑπὸ Θεῷ γεγονότας τῷ κατ' ἀλήθειάν τε καὶ φύσει, τὰ τῶν πλανωμένων κατασείειν ἀθύρματα, καὶ τῶν παρ' ἐκείνοις ἐθῶν ὡς ἀπωτάτω χωρεῖν. Τοιγάρτοι φησὶ πάλιν· «Ἐὰν δὲ ἐξολοθρεύσῃ Κύ-ριος ὁ Θεός σου τὰ ἔθνη, εἰς οὓς σὺ πορεύσῃ ἐκεῖ τοῦ κληρονομῆσαι τὴν γῆν αὐτῶν, ἀπὸ προσώπου σου, καὶ κατακληρονομήσῃς αὐτοὺς, καὶ κατοικήσῃς ἐν τῇ γῇ αὐτῶν, πρόσεχε σαυτῷ, μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς μετὰ τὸ ἐξολοθρευθῆναι αὐτοὺς ἀπὸ προσώπου σου, οὐ μὴ ἐκζητήσῃς τοὺς θεοὺς αὐτῶν, λέγων, Πῶς ποιοῦσι τὰ ἔθνη ταῦτα τοῖς 68.420 θεοῖς αὐτῶν, ποιήσω καὶ ἐγώ· οὐ ποιήσῃς οὕτω Κυρίῳ τῷ Θεῷ σου· τὰ γὰρ βδελύγματα, ἃ Κύριος ἐμίσησεν, ἐποίησαν τοῖς θεοῖς αὐτῶν, ὅτι καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν κατακαίουσιν ἐν πυρὶ τοῖς θεοῖς αὐτῶν.» Εὖ γε ὁ νομοθέτης ἀποφάσκει παντελῶς τῶν πλανωμένων τὴν μίμησιν, καὶ ἀποφοιτᾷν εὖ μάλα κελεύει τῆς ἀνηλεοῦς τῶν τέκνων σφαγῆς. Φθόρους δὲ καὶ λυμεῶνας τῆς ἀνθρωπότητος τοὺς φιλαιμάτους τε καὶ ψευδωνύμους ἐλέγχει θεοὺς, καὶ αὐτοὺς ἀγρίως τοὺς τῆς ἀναγκαίας φιλοστοργίας ἀτιμάζοντας νόμους, διά γε τὸ σφίσι δοκοῦν· «Ἔκτισε μὲν γὰρ εἰς τὸ εἶναι τὰ πάντα Θεὸς, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν ᾅδου βασίλειον ἐπὶ γῆς. Φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν.» Καὶ ἡ μὲν θεία θέλησις ἀνατρέπει θάνατον, καὶ καταλύει φθοράν· καὶ τὸ οὐκ εἶναι τὰ ὄντα, μισεῖ· ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, καθὰ γέγραπται. Οἱ δὲ ταῖς τῶν δαιμονίων πλεονεξίαις σεσαγηνευμένοι πρὸς πλάνησιν, καθάπερ ἡδύσματα, καὶ τῶν ὅτι μάλιστα χρηστῶν καὶ εὐοσμοτάτων θυμιαμάτων, προσκομίζουσι τῷ Σατανᾷ τῶν ἐπὶ ζωῇ γεγονότων τὸν ὄλεθρον, καὶ τῶν ἐκτισμένων εἰς τὸ εἶναι, τὸν θάνατον. Εὐφυέστατα τοίνυν, τῆς ἐσχάτης δεῖξαι διαβολῆς τὰ παρ' ἐκείνοις ἔμπλεω ἠβουλήθη καὶ φύσιν ἀδικουμένην, καὶ τῆς πολυεύκτου φιλοπαιδίας πεπατημένους θεσμοὺς, μετασοβῶν εὖ μάλα τὸν εὐγενῆ καὶ μισόκακον νοῦν τῶν ἀκροωμένων ἐπὶ τὸ χρῆναι τιμᾷν καὶ ἀνθελέσθαι γοργῶς ἅπερ ἂν αὐτὸς βούλοιτό τε καὶ λέγοι. Καὶ ταυτὶ μὲν, εἰς ἀνατροπὴν τῆς παρ' ἐκείνοις ἀνοσιότητος ἐνομοθετεῖτο πάλαι. Καθορίζει δὲ θάνατον τοῦ μεταπείθειν ἐθέλοντος τὸν ἐρηρεισμένον, καὶ τῆς ἀληθείας τὴν γνῶσιν φιλοθέως εἰσδεδεγμένον. Ἔφη γὰρ οὕτω πάλιν· «Ἐὰν δὲ ἀναστῇ ἐν σοὶ προφήτης ἢ ἐνυπνιαζόμενος τὸ ἐνύπνιον, καὶ δῷ σοι σημεῖον ἢ τέρας,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἔλθῃ τὸ σημεῖον ἢ τὸ τέρας, ὃ ἐλάλησε πρὸς σὲ, λέγων· Πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις οὓς οὐκ οἴδατε, οὐκ ἀκούσεσθε τῶν λόγων τοῦ προφήτου ἐκείνου ἢ τοῦ ἐνυπνιαζομένου τὸ ἐνύπνιον ἐκεῖνο, ὅτι πειράζει Κύριος ὁ Θεός σου ὑμᾶς τοῦ εἰδέναι, εἰ ἀγαπᾶτε τὸν Θεὸν ὑμῶν ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν· ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύσεσθε, καὶ τοῦτον φοβηθήσεσθε, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξεσθε, καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε, καὶ αὐτῷ δουλεύσετε, καὶ αὐτῷ προστεθήσεσθε. Καὶ ὁ προφήτης ἐκεῖνος ἢ ὁ τὸ ἐνύπνιον ἐνυπνιαζόμενος ἐκεῖνος, ἀποθανεῖται· ἐλάλησε γὰρ ἀποπλανῆσαί σε ἀπὸ Κυρίου τοῦ Θεοῦ σου.» Ὡς ὅσιός τε καὶ Θεῷ πρέπων ὁ νόμος! Εἰ γάρ τοι τοῖς τῶν σωμάτων φονευταῖς πάντη τε καὶ πάντως τὸ ἐκτεθνάναι δεῖν ἕψεται κατὰ νόμους, πῶς ἂν οὐχὶ κινδυνεύσειεν εἰκότως ὁ ψυχῇ τὴν ὀλέθριον ἐπιφέρων πλάνησιν, καὶ βόθροις τῆς ἀπωλείας ἐνιεὶς τὴν ἀμείνω σώματος, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν; Χρῆναι μὲν δὴ τὴν ἐφ' αἵματι πράττεσθαι δίκην, τὸν ἀπατεῶνα καὶ βωμολόχον, ἐδικαίου Θεός· 68.421 ποινὴν δὲ τὴν ἴσην καταψηφίζεται καὶ τὸν εὐπαράφορόν τε καὶ ἐλαφρὸν ὑποτεθεικότων τοῖς τοιοῖσδε νοῦν. Ἐξὸν γὰρ εὐκόλως διαδράναι, φησὶν, ἀνανήφοντα πρὸς τὸ ἀληθὲς, ἐθελούσιον ἀνθ' ὅτου τὴν εἴς γε τὸ ἀδικοῦν ἀποδρομὴν ἐποιήσατο; «Ἐὰν δὲ εὑρεθῇ ἐν σοὶ ἐν μιᾷ τῶν πόλεών σου, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι, ἀνὴρ ἢ γυνὴ, ὅστις ποιήσει τὸ πονηρὸν ἐναντίον Κυρίου τοῦ Θεοῦ σου, παρελθεῖν τὴν διαθήκην αὐτοῦ, καὶ ἀπελθόντες λατρεύσωσι θεοῖς ἑτέροις, καὶ προσκυνήσωσιν αὐτοῖς, τῷ ἡλίῳ ἢ τῇ σελήνῃ, ἢ παντὶ τῶν ἐκ τοῦ κόσμου τοῦ οὐρανοῦ, ἃ οὐ προσέταξέ σοι, καὶ οὐκ ἀνηγγέλη σοι, καὶ ἐκζητήσει σφόδρα, καὶ ἰδοὺ ἀληθὲς γέγονε τὸ ῥῆμα, γεγένηται τὸ βδέλυγμα τοῦτο ἐν Ἰσραήλ· καὶ ἐξάξεις τὸν ἄνθρωπον ἐκεῖνον, ἢ τὴν γυναῖκα ἐκείνην, οἵτινες ἐποίησαν τὸ πρᾶγμα τὸ πονηρὸν τοῦτο, καὶ λιθοβολήσετε αὐτοὺς ἐν λίθοις, καὶ τελευτήσουσιν· ἐπὶ δυσὶ μάρτυσιν ἢ ἐπὶ τρισὶ μάρτυσιν ἀποθανεῖται ὁ ἀποθνήσκων· οὐκ ἀποθανεῖται ἐφ' ἑνὶ μάρτυρι· καὶ ἡ χεὶρ τῶν μαρτύρων ἔσται ἐπ' αὐτῷ ἐν πρώτοις θανατῶσαι αὐτὸν, καὶ ἡ χεὶρ τοῦ παντὸς λαοῦ ἐπ' ἐσχάτων· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν·» Θεοῦ γὰρ ἠδικημένου περὶ τὸ ἴδιον σέβασμα, τὸ ἐποικτείρειν οὐκ ἀσφαλές. Ἐπιζήμιον δὲ κομιδῇ τὸ μὴ ἐν καιρῷ μαλακίζεσθαι πρὸς ἀνάνδρους φιλαλληλίας· καὶ τοῦτο, οἶμαι, ἔστιν ὅπερ ἔφη Κύριος· «Ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος.» Ἐῤῥέτω γὰρ καὶ τότε νόμος φιλοστοργίας, καὶ φυσικῆς ἀγάπης οἰχέσθω δύναμις, καὶ πᾶν ὁτιοῦν τῶν ἡκόντων εἰς φιλανθρωπίαν, καὶ ἵν' οὕτως εἴπωμεν, δι' εὐσεβοῦς σκληρότητος θεραπευέσθω Θεός. Ἦ γὰρ οὐχ ὅσιον εἶναι φὴς, τοὺς ἀπροφάσιστον ἔχοντας τὴν ἀπόστασιν, κολάζεσθαι δεῖν ἀφιλοικτειρμόνως, ὡς τὴν ἐπέκεινα πάντων καταλυποῦντας δόξαν, καὶ ὑβρίζειν ἀφυλάκτως οὐ παραιτουμένους, ὃν ἦν δή που κρεῖττον ταῖς εἰς ἑδραιότητα κατευφραίνειν σπουδαῖς; {ΠΑΛΛ.} Ὅσιον, πῶς γὰρ οὔ; {ΚΥΡ.} Μεμνήσομαι δὲ διειπόντος αὐτοῦ τοῖς ἀρχαιοτέροις· «Τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι ἀπέστησαν ἀπ' ἐμοῦ μακρὰν, καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων, καὶ ἐματαιώθησαν;» Κατατεθηπὼς δὲ ὥσπερ ἐπ' ἀκράτοις ἀμαθίαις τοὺς ἐξ Ἰσραὴλ, ὧδέ πή φησιν· «Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον ἡ γῆ σφόδρα, λέγει Κύριος· ὅτι δύο πονηρὰ ἐποίησεν ὁ λαός μου. Ἐμὲ ἐγκατέλιπε πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν.» Εὐβουλίας γὰρ ἁπάσης ἀφαμαρτεῖν οἰηθείην ἂν ἔγωγε, καὶ μάλα εἰκότως τοὺς, οἵ γε τῆς εἰς Θεὸν ἀποφοιτῶντες λατρείας, τῇ κτίσει λατρεύουσι παρὰ τὸν Κτίστην καὶ Ποιητὴν, ἤγουν ἔτι πρὸς αἰσχίω καταθρώσκοντες πλάνησιν, προσκυνοῦσι τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν· καί τοι ἦν εὐκόλως, εἴπερ ἕλοιντο φρονεῖν ὀρθῶς, τῆς ὑπὲρ πάντα καὶ ἀῤῥήτου φύσεως καταθεάσασθαι τὸ κάλλος ἀπὸ κτίσεως κόσμου, καὶ ἐκ τῆς τῶν γεγονότων εὐρυθμίας τὸν ταξίαρχον καὶ ἡγεμόνα καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐννοεῖν. Ἀλλὰ τὴν οὕτω σεπτήν τε καὶ ἀξιάγαστον γνώμην διαπτύσαντες, τινὲς τῶν 68.424 ἀρχαιοτέρων, χρύσεα χαλκείων ἠλλάξαντο, κατὰ τοὺς παρ' Ἕλλησι ποιητάς. Τὸ γάρ τοι χρῆναι μεθέντες Θεῷ τῷ κατὰ φύσιν προσκυνεῖν, μειρακιωδῶς ἐτράποντο πρὸς ἀνόνητον εἰκαιολατρείαν· αἰσχύνην καὶ γέλωτα τῆς ἑαυτῶν καταχέοντες κεφαλῆς καὶ ἐπικουρίας τῆς ἄνωθεν αὐτόκλητον ᾑρημένοι τὴν ἀπόπτωσιν. Καὶ γοῦν ἔφη Θεός· «Ὡς αἰσχύνη κλέπτου ὅταν ἁλῷ, οὕτως αἰσχυνθήσονται οἱ υἱοὶ Ἰσραὴλ αὐτοὶ, καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ οἱ ἄρχοντες αὐτῶν, καὶ οἱ ἱερεῖς αὐτῶν, καὶ οἱ προφῆται αὐτῶν· τῷ ξύλῳ εἶπαν, ὅτι Πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ· Σὺ ἐγέννησάς με. Καὶ ἔστρεψαν ἐπ' ἐμὲ νῶτα, καὶ οὐ πρόσωπα αὐτῶν· καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦσιν· Ἀνάστα καὶ σῶσον ἡμᾶς. Καὶ ποῦ εἰσὶν οἱ θεοί σου, οὓς ἐποίησας σαυτῷ; Εἰ ἀναστήσονται καὶ σώσουσί σε ἐν τῷ καιρῷ τῆς κακώσεώς σου; ὅτι κατὰ ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου, Ἰούδα, καὶ κατὰ ἀριθμὸν διόδων τῆς Ἱερου-σαλὴμ, ἔθυον τῷ Βαάλ. Ἱνατί λαλεῖτε πρός με; Πάντες ὑμεῖς ἠνομήσατε εἰς ἐμὲ, λέγει Κύριος.» {ΠΑΛΛ.} Δεινόν γε ὡς ἀληθῶς τὸ χρῆμα, ὦ τᾶν. {ΚΥΡ.} Ἀλλ' ὁ μέν τις ἔσθ' ὅτε τῶν τελούντων ἐν ἡμῖν, ἐρηρεισμένος δὲ οὔπω λίαν, κατάπλαστον δὲ καὶ νόθην τὴν εἰς Χριστὸν ἐπιτηδεύσας ἀγάπησιν, καὶ οἷος ὥσπερ κώδιον ἑαυτῷ περιτιθεὶς τὸ δοκεῖν εἶναι θεοφιλὴς, πικρὸν καὶ ἀνόσιον ἔσται θηρίον, κέρκωψ τε καὶ ἀλλοπρόσαλλος, ὡς οἴκοι καὶ νυκτὶ, φημὶ δὴ τὸ λεληθότως, ταῖς τῶν δαιμονίων προσκεῖσθαι λατρείαις, οἴεσθαι δέ που κατὰ τὸ εἰκὸς, καὶ αὐτὸν δύνασθαι διαδράναι Θεὸν, καὶ τὸν τῆς ἀῤῥήτου φύσεως παραλογίσασθαι νοῦν. Ἐκδείξῃ δ' ἄν τις καὶ λίαν ἀμογητὶ, τὸν ᾧγε ταυτὶ πάρεστι φρονεῖν, τῆς Ἑλλήνων ἀβελτηρίας τὰ αἰσχίω βεβουλημένον. Τοῖς μὲν γὰρ παρ' Ἕλλησι σοφοῖς κτιστὸν καὶ γεννητὸν ὄντα, πάντ' ἐφορᾷν καὶ πάντ' ἐπακούειν, ὀρθῶς ἔχειν ἐδόκει τὸν ἥλιον, τὸν φωστῆρα τὸν μέγαν, καὶ ἐπ' αὐτῷ δὴ τούτῳ πεποιημένον παρὰ Θεοῦ· ᾤοντο γὰρ δεῖν τὸ ἐν Θεοῦ τάξει παρειλημμένον, τοῖς τῆς θείας φύσεως καταπλουτεῖν ἀξιώμασιν. Ἀξίωμα δὲ τῆς ἀνωτάτω φύσεως, τὰ πάντα εἰδέναι καὶ καθορᾷν. Ἀλλ' ἐκεῖνοι μὲν ἐν τούτοις· ἡμῖν δὲ Θεὸς ἐπεφώνει πάλαι· «Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν· μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;» Λάθοι γὰρ οὐδὲν τόν γε ἀληθῶς φύσει Θεόν. Καὶ μυσταγωγείτω ὁ μακάριος Δαβὶδ λέγων· «Σύνετε δὴ, ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί, ποτὲ φρονήσατε· ὁ φυτεύσας τὸ οὖς, οὐκ ἀκούσει; καὶ ὁ πλάσας ὀφθαλμοὺς, οὐχὶ κατανοεῖ;» Ἔφασκον, οἶμαι, τινὲς ἐξ ἀσυνεσίας· «Οὐκ ὄψεται Κύριος, οὐδ' οὐ συνήσει ὁ Θεὸς Ἰακώβ.» Ἢ οὐκ ἠλίθιον κομιδῇ, τὸ μήτε εἰδέναι λέγειν τὸν τῆς γνώσεως χορηγὸν, μήτε μὴν ἐπαίειν οἴεσθαι, τὸν τοῖς παρ' αὐτοῦ γεγονόσι τὸ χρῆμα διδόντα; 68.425 {ΠΑΛΛ.} Ἀπίθανον παντελῶς. {ΚΥΡ.} Προσκυνητέον οὖν ἄρα μόνῳ τε καὶ ὁλοτρόπως Κυρίῳ τῷ Θεῷ, κατὰ τὰς Γραφὰς, ἑτέρῳ δὲ παρ' αὐτὸν οὐδενί. Γέγραπται γὰρ, ὅτι «Τέλειος ἔσῃ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου.» Τελειότης δὲ πνευματικὴ, τὸ ἱδρυμένον ἐν πίστει, καὶ ἀμώμητον εἰς λατρείαν, καὶ τῆς εἰς Θεὸν ἀγάπης τὸ ἀδιάβλητον κάλλος. {ΠΑΛΛ.} Οὕτω φημί. {ΚΥΡ.} Ἆρ' οὖν, ὦ Παλλάδιε, τοὺς ἥκιστα μὲν θεοῖς ἑτέροις, ἤγουν τῇ κτίσει παρὰ τὸν Κτίσαντα προσκυνεῖν ἑλομένους· πειθομένους δὲ οὐκ οἶδ' ὅπως ταῖς τῶν εἰδωλολατρούντων ψευδομαντείαις, μώμου καὶ αἰτίας ἀπαλλάξομεν; ἢ τῶν εἰς ἀπόστασιν ἐγκλημάτων ἐλευθέρους ἀποφαίνειν τοῖς γε ὡς ἀληθῶς γνησίοις ἀσφαλές; {ΠΑΛΛ.} Οὐδαμῶς. {ΚΥΡ.} Ἀστρογοητεῖαι δὲ καὶ κληδονισμοὶ καὶ ψευδομαντεῖαι, καὶ δαιμονιώδεις φενακισμοὶ, πρέποιεν ἂν, οἶμαί που, μόνοις τε καὶ τάχα τοῖς ἐκτοπώτατα προτεθυμημένοις τὴν ἀκλεᾶ καὶ ἐπάρατον εἰδωλολατρείαν εἰσοικίζεσθαι κατὰ νοῦν. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. Ἐπείτοι καὶ θεῖος ἡμῖν παρεγγυᾷ λόγος, τὴν εἴς γε τούτους αἰσχρότητα καταμυσάττεσθαι δεῖν. Ἔχει δὲ οὕτως· «Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐ μαθήσῃ ποιεῖν κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων· οὐχ εὑρεθήσεται ἐν σοὶ περικαθαίρων τὸν υἱὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ καὶ τὴν θυγατέρα αὐτοῦ ἐν πυρὶ, μαντευόμενος μαντείαν, καὶ κληδονιζόμενος, καὶ οἰωνιζόμενος, φαρμακὸς, ἐπᾴδων ἐπαοιδὴν, ἐγγαστρίμυθος, καὶ τερατοσκόπος, καὶ ἐρωτῶν τοὺς νεκρούς· ἔστι γὰρ βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν ταῦτα.» Καὶ μεθ' ἕτερα πάλιν φησί· «Τέλειος ἔσῃ ἔναντι Κυρίου τοῦ Θεοῦ σου· τὰ ἔθνη ταῦτα, οὓς σὺ κατακληρονομήσεις αὐτοὺς, οὗτοι κληδονισμῶν καὶ μαντειῶν ἀκούσονται· σοὶ δὲ οὐχ οὕτως ἔδωκε Κύριος ὁ Θεός σου. Προφήτην ἐκ τῶν ἀδελφῶν σου ὡς ἐμὲ ἀναστήσει Κύριος ὁ Θεός σου· [αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ᾐτήσω παρὰ Κυρίου τοῦ Θεοῦ σου] ἐν Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας.» {ΚΥΡ.} Εὖγε, ὦ φιλότης. Ἑψόμεθα γὰρ οὐχὶ τερατοσκόποις τε καὶ νεκρομάντεσιν, ἀλλ' οὐδὲ πτήσεις τῶν οἰωνῶν, ὡς ἀληθές τι χρῆμα παραδεξόμεθα, κἂν εἰ φέροιντο πρὸς δεξιὸν, εἴτ' οὖν εἰς εὐώνυμον· κἂν εἰ πρὸς ἑσπέραν τε καὶ πρὸς ἠῶ· μωρίας γὰρ ταυτὶ τῆς ἐσχάτης. Ἡγεμόνα δὲ τοῦ παντὸς ποιούμενοι τὸν Χριστὸν τὸν δι' ἡμᾶς καθ' ἡμᾶς προφήτην, παρ' αὐτοῦ ληψόμεθα τῶν ἀναγκαίων τὴν γνῶσιν, καὶ αὐτῷ προσεδρεύσομεν, οἰμώζειν μακρὰ ταῖς τῶν δαιμονίων ψευδοεπείαις καὶ τὸ ἐῤῥῶσθαι λέγοντες. Μόνῳ γὰρ ὥσπερ τὸ χρῆναι ζωοποιεῖν καὶ κατάρχειν τῶν ὅλων, φυσικῶς τε καὶ ἰδικῶς ἀνακείσεται Θεῷ· 68.428 τὸν αὐτὸν, οἶμαι, τρόπον, καὶ τὸ πάντων ἔχειν τὴν γνῶσιν. Ἴδιον δὲ φύσεως τῆς αὐτοῦ, τὸ εἰδέναι σαφῶς τὰ ἐσόμενα, καὶ συνειλεγμένην ὥσπερ ἐν ἑαυτῷ τὴν τῶν ὅλων εἴδησιν ἔχειν. Ἦ οὐχὶ σοφός τε καὶ ἀτρεκὴς ὁ ἐπὶ τῷδε λόγος; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Εἰς αὐτὸν οὖν ἄρα πλημμελήσομεν, καὶ εἰς τὴν ἀνωτάτω δόξαν ἡ γραφὴ, εἰ βεβήλοις τε καὶ ἀκαθάρτοις πνεύμασιν ἐνεῖναι πιστεύσομεν τὰ δι' ὧν αὐτὸς κατακαλλύνοιτό τε καὶ ὑπάρχει λίαν ἐκπρεπής. Ὥρα ἤδη διακειμένους ὡδὶ φληνάφως ὑπονοεῖν καὶ ζωοποιεῖν δύνασθαι, καὶ δὴ καὶ δημιουργὸν ὑπάρχειν τὸν Σατανᾶν, εἰ τὰ πάντων ἐξαίρετα καὶ ἰδικῶς ἀνακείμενα τῇ τοῦ Θεοῦ φύσει, χαριούμεθά τε αὐτῷ, καὶ προσπεφυκέναι φαμέν· ἴδιον δὲ καὶ ἐξαίρετον ἀγαθὸν τῆς ἀνωτάτω φύσεως, τῶν ἐσομένων ἡ γνῶσις. Ἦ οὐκ ἀληθὲς ὅ φημι; {ΠΑΛΛ.} Καὶ μάλα. Φησὶ γὰρ διὰ φωνῆς Ἡσαΐου. πρός τινας ἀνατιθέντας τῇ κτίσει τὰ τοῦ Θεοῦ· «Μνήσθητε ταῦτα, καὶ στενάξατε· μετανοήσατε, οἱ πεπλανημένοι, ἐπιστρέψατε τῇ καρδίᾳ, καὶ μνήσθητε πρότερα ἀπὸ τοῦ αἰῶνος, ὅτι ἐγώ εἰμι Θεὸς, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ ἀναγγέλλων πρότερον τὰ ἔσχατα, πρὶν αὐτὰ γενέσθαι, καὶ ἅμα συνετελέσθη, καὶ εἶπα· Πᾶσά μου ἡ βουλὴ στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι, ποιήσω.» Μήνυσιν γὰρ ὥσπερ τοῦ μὴ ἕτερον εἶναί τινα παρ' αὐτὸν φύσει τε καὶ ἀληθῶς Θεὸν τοῖς ἀκροωμένοις ἐτίθει τὸ ἀναγγέλλειν δύνασθαι τὰ ἔσχατα πρὶν αὐτὰ γενέσθαι. {ΚΥΡ.} Εὖ γε, ὦ Παλλάδιε, Βουλοίμην δ' ἂν ἔτι περιαθροῦντας εὖ μάλα τὸ ἀληθὲς, καὶ τόδε διασκοπεῖν· τίνα τρόπον ἔτι, εἰ τελοῖμεν ὅλως ἔν γε τοῖς ἐθέλουσι βιοῦν ὀρθῶς τε καὶ εὐαγγελικῶς, ταῖς τῶν ψευδομαντειῶν θωπείαις ἑψόμεθα καὶ δὴ καὶ προσεσχηκότες, ὡς εἴη τις λόγος ὁ παρ' αὐτῶν ἀληθὴς, οὐχὶ τῆς τοῦ Σωτῆρος καθοριοῦμεν φωνῆς τὸ διαψεύδεσθαι δεῖν. Ἔφη γάρ που καὶ πρὸς τοὺς ἀλαζόνας καὶ ὑβριστὰς Ἰουδαίους· «Ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ· ὅταν λαλεῖ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψευστής ἐστιν αὐτὸς, καὶ ὁ πατὴρ αὐτοῦ.» Τίνα δὴ οὖν ἔσται τρόπον νημερτὴς, ψευστής· πῶς δὲ οὐχὶ πάντη τε καὶ πάντως ἁμαρτοεπὴς, ὁ μὴ ἑστηκὼς ἐν τῇ ἀληθείᾳ; Ἆρ' οὖν ἐναργὲς, ὦ Παλλάδιε, παντί που λοιπὸν, ὅτι ταῖς τῶν δαιμονίων φωναῖς τὸ ἀληθὲς ἀπονέμοντες, καταψηφιούμεθα τοῦ Χριστοῦ τὴν ψευδομυθίαν, καὶ ψευδοεπεῖν ἐροῦμεν τὴν ἀλήθειαν; {ΠΑΛΛ.} Κινδυνεύομεν. {ΚΥΡ.} Ἄλλως τε, προσθείην γὰρ τοῖς εἰρημένοις καὶ τόδε· δεδιδάγμεθα παρὰ Χριστοῦ, τοὺς τῶν ἀκαθάρτων πνευμάτων μὴ προσίεσθαι λόγους, κἂν 68.429 εἰ βούλοιντό ποτε τὴν αὐτοῖς ἀστιβῆ καὶ ἀσυνηθεστάτην προσκομίζειν ἀλήθειαν. {ΠΑΛΛ.} Πῶς δὲ φῄς; {ΚΥΡ.} Ἦ οὐκ ἐπαΐεις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἁγίων εὐαγγελιστῶν ἀναγεγραφότων, ὅτι τὰ μὲν δαιμόνια, τορόν τι καὶ μέγα διακεκραγότα, προσήεσαν τῷ Χριστῷ· «Ἔα, τί ἡμῖν καὶ σοὶ, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς· οἴδαμέν σε τίς εἶ, ὁ Ἅγιος τοῦ Θεοῦ. Ὁ δὲ ἐπιτιμῶν,» φησὶν, «οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι εἴδησαν τὸν Χριστὸν αὐτὸν εἶναι.» Καίτοι τί δή ποτε, κατὰ γάρ τοι τὸ εἰκὸς ἐνδοιάσειέ τις ἂν, τοῖς τὸ ἀληθὲς ἀνακεκραγόσιν ἐπιτετίμηκεν ὁ Χριστός; Ἀλλ' ἦν δή που τὸ δρώμενον, ἐπωφελὲς εἰς ἡμᾶς. Τὸ γάρ τοι μὴ δεῖν τοῖς παρ' ἐκείνοις προσκεῖσθαι λόγοις, κἂν εἰ αὐτὴν ἐθέλοιεν ἀναφωνεῖν τὴν ἀλήθειαν, καὶ τὰ ἐναργῶς ἔτυμα λέγειν, διὰ τούτου παιδευόμεθα· ἀναπλέκοντες γὰρ ἔσθ' ὅτε τῇ ἀληθείᾳ τὸ ψεῦδος, κατασίνονται τοὺς ἀκροωμένους, οὐ καθ' ἕτερον, οἶμαι, τρόπον, ἢ καθ' ὃν θεῷτό τις τοὺς τῇ τοῦ μέλιτος μίξει παραιρουμένους τὴν αἴσθησιν τῶν πικρῶν, καὶ τῇ τῶν γλυκέων ἐπιπλοκῇ κατασυλᾷν ἐθέλοντας τὸ ἔσθ' ὅτε λυποῦν. {ΠΑΛΛ.} Σφαλερὸν οὖν παντελῶς τὸ τοῖς τῶν χρησμολόγων προσέχειν φενακισμοῖς. {ΚΥΡ.} Θανάτῳ τὸ χρῆμα τιμᾶται Θεὸς, καὶ ἐν τοῖς ἐσχάτοις καταγράφει κακοῖς. Ἔφη δὲ οὕτως ἐν τῷ Λευιτικῷ· «Καὶ ψυχὴ ἣ ἂν ἐπακολουθήσῃ ἐγγαστριμύθοις ἢ ἐπαοιδοῖς, ὥστε ἐκπορνεῦσαι ὀπίσω αὐτῶν, ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὴν ψυχὴν ἐκείνην, καὶ ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ αὐτῆς· καὶ ἔσεσθε ἅγιοι, ὅτι ἐγὼ ἅγιός εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.» Καὶ μεθ' ἕτερα πάλιν· «Καὶ ἀνὴρ ἢ γυνὴ ὃς ἐὰν γένηται αὐτῶν ἐγγαστρίμυθος ἢ ἐπαοιδὸς, θανάτῳ θανατούσθω, καὶ ἐν λίθοις λιθοβολήσατε αὐτούς· ἔνοχοί εἰσιν.» Ἀποφάσκει μὲν γὰρ πρῶτον, τὸ χρῆναί τινας ταῖς βωμολόχοις ἀστρομαντείαις, ἤγουν νεκυομαντείαις ἕπεσθαι φιλεῖν, πολιτείας ἁγιοπρεποῦς ὡς ἀπωτάτω τὸ χρῆμα εἶναι λέγων, καὶ τοῖς Θεῷ προσκειμένοις ἀνάρμοστον κομιδῆ· καὶ καθορίζει τοῦ δευτέρου τὸν θάνατον, ἐνόχους τέ φησιν εἶναι καὶ αὐτούς· οὐκ ἐφιεὶς τὸν ἔλεον ἀπονέμεσθαι πρὸς ἡμῶν τοῖς πρὸς τοῦτο ἤδη μοχθηρίας ἐληλακόσιν, ὡς πάγην γενέσθαι θανάτου, καὶ ψυχῶν ἀθώων θήρατρον, καὶ ὀλέθρου θύραν, καὶ πέταυρον ᾅδου, καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων κακῶν; Ἀλλ' οἶμαί που σοφὸν καὶ ἀκίβδηλον ἐννοεῖν, ὡς οὐκ ἂν ἐπεστήρισε Θεὸς τὴν οὕτω πικρὰν καὶ παντὸς ἐπέκεινα κακοῦ διάττουσαν δίκην τοῖς εἰδέναι τε καὶ λαλεῖν ἑτέροις τὰ ἐσόμενα δυναμένοις, καί τοι τῶν ἐσομένων ἀληθῶς ἔχουσιν εἰπεῖν. Κολάζεται γὰρ οὐχὶ τῆς ἀληθείας ὁ μῦθος, ἐπάρατον δὲ τὸ ψευδειπεῖν· ἀλλ' εἰ δή τις ἁλίσκοιτο τοῦτο δρῶν, καὶ τοῦτο ὡς ἐκ Θεοῦ, αὐτήν που τὴν ἄῤῥητον σεσυκοφάντηκε φύσιν, καὶ τῇ ἀληθείᾳ τὸ ψεῦδος ὡς αὐτῇ προσῆκον ἀνατιθεὶς, ἰσοπαλῆ τοῖς ἐγκλήμασιν ἀνατλὰς τὴν δίκην πρὸς αὐτὸ λίαν οἰχήσεται. Ἐπιτιμᾷ γὰρ ὁ 68.432 λόγος οὐ τοῖς ἐκ Θεοῦ, μὴ γένοιτο, πραττομένοις τὰ ὡς Θεοῦ· ὅτι μηδὲ ψεύδους ἐλευθέραν ἐποιοῦντο τὴν προαγόρευσιν. Ἐπειδὴ δὲ οὐκ ἐξ ἀληθείας ἑλόντες, λαλοῦσιν ἃ ἂν βούλοιντο, καὶ τὸ κατὰ σφᾶς αὐτοὺς, ταύτῃτοι διημαρτήκασιν. {ΠΑΛΛ.} Ἆρ' οὖν, ἐν τῷδε διαγνωσόμεθα πότερα Θεὸς ὁ χρησμοδοτῶν ἐστιν, ἤγουν ἐκεῖνοι λαλοῦσι τὰ σφῶν αὐτῶν; {ΚΥΡ.} Καὶ μάλα· θεῖος γὰρ καὶ ἡμᾶς πρὸς τοῦτο εὐθὺς ἀναπείσει νόμος. Ἔφη γὰρ οὕτω Θεὸς ἐν Δευτερονομίῳ· «Ἐὰν δὲ λέγῃ τις ἐν καρδίᾳ· Πῶς γνωσόμεθα τὸ ῥῆμα, ὃ οὐκ ἐλάλησε Κύριος; ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐκεῖνος ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ μὴ γένηται τὸ ῥῆμα ὃ οὐκ ἐλάλησε Κύριος, ἐν ἀσεβείᾳ ἐλάλησεν ὁ προφήτης, οὐκ ἀφέξεσθε ἀπ' αὐτοῦ.» Ἀκούεις ὅτι τὰς ἐν τοῖς προηγορευμένοις ἀποτεύξεις ἀπόδειξιν ἔσεσθαί φησιν ἐναργῆ τοῦ μὴ ἐκ Θεοῦ κεχρησμοδοτῆσθαί τι; φιλεῖ γὰρ ἀλήθειαν ἡ ἀλήθεια. Τοιοῦτόν τί φησι διὰ τῆς Ἱερεμίου φωνῆς· «Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν· εἰ κρυβήσεται ἄνθρωπος ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; Μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος. Ἤκουσα ἃ λαλοῦσιν οἱ προφῆται; ἃ προ-φητεύουσιν οἱ προφῆται ἐν τῷ ὀνόματί μου ψευδῆ.» Εἶτα διὰ μέσου τοὺς τῶν θείων νόμων καταφρονήσαντας ἐπαιτιασάμενος οὐ μικρῶς, ἐναργῆ τὴν ἀπόδειξιν τῶν τε ἐκ Θεοῦ καὶ μὴ, δίδωσι τὴν ἀλήθειαν. Ἔφη γὰρ πάλιν· «Ὁ προφήτης, ἐν ᾧ τὸ ἐνύπνιον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ, καὶ ἐν ᾧ ὁ λόγος μου πρὸς αὐτὸν, διηγησάσθω τὸν λόγον μου ἐπ' ἀληθείας.» Ὡς εἴπερ τι φαίνοιτο τῆς ἀληθείας ἡμαρτηκὸς, ἐκδείξειεν ἂν αὐτὸ εὐθὺς ψευδοεπῆ τὸν γεννήτορα, καὶ ἀπὸ τῆς ἑαυτοῦ λαλοῦντα καρδίας, οὐκ ἀπὸ στόματος Κυρίου, καθὰ γέγραπται. {ΠΑΛΛ.} Βούλει τι θῶμεν τῶν ἀναγκαίων εἰς βάσανον, ἢ παρέντες ἴωμεν, ᾗπερ ἂν ὁ σὸς ἡμᾶς ἀποκομίσῃ λόγος; {ΚΥΡ.} Καὶ μὴν, ὦ Παλλάδιε, τῶν ἀναγκαίων εἰς ὄνησιν οὐ βραχὺς ἡμῖν ὁ λόγος· ὡς τό τοι μὴ φάναι τὸ δοκοῦν ἐλευθέρως ἐπαιτιασαίμην ἂν, καὶ μάλα εἰκότως· φράζε δὴ οὖν ὀκνήσας οὐδέν. {ΠΑΛΛ.} Εἰ μὴ ἀπὸ στόματος Κυρίου λαλοῦσί τινες, ἐρεύγονται δὲ, ὡς φὴς, τὰ ἀπὸ καρδίας, τίνα δὴ τρόπον καί τοι τεθνεῶτα τὸν ἅγιον Σαμουὴλ ἡ ἐγγαστρίμυθος ἐκείνη γυνὴ παρεκόμισε τῷ Σαοὺλ, τὸ τῶν ἐσομένων αὐτῷ σαφηνιοῦντα πέρας; ταυτὶ γὰρ ὧδε πεπρᾶχθαι, καὶ οὐχ ἑτέρως ἔχειν οἴονταί τινες. {ΚΥΡ.} Οἴει δὲ αὐτὸς οὐχ ὧδε ἔχειν, καὶ λογιεῖ τοῦτο ἄμεινον, ἤγουν φληνάφως τὴν τοῦ δικαίου ψυχὴν ἐκβεβιάσθαι φὴς κατὰ τὸ ἀληθὲς, καὶ γυναίου καλοῦντος ἐλθεῖν; 68.433 {ΠΑΛΛ.} Οὐκ ἂν ἔχοιμι σαφῶς εἰπεῖν. Ἐνδείξειε δ' ἂν, οἶμαί που, τὸ ἀληθὲς, ἡ βάσανος. {ΚΥΡ.} Εὖ ἔφης. Οὐκοῦν ἐκεῖνο καὶ πρό γε τῶν ἄλλων πολυπραγμονείσθω τέως, πότερον διὰ Θεοῦ πολυπραγμονοῦνται καὶ τερατεύονται καὶ ἀποπεραίνουσι ταυτὶ, ἤγουν διὰ πονηρῶν πνευμάτων οἷς μελέτη τὸ ἐπιτήδευμα. {ΠΑΛΛ.} Καὶ τίς ἂν εἰς τοῦτο λογισμῶν ἀτοπίας ἀφίκοιτο ἂν, ὡς οἴεσθαι διὰ Θεοῦ τερατεύεσθαι ταυτὶ νεκρομάντας τε καὶ ἐγγαστριμύθους καὶ ἐπαοιδούς; Διαμεμνήσομαι γὰρ τοῦ νόμου, παντὸς ἑλομένου τοῦτο δρᾷν ποινὴν καθορίζοντος τὴν ἐσχάτην. Εἶτα πῶς οὐκ ἀπόπληκτον ἐννοεῖν, τὸν θανάτῳ καταδεδικασμένον, οὐκ ἀπᾴδειν Θεῷ; Οὐ γάρ πω τοῖς ἑαυτοῦ διαμαχεῖται νόμοις. {ΚΥΡ.} Ἄριστα διανοῇ. Τὰς δὲ τῶν ἁγίων ψυχὰς σωμάτων ἀπηλλαγμένας παρεῤῥίφθαι νομιοῦμεν, καὶ λόγου μὲν ἀξιοῦσθαι μηδενὸς, ἥκειν δὲ ἤδη πρὸς τοῦτο ταλαιπωρίας, ὡς καὶ πονηροῖς καὶ ἀκαθάρτοις ὑποκεῖσθαι πνεύμασι, καὶ ἀνεθελήτως ἀκολουθεῖν περιτρέπουσιν εὐκόλως οἷπερ ἂν ἕλοιντο τυχόν. Καίτοι τὸ τῆς Ἀποκαλύψεως βιβλίον ἡμῖν συντιθεὶς ὁ σοφὸς Ἰωάννης, ὃ καὶ ταῖς τῶν Πατέρων τετίμηται ψήφοις, τὰς τῶν ἁγίων ψυχὰς ὑπ' αὐτὸ τὸ θεῖον τεθεᾶσθαι θυσιαστήριον, διεβεβαιοῦτο σαφῶς. Εἰ δὲ καὶ ἐξ αὐτῶν ἕλκουσι τῶν ἄνω μονῶν, καὶ τόπων αὐτὰς τῶν ἱερωτάτων κατακομίζουσιν ἀφειδῶς, ἀπείργοντος οὐδενὸς, βάσιμος μὲν ἅπασι τοῖς δαιμονίοις ὁ οὐρανὸς, ἀνοίγνυται δὲ κατὰ τὸ εἰκὸς αὐτοῖς καὶ ἡ τοῦ παραδείσου πύλη· παραχωρεῖ δὲ, ὡς ἔοικεν, καὶ ἡ φλογίνη ῥομφαία, καὶ οὐχὶ τῆς εἰσόδου καὶ ἐξόδου μόνον αὐτοῖς· ἀλλ' εἰ βούλοιντό τινας καὶ τῶν εἴσω γεγονότων ἐκκομίζειν ἐκ παῤῥησίας· εἶτα οὐχὶ δὴ τοῦτό ἐστι, τὴν ἐν Χριστῷ διασύρειν ἐλπίδα, καὶ τρισάθλιον ὑποφαίνειν τῶν τεθαυμασμένων τὸν βίον; {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Καὶ μὴν οὐκ ἀσυμφανές. Πῶς δὲ ἦν ἄμεινον τῷ θαυμασίῳ Παύλῳ, τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι; Εἰ γὰρ δὴ μέλλοιμεν τῶν ἐπιγείων ἀποφοιτήσαντες, καὶ σὺν Χριστῷ γεγονότες, τοῖς ἀντικειμένοις ὑποκεῖσθαι πνεύμασι, κεκένωται μὲν ἡ πίστις, κατὰ τὸ γεγραμμένον, τὸ δὲ ἐνδημεῖν ἐν σώματι, τοῦ συνεῖναι Χριστῷ, πᾶς τις οὖν, οἶμαι, καὶ ἀσυγκρίτως διενεγκεῖν ἐπιψηφιεῖται λοιπὸν, καὶ τὸ ἐπὶ τούτου δυσανεκτότερον· ἔτι μὲν γὰρ ἐν τῷδε τῷ βίῳ ποιούμενοι τὰς διατριβὰς, οὐχὶ τοῖς τοῦ διαβόλου θελήμασιν ὑπεζεύγμεθα, πατοῦμεν δὲ ἐπάνω ὄφεων καὶ σκορπίων μᾶλλον, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Εἶτα σὺν Χριστῷ γεγονότες, πῶς ἐν χείροσιν ἐσόμεθα; πῶς δὲ αὐτὸς ἀληθεύει λέγων· «Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῶν χειρῶν μου· ὁ Πατήρ 68.436 μου ὃς ἔδωκέ μοι, πάντων μείζων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου;» Πεφενάκικε δὲ τάχα που τῆς εἰς Χριστὸν εὐσεβείας τοὺς ἀθλητὰς, γεγραφὼς ὡδὶ καὶ ὁ σοφώτατος Πέτρος· «Ὥστε καὶ ὑπὸ ἄλλων πάσχοντες



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ τὸ θέλημα αὐτοῦ, πιστῷ Κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν.» Εἰ δὲ τῷ Θεῷ παρατεθεῖσαν ψυχὴν βιάζεται ὁ Σατανᾶς, ἄγων τε καὶ φέρων οἵπερ ἂν ἕλοιτο κατὰ καιροὺς, πῶς ἂν νοοῖτο πιστὸς ὁ τῶν ἁγίων προεστηκὼς, καὶ οἱονεὶ παρακαταθήκην τὸ ἑκάστου πνεῦμα λαβών; Λῆρος οὖν ἄρα ταυτὶ, καὶ ἀποπληξία δεινὴ, τὸ κατὰ ἀλήθειαν οἴεσθαι τὴν προφήτου φωνὴν ψυχραῖς ἐπῳδαῖς γυναίου μυσαρωτάτου τῶν ἐκνεμηθέντων αὐτῇ καθελκῦσαι τόπων. {ΠΑΛΛ.} Τίς οὖν ἂν γένοιτο τῶν θεωρημάτων ὁ λόγος; χρῆναι γὰρ οἶμαι τὰ οὕτως αἰσχρὰ μηδ' ὅσον εἰπεῖν, κἂν γοῦν ἐν ψιλαῖς ἐννοίαις ἑλεῖν. {ΚΥΡ.} Αὐτὸ παραθέντες τὸ Γράμμα τὸ ἱερὸν, τὰ εἰς νοῦν ἰόντα τότε σαφῆ καταστήσομεν, πανταχῇ τοῦ πρέποντος ἀπρὶξ ἡμμένοι. Ἔχει δὲ οὕτω· «Καὶ Σαμουὴλ ἀπέθανε, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ, καὶ θάπτουσιν αὐτὸν ἐν Ἀρμαθαῒμ, ἐν πόλει αὐτοῦ· καὶ Σαοὺλ περιεῖλε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς γνώστας ἀπὸ τῆς γῆς. Καὶ συναθροίζονται οἱ ἀλλόφυλοι, καὶ ἔρχονται καὶ παρεμβάλλουσιν εἰς Σωνάμ. Καὶ συναθροίζει Σαοὺλ πάντα ἄνδρα Ἰσραὴλ, καὶ παρεμβάλλουσιν εἰς Γελβουέ. Καὶ εἶδε Σαοὺλ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ἐφοβήθη, καὶ ἐξέστη ἡ καρδία αὐτοῦ σφόδρα. Καὶ ἐπηρώτησε Σαοὺλ διὰ Κυρίου, καὶ οὐκ ἀπεκρίθη αὐτῷ Κύριος ἐν τοῖς ἐνυπνίοις, καὶ ἐν τοῖς δήλοις, καὶ ἐν τοῖς προφήταις. Καὶ εἶπε Σαοὺλ τοῖς παισὶν αὐτοῦ· Ζητήσατέ μοι γυναῖκα ἐγγαστρίμυθον, καὶ πορεύσομαι πρὸς αὐτὴν, καὶ ζητήσω ἐν αὐτῇ. Καὶ εἶπον οἱ παῖδες αὐτοῦ πρὸς αὐτόν· Ἰδοὺ γυνὴ ἐγγαστρίμυθος ἐν Ἀενδώρ. Καὶ συνεκαλύψατο Σαούλ· καὶ περιεβάλετο ἱμάτια ἕτερα, καὶ πορεύεται αὐτὸς καὶ δύο ἄνδρες μετ' αὐτοῦ, καὶ ἔρχονται πρὸς τὴν γυναῖκα νυκτὸς, καὶ εἶπεν αὐτῇ· Μάντευσαι δή μοι ἐν τῷ ἐγγαστριμύθῳ, καὶ ἀνάγαγέ μοι ὃν ἐὰν εἴπω σοι. Καὶ εἶπεν αὐτῷ ἡ γυνή· Ἰδοὺ δὴ σὺ οἶδας ὅσα ἐποίησε Σαοὺλ ὡς ἐξωλόθρευσε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς γνώστας ἀπὸ τῆς γῆς, καὶ ἱνατί σὺ παγιδεύεις τὴν ψυχήν μου, θανατῶσαι αὐτήν; Καὶ ὤμοσεν αὐτῇ Σαοὺλ, λέγων· Ζῇ Κύριος, εἰ ἀπαντήσεταί σοι ἀδικία ἐν τῷ λόγῳ τούτῳ. Καὶ εἶπεν ἡ γυνὴ τῷ Σαούλ· Τίνα ἀναγάγω σοι; Καὶ εἶπε· Τὸν Σαμουὴλ ἀνάγαγέ μοι. Καὶ εἶδεν ἡ γυνὴ τὸν Σαμουὴλ, καὶ ἀνεβόησε φωνῇ μεγάλῃ. Καὶ εἶπεν ἡ γυνὴ πρὸς Σαούλ· Ἱνατί παρελογίσω με; καὶ σὺ εἶ Σαούλ. Καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς· Μὴ φοβοῦ, εἶπον τίνα ἑώρακας. Καὶ εἶπεν αὐτῷ ἡ γυνή· Θεοὺς ἑώρακα ἀναβαίνοντας ἐκ τῆς γῆς. Καὶ εἶπεν αὐτῇ· Τί ἔγνως; Καὶ εἶπεν αὐτῷ· Ἄνδρα ὄρθιον ἀναβαίνοντα ἐκ τῆς γῆς, καὶ οὗτος διπλοΐδα ἀναβεβλημένος. Καὶ ἔγνω Σαοὺλ, ὅτι οὗτος Σαμουὴλ, καὶ ἔκυψεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν 68.437
γῆν, καὶ προσεκύνησεν αὐτῷ. Καὶ εἶπε Σαμουήλ· Ἱνατί παρηνώχλησάς μοι ἀναβῆναί με; Καὶ εἶπε Σαούλ· Θλίβομαι σφόδρα, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοὶ, καὶ ὁ Θεὸς ἀφέστηκεν ἀπ' ἐμοῦ, καὶ οὐκ ἐπακήκοέ μου ἔτι, καὶ ἐν χειρὶ τῶν προφητῶν, καὶ ἐν τοῖς ἐνυπνίοις· καὶ νῦν κέκληκά σε, γνωρίσαι μοι, τί ποιήσω. Καὶ εἶπε Σαμουήλ; Ἱνατί ἐπερωτᾷς με, καὶ Κύριος ἀφέστηκεν ἀπὸ σοῦ, καὶ γέγονε μετὰ τοῦ πλησίον σου; καὶ πεποίηκε Κύριός σοι, καθὼς ἐλάλησε Κύριος ἐν χειρί μου· καὶ διαῤῥήξει Κύριος τὴν βασιλείαν σου ἐκ χειρός σου, καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ Δαβίδ· διότι οὐκ ἤκουσας φωνῆς Κυρίου, καὶ οὐκ ἐπλήρωσας θυμὸν ὀργῆς αὐτοῦ ἐν Ἀμαλὴκ, διὰ τοῦτο τὸ ῥῆμα ἐποίησε Κύριός σοι ἐν τῇ ἡμέρᾳ ταύτῃ· καὶ παραδώσει Κύριος τὸν Ἰσραὴλ μετὰ σοῦ εἰς χεῖρας ἀλλοφύλων, καὶ αὔριον σὺ, καὶ οἱ υἱοί σου μετὰ σοῦ πεσοῦνται, καὶ τὴν παρεμβολὴν Ἰσραὴλ δώσει Κύριος εἰς χεῖρας ἀλλοφύλων.» Ἆρά σοι λοιπὸν ἐνδοιάσαι θέμις, ὅτι ταῖς ἑαυτοῦ ψήφοις κατεγνωσμένος ἐκτέτηκεν ὁ Σαούλ; Ἐπειδὴ γὰρ ἐδεδίει τῶν ἠθροισμένων ἐφ' ἑαυτῷ τὸ ἀσθενὲς εἰς μάχην, μανθάνειν ἠξίου τὰ ἐσόμενα παρὰ Θεοῦ. Σεσιωπηκότος δὲ, καὶ ἀποκαλύπτοντος οὐδὲν, τρέπεται πρὸς τὸ λυπεῖν τὸν σιωπᾷν ᾑρημένον. Ἀφικνεῖται δὲ πρὸς νεκυομαντείαν, καίτοι τοὺς γνώστας δέ φημι τοὺς οἰομένους εἰδέναι τὰ ἐσόμενα. Εἶτά φησιν· «Ἀνάγαγέ μοι τὸν Σαμουὴλ,» οὐχ ὡς τῆς ἐπῳδῆς ἤτοι τῆς μάγων τέχνης,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν τοῦ ἁγίου ψυχὴν παρενεγκεῖν δυναμένης, ἀλλ' ὡς ἀεὶ τῶν μαντευομένων τῇ τοιᾷδε κεχρημένων φωνῇ· ἐπυθόμην δὲ ὅτι λόγοις τισὶν ἀποῤῥήτοις καταγοητεύοντες τὰ δαιμόνια, καὶ ὕδατι κατεπᾴδοντες, εἴδωλα καὶ σκιὰς, καὶ ὡς ἐν ἐσόπτρῳ μορφὰς καταθεῶνταί τινων, τάχα που τῶν δαιμονίων καταπλαττομένων ἀστείως τὰ τῶν λεγομένων ἀνακομιεῖσθαι σχήματα. Καὶ γοῦν ἔφη μὲν ἐν ἀρχαῖς τὸ γύναιον· Ὁρῶ θεοὺς ἀναβαίνοντας ἐκ τῆς γῆς. Εἶτα μὲν τοῦτο· «Καὶ εἶδε,» φησὶν, «ἡ γυνὴ τὸν Σαμουήλ.» Χαλεπὸν δὲ οὐδὲν, ἐν ἴσῳ τε καὶ ὁμοίῳ σχήματι τοῦ μακαρίου Σαμουὴλ σκιὰν ὀφθῆναι καὶ εἴδωλον, ἐκ δαιμονιώδους ἐνεργείας μεμορφωμένον. Εἴπερ οὖν οἴοιτό τις ἀνακεκλῆσθαι κατὰ τὸ ἀληθὲς τὴν τοῦ προφήτου ψυχὴν, καὶ τοῖς τοῦ γυναίου λόγοις ἐπιψηφιεῖται τὸ ἀληθὲς, ἐπειδὴ καὶ θεοὺς ἀναβαίνοντας ἀπὸ τῆς γῆς τεθεᾶσθαί φησιν, καὶ τοῖς τῆς μαντείας ἔθεσι χαριζέσθω τὸ ψεῦδος, ἀλλ' οἰέσθω κατὰ ἀλήθειαν καὶ θεοὺς εἶναί τινας τῆς τοιαύτης τάξεως τοὺς ἀνασχόντας ἀπὸ τῆς γῆς, καίτοι Θεοῦ κατὰ φύσιν ὄντος ἑνός τε καὶ μόνου. {ΠΑΛΛ.} Ἔφης μὲν ὀρθῶς. Ἐρεῖ δὲ οὖν, οἶμαι, τὶς, Καίτοι λελάληκεν ἀληθῆ φιλοπευστοῦντος τοῦ Σαοὺλ ἐσόμενα. Οὐ μικρὸς δὲ ἡμῖν δεδαπάνηται λόγος ἀπελέγχων ὅτι οὐκ ἐν ἀκαθάρτοις πνεύμασιν ἡ ἀλήθεια. {ΚΥΡ.} Οὐ γὰρ οὖν. Ἀνάρμοστον γὰρ χρῆμά τι καὶ ἀσυμφυὲς, φῶς καὶ σκότος, Χριστὸς καὶ Βελιάλ· τοῖς γε μὴν παροτρύνουσι καὶ καταλυπεῖν εἰωθόσιν, ἀποκαλύπτει Θεὸς, καὶ δι' ὧν ἥκιστα χρὴ ἔσθ' ὅτε, τὰ ἐσόμενα, ἐνηχούντων κατὰ τὸ εἰκὸς ἁγίων ἀγγέ 68.440 λων εἰς ἀνθρώπινον νοῦν, ἅπερ ἂν εἰ μάθοιεν οἱ φιλοπευστεῖν ᾑρημένοι, κατατακήσονται λίαν, καὶ ἀπαρχὴν ὥσπερ τινὰ τῆς σφίσιν ἐπηρτημένης ὀργῆς τε καὶ δίκης ὑπομένουσι τὴν πρόγνωσιν. Ἁγίοις μὲν γὰρ προφήταις ἐπαναπαύεται, καὶ ἀνακοινοῦται πολλάκις, οὐχὶ δὴ μόνα τὰ σκυθρωπὰ, καὶ οἷσπερ ἄν τις ἐπιστυγνάσας καθίσει δακρύων, ἀλλὰ καὶ ὅσα πρὸς εὐθυμίας καὶ εὐημερίας ἔσται τισίν· ἀνοσίοις δὲ καὶ ἐναγεστάτοις φιλομάντεσι, τὰ σφίσιν αὐτοῖς ἐσόμενα διεκκαλύπτει κακά. {ΠΑΛΛ.} Καὶ τίς ἢ πόθεν ἂν γένοιτο τούτων ἡμῖν ἡ πίστις; {ΚΥΡ.} Ἀπό γε τῶν ἱερῶν Γραμμάτων· τύπος γὰρ ἡμῖν καὶ μυσταγωγίας ἀνεγράφη τρόπος, τὰ τοῖς ἀρχαιοτέροις συμβεβηκότα. Ἦ γὰρ οὐκ οἶσθα, ὅτι Βαλὰκ ὁ τοῦ Σεπφὼρ, ὁ Μωαβιτῶν καὶ Μαδιηναίων τύραννος, τὴν ἀκαταγώνιστόν τε καὶ ἄθραυστον τοῦ Ἰσραὴλ κατοῤῥωδήσας πληθὺν, καὶ αὐτίκα δὴ μάλα τοῖς ἑτέροις ἔθνεσι συνδιόλλυσθαι πεπιστευκὼς, κατεμισθοῦτο τὸν Βαλαάμ; «Δεῦρο δὴ,» λέγων, «ἐπάρασαί μοι τὸν Ἰσραήλ. Ἐπειδὴ δὲ ἧκον οἱ πρέσβεις· Καταλύσατε αὐτοῦ,» φησὶ, «τὴν νύκτα, καὶ ἀποκριθήσομαι ὑμῖν πρᾶγμα ὃ ἐὰν λαλήσῃ Κύριος πρός με.» Ὀνειράτια δὲ ψυχρὰ καὶ δαιμονιώδη ζητῶν, καὶ ἐξ ἐπῳδῆς τάχα που καὶ μαγγανείας αὐτῷ συμβαίνοντα προσδοκῶν, Κύριον ἔφη λαλήσειν αὐτῷ· θεοκλυτεῖν γὰρ ἐσκήπτετο. Ἀλλ' εἰ καὶ ταῖς συνήθεσι τῶν γοήτων φωναῖς τὸ Γράμμα χρῆται τὸ ἱερὸν, οὐκ ἂν οἰηθείημεν ὀρθῶς φρονοῦντες, Θεὸν τὸν φύσει καὶ ἀληθῶς ταῖς βεβήλων ἐνιέναι ψυχαῖς ὡς ἐξ ἀγάπης τὸ ἀληθὲς, καὶ ἀνδρὶ μυσαρῷ καὶ γόητι καὶ εἰδωλολάτρῃ προσλαλεῖν. Πλὴν, «Ἦλθε,» φησὶν, «ὁ Θεὸς πρὸς Βαλαὰμ, καὶ εἶπεν αὐτῷ· Τί οἱ ἄνθρωποι οὗτοι παρὰ σοί;» Τοῦ δὲ τῆς ἀφίξεως τὴν αἰτίαν ἀπηγγελκότος, «Εἶπε,» φησὶν, «ὁ Θεὸς πρὸς Βαλαάμ· Οὐ πορεύσῃ μετ' αὐτῶν, οὐδ' οὐ μὴ καταράσῃ τὸν λαόν· ἔστι γὰρ εὐλογημένος.» Ἰδοὺ δὴ σαφῶς ἐκ προσώπου τοῦ Θεοῦ, ὁ μακάριος ἄγγελος τὸν ἀπατεῶνα καὶ εἰκαιόμυθον ἀποτρέπει γόητα τὸν εὐλογημένον παρὰ Θεῷ μὴ ἐπαρᾶσθαι ζητεῖν, μηδὲ ταῖς ἄνωθεν ἀντεξάγειν ψήφοις τὰ ἐξ ἀνθρωπίνης δυσβουλίας εὑρέματα, οὐχ ὡς τῆς ἀρᾶς ἰσχυούσης ἀδικεῖν, ἀλλ' ἵνα σαφῶς τε καὶ ἐναργῶς ὁ τὴν τοιαύτην ἐλπίδα παραλόγως εἰσδεδεγμένος, πληροφοροῖτο, καὶ δι' αὐτοῦ, ὡς οὐκ ἂν γένοιτό ποτε Μωαβίταις ἢ Μαδιηναίοις ἁλώσιμος ὁ Ἰσραὴλ, προασπίζοντός τε καὶ ὑπεραθλοῦντος Θεοῦ, καὶ ταῖς εὐμενείαις ἀνατειχίζοντος τὸν αὐτῷ προσκείμενον καὶ εὐλογηθέντα λαόν. Ἀλλὰ ταυτὶ μὲν ὁ θεσπέσιος ἄγγελος ἔφη τε καὶ δρᾷν ἐνετέλλετο· ἐπειδὴ δὲ ταῖς τῶν δώρων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑποσχέσεσιν ἐπὶ τῷ χρῆναι βαδίζειν ὁ μάντις ἐδελεάζετο, τάχα που καὶ ἀληθῶς ἰσχύσειν ὑπειληφὼς, ἰέναι μὲν ἐφίησιν ὁ μακάριος ἄγγελος, κατὰ μέσην δὲ ὤφθη τὴν ὁδὸν, συναστραπτούσῃ ῥομφαίᾳ, διδάσκων ἐναργῶς ὡς ὁ πόλεμος αὐτῷ πρός τε Θεὸν καὶ ἀγγέλους, εἰ ἐπαρᾶσθαι βούλοιτο τοὺς εὐλογημένους. Ἐπειδὴ δὲ ἀφῖκτο πρὸς τὸν Μαδιηναῖον, βωμοὺς μὲν ἀνίστη, καὶ 68.441 βουθυτεῖν ἐκέλευε· προφήτης δὲ ἦν εὐθὺς, οὐχ ὁ συνήθης, καὶ ψευδηγόρος, ἀλλὰ θείᾳ τε καὶ ἀποῤῥήτῳ δυνάμει παρετρέπετο παρ' ἐλπίδα πρὸς τὸ ἐναντίον. Ἐπηρᾶτο μὲν γὰρ οὐδαμῶς, ηὐλόγει δὲ μᾶλλον τὸν Ἰσραὴλ, καὶ πικραῖς ἐνίησι λύπαις τὸν Βαλάκ. Γέγραπται δὲ οὕτως· ὅτι «Ἐθυμώθη Βαλὰκ καὶ συνεκρότησε ταῖς χερσὶν αὐτοῦ, καὶ εἶπε Βαλὰκ πρὸς Βαλαάμ· Καταράσασθαι τὸν ἐχθρόν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλογῶν ηὐλόγησας τούτῳ τρίτῳ. Καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ· Οὐχὶ καὶ τοῖς ἀγγέλοις σου οἷς ἀπέστειλας πρός με ἐλάλησα, λέγων· Ἐάν μοι δῷ Βαλὰκ πλήρη τὸν οἶκον αὐτοῦ ἀργυρίου καὶ χρυσίου, οὐ δυνήσομαι παραβῆναι τὸ ῥῆμα Κυρίου ποιῆσαι αὐτὸ καλὸν ἢ πονηρὸν παρ' ἑαυτοῦ; ὅσα ἂν εἴπῃ μοι Θεὸς, ταῦτα ἐρῶ.» Σύνηθες μὲν οὖν τοῖς ψευδομάντεσι, καὶ ταῖς οὕτως ἀπατηλαῖς κεχρῆσθαι φωναῖς, σκεπτομένοις ὅτι πάντη τε καὶ πάντως τοῖς φιλοπευστεῖν ἐθέλουσιν, ἐροῦσι τὸ ἀληθές. Σύνες δὲ ὅτι τὸ φάναι τὸ ἀτρεκὲς ἀλλότριον τῆς ἐπαοιδοῦ τε καὶ μάγου τέχνης· προσγένοιτο δ' ἂν ἔσθ' ὅτε παρὰ Θεοῦ ἐπὶ τῷ τὰς τῶν βεβήλων ψυχὰς, τῇ τῶν ἐσομένων προαγορεύσει δεινῶς κατακομίζοντος. {ΠΑΛΛ.} Πείθομαι. {ΚΥΡ.} Ὅτι γὰρ μεμίσηκε καὶ παραλύει Θεὸς τὰς τοιαύτας ἤτουν γοητείας καὶ εἰκαιομυθίας, σαφὲς ἂν γένοιτο λέγοντος αὐτοῦ· «Ἐγὼ Κύριος ὁ Θεός·» καὶ προσέτι τούτοις· «Τίς ἕτερος διασκεδάσει σημεῖα ἐγγαστριμύθων καὶ τὰς μαντείας ἀπὸ καρδίας, ἀποστρέφων φρονίμους εἰς τὰ ὀπίσω, καὶ τὴν βουλὴν αὐτῶν μωρεύων, καὶ ἱστῶν ῥήματα παιδὸς αὐτοῦ καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων;» Μαντείας μὲν γὰρ τὰς ἀπὸ καρδίας, ἑώλους τε καὶ ψευδοεπεῖς ἀποφαίνει· τοῦ γε μὴν ἰδίου παιδὸς, τουτέστι Χριστοῦ, πάντα μὲν ἵστησι λόγον· τὴν δὲ βουλὴν τῶν ἀγγέλων αὐτοῦ, τουτέστιν, ἃ ἂν βούλοιντο λαλεῖν, οἱ τῆς ἐπ' αὐτοῦ πίστεως κήρυκες, ταῦτα δὲ πάντα ἀληθείας ἔμπλεω δεικνύει, σημείοις τε καὶ τέρασι προσμαρτυρῶν, καὶ ταῖς ἄλλαις τοῦ Πνεύματος ἐνεργείαις. Ἔφη δέ που πάλιν, κατονει-δίζων τισὶ τὰ Θεοῦ νόμῳ κεκιβδηλευμένα· «Στῆθι τοίνυν ἐν ταῖς ἐπαοιδαῖς σου, καὶ τῇ πολλῇ φαρμακείᾳ σου, ἃ ἐμάνθανες ἐκ νεότητός σου, εἰ δυνήσῃ ὠφεληθῆναι· κεκοπίακας ἐν ταῖς βουλαῖς σου, στήτωσαν καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας, ἀναγγειλάτωσάν σοι ὅ τι μέλλει ἐπὶ σὲ ἔρχεσθαι.» Ὁρᾷς οὖν ὡς γέλωτος ἀξίαν καὶ ἀνωφελῆ παντελῶς τὴν ἐπάρατον ἀστρογοητείαν ἀπελέγχει Θεός. Ὅτι δὲ πάλιν πρέποι ἂν αὐτῷ καὶ μόνῳ τὸ νημερτὲς, καὶ τὸ ἕτοιμον εἰς λόγους τοὺς περὶ τῶν ἔσεσθαι προσδοκωμένων ἀπλανῶς, ἄκουε λέγοντος διὰ φωνῆς Ἡσαΐου· «Μνήσθητε ταῦτα, καὶ στενάξατε· μετανοήσατε, οἱ πεπλανημένοι, ἐπιστρέψατε τῇ καρδίᾳ, καὶ μνήσθητε τὰ πρότερα ἀπὸ τοῦ αἰῶνος· ὅτι ἐγώ εἰμι Θεὸς, καὶ οὐκ ἔστιν πλὴν ἐμοῦ· ἀναγγέλλων πρότερον τὰ ἔσχατα πρὶν αὐτὰ γενέσθαι, καὶ ἅμα συνετελέσθη. Καὶ εἶπα· 68.444 Πᾶσά μου ἡ βουλὴ στήσεται, καὶ πάντα ὅσα βούλομαι, ποιήσω.» Μόνῳ δὴ οὖν ἀνακείσεται πρὸς ἡμῶν τῷ πάντων ἐπέκεινα Θεῷ, τὸ διειδέναι τε σαφῶς, καὶ προαγορεύειν ἀπλανῶς δύνασθαι τὰ ἐσόμενα· ὕθλοι δὲ ἄλλως καὶ γραώδη μυθάρια, βωμολοχίαι τε καὶ φενακισμοὶ, τὰ παρ' ἑτέρων, οἳ τὸν νοῦν παρεφθορότες τὰ ἀπὸ καρδίας αὐτῶν λαλοῦσι, κατὰ τὸ γεγραμμένον, καὶ ἀργυρολογίας ἀφορμὴν ποιοῦνται τὸ ψεῦδος. {ΠΑΛΛ.} Ἀληθές. Ἔχει γὰρ ὧδε, καὶ οὐχ ἑτέρως. {ΚΥΡ.} Ἀφεξόμεθα δὴ οὖν καὶ τοῦδε, καὶ οἶμον ἀφέντες τὴν διεστραμμένην, βαδιούμεθα τὴν ἐπ' εὐθὺ, Θεῷ μονοτρόπως προσκείμενοι, καὶ ταῖς τῶν ἁγίων φωναῖς ἐπιψηφιζόμενοι τὴν ἀλήθειαν. {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Τί δὲ οὐχὶ κἀκεῖνο πρὸς τούτοις ἡγησόμεθα στυγητὸν, μοῖράν τε εἶναί φαμεν Ἑλληνικῆς ἀθεότητος, τό τε περικαθαίρεσθαι φιλεῖν τάχα που πυρὶ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὕδατι, καὶ ἑτέροις τισὶ τοιούτοις τρόποις; {ΠΑΛΛ.} Καὶ μάλιστά γε. Τοιγάρτοι καὶ θεῖον ἔφη χρησμῴδημα σαφῶς· «Οὐχ εὑρεθήσεται ἐν σοὶ περικαθαίρων τὸν υἱὸν αὐτοῦ ἢ τὴν θυγατέρα αὐτοῦ ἐν πυρί.» {ΚΥΡ.} Ὡς εὖ γε ἡμῖν ὁ νόμος προσεφώνει ταυτὶ, καὶ ἀπέφησε τὸ δρᾷν! Εἰκαιότητος γὰρ οἶμαι τὸ χρῆμα μεστὸν, καὶ λογισμοῦ τητώμενον τοῦ παναρίστου καὶ σοφοῦ· ὀνήσει γὰρ κατὰ τίνα δὴ τρόπον ἡ πυρὸς ἡμᾶς φύσις; καὶ δᾷδες ἐν κύκλῳ περιθέουσαι πῶς ἂν ἐξέλοιντο τὸν ἡμαρτηκότα; Χαλκοῦ μὲν γὰρ ἤγουν ἑτέρας τοιαύτης τινὸς ὕλης, ἐκτήκει τὸν ῥύπον ἡ πυρὸς βολή. Νοῦ δὲ καὶ ψυχῆς βεβήλωσιν, τίνα τρόπον ἀφανιεῖ; Ἆρ' οὖν, οὐ γέλωτος ἤδη ταυτὶ, καὶ φληνάφων ἐννοιῶν εὑρέματα; {ΠΑΛΛ.} Παντάπασι μὲν οὖν. {ΚΥΡ.} Φαίην δ' ἂν ὡς ἥδιστα τοῖς Ἑλλήνων λογάσιν, οἳ τῶν τοιούτων αἰσχρῶν ἐπιτηδευμάτων εὑρεταὶ γεγόνασι, καὶ τοῖς ἄλλοις εἰσηγηταί· Τί δὴ ἄρα δρῶντες, ὦ γενναῖοι καὶ σοφοὶ, τὸν μὲν Τιτυὸν ἐκεῖνον, ὃν ἐκφύναι λέγετε γῆς, εἰς ᾅδου κολάζετε, γῦπας αὐτῷ περιιστάντες τῶν ἡπάτων δαιτυμόνας, ὥραν ὅτι γυναίου τεθαυμακὼς ἠῤῥώστησε τὴν ἐπιθυμίαν; Ταντάλῳ δὲ λίθον ἐπηρτῆσθαί φατε, καὶ γλώττης αὐτὸν ἀκολάστου εἰσπράττεσθαι δίκας μυθολογεῖτε τοῖς νέοις; κύκλου δὲ μακραῖς καὶ ἀεικινήτοις περιστροφαῖς, τὸν Ἰξίονα καταδήσαντες, ποινὴν ἀνατλῆναι ἐπὶ τῷδέ φατε, τοῖς ἐξ ἀπάτης ὑμῶν οὐκ ἀπᾴδουσαν θεοῖς, σφᾶς δὲ αὐτοὺς καὶ ἑτέρους καίτοι δεινοῖς καὶ ἐκτοπωτάτοις ἐναλόντας κακοῖς, πυρὶ καὶ θαλλοῖς ἀπαλλάττετε, καθάπερ οἴεσθέ που, καὶ τῶν ἐγκλημάτων χαρίζεσθε τὴν ἀπόνιψιν, καί τοι ἄγαν κατεγνωσμένοις. Τιτυῷ δὲ, εἰπέ μοι, καὶ τοῖς ἀρτίως ὠνομασμένοις, τὸ ἐν ἐνδείᾳ τάχα που γενέσθαι πυρὸς, σκληρὰν καὶ ἀδιεξίτητον ἐπίθετε δίκην; Καὶ μὴν ὅ γε καθ' ὑμᾶς κλεπτίστατος καὶ πυρὸς ἀνθρώποις διακομιστὴς, τὸν Προμηθέα λέγω, εἴ τίς περ ὅλως κἀκεῖνος ἦν, τὴν πυρὸς ἐπλούτει χρῆσιν, καὶ πρό γε 68.445 τῶν ἄλλων· ἀῤῥήκτοις δὲ καὶ αὐτὸν ἐνειλῆφθαι δεσμοῖς οἱ παρ' ὑμῖν ᾄδουσι μῦθοι· καὶ μὴν καὶ γαμψώνυχας ἐπιπτῆναι αἰγυπιοὺς λέγουσι, καθάπερ ἀμέλει καὶ Τιτυῷ, δεινοὺς καὶ ἀγρίους τοὺς κολαστάς. Δότε δὴ, δότε τὴν διὰ πυρὸς κάθαρσιν, οὐχὶ δὴ μόνοις ἐκείνοις, ἀλλ' εἰ καί τινες ὑμῶν ἢ θυγατράσιν ἑτέρων, ἢ γυναιξὶν ἐπιμαίνοιντο, δρῶντες ἃ μὴ θέμις, καὶ οὗτοι πυρὶ τῆς αἰτίας ἀπηλλαγμένοι, συνδιαφευγόντων τοῖς πταίσμασι τὰς γραφάς· ἀλλ' ἐφ' ἑτέροις μὲν εὐθὺς δικαστήρια καὶ γραφαὶ, καὶ ἡ τῶν νόμων σαλεύεται μισοπονηρία, ἑαυτοὺς δὲ τὴν πάναισχρον καὶ δυσώδη ζωὴν ἀδιακρίτως ἐπιτηδεύοντας, παντὸς ἀπαλλάττειν οἴεσθε μολυσμοῦ, ψυχροῖς καὶ μειρακιώδεσιν ἀθύρμασιν ἐξηπατημένοι, καὶ ὑπηρέτας εἰς τοῦτο λαμβάνοντες τοὺς ὅτι μάλιστα τῶν ἄλλων μυσαρωτάτους· οἳ καὶ ὁμοῦ τῷ σχήματι, τὸν ἀνδροπρεπῆ μεθέντες λόγον, καταβιβάζονται πρὸς τὰ γυναικῶν ἤθη τε καὶ τρόπους σώματά τε καὶ γνώμας. Εἶτα τίνα τρόπον ὁ τοιοῦτος ἀφαγνιεῖ; διακείμενοι γὰρ ὡδὶ, τοιόνδε τι δράσετε, ὡς εἰ καὶ τὸ τυχόν τις ἐδόκει καταμυρίζεσθαι μὲν, βορβόρῳ δέ τῳ ἀκοσμοτάτῳ κατακεχρισμένος, εἶτα κατορθοῦν οἴοιτο καὶ σφόδρα καλῶς τό γε εἰς νοῦν ἧκον αὐτῷ. {ΠΑΛΛ.} Εὖ λέγεις· καὶ συναινέσαιμι ἂν ἀληθῆ λέγοντί σοι. {ΚΥΡ.} Καὶ παρίημι μὲν τὴν ἔν γε τούτῳ μωρίαν, καὶ σιγήσω τέως τοὺς τῆς καθάρσεως ὑπουργοὺς, ἐπ' αὐτὸ δὲ εἶμι τὸ χρῆμα πάλιν· καὶ δὴ καὶ ἐρῶ, ὡς ἀνούστατά τε καὶ ἀμαθέστατα βιοῦν ἑλομένους, καταφωράσαιτό τις ἂν τοὺς τῶν δαιμονίων προσκυνητὰς, καὶ μήτε τὸν τοῦ ἐκσμήξασθαι νοοῦντας τρόπον, μήτε μὴν ἠκριβωκότας, ὅ τί ποτέ ἐστι κατὰ ἀλήθειαν μολυσμὸς καὶ βεβήλωσις· μοιχεῖαί τε γὰρ καὶ τὰ ἔτι τούτων ἀγριώτερα πάθη, ἀῤῥενομιξίαι καὶ φόνοι, καταλαλιαὶ καὶ φθόνοι, ψευδομαντεῖαι καὶ δόλοι, ἀπάτη καὶ ψευδορκία, κηλῖδες ἂν εἶεν καὶ μολυσμοὶ ψυχὴν καὶ σῶμα καταμιαίνουσαι, καὶ δυσαπόνιπτον ἔχουσαι τὴν ἐκβολήν. Ἀλλὰ ταυτὶ μὲν οὔτε πῦρ, οὔτ' ἂν ὑδάτων πηγαὶ διασμήξειαν. Παρέντες δὲ, οἶμαί που, καὶ τὸ εἰδέναι μόνον, ὅτι σπιλοῦσι ψυχὴν, καὶ δυσωδίας ἔμπλεω ἀποτελοῦσι τὸν νοῦν, νεκρῶν ἀποφοιτῶσι σωμάτων, καὶ καταμυσάττονται τὸ κατεφθαρμένον, τοὺς τῆς φύσεως ἀτιμάζοντες



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νόμους. Καὶ μὴν καὶ ἐδωδίμων ὧν ἂν ἕλοιντο κατὰ σφᾶς αὐτοὺς συνετῶς καταγινώσκουσι, κἂν εἰ συμβαίη τυχὸν, καὶ οὐχ ἑκόντας θίγειν, εὐθὺς ἀναθρώσκοντες ἐπὶ τὴν διὰ πυρὸς ἢ ὕδατος ἴενται κάθαρσιν, ὡς ἂν εἰ μόνον ἀπόσχοιντο τούτων, ἅγιοί τε καὶ εἰλικρινεῖς ἐσόμενοι. Ἥττηνται γὰρ ὧδε τῆς δόξης, καὶ ἐξεστήκασι φρενῶν, ἐφ' οἷς ἂν λέγοιτο καὶ σφόδρα εἰκότως· «Οὐαὶ ὑμῖν, ἐξήνιοί τε καὶ ἀμαθεῖς, διυλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.» Λόγου γὰρ ἀξιοῦντες οὐδενὸς τό γε ὡς ἀληθῶς καταμολύνειν εἰδὸς, καταπεφρίκασι περιττῶς τὰ ἐφ' οἷς ἄν τις οὐδὲν ὑπομένει τὸ βλάβος. 68.448 Ὥστε καὶ εἴ τις αὐτῶν ἐπὶ τύμβον ἴοι, καὶ τοῖς τῶν τεθνεώτων ἐμβάλλοι σήμασιν, ἱμάτιον ἀποβαλὼν, ψιλοῦται τὴν κεφαλὴν, καὶ αὐτὴν ἀποκείρων ὡς μεμολυσμένην τὴν τρίχα, ὧν ὅτι προσῆκεν ἀποφοιτᾷν καὶ παραιτεῖσθαι τὴν μίμησιν, ὁ θεῖος ἡμᾶς ἐπαίδευσε νόμος. Ἔφη γὰρ πάλιν· «Οὐ φοιβήσετε, οὐκ ἐπιθήσετε φαλάκρωμα ἐπὶ νεκρῷ, ἀνὰ μέσον ὀφθαλμῶν ὑμῶν.» Ἑλλήνων γὰρ οἱ λογάδες, Ἀπόλ-λωνα μυθολογοῦσι θεὸν, ὃν καὶ Φοῖβον ὀνομάζουσι, τουτέστι, καθαρὸν καὶ ἀμίαντον. Τὸν αὐτὸν δὲ εἶναι τῷ ἡλίῳ φασί. Φοιβάζειν οὖν ἔφασκον, καὶ φοιβᾶσθαι πάλιν, κατὰ συνήθειαν τὴν Ἑλληνικὴν, τὸ καθαίρειν τε καὶ καθαίρεσθαι, κατά γε τὸ αὐτοῖς δοκοῦν, καὶ τοὺς παρὰ σφίσιν αὐτοῖς νόμους. Ἀπείργει δὴ οὖν ἡμᾶς τὸ θεῖον χρησμῴδημα τῶν οὕτως αἰσχρῶν καὶ ἀκαλλεστάτων ἐπιτηδευμάτων. Οὐ γάρτοι προσήκει μολυσμὸν ἡγεῖσθαι ψυχῆς, τὸν τῶν σωμάτων θάνατον, οὔτε μὴν οἴεσθαι ταῖς τῶν ὁρώντων καρδίαις ἐναπομάττεσθαι ῥύπον, τὴν ἐπὶ νεκρῷ θέαν, οὐδ' αὖ ἐπὶ τῷδε προσήκει τὴν τρίχα ψιλοῦν. Κομιδῆ γὰρ ἕωλον καὶ τῆς χαμαιζήλου δόξης τὸ χρῆμα μεστόν. Εὖ γε δὴ οὖν ὁ νόμος τὸ, «Οὐ φοιβήσετε,» φησίν· οὐ γὰρ ἡ τοιάδε κάθαρσις ὀνήσει ψυχὴν, ἀδικεῖ δὲ μᾶλλον, καὶ τὴν γνῶσιν παραιρουμένη τῆς ἐπωφελεστάτης ὁδοῦ, καὶ τῆς τοῦ συμφέροντος ἀποκομίζουσα θήρας. Σκεψώμεθα γὰρ ὡδί· Νόμοι παρ' ἡμῖν τῶν ἐπὶ γῆς κρατούντων εἰσὶ, τὰ πρακτέα καὶ μὴ, τοῖς ἁπανταχοῦ βραβεύοντές τε καὶ ἀποφάσκοντες· ἀλλ' οὐκ ἄν τις δύναιτο διαφυγεῖν τὰς ἐπὶ ταῖς παραβάσεσι δίκας, μὴ οὐχὶ τὸ ἀνεῖσθαι δεῖν τῆς βασιλέως ἡμερότητος ἐφιείσης αὐτῷ. Κατὰ τὸν ἴσον γοῦν τρόπον, ὁ τῶν θείων ἀλογήσας νόμων, οὐκ ἂν γένοιτο καθαρὸς, μὴ οὐχὶ θείῳ νεύματι τὸ χρῆμα πεπλουτηκώς. Εἰ μὲν γὰρ πυρὸς ἢ ὕδατος παραβεβήκαμεν νόμους, καὶ ὁ τῆς ἁμαρτίας λόγος εἰς ἐκεῖνα βλέπει, ἀπονιπτέτω τὸ ὕδωρ τὴν γραφὴν, κατατηκέτω τὸν ῥύπον τὸ πῦρ, καὶ ἀνιέντων ἐπ' ἐξουσίας, οἷς ἂν ἕλοιντο τὰ ἐγκλήματα εἰ δὲ ἀληθὴς ὁ λέγων πρὸς τὸν Θεόν· «Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα,» εἷς γὰρ ὁ νομοθέτης καὶ κριτὴς, ἀνθ' ὅτου μεθέντες τὸν τοῦ κολάσαι τε καὶ ἀνεῖναι κύριον, εἰς γραοπρεπεῖς ἐννοίας κατολισθαίνουσι, πυρὶ καὶ ὕδατι νέμοντες τὸ ἀπαλλάττειν δύνασθαι τῶν αἰτιαμάτων αὐτούς. Ἄπαγε τῆς δυσβουλίας, ἄνθρωπε, πρόσιθι μόνῳ τῷ κατὰ φύσιν Θεῷ, καὶ ἀκούσῃ λέγοντος εὐθύς· «Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου ἕνεκα ἐμοῦ, καὶ οὐ μνησθήσομαι.» Αὕτη κάθαρσις ἀληθής· τοῦτο λαμπρότης ἡ πνευματική· διεσμήγμεθα γὰρ ἡμεῖς, πίστει τῇ εἰς Χριστὸν κεκερδακότες τῆς ἁμαρτίας τὴν ἄφεσιν, ἡγιασμένοι δὲ τῷ λουτρῷ τῆς παλιγγενεσίας, καὶ τὴν θείαν ἑαυτοὺς καταπλουτίσαντες χάριν, τὴν τοῦ θείου Πνεύματος, ὃ καὶ πυρὸς δίκην, οἷά τινα συρφετὸν τὸν ταῖς ἡμετέραις διανοίαις ἐγκατασκήψαντα δαπανᾷ μολυσμόν. Ἐν Πνεύματι γὰρ ἁγίῳ καὶ πυρὶ βεβαπτίσθαι ἡμᾶς φησι ταύτητοι δικαίως ἡ θεόπνευστος Γραφή. {ΠΑΛΛ.} Ἐν μοίρᾳ δὴ οὖν εἰδωλολατρείας λογιούμεθά που καὶ τὴν ἐπὶ τῷδε πλάνησιν; 68.449 {ΚΥΡ.} Πάνυ μὲν οὖν. Ἀθεότητος γὰρ τὸ χρῆμα μεστόν. Συντάξαιτο δὲ τούτοις καὶ ἐπαριθμοῖτο ἂν εἰκότως, τὸ οἴεσθαι τὰ ἀνθρώπινα τοῖς ἑτέρων διοικεῖσθαι νεύμασιν, καὶ τῶν καθ' ἡμᾶς ἀνῆφθαι τὴν ἐξουσίαν οὐχ ἡμᾶς αὐτοὺς, ἀλλ' οὓς ἂν ἕλοιντο μυθοπλαστεῖν οἱ τῶν οὕτως ἀπιθάνων δογμάτων εὑρεταί. Εἱμαρμένην γὰρ καὶ Τύχην καὶ Γένεσιν, οὐκ οἶδα ὅπως οἰακοστρόφους ὥσπερ τινὰς ἐφιστάντες τῷ βίῳ, ἕκαστον μὲν ἡμῶν οὐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἶναί φασι τῶν πρακτέων θελητὴν ἢ κύριον· ἄγεσθαι δὲ καθάπερ ἐξ ἀναγκαίου δεσμοῦ πρὸς τὸ τοῖς κρατοῦσι δοκοῦν. Εἶτα τί ἂν γένοιτό ποτε τοῦ τοιοῦδε ἀλογώτερον; πῶς δ' ἂν μειζόνων ἠδίκησεν ὁ Σατανᾶς τὸ τῶν ἀνθρώπων γένος, ἢ ὅτε προσῆκεν ὧδε φρονεῖν καὶ διαλογίζεσθαι διαθείς; πῶς γὰρ ἂν ἔτι βουλεύσαιτο τὰ χρηστὰ, καὶ ἐθελουργὸς ἐπ' αὐτά τις ἴοι ποτέ; Γεγονὼς δὲ καὶ ἐν τοῖς αἰσχίοσι, καὶ πεφρονηκὼς ἃ μὴ χρὴ, πῶς ἂν ἑαυτὸν αἰτιῷτο καὶ κατατήξας ταῖς λύπαις τὰ ἀμείνω μεταβουλεύσαιτο φρονεῖν τε καὶ δρᾷν; Ὥσπερ γὰρ τοῖς τὴν θάλατταν διᾴττουσι καὶ διαπλεῖν ᾐρημένοις πᾶσά πως τοῖς ἐκ πρύμνης ἄγεσθαι ἀνάγκη πνεύμασι, καὶ καταβιάζεσθαι πανταχῇ πρὸς τὸ τῷ συνωθοῦντι δοκοῦν· οὕτω που πάντως καὶ ἡμῖν αὐτοῖς παραχωρεῖν ἀναγκαῖον, ἐφ' ὅπερ ἂν ἕλοιτο διακομίζειν ἡ Τύχη, καὶ τὰ δυσδιάφυκτα κατ' ἐκείνους τῆς Εἱμαρμένης πνεύματα. Ἦ οὐκ ὀρθῶς εἰρῆσθαι ταυτὶ καὶ αὐτὸς οἰήσῃ πάλιν; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Οὐκοῦν ἠλίθιον κομιδῇ, τὸν μὲν ἀγαθὸν καὶ ἐπιεικῆ στεφανοῦν ἐπαίνοις, καὶ τιμῆς ἀξιοῦν, τὸν δὲ πονηρὸν καὶ ἀκόλαστον βδελυρὸν ἡγεῖσθαι καὶ διεπτυσμένον. {ΠΑΛΛ.} Τίνα φῂς τρόπον; {ΚΥΡ.} Ὅτι, ὦ Παλλάδιε, Γένεσίς τε καὶ Τύχη νενικήκασι κατ' αὐτοὺς, καὶ ἀνεθελήτως ἐπ' ἄμφω τὸ τρισάθλιον τῶν ἐπὶ τῆς γῆς ἀποφέρουσι γένος. Ἐθελούσιον δὲ παρ' ἡμῖν οὐδέν. Ἦ γὰρ οὐχὶ τὸ πε-φυκός τι κινεῖν καὶ δυνάμενον, αἴτιον ἂν εἴη τοῦ κινεῖσθαι τοῖς παρ' αὐτοῦ κινουμένοις; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Ἴθι οὖν διά γε τῶν ἴσων ἐννοιῶν ἐπὶ τὰ ἀνθρώπινα, καὶ ἀναμέτρει τὰ καθ' ἡμᾶς, καὶ ἵν' ἐσμὲν κακοῦ περιαθρήσῃς εὖ μάλα, εἰ μὴ ταῖς ἑαυτῶν ἐθελουσίοις ῥοπαῖς, ἢ τὰν, ἢ ἐπὶ τὰν ἵμεν τε καὶ διασπεύδομεν, κεκρατήμεθα δὲ ὥσπερ καὶ ὑπενηνέγμεθα τοῖς ἑτέρων ζυγοῖς ἄγειν τε καὶ φέρειν τὰ καθ' ἡμᾶς, ᾗπερ ἂν ἕλοιντο, δυναμένοις. Τὰ εἰκότα γὰρ ἤδη φρονοῦντες, ἑαυτοῖς μὲν ἔτι τῶν πρακτέων ἀναθήσομεν οὐδὲν, ἀνάψομεν δὲ μᾶλλον τὰς ἐφ' ἅπασιν αἰτίας, τοῖς ἐφ' ὁτιοῦν τῶν κατὰ γνώμην αὐτοῖς πηδαλιουχεῖν εἰωθόσιν. Ἀφεστήξει δὴ οὖν ὥσπερ ἐπαίνου παντὸς ὁ δίκαιος, οὕτω καὶ ποινῆς ὁ ἄδικος, καὶ τοῦ κολάζεσθαι δεῖν. {ΠΑΛΛ.} Ὀρθότατα διανοῇ. {ΚΥΡ.} Εἰκῆ τοιγαροῦν θαυμάζουσιν οἱ τῶν τοιούτων δογμάτων εὑρεταὶ Σόλωνά τε τὸν Ἀθήνῃσι, 68.452 Δράκοντά τε καὶ Λυκοῦργον, ὡς παγκάλων μαθημάτων εἰσηγητὰς, καὶ νόμους τοῖς Ἕλλησι τοὺς ἀρίστους ἐξευρηκότας. Ποία γὰρ ἐκ τοῦδε λοιπὸν ἡ ὄνησις, εἰ μηδὲν ἐφ' ἡμῖν, ἀνῆπται δὲ μᾶλλον τὰ ἡμῶν ἑτέροις; ἐν ἴσῳ δέ που καὶ ἐν ὁμοίῳ λοιπὸν, τοῖς τοὺς νόμους εἰδόσι, καὶ ὁ τούτους ἠγνοηκὼς, εἰ μὴ μέτεστι δρᾷν τοῖς ἐθέλουσιν ἐλευθέρως, ἃ ἂν ἕλοιντο τυχὸν, ἀδικωτάτους δὲ λίαν τοὺς τῶν νόμων ὑφηγητὰς γενέσθαι φημὶ, καί τοι πλείστην ὅσην δόξαν δικαιοσύνης ἐφ' ἑαυτοῖς ᾐρημένους. Χρῆναι γὰρ δὴ νενομοθετήκασιν, οὐκ οἶδ' ὅπως, τοὺς ῥᾳθυμοῦντας κολάζεσθαι, καὶ πικρὰς τῆς παραβάσεως ἀποτιννύναι δίκας, κανόνας δὲ ὥσπερ τοῖς νέοις καὶ παιδαγωγίας τρόπους ἀξιεπαινετωτάτους παραδεδώκασιν, ἢ ὡς ὂν ἐφ' ἡμῖν αὐτοῖς, τὸ διαβιοῦν ἑλέσθαι σεμνῶς, ἢ οὐκ οἶδ' ὅ τι πεφρονηκότες. Φαίη δ' ἂν, οἶμαι, τίς· Εὖγε, ὦ Σόλων, ἐνομοθέτεις τοῖς τότε· ἀλλ' ἔδει που πάντως προσαναπείθειν τὴν Εἱμαρμένην ἐφεῖναι τοῖς νομοθετουμένοις ἃ ἂν βούλοιντο φρονεῖν τε καὶ δρᾷν. Ἐνομοθέτεις δὲ οὐ πεπεικώς· ἐγέλας δέ που τάχα καὶ αὐτὸς τὸν μῦθον, καὶ κυρίους ἠπίστασο τῶν πρακτέων ἡμᾶς, τήν τε ἄδικον καὶ τυφλὴν τῶν ἀνθρωπίνων πραγμάτων ἀπεσόβεις Τύχην· ἢ γὰρ οὐκ ἂν ᾤου δεῖν, ἄριστον μὲν εἶναι πολίτην ὑπονοεῖν, τὸν εὐσεβῆ τε καὶ νομοφύλακα, καὶ τῆς εἰς ἄκρον ἐπιεικείας ἀνῆρθαι τὴν δόξαν, ἀχρεῖον δὲ αὖ καὶ τοῖς αἰσχίστοις ἐναριθμούμενον, τὸν ἐῤῥῶσθαι φράζοντα τοῖς εἰς ὀρθότητα συμβουλεύσουσι διᾴττειν νόμοις; {ΠΑΛΛ.} Ἀστειότατά τε καὶ σφόδρα καλῶς ἔφης. {ΚΥΡ.} Τί δὲ, ὦ φιλότης; οὐχὶ τὰς παιδαγωγίας καὶ τὰς ὑποθήκας, καὶ μὴν καὶ προκλήσεις τὰς ἐπ' ἀρετὴν, ἅσπερ ἂν ποιοῖντο πατέρες μὲν ἐφ' υἱοῖς, διδάσκαλοι δὲ ὁμιληταῖς, εἰκαίας εἶναι φήσομεν, εἰ καταστείχειν ἀνάγκη τὴν οὐ κατὰ γνώμην ὁδὸν, καὶ βίου τρίβον ἰέναι τὴν ἀνεθέλητον ἔσθ' ὅτε; {ΠΑΛΛ.}



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Καὶ μάλα. {ΚΥΡ.} Εἰ δὲ δὴ καὶ παισὶν ἰδίοις, ἤγουν ἑτέροις τισὶ πεπλημμεληκόσιν ἐποτρύνοιτό τις καὶ ὀρθὴν ποιεῖται τὴν ἐπίπληξιν, ἐπαινέσαις ἂν τὸν τοιοῦτον αὐτὸς, ἢ ἄδικον λογιῇ, τοὺς μὲν ἁπάντων ἡμῖν τῶν κακῶν αἰτίους ἀνεπιτιμήτους ἐᾷν οὐκ οἶδ' ὅπως ᾐρημένους, τούς γε μὴν, ἀνεθελήτως τε καὶ ἐξ ἀνάγκης ἐπὶ ταῦτα ἠγμένους ὑποφέρειν ταῖς δίκαις; {ΠΑΛΛ.} Ἔοικε. Πολὺ γὰρ ἔχει τὸ πιθανὸν ὁ λόγος. {ΚΥΡ.} Ἔμπλεως δὲ ὅτι δυσσεβείας αὐτοῖς τῆς ἐσχάτης ἡ τοιάδε δόξα, κἀντεῦθεν εἴσῃ τοι· τὸν γὰρ τοῦδε τοῦ παντὸς οἰακοστρόφον ὥσπερ τινὰ καὶ ἐπιστάτην Θεὸν, τῆς ἐνούσης αὐτῷ κατασείοντες δόξης, καὶ εἰς τοῦτο λοιπὸν ἰόντες θράσους, ὡς τῶν ἰδίων εἰσάπαν ἀλλοτριοῦν αὐχημάτων αὐτὸν, ψήφοις ἰδίαις αὐτοὶ τὸ τῶν καθ' ἡμᾶς ἀπονέμουσι κράτος, τοῖς εἰς νοῦν ἥκουσιν ἁπλῶς· καί τοι τὴν κτίσιν ἅπασαν οὐκ ἀνεπιστατήτοις κινήμασι φερομένην ὁρῶντες εἰς τὰ 68.453 οἰκεῖα. Τί γὰρ οὐκ ἐν κόσμῳ πράττεται τῶν περὶ τὴν κτίσιν; τί δὲ τῶν ὄντων οὐχὶ τὴν ἰδίαν τετήρηκε τάξιν, καὶ μονονουχὶ τὸν ταξίαρχον ἀναφωνεῖ; καὶ ὅτι νόμοις ὑπέζευκται βοᾷ καὶ νεύμασι διοικεῖται τοῖς τοῦ κρατεῖν ἰσχύοντος, φημὶ δὴ Θεοῦ. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Παῦλος· «Τὰ γὰρ ἀόρατα αὐτοῦ,» φησὶν, «ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους· διότι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἀλλ' ἐματαιώθησαν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες, εἶναι σοφοὶ ἐμωράνθησαν.» Πῶς γὰρ οὐκ ἐμωράνθησαν ἕτερ' ἄττα παρά τε τὸ ἔχον ὀρθῶς, σφίσι τε αὐτοῖς καὶ μὴν καὶ ἑτέροις φρονεῖν συμβουλεύοντες· Καίτοι τί δή ποτε φαίη τις ἂν τοῖς οὕτως ἀθλίοις ἐπινήχεσθαι λογισμοῖς, μηδὲ αὐτοῖς ἁνδάνοντος τοῖς παρ' ὑμῖν ποιηταῖς τοῦ μύθου; Ἀνῆφθαι γὰρ δὴ τῶν πρακτέων τὰς οἰκονομίας, οὐχ ἑτέρους τινὰς, ἀλλ' ἡμᾶς αὐτοὺς εὖ ἔχειν ἐδόκει. Καὶ γοῦν Ὅμηρος μὲν, ἐν οἰκείοις ποιήμασι, τὸν πανάριστον ὑμῶν καὶ ὕπατον Δία τοῖς ἑτέροις ἔφη προσδιειλέχθαι δαίμοσι περὶ τῆς Αἰγίσθου μοιχείας, καὶ τῆς ἐπὶ τῷδε ποινῆς· Ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται! Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ Σφίσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν. Ἀνθ' ὅτου γὰρ δὴ, φησὶν, ἐπαιτιῶνταί τινες τοὺς θεοὺς ὡς παρ' αὐτῶν ἔχοντες τὰ κακὰ, καὶ οὐχὶ δὴ μᾶλλον τῆς σφῶν αὐτῶν ἁμαρτίας κατακεκράγασιν, ὡς ἐνιείσης αὐτοὺς συμφοραῖς, καὶ ταῖς ὑπὲρ μόρον, τουτέστι, καὶ ταῖς ὑπὲρ Εἱμαρμένην, ἤτοι τὸ τῇ Εἱμαρμένῃ δοκοῦν. Οὐκοῦν εἴπερ ἕλοιτό τις διαβιῶναι μὲν ὀρθῶς, εὐβουλοτάτας δὲ καὶ ἐπιεικεστάτας τὰς ἐν τῷδε τῷ βίῳ ποιεῖσθαι διατριβὰς, ὀρθοποδήσει τε καὶ διανήξεται τὰ δεινὰ, γνώμης ἔχων ὀρθῆς καὶ ἀδιαστρόφου καρπὸν, τὸ μὴ ἐναλῶναι κακοῖς· καὶ ἀληθὴς ὁ λόγος. Ἐφ' ἡμῖν γὰρ αὐτοῖς ἐστι, τὸ ἐπ' ἄμφω βλέπειν, πρός τε τὸ ἀγαθόν φημι καὶ τὸ ἐναντίον· καὶ οἱ μὲν ἐν λόγῳ πεποιημένοι, τὸ θαυμάζεσθαι πεφυκὸς καὶ τὴν εἰς ὀρθότητα τρίβον, ἐν καλῷ γενήσονται τῆς ἀρετῆς· οἱ δὲ ἀποκλίνοντες εἰς τὸ ἐναντίον, καὶ τῶν ἀμεινόνων προθέντες τὸ ἀδικοῦν, αὐτοὶ τὴν ἰδίαν καταφθείροντες ζωὴν, ἁλοῖεν ἂν αὐθένται τινὲς καὶ ὀλετῆρες δεινοὶ τῆς σφῶν αὐτῶν κεφαλῆς ἐξεληλεγμένοι. Ὅτι δὲ ἐφ' ἡμῖν αὐτοῖς τὸ ἐπ' ἄμφω βλέπειν κείσεται, καθάπερ ἔφην ἀρτίως, καὶ ἀναπεπτωκότες εἰς ἡδονὰς, τῆς τῶν συμφερόντων διαμαρτάνομεν θήρας, σαφὲς ἂν γένοιτο, διαβοῶντος ἑτέρου τῶν παρ' αὐτοῖς ποιητῶν· Εὐριπίδης οὗτος ἦν. Γύναιον μὲν γὰρ ἐπὶ σκηνῆς ἀῤῥωστοῦν ἐποίει τὴν ἀκόλαστον ἡδονὴν, εἶτα οὐκ οἶδ' ὅπως φιλοσοφοῦν ἔδειξε, καὶ λέγον· Τροιζήνιαι γυναῖκες, αἳ τόδ' ἔσχατον Οἰκεῖτε χώρας Πελοπείας προνώπιον, 68.456 Ἤδη ποτ' ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ Θνητῶν ἐφρόντισ', ᾗ διέφθαρται βίος. Καί μοι δοκοῦσιν οὐ κατὰ γνώμης φύσιν Πράσσειν κάκιον· ἔστι γὰρ τὸ εὖ φρονεῖν Πολλοῖσιν. Ἀλλὰ τῇδε ἀθρητέον τόδε· Τὰ χρήστ' ἐπιστάμεθα καὶ γινώσκομεν, Οὐκ ἐκπονοῦμεν δὲ, οἱ μὲν ἀργίας ὕπο, Οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ Ἄλλην τιν'. Εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου, Μακραί τε λέσχαι, καὶ σχολὴ, τερπνὸν κακόν. Συνίης ὅπως οὐ Τύχην, οὐ Γένεσιν, οὐχ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εἱμαρμένην τοῖς ἀρχαιοτέροις αἰτιᾶσθαι δοκεῖ, ὡς ἐξωθοῦσαν ἡμᾶς σὺν βίᾳ τῆς ἐγνωσμένης ὀρθότητος, καὶ ὧν ἂν μάθοιμεν εἶναι χρηστῶν; Διέφθαρται γὰρ ὁ βίος τῶν ἐπὶ τῆς γῆς, φησὶν, οὐ κατὰ γνώμης φύσιν, τουτέστιν, οὐχ ὅτι πονηρὰν ἔχουσι κατὰ φύσιν τὴν γνώμην· ἀλλ' ὅτι μὴ ἐκπονεῖν ἐθέλουσι τὰ ἐγνωσμένα χρηστά. Καὶ τίς ἡ τοῦδε πρόφασις· Ἢ γὰρ ὄκνος, φησὶν, ἐπέδησε πρὸς ἀργίαν, ἤ τις τῶν κατὰ τὸν βίον ἡδονῶν ἀντεισδραμοῦσα, φησὶ, καὶ τοῦ συμφέροντος ἀντανίσχουσα, τῆς τῶν ἀναγκαίων ἀπεκόμιζε θήρας, καὶ ἀπεβουκόλησε τὸν νοῦν, λειοτέραν ἀποφαίνουσα τὴν εἰς ῥᾳθυμίαν ὁδόν. Μυρία δὲ ἂν τούτοις ἐπεσωρεύσαμεν τῶν παρ' αὐτοῖς, καὶ ῥᾷστά γε δή. Τὸ δὲ ἀποχρῶν, ὅτι τοῖς ἀκροωμένοις ἡδὺ, τίς ἂν ἐνδοιάσαι; τοιγάρτοι καὶ διωσόμεθα τοῦ λόγου τὸν ὄχλον. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. Ἀλλ' εἰ βούλει, φασὶ, ταῦτα δὴ μέθες. Διανοοῦ δὲ ὅπως ἀπολογήσῃ σοφῶς, εἴπερ ἔροιντό τινες, τίς ἂν νοοῖτο τυχὸν ὁ λόγος τῆς ἐν ἡμῖν ἀνισότητος, καὶ τοῦ ἄνω τε καὶ κάτω παρ' ἀξίαν ἔσθ' ὅτε. Εὐημεροῦντα μὲν γὰρ καὶ πλουτοῦντα τὸν πονηρὸν καταθεῷτό τις ἂν, ἔν γε τοῖς ἐναντίοις γεγονότα πολλάκις τὸν ἐπιεικῆ, καὶ τῶν εἰς λῆξιν ἡκόντων ἐπαίνων ἔμπλεω. {ΚΥΡ.} Δυσέποπτον ἀληθῶς καὶ δυσέφικτον κομιδῇ τὸ χρῆμά ἐστιν, ὦ Παλλάδιε, καὶ τὸ ταυτὶ δὴ βούλεσθαι πολυπραγμονεῖν φαίην ἂν ἔγωγε τῶν τῆς ἀνθρωπότητος μέτρων ἐπέκεινά τε καὶ ἀνωτάτω. Θείοις γὰρ κρίμασι παραχωρεῖν ἀναγκαῖον· καὶ εἴπερ ἑλοίμεθα φρονεῖν ὀρθῶς, μόνῳ δὴ, μόνῳ τῷ ὑπερτάτῳ καὶ ἀκηράτῳ νῷ τῆς οἰκονομίας τὴν γνῶσιν ἀνάπτοντες, πρὸς τὰ ἐν χερσὶ βαδιούμεθα, ἃ καὶ σὺν βίᾳ μόλις πρὸς ἡμῶν εὑρίσκεται, κατὰ τὰς Γραφάς. Ἐπειδὴ δὲ οἶμαι δεῖν κατὰ τὸ ἐγχωροῦν ἐπαμύνειν ἡμᾶς τῷ λόγῳ, φέρε καὶ ἡμεῖς ἐπ' ἐκεῖνο ἴωμεν. Ἕωλον ἀρτίως τῶν ἀθέων τὴν δόξαν ἀπηλέγχομεν, οὐκ ἐξαγωνίοις χρώμενοι λογισμοῖς, ἀλλ' ἐξ ἀναγκαίων ἐννοιῶν ἀποφαίνοντες, ὅτι τῆς ἀνθρώπου διανοίας οὐ γένεσις ἔχει τοὺς οἴακας, ἀλλ' οὐδ' Εἱμαρμένης ἡμῖν σκληρός τε καὶ δυσδιάφυκτος ἐπέῤῥιπται ζυγὸς, ἀλλ' ὅτι κυρία τῶν ἐν αἱρέσει πρακτέων ἡ ἑκάστου γνώμη, καὶ ἐφ' ἡμῖν αὐτοῖς τὸ ἑλέσθαι δρᾷν τὸ δοκοῦν, εἴτ' ἀγαθὸν, εἴτε φαῦλον. Καταλογισαίμην γὰρ ἔγωγε τῆς εὐημερίας 68.457 τοὺς τρόπους κατά γε τὸ τοῖς ἱεροῖς Γράμμασιν εὖ 68.457 ἔχειν ὑπειλημμένον, οὐκ ἐν οἷς τὸ βδελυρὸν καὶ γήϊνον δὴ τουτὶ σπαταλᾷ σαρκίον, ἀλλ' ἐφ' οἷς ἂν γένοιτο τῆς αἰωνίου ζωῆς μεταλαχεῖν δύνασθαι τὴν ὑπὲρ σῶμα ψυχήν· εἶεν δ' ἂν, οἶμαι, ταυτὶ, τὰ εἰς ἀρετὴν σπουδάσματα, καὶ ἡ ἐν πίστει τε καὶ ἔργοις λαμπρότης. Εἰ μὲν οὖν οὐ μέτεστι τοῖς ἐθέλουσι σωφρονεῖν, κἂν εἰ φαῦλοί τινες εἶεν, εἴτ' οὖν ἀγαθοὶ τοὺς τρόπους, ἡκόντων εἰς μέσον οἱ διελέγξοντες. Εἰ δὲ ἐν αἱρέσει κειμένου τοῦ κατορθοῦν ἐλευθέρως, ἃ ἂν βούλοιτό τις, καὶ ἐνὸν ἅπασι μετ' ἐξουσίας τὸ εὐημερεῖν ἑλέσθαι πνευματικῶς, καὶ τῆς ἄνωθεν εὐκλείας ἐν ἴσῳ μεταλαχεῖν, πλεονεκτοῦσί τινες, ἢ ἐν πλούτῳ τὰς ὑπεροχὰς, ἢ ἐν δοξαρίοις ἔχοντες κοσμικοῖς, μὴ τοῦτο ἡμᾶς πρὸς ἀθέους τινὰς καὶ τῆς ἀληθοῦς γνώσεως ἐκμεμοχλευμένας ἀποκομιζέτω δόξας, ὡς οἴεσθαι τοῖς καθ' ἡμᾶς, Εἱμαρμένης καὶ Τύχης ἐπιτεθεῖσθαι ζυγόν. Ἀλλὰ γραφέσθω μέν τις, εἰ βούλεται, τῶν ἐν πλούτῳ τὰς πλεονεξίας ἴδιον ὥσπερ πεποιημένων ἀγαθὸν, τὸ πᾶσι κοινὸν, εἰ λόγος ἀπῆν ὁ πλεονεξίας. Πολυπραγμονείτω δὲ μᾶλλον τοῦ πεποιηκότος τὴν βούλησιν· ἐν ἴσῃ γὰρ τάξει τὰ καθ' ἡμᾶς οἰκονομεῖσθαί τε καὶ ὁρᾶσθαι θέλων, πλουσίοις μὲν παραγγέλλει τὸν συναχθέντα πλοῦτον ἀπεμπολᾷν, καὶ ταῖς τῶν πτωχευομένων διανέμειν χρείαις, δόξης δὲ καὶ ὑπεροχῆς οὐκ ἐφίησιν ἐρᾷν. Ὅτι δὲ τὴν ἰσότητα τοῖς ἐπὶ γῆς βραβεύει Θεὸς, χαλεπὸν οὐδὲν συνιδεῖν καὶ ἐξ αὐτῆς ἡμᾶς τῆς τοῦ σώματος κατασκευῆς. Οὐ γὰρ οἶδεν ἡ φύσις, τὸν ἐν πενίᾳ καὶ πλούτῳ, τὸν δυσγενῆ καὶ λαμπρὸν, τὸν εὐγενῆ καὶ κατεῤῥιμμένον, καὶ τὸν ἐν δόξῃ τῇ κατὰ τόνδε τὸν βίον· ἀλλ' ἴση διὰ πάντων ἀπροσωπολήπτως ἔρχεται, τοῖς αὐτοῖς ἀποτελοῦσα μορίοις ἕκαστον εἰς τὸ ἀρτίως ἔχον σχῆμά τε καὶ κάλλος· καὶ μία μὲν ὁδὸς ἡ πάντων εἰς γένεσιν, μία δὲ ζωῆς ἀπόθεσις, οὐ τὸν μὲν ἀνιεῖσα βρόχων, τὸν δὲ εἴσω ποιουμένη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τυχὸν, ἀλλὰ σκληρόν τε καὶ ἀνεξίτητον παντὶ τῷ πεποιημένῳ τὸ τέλος ἐπάγουσα. Ἆρ' οὖν, εἰπέ μοι, δυσκάτοπτον ἔτι, μᾶλλον δὲ οὐχὶ παντί τῳ λοιπὸν ἐναργὲς, ὅτι τῆς θείας βουλῆς ὁ σκοπὸς, τὸ ἐν ἰσότητι ζῆν τοὺς ἐπὶ γῆς; Ἄκουε δὲ λέγοντος, εἰ δοκεῖ, καὶ δι' ἑνὸς τῶν προφητῶν· «Οὐχὶ Θεὸς εἷς ἔκτισεν ἡμᾶς; οὐχὶ Πατὴρ εἷς πάντων ἡμῶν; τί ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ;» Οὐκοῦν εἰ τὸ τῷ πεποιηκότι δοκοῦν παραλύουσί τινες, ἐθελούσιον ἔχοντες ἐφ' ὅπερ ἂν ἕλοιντο τῶν πρακτέων τὴν ῥοπὴν (τετίμηκε γὰρ ἐλευθερίᾳ τὴν φύσιν ὁ Δημιουργὸς), οὐδὲν πρὸς τὸν λόγον, ἐπεί τοι καὶ νόμων τῶν καθ' ἡμᾶς ὑπερορῶσί τινες. Ἀλλ', οἶμαί γε δὴ, καταψέξειεν ἂν οὐδεὶς, εἴ γε νοῦν ἔχοι, τῶν νόμων τοὺς ὁριστὰς, ἐπαιτιῷτο δ' ἂν μᾶλλον καὶ σφόδρα εἰκότως τοὺς ὑπερφρονεῖν ἑλομένους τῶν ἀναγκαίων. Ὅταν τοίνυν πλημμελοῦντες λέγωσί τινες· Ἐδόκει που τάχα τῇ Τύχῃ, καὶ, Εἱμαρμένης ἦν οὗτος ἐπ' ἐμοὶ σκοπὸς, τίς ὁ λῆρος, ὦ οὗτοι, καὶ πρός γε ἡμῶν λελέξεται; Τί δὲ δὴ γράφεσθε τὸ μηδὲν, τῆς σφῶν αὐτῶν ἐλαφρίας οὐ κατεγνωκότες; Ἀλλ' ἥ γε 68.460 θεία Γραφὴ παραφωνήσει τὸ ἀληθὲς τοῖς μὴ ὀρθοποδεῖν ᾑρημένοις· «Ἀφροσύνη ἀνδρὸς λυμανεῖται τὰς ὁδοὺς αὐτοῦ· τὸν δὲ Θεὸν αἰτιάσεται τῇ καρδίᾳ αὐτοῦ.» Ἀληθοῦς οὖν ἄρα διημαρτήκασι δόξης οἱ Γένεσίν τε καὶ Εἱμαρμένην καὶ Τύχην εὐδιαῤῥίπιστον τοῖς καθ' ἡμᾶς ἐπιστήσαντες, καὶ οὐχὶ δὴ μᾶλλον Θεῷ προσνέμοντες τὴν τῶν πραγμάτων οἰκονομίαν· καίτοι λέγοντος τοῦ Χριστοῦ· «Οὐχὶ δύο στρουθία ἀσσαρίου ἑνὸς πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. Ὑμῶν δὲ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι εἰσί. Μὴ οὖν φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε ὑμεῖς.» Προνοεῖ μὲν γὰρ τῶν ἐπὶ τῆς γῆς ὁ Δημιουργὸς, ἑκάστῳ γε μὴν ἐφίησι καὶ δρᾷν τὸ δοκοῦν, καὶ ἣν ἂν βούλοιτο βαδίζειν ὁδόν. Ἐπειδὴ δὲ ἠῤῥώστησε τὴν παρατροπὴν τὸ ἐπὶ τῆς γῆς γένος, νόμον εὐθὺς εἰς βοήθειαν δέδωκε, κατὰ τὸ γεγραμμένον. Σφαλερὸν οὖν ἄρα παντί τῳ λοιπὸν τὴν εἰς Χριστὸν πίστιν εἰσδεδεγμένῳ, καὶ τὴν ἀρχαίαν ἐκείνην διελάσαντι πλάνησιν, τὸ γραώδεσι μύθοις ἀποφέρεσθαι πρὸς ἃ μὴ δεῖ, καὶ τῆς ὑγιοῦς ἀποκομίζεσθαι δόξης, ὡς τόδε τὸ σύμπαν, ἤτοι τὸν ἄνθρωπον, ἡνιοχεῖν οἴεσθαι Τύχην τε καὶ Εἱμαρμένην, τὰς οὐκ οὔσας ὅλως. {ΠΑΛΛ.} Σφαλερώτατον. Καταθήξει γὰρ ἂν ὁ τοιοῦτος πάντη τε καὶ πάντως ἐφ' ἑαυτῷ τὸν κριτήν. {ΚΥΡ.} Τί δέ; οὐ πάναισχρον εἶναι φὴς καὶ ἀγχίθυρον ἀληθῶς τοῖς τοιοῖσδε κακοῖς τὸ ἡμέρας ἐπιτηρεῖν, καὶ ὥρας, καὶ καιροὺς, καὶ ἐνιαυτοὺς, αὖξίν τε καὶ φθίσιν τοῦ σεληνιακοῦ κύκλου; {ΠΑΛΛ.} Καὶ μάλα. Σαφέστατα γὰρ τοῖς ἐξ ἐθνῶν ἀνασεσωσμένοις ἔγκλημα ποιεῖται τὸ χρῆμα, λέγων ὁ θεσπέσιος Παῦλος· «Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς· νῦν δὲ γνόντες τὸν Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλαι ἄνωθεν δουλεύειν θέλετε; ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ ἐνιαυτοὺς, καὶ καιρούς· φοβοῦμαι ὑμᾶς, μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς.» {ΚΥΡ.} Ἡ ὡρῶν ἄρα καὶ ἡμερῶν ἐπιτήρησις, προσθείην δ' ἂν ὅτι καὶ ἡ καιρῶν, ἀνάρμοστος παντελῶς τοῖς τὸν ἕνα τε καὶ φύσει Θεὸν οὐκ ἠγνοηκόσι, μᾶλλον δὲ τοῖς ὑπ' αὐτοῦ διὰ πίστεως ἐγνωσμένοις, καὶ εἰς οἰκειότητα κεκλημένοις τὴν διὰ τῆς χάριτος· ὑπονοστεῖ γὰρ ἀνόπιν, τὸ ἐν Χριστῷ καύχημα μεθεὶς, ὁ τοῦτο δρᾷν ᾑρημένος· καὶ φιλελεύθερον μὲν οὐκέτι τὸν οἰκεῖον διεσώσατο νοῦν, φληνάφως δὲ μᾶλλον τὸν τῆς ἀρχαίας πλανήσεως ὑποτρέχει ζυγὸν, τοῖς τοῦ κόσμου στοιχείοις τιμὴν ἀπονέμων, ἥνπερ ἂν ἔχοι Θεὸς, καὶ ταῖς ἀνωτάτω στεφανῶν εὐκλείαις τὰ κεκλημένα πρὸς γένεσιν τοῖς τοῦ πεποιηκότος νεύμασι. Στοιχεῖα δὲ κόσμου φησὶ τὰ οἱονεὶ μόρια τοῦ παντὸς, καιρούς τε καὶ μῆνας, καὶ τὰς τούτων ἀναμετρήσεις, διά τε ὡρῶν καὶ ἡμερῶν ἀποτελουμέ 68.461 νας. Συνεχῆ γὰρ ὄντα τὸν χρόνον, καὶ ἀείῤῥυτον ἔχοντα τὴν εἰς τὸ πρόσω φορὰν, ταῖς τῶν καιρῶν, ὡρῶν τε καὶ ἡμερῶν οἱονεί πως διὰ μέσον παρεγκοπαῖς καὶ ἀνακυκλήσεσι ταῖς εἰς αὖθις αὖ μέτροις τε καὶ ἀριθμοῖς ὑπέταξε Θεός. Ἔδει γὰρ, ἔδει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς οὐκ ἄναρχον ἔχουσιν εἰς τὸ εἶναι διεκβολὴν, καὶ ὅσον οὐδέπω πρὸς τὸ τῆς ἰδίας ζωῆς ἀφιξομένοις τέλος, καὶ χρόνου τοῦ τοιοῦδε τυχὸν, ἀρχομένου τε, φημὶ, καὶ λήγοντος, καὶ τοῖς οὐκ οὖσιν ἀεὶ τὴν οἰκείαν ὥσπερ συγκαθιστάντος φύσιν. Εἰσκεκομισμένου τοιγαροῦν οὐδενὸς ἑτέρου τοῖς ἐπὶ τῆς γῆς διά τε καιρῶν, ὡρῶν τε καὶ ἡμερῶν, πλὴν ὅτι καὶ μόνης τῆς ἐν κύκλῳ διαδρομῆς καὶ ἀναμετρήσεως ἀκριβοῦς, τί μυθοπλαστοῦσί τινες ἃ καὶ γελοῖον ἐννοεῖν; καὶ τὰς μὲν τῶν ὡρῶν ἀγαθοεργοὺς, τὰς δὲ, οὐ τοιαύτας εἶναί φασι, καὶ ἀκριβῆ λίαν ποιοῦνται τὴν ἐπιτήρησιν, αὐταῖς ἀπονέμοντες τὸ ἐπάγειν δύνασθαι τό τε εὐημερεῖν καὶ τὸ ἐναντίον, οἷς ἂν ἕλοιντο τυχὸν, ἢ οἷς ἂν αὐτὰς ἀνάγκη συμβαίνειν; Ἆρ' οὖν οὐχὶ λῆρός τε ἤδη ταυτὶ καὶ φρενοβλάβεια δεινὴ, πάγη δέ τις διαβολικὴ φιλοκακούργως ἐσκευασμένη; {ΠΑΛΛ.} Φημὶ, καὶ ἔστιν ἐναργές. {ΚΥΡ.} Ὥσπερ γὰρ ἐλέγομεν, ὅτι Μοίραις τε καὶ Τύχῃ καὶ ἀλλοτρίοις νεύμασι τὰ καθ' ἑαυτοὺς ἡμᾶς ἀνάπτειν ἀνέπειθον, εἰκαῖον ἡμῖν ἀποφαίνοντες τὸ ἐπιμελὲς, καὶ μερίμνης ἀποκομίζοντες τῆς ὑπὲρ σφῶν αὐτῶν· οὕτω κἀνθάδε τὴν αὐτὴν ἡμῖν ἐξαρτύοντες πλάνησιν, καθάπερ ἐξ ἀναγκαίου ζυγοῦ τὰ ἐξ ἡμερῶν καὶ ὡρῶν ἐπηρτῆσθαί φασι, τοῖς ἐπὶ τῆς γῆς, δυσδιάφυκτον ἔχοντα τὴν διεκδρομήν· καὶ τόγε παράδοξον (γραοπρεπὴς μὲν γὰρ ὁ τοιόσδε μῦθος), ὕθλοις δὲ τοῖς περὶ τούτων νηρίθμους ὁρῶντες ἑπομένας τὰς ἀποτεύξεις, οὐ χαρίζονται τῇ πείρᾳ τὸ διελέγχειν δύνασθαι τὸν φενακισμόν· φαυλότητα δὲ καταγράφοντες ὡρῶν τε καὶ ἡμερῶν, καὶ ταῖς εἰς τὸ μεῖον καταδύσεσι τοῦ σεληνιαίου κύκλου τὴν αὐτὴν ἐπάγοντες ψῆφον, ὅ τί ποτε ἄρα φαῖεν ἄν. Εἰ δὴ βούλοιτό τις ἐν ὥρᾳ μιᾷ καὶ ἐν ἡμέρᾳ τυχὸν, τοὺς μὲν ὄντας ἐν εὐημερίαις, τοὺς δὲ ταῖς ἐσχάταις ἐναλόντας συμφοραῖς, ἀπαριθμεῖσθαι καὶ λέγειν, καίτοι τὸ φύσει φαῦλον παντί τῳ γένοιτ' ἂν ὁποῖον εἶναι καὶ πέφυκεν· εἴπερ οὖν ἐστιν ὥρα τε καὶ ἠὼς τοῖς ἐπὶ γῆς ἐπιζήμια, τί μὴ εἰς πάντας ἐν ἴσῳ τὰ ἐξ αὐτῶν διαστείχει βλάβη· ἀλλ' οἱ μέν εἰσιν ἐν τοῖς ἄγαν εὐκταιοτάτοις, οἱ δὲ διολώλασιν ἔσθ' ὅτε, καὶ τοῦ πρὸς λῆξιν ἰόντος ἔμπλεω κακοῦ, μῦθος τῷ βίῳ γεγόνασι, καὶ σκηνῆς ὑπόθεσις τραγικῆς; Ἀλλ' ἔστιν ἰδεῖν τοῖς γε ἀκριβῶς ἐθέλουσι τὸ ὅτι μάλιστα λυσιτελὲς εἰδέναι τε καὶ ἐκπονεῖν, ὅτι κατὰ τὴν αὐτὴν ἡμέραν τε καὶ ὥραν τυχὸν, ὁ δεῖνα μὲν ἥλω μοιχείας ἢ φόνου καὶ πικρὰς τοῖς δικάζουσιν ἀποτιννύει τὰς δίκας, ὁ δεῖνα δὲ αὖ σωφροσύνης τε καὶ κοσμιότητος καὶ τῆς ὑπὲρ ἄγαν ἐπιεικείας ἐπαίνοις ἐντρυφᾷ. Ἀλλ' οὔτε τὸν ἀκόλαστον ἀπείρξειεν ἂν ἡμέρα τε καὶ ὥρα σωφρονεῖν, οὔτε μὴν τὸν ἐπιεικῆ καὶ κόσμιον, καταθήξειεν ἂν εἰς ἀκοσμίαν καὶ ἀκολάστους ἡδονάς· γνώμη δὲ μᾶλλον ἡ ἐλευθέρα πρὸς πᾶν ὁτιοῦν, καὶ 68.464 ἀνειμένη ῥοπὴ, τὸν μὲν ἐν ἐκείνοις, τὸν δ' αὖ ἐν τούτοις γενέσθαι παρεσκεύασεν. Οὐκοῦν ἐν ἡμῖν, καὶ οὐκ ἐν ταῖς τῶν καιρῶν ποιότησι φυσικαῖς, τότε διευθυμεῖσθαι ἔστι, καὶ τὸ μὴ οὕτως ἔχον. {ΠΑΛΛ.} Ἔοικεν. Εὐθὺς γὰρ ὁ λόγος. {ΚΥΡ.} Ἐκδεδίασι δὲ ὅτι μάλιστα τήν τε πέμπτην καὶ ὀγδόην ἡμέραν, καὶ προφασίζονται μὲν προφάσεις ἐν ἁμαρτίαις, λελήθασι δὲ τῶν ἀρτιφρόνων οὐδένα ψυχροῖς καὶ γραώδεσιν ἐπινηχόμενοι λογισμοῖς· ἐριννύων γάρ τινων γένεσιν καὶ δαιμονίων ἀνάδειξιν, ἃ καὶ τῶν ἄλλων ἐστὶν ἀγριώτερα, ποινάς τε καὶ δίκας, καί τινα πρὸς τούτοις ἕτερα, φληνάφως αὐταῖς ἐπιπλέκοντες, οὐκ ἐρυθριῶσιν οἱ τάλανες. Εἰ δὲ δὴ καὶ ὑπονοστήσειεν ἐπὶ τὸ μεῖον ὁ πρὶν πλησιφαὴς ὢν ἤδη τῆς σελήνης κύκλος, διατορνεύει γὰρ ὧδε τῶν μηνιαίων διαστημάτων τὸ ἀνακύκλημα φθίνουσά τε καὶ αὔξουσα κατά γε τὸ τεχνησαμένῳ δοκοῦν· καταλήγουσι μὲν ἔργου παντὸς, ὑπερτίθενται δὲ καὶ ἀποδημίας πάντη τε καὶ πάντως συμφθίνειν οἰόμενοι τῷ στοιχείῳ τὰ καθ' ἡμᾶς, καὶ ταῖς εἰς τὸ μεῖον ὑποστροφαῖς συνεκτήκεσθαι τὰ ἀνθρώπινα. Ἀλλ' εἰ χρή τι ταῖς ἐκείνων ἀσυνεσίαις ἐπιμειδιῶντας εἰπεῖν, τὸν ὀστρείοις πρέποντα καὶ τοῖς τῶν λαχάνων ἀτυχεστάτοις εἰσδέχονται φόβον. Σώματα μὲν γὰρ τὰ τοιάδε τυχὸν ἤγουν τὰ ἔτι μείζω τε καὶ προφερέστερα, πασχέτω φυσικῶς τὴν συναίσθησιν, καθ' ὃν οἶδεν ὁ Δημιουργὸς λόγον· ἐπισφαλὴς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ἐν τούτοις ἡ βάσανος, καὶ οὐκ ἀκερδὲς τὸ ἄπραγμον, διανοίας δὲ ἀνθρωπίνης ἀφεστήξει πολὺ καὶ μακράν που τὸ χρῆμα κείσεται. Εἰ γὰρ καὶ φθίνει τυχὸν τὸ στοιχεῖον, ἀλλ' ὅ γε σώφρων καὶ ἐμμελὴς οὐδὲν ἧττον ἔσται τοιοῦτος, καὶ οὐκ ἂν ταῖς ἐκείνου συνιζήσει αὐγαῖς ἐπὶ τὸ μεῖον ὁ νοῦς, οὐδ' ἂν μεταθεῖτο τῶν πραγμάτων ἡ φύσις ἐπὶ τὸ αἴσχιόν τε καὶ ἄμεινον ταῖς τοῦ στοιχείου δυνάμεσι κατηναγκασμένη. Ἀεὶ γάρ πως συμπαρομαρτεῖ τοῖς μὲν τῶν ἀρίστων δημιουργοῖς τὸ χρῆναι μεταλαχεῖν παντὸς ἀγαθοῦ, τοῖς γε μὴν τῶν φαύλων ἐργάταις, τὰ αὐτοῖς ὅτι μάλιστα πρεπωδέστατα. Θαυμάζω δὲ ὅτι φθινούσης σελήνης, καὶ εἰς τὸ τοῦ μηνὸς διερπούσης τέλος, χρήσταις μὲν οὖσιν αὐτοῖς καὶ ἄγαν ἐρασιχρηματοις αὐξάνουσιν οἱ τόκοι, καὶ ἁδρότερα τῶν δεδανεικότων ἀποτελεῖται τὰ βαλάντια, συγκατισχνοῦσθαι δὲ τῷ στοιχείῳ καὶ συναῤῥωστεῖν ἀναγκαίως τὰ ἕτερα τῶν πραγμάτων, οὐκ οἶδ' ὅπως ὑπειλήφασιν. Ἢ οὐκ εἶναι φὴς γελοιότητός τε καὶ ἀσυνεσίας ἔμπλεω ταυτί; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Τὸ μὲν τοῖς οὕτως φληνάφως ὑπειλημμένοις μακροὺς ἀντεξάγειν λόγους, εἰκαῖον οἶμαί που. Νοσεῖ γὰρ ἐξ ἑαυτῶν, κἂν εἰ μή τις λέγοι, τὸ ἀκαλλές. Ἴωμεν δὲ μᾶλλον ἐπ' ἐκεῖνο νυνί. {ΠΑΛΛ.} Τὸ ποῖον; {ΚΥΡ.} Καταμυσάττεσθαί μοι δοκεῖ τήν τε πέμπτην καὶ ὀγδόην ἡμέραν ὁ Σατανᾶς, καὶ τὴν τῆς σελήνης ἐκ πλησιφαοῦς ἀνόπιν ὁδὸν, ἤτοι τῆς συνόδου τὸν 68.465 καιρὸν, τουτέστι, τὴν τεσσαρεσκαιδεκάτην, δι' αἰτίαν τοιαύτην, κἂν εἰ παμποίκιλος ὢν καὶ δριμὺς εἰς κακουργίαν, ἑτέρας αὐτοῖς ἐπιπλέκει τὰς ἀφορμάς· τοὺς γάρ τοι καιροὺς ἤτοι τὰς ἡμέρας, ἐν αἷς αὐτὸν τῆς καθ' ἡμῶν τυραννίδος ἀπολισθεῖν συμβέβηκεν, ἐπιλάμψαντος ἡμῖν τοῦ Μονογενοῦς ἐν ἀνθρωπείᾳ μορφῇ καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς, τάχα που καὶ ἐν ψιλαῖς ἐννοίαις ἑλεῖν οὐκ ἀνέχεται. {ΠΑΛΛ.} Πῶς δὴ φής; {ΚΥΡ.} Οὐ γὰρ, ὦ Παλλάδιε, πέμπτος ἡμῖν ἀπαριθμεῖται καιρὸς, ὁ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας; {ΠΑΛΛ.} Συνίημι ὃ φὴς, ἀπό γε τῆς εὐαγγελικῆς παραβολῆς. Ἐξεληλυθέναι γὰρ ἔφη Χριστὸς, τὸν τοῖς ἐργάταις εἰς τὸν ἀμπελῶνα μισθούμενον, περὶ ὥραν πρώτην, τρίτην τε καὶ ἕκτην, καὶ ἐννάτην καὶ ἑνδεκάτην, τουτέστιν, ἐν τῷ τελευταίῳ καιρῷ, καθ' ὃν ἐπεφάνη τε καὶ ἐπέλαμψεν ἡμῖν. {ΚΥΡ.} Νουνεχέστατά γε καὶ λίαν ὀρθῶς εἴρηκας. Τί δέ; οὐχὶ τῇ πέμπτῃ τοῦ Σαββάτου παραδεδόσθαι φαμὲν αὐτὸν, καὶ εἰς ἀρχὰς ὥσπερ ἥκειν τῆς ὅλης οἰκονομίας, δι' ἧς οἱ πάντες ἀνασεσώσμεθα, τὸν σωτήριον ὑπὲρ ἡμῶν ἀνατλάντος σταυρὸν τοῦ δι' ἡμᾶς ἐνηνθρωπηκότος; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Κατήργηκε δὲ τὸν θάνατον, καὶ ἀνεβίω πάλιν, σκυλεύσας τὸν ᾅδην, οὐκ ἐν ὀγδόῃ, τουτέστι, τῇ μιᾷ τῶν Σαββάτων, {ΠΑΛΛ.} Οὐκ ἀμφίβολον. {ΚΥΡ.} Καὶ γοῦν ὁ πάλαι νόμος τὴν ἐν σαρκὶ περιτομὴν, ὑποτύπωσίν τινα τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ, διετύπου πράττεσθαι κατὰ τὴν ὀγδόην. Περιτομὴ δέ γε τῆς ἀρχαίας ἐκείνης ἡ προφερεστέρα, τουτέστιν, ἡ ἐν πνεύματι, Πνεύματός ἐστιν ἁγίου μέθεξις, καὶ χάρις ἡ ἐν ἀρχαῖς, ἣν, ἐπείπερ ἐκ νεκρῶν ἀνεβίω, πάλιν ἀνεκαίνισεν, ἡμῖν ὁ Χριστὸς, λέγων· «Λάβετε Πνεῦμα ἅγιον.» Ἔφη δέ που καὶ ὁ μακάριος Παῦλος, ὅτι «Τὸ Πάσχα ἡμῶν ἐτύθη Χριστός.» Ἡμέρα γε μὴν τῆς σωτηρίου ταύτης καὶ πολυεύκτου σφαγῆς, ἡ κατὰ σελήνην τεσσαρεσκαιδεκάτη. Οὕτω καὶ ὁ νόμος προανεκήρυττεν ἐναργῶς τῆς τοῦ Σωτῆρος ἡμῶν σφαγῆς τὸν καιρὸν, ἣν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς ὑπομεμενηκέναι φαμὲν αὐτόν· «Τῇ γὰρ δεκάτῃ, φησὶ, τοῦ μηνὸς τοῦ πρώτου, λαβέτωσαν ἑαυτοῖς πρόβατον κατ' οἴκους, κατ' ἀριθμὸν, φησὶ, ψυχῆς συλλέξουσι, καὶ ἔσται διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου, καὶ σφάξουσιν αὐτὸν πρὸς ἑσπέραν πᾶν τὸ πλῆθος τῶν υἱῶν Ἰσραήλ.» Ἀκούεις ὅπως ἀπὸ δεκάτης ληφθὲν, εἰς τεσσαρεσκαιδεκάτην ἐφυλάττετο τοῖς πάλαι τὸ ἱερεῖον, ἵνα τὸν πέμπτον νοήσῃς καιρὸν, καθ' ὃν γενόμενος ἄνθρωπος τὸν ὑπὲρ ἡμῶν ὑπέστη θάνατον, φθινούσης ἤδη τῆς σελήνης, ἣ καὶ εἰς ἀρχὰς τέτακται τῆς νυκτός; Μυστηρίου δὲ τὸ χρῆμα τύπος, καὶ ὑποσημαίνειν ἔοικεν ἰσχνῶς, τῆς τοῦ διαβόλου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλεονεξίας τὴν ἀνόπιν ὁδὸν, καὶ κατάδυσιν ὥσπερ τὴν κατὰ βραχὺ πρὸς τὸ ἄναλκι καὶ εἰσάπαν ἀσθενές. Σελήνης δέ πως ἐπέχει τύπον. Ἄρχει γὰρ καὶ αὐτὸς 68.468 τῆς νυκτὸς, τουτέστι, τῶν ἐν σκότει καὶ νυσταζόντων ἔτι, καὶ τὴν τῆς θεογνωσίας οὐκ ἐχόντων αὐγήν· ὅτι δὲ τῇ νυκτὶ παρεικάζειν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ τὴν τῶν ἐπιπλανωμένων ἀγέλην, ἄκουε τί φησιν ὁ πάντων Δεσπότης πρὸς Ἰουδαίους, ὑπονοστούσης πρὸς εἰδωλολατρίαν τῆς Ἱερουσαλήμ· «Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου· ὡμοιώθη ὁ λαός μου, ὡς οὐκ ἔχων γνῶσιν.» Συνίης ὅτι νύκτα φησὶ τοὺς οὐκ ἔχοντας γνῶσιν τῆς ἀληθοῦς καὶ κατὰ φύσιν δηλονότι θεότητος; Μεμίσηκε τοιγαροῦν ὁ πάντων ἐχθρὸς καιροὺς καὶ ἡμέρας καθ' οὓς διόλωλε μὲν αὐτὸς, ἀνασεσώσμεθα δὲ ἡμεῖς. Ὁ δὲ σὺν ἐκείνῳ μισῶν τῆς αὐτοῦ μερίδος ἔσται, καὶ κλῆρον ἕξει σὺν αὐτῷ, τὸ ἀκαταλήκτως κολάζεσθαι δεῖν. {ΠΑΛΛ.} Ἐν μοίρᾳ δὴ οὖν τῆς ὡς ἀληθῶς βεβήλου τε καὶ θεομισοῦς εἰδωλολατρίας, καὶ τοιάδε θήσομεν, καθάπερ ἀμέλει καὶ τὴν περὶ τῆς καλουμένης γενέσεως εἰκαιομυθίαν. {ΚΥΡ.} Ὡς εὖ ἴσθι τοι, μὴ ἑτέρως ἔχειν, καθὰ καὶ αὐτὴ διήλεγξε τῶν πραγμάτων ἡ βάσανος. Καὶ πρός γε δὴ τούτοις καταστυγητέον εὖ μάλα καὶ τὸ προσκεῖσθαι φιλεῖν ἀνονήτοις οἰωνοσκοπίαις, ψιθυρισμοῖς τε καὶ ἐπῳδαῖς· νοῦ γὰρ ἐλαφρίας εἰς τοῦτο διωλισθήκασί τινες τῶν παρ' Ἕλλησιν, ὡς οἴεσθαι τῶν καθ' ἡμᾶς πραγμάτων τὴν γνῶσιν, καὶ τοῖς εἰς ἀέρα διᾴττουσιν ἐγκεῖσθαι πτηνοῖς. Τοιγάρτοι καὶ τὰς εἰς ἕω τε καὶ εἰς ἑσπέραν, εἰς δεξιόν τε καὶ εἰς εὐώνυμον περιεργάζονται πτήσεις· κἂν εἰ κράζουσά πω φαίνοιτο κορώνη, τὸ οὖς ὑποστήσαντες, καθάπερ τι τῶν ἄγαν ἀληθεστάτων ἐκδέχονται, καὶ ὑπονοστοῦσι χαίροντες· ἐπερυθριῶσι δὲ οὐδαμῶς οἱ δείλαιοι, τῆς οὕτω σεπτῆς προφητείας τὴν δύναμιν ἀνατιθέντες στρουθίοις. Σεμνὸς δὲ αὐτοῖς ἐκπεποίηται τοιουτοσὶ λόγος, ὥσπερ οἴονται κατὰ σφᾶς αὐτούς· φαίνουσι γὰρ δι' αὐτῶν οἱ θεοὶ, φησίν. Ἡμεῖς δὲ θεοὺς οὐκ εἶναί φαμεν τοὺς ἀποστάτας ἀγγέλους, παρ' ὧν εἰς ἡμᾶς ἀγαθοί τε καὶ ἀξιάγαστοι προφῆται κεχειροτόνηνται, καὶ τῶν ἐσομένων οἱ γνῶσται, ἥ τε λακέρυζα κορώνη, καὶ μὴν καὶ ὠκύπτερος ἴρηξ, ξουθαί τε πέλειαι, κατά γε τοὺς παρ' Ἕλλησι λόγους, καὶ τὰ ἕτερα τῶν στρουθίων, ἄξιοί γε οἱ προφῆται τῶν ἐνηχούντων αὐτοῖς τὰ εἰς ἡμᾶς αὐτοὺς τερετίσματα· ὄλβιοι δὲ καὶ ὑμεῖς καὶ ἀξιοζήλωτοι τοιούτων τυχόντες τῶν θεηγόρων· ἐκλέλησθε δὲ ὡς ἔοικε καὶ τὰς τῶν παρ' ὑμῖν ποιητῶν θαυμάζοντες δόξας, ὅτι καὶ αὐτοῖς ἐδόκει τὸ χρῆμα διαγελᾷν, ὕθλον τε εἶναι νομίζειν αὐτὸ, καὶ τῶν ἀναγκαίων οὐδέν. Ὅμηρος μὲν γάρ· Ὦ πέπον, οἰωνοὺς μὲν ἔα, φησὶν, Εἴτ' ἐπὶ δέξι' ἴωσι πρὸς ἠώ τ' ἠέλιόν τε, Εἴτ' ἐπ' ἀριστερὰ, τοί γε ποτὶ ζόφον ἠερόεντα. Εὐριπίδης δὲ σαφῶς καὶ ἀναφανδὸν καθορίζει τὸ μάταιον τοῦ κατασκέπτεσθαι δεῖν τὰς οἰωνῶν διαπτήσεις. Θησέα μὲν γὰρ Ἱππολύτῳ φησὶ ἐπιμαίνεσθαι τῷ οἰκείῳ παιδὶ, καὶ δὴ καὶ ἐξελᾷν τῆς ἐνεγκούσης ἐπιχειρεῖν. Ἐκείνου δὲ φάσκοντος· 68.469 Οὔθ' ὅρκον, οὔτε πίστιν, οὐδὲ μάντεων Φήμας ἐλέγξας, ἄκριτον ἐκβάλλεις με γῆς. Θησέα πρὸς τοῦτο εἰπεῖν· Ἡ δέλτος ἥδε κλῆρον οὐ δεδεγμένη Κατηγορεῖ σου πιστά· τοὺς δ' ὑπὲρ κάρα Φοιτῶντας ὄρνεις, πόλλ' ἐγὼ χαίρειν λέγω. Καὶ μὴν ἀξιόχρεως ἡ Θεοῦ φωνὴ γένοιτ' ἂν, καὶ τῆς ἐν δέλτῳ γραφῆς, ἀμείνων ἡ πίστις, εἴπερ ἐστὶ καὶ ψευδοεπεῖν οὐκ ἀπεικὸς ἡμᾶς· μηδὲν δὲ ἁμαρτεῖν, ἔστι Θεοῦ, καὶ τὸ ἀληθὲς ὅτι μάλιστα φίλον. Ἀλλ' ᾔδει που πάντως τοὺς ὑπὲρ κάρα φοιτῶντας ὄρνεις Θησεὺς, οὐδὲν ὄντας παντελῶς. Οὐκοῦν δαιμονίοις μὲν ἀναθετέον οὔτι πω τῶν ἐσομένων τὴν γνῶσιν, Θεῷ δὲ μᾶλλον αὐτὴν προσνεμοῦμεν ὡς ἐξαίρετον. Καὶ φενακισμὸς ἔσται λοιπὸν, τὰ τῶν ὀρνίθων μαντεύματα, καὶ διανοίας οὐκ ἀσφαλοῦς ἔλεγχος ἐναργὴς, ἡ ἐπὶ τῷδε πίστις. Καὶ αὐτὸς δέ πού φησιν ὁ νόμος· «Οὐκ οἰωνιεῖσθε,» βδελυρὸν τὸ χρῆμα εἰδὼς, καὶ ὅτι μάλιστα κατεστυγημένον παρά γε τῷ πάντων κρατοῦντι Θεῷ. {ΠΑΛΛ.} Ὧδε ταῦτα ἔχειν καὶ αὐτῷ μοι δοκεῖ. {ΚΥΡ.} Ἐπειδὴ δὲ πάλιν, καὶ ὁ λαθραῖος οὗτος καὶ γραοπρεπὴς ψιθυρισμὸς, γοητείας ἂν εἴη μοῖρα τε καὶ τρόπος. Τοιγάρτοι καὶ ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεσπέσιος Μωσῆς τοὺς ἄνωθεν ἡμῖν διεσαφήνισε νόμους, ἀεὶ συνάπτων τὰ πλημμελήματα, καὶ οἱονεί πως ἐν ἀδελφότητι καὶ ὁμοφυΐᾳ τιθεὶς τῇ φαρμακείᾳ τὴν ἐπῳδήν. «Οὐκ ἔσται γὰρ, ἔφασκεν, ἐν ὑμῖν μαντευόμενος μαντείαν, οἰωνιζόμενος καὶ κληδονιζόμενος, φαρμακὸς, ἐπαοιδὸς, τερατοσκόπος, καὶ ἐγγαστρίμυθος, καὶ ἐπερωτῶν τοὺς νεκρούς.» Ἀλλὰ νοσεῖ μὲν ἡ ἐπῳδὴ τὸ πάναισχρον κομιδῇ, καὶ τὸ ἐν κακῷ κεῖσθαι λίαν, ἀνεπτόηνται δὲ οὐκ οἶδ' ὅπως εἰς τοῦτό τινες, ἐκεῖνο λέγοντες ὅτι Κύριον Σαβαὼθ ὀνομάζουσι κατεπᾴδοντες τοῖς ἠῤῥωστηκόσιν οἱ τῶν τοιῶνδε μελεδωνοί. Ταύτῃ τοι καὶ ἐμπεδοῦν, ὅτι μὴ αἰσχρὸν εἴη λοιπὸν τὸ ἐπιτήδευμα, διασπεύδουσιν. Ἐοίκασι δὲ ψυχρῷ τε καὶ ἀδρανεῖ πρὸς ἀπάτην καὶ φρενοβλάβειαν ἀποκομίζεσθαι λογισμῷ· τοιγάρτοι τοῦ πράγματος ὅτι μάλιστα δυσαχθὲς, αὐτὸ δὴ τοῦτό ἐστιν. Ἡμεῖς γὰρ τὸ, Κύριος Σαβαὼθ, τῷ τῶν ὅλων ἀναφωνοῦμεν Θεῷ, δοξολογεῖν ἐθέλοντες· ἑτέρῳ γε μὴν τῶν ὄντων οὐδενὶ τὴν τοιάνδε κλῆσιν ἐφίεμεν ἔχειν. Εἷς γὰρ καὶ μόνος ἐστὶν ὁ τῶν δυνάμεων Κύριος. Οἱ δὲ, τὴν οὕτως ὑπερφυᾶ καὶ εὐκλεεστάτην ἐπωνυμίαν, ἤτοι δοξολογίαν, παραῤῥίπτουσιν εὐκόλως οἷς ἂν ἕλοιντο τῶν συναθυρόντων αὐτοῖς δαιμονίων, καὶ τοῖς τῆς τερατουργίας αὐτῶν ὑποκριταῖς, τὴν Θεῷ καὶ μόνῳ πρεπωδεστάτην χαρίζονται δόξαν, κολακεύοντές τε καὶ κολακευόμενοι, καὶ τῆς οὕτω δεινῆς δυσσεβείας τὴν ὑπερβολὴν, τῆς ἐφ' οἷς ἂν ἕλοιντο συνδρομῆς ἀπονέμοντες εἰς ἀντέκτισιν. Θεομάχον γὰρ ἀεὶ καὶ φιλοδοξότατον τῶν δαιμονίων τὸ στῖφος. Χρὴ τοιγαροῦν, μὴ ταῖς ἐκείνων ἡμᾶς συναποφέρεσθαι δυσβουλίαις, ἀποφοιτᾷν δὲ μᾶλλον ὡς ἀπωτάτω, καὶ μὴ πονηροῖς προσέχειν ἰατροῖς ἢ τερατουργοῖς, τοῖς δαίμοσι, μισθὸν ὥσπερ τινὰ τῶν εἰς ἡμᾶς ἀθυρμάτων ἐξαιτοῦσι τὰς δυσφη 68.472 μίας. Σὺ δὲ εἴ τι τῶν τοῦ σώματος μορίων ἀλγεῖς, καὶ πεπίστευκας ἀληθῶς, ὅτι τὸ Κύριος Σαβαὼθ, καὶ αἱ τοιαίδε κλήσεις ἃς Θεῷ τῷ κατὰ φύσιν ἡ θεία προσνέμει Γραφὴ, λυτικαί σοι γενήσονται τοῦ κακοῦ, αὐτὸς ὑπὲρ σεαυτοῦ προσευχόμενος, ἀναφώνει τὰς λέξεις· ἄμεινον γὰρ ἢ ἐκεῖνοι δράσεις, Θεῷ τὴν δόξαν ἀνατιθεὶς, καὶ οὐχὶ τοῖς ἀκαθάρτοις πνεύμασι. Μεμνήσομαι δὲ καὶ τῆς θεοπνεύστου Γραφῆς λεγούσης· «Ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτῷ, ἀλείψαντες αὐτὸν ἐλαίῳ, ἐν τῷ ὀνόματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος, κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ.» {ΠΑΛΛ.} Οἰωνοσκοπία δὴ οὖν, καὶ μέν τοι καὶ ἐπῳδὴ συντετάχθω, εἰ δοκεῖ, τοῖς ἐκ νόμου διαβεβλημένοις, καὶ τοῖς ἐν αἰσχίστῃ καὶ βδελυρωτάτῃ δόξῃ παρὰ Θεῷ. {ΚΥΡ.} Καὶ μάλα, προσθείην δ' ἂν, ὅτι καὶ καθ' ἑτέρους τὸν Θεὸν ὑβριοῦμεν τρόπους, καὶ τῆς εἰς αὐτὸν δυσσεβείας ὄφλοι τις ἂν γραφήν τε καὶ λόγους, τὸ ψευδορκεῖν ᾑρημένος, καὶ τὸ παλίμφημόν τι, καὶ ἀπηχὲς εἰπεῖν κατά γε τῆς ὑπερτάτης καὶ ἀνωτάτω δόξης. Τὸ μὲν γὰρ κολάζεται τῇ εἰσάπαν ὀργῇ, καὶ ἀσχέτῳ ποινῇ, συντελοῦντος τοῦ δρεπάνου, καθὰ γέγραπται, τὴν τοῦ ψευδορκοῦντος ἑστίαν, καὶ κατασείοντος εἰς τὸ παντελές· «Εἰσελεύσεται γὰρ, φησὶν, εἰς τὸν οἶκον τοῦ κλέπτου, καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συντελέσει αὐτὸν, καὶ τὰ ξύλα αὐτοῦ, καὶ τοὺς λίθους αὐτοῦ.» Θάτερόν γε μὴν, τὸ ἐκτεθνάναι δεῖν, καὶ τὸ πάντων ἐπέκεινα τῶν κακῶν ἔχειν τὴν δίκην. Χρὴ τοιγαροῦν ὀμνύναι μὴ ἐπὶ ψεύδει· μᾶλλον δὲ μηδ' ὅλως ὀμνύναι. Τουτὶ γὰρ ἡμᾶς ἐδίδαξεν ὁ Σωτὴρ, λέγων· «Ἔστω ὑμῶν, τὸ Ναὶ, ναὶ, καὶ τὸ Οὒ, οὔ· τὸ δὲ περισσὸν τούτων, ἐκ τοῦ διαβόλου ἐστίν.» Ὅρκου γὰρ ὅλως οὐκ ἔσται χρεία τοῖς ἐν ὑπολήψει σεμνότητος, καὶ σύνοικον ὥσπερ πεποιημένοις τὴν ἀρετήν· ἐκτετίμηται γὰρ λίαν παρὰ τοῖς εὐσεβείας ἐρασταῖς τῶν τοιούτων ὁ βίος, καὶ τὸ ἀπιστεῖσθαι μισεῖν· κἂν εἴ τι φθέγγοιτο τυχὸν, τῇ τῶν ἀκροωμένων εὐθὺς στεφανοῦται πίστει. Ἔστω τοιγαροῦν ἡμῶν εὐκλεὴς ὁ βίος, καὶ ἀργήσει πάντως που, καθάπερ ἐγᾧμαι, καὶ ἡ τοῦ διόμνυσθαι χρεία. Εἰ δὲ δή που γένοιτο, καὶ τῆς εἰς ἁγίους τιμῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀλιγωρούντων ἔσθ' ὅτε τινῶν, ὅρκιος ἔστω Θεὸς, μὴ τὸ ἑτέρων ὄνομα παρακομιζέσθω τινῶν. Ἀπερισκέπτως γὰρ ἤδη τινὲς εἰς ἐκλύτους ἰόντες ἐξιτηλίας, ἀδιαφορεῖν ὑποπλάττονται, νὴ τὸν οὐρανὸν, ἢ τὴν δίκην, νὴ τὴν Ἀδράστειαν λέγοντες, νὴ τὸ φῶς, νὴ τὸν λύχνον. Ἕτερά τε ἄττα κατὰ τὸ σφίσι δοκοῦν συλλέγοντες, τάχα που καὶ εὐσεβεῖν οἴονται, τὸ μὲν θεῖον ὄνομα παρωθούμενοι, τῇ δὲ πρεπούσῃ Θεῷ καταχρυσοῦντες δόξῃ τὰ τοῖς αὐτοῦ νεύμασι κεκλημένα πρὸς γένεσιν. Τοιαύτην τινὰ πλάνησιν ἠῤῥωστηκότα κατὰ καιροὺς τὸν Ἰσραὴλ εὑρήσομεν. Ὁμολογουμένως γὰρ τῷ Θεῷ τὸν ἐν τοῖς Ἱεροσολύμοις ἀνεδείμαντο 68.473 ναὸν, καὶ ἐπ' αὐτῷ δὴ τούτῳ φρονοῦντες μέγα, καὶ τῶν εἰς εὐσέβειαν αὐχημάτων εἴσω γενέσθαι πεπιστευκότες, καὶ ἀξιολογωτάτην εὖ μάλα τὴν δόξαν ἑλεῖν τῶν σφίσι διηγγελμένων διὰ τοῦ πανσόφου Μωσέως ὀλίγα φροντίσαντες ἀπεριμερίμνως ἡλίσκοντο· ἀλλ' ὅτι τὸ χρῆμα αὐτοῖς οὐ πρὸς εὔκλειαν ἔσται ποθὲν, καὶ γάννυται δὲ οὐχὶ ταῖς ἐκ λίθων οἰκοδομίαις ὁ Θεὸς, ἐδίδασκε λέγων· «Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; ἢ τίς τόπος τῆς καταπαύσεώς μου; λέγει Κύριος.» Ἐμπίπλησι γὰρ τὰ πάντα Θεὸς, καὶ ἐπ-αναπαύεται μὲν οὐρανῷ, διήκει δὲ καὶ ἐπὶ τῆς γῆς· οὐ γὰρ ἐν ποσῷ τὸ θεῖον, ἀλλ' ὥσπερ ἐστὶν ἀπωτάτω φαντασίας σωματικῆς, οὕτω καὶ τόπου καὶ τοῦ πεποσῶσθαι δοκεῖν. Ἐπειδὴ δὲ ἅπαξ Ἰουδαῖοι λέγοντος ἤκουον, Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου, πρὸς ἐννοίας ἰόντες οὐκ ἀσφαλεῖς, ὅρκιον ἐποιοῦντο τὸν οὐρανὸν, θεῖον αὐτὸν ὀνομάζοντες θρόνον, ὁμοίως δὲ καὶ τὴν γῆν, ὡς ὑπὸ πόδας Θεοῦ κειμένην· καὶ μὴν καὶ τὴν Ἱερουσαλὴμ, πόλις γὰρ, ἔφασκον, ἐστὶ τοῦ πάντων κρατοῦντος Θεοῦ, καί τοι τῶν ἀρχαιοτέρων ἁγίων τὸ, Ζῇ Κύριος, ἐν ὅρκου χρείᾳ πεποιημένων. Ἀλλὰ τὴν τῶν Ἰουδαίων ἠλι-θιωτάτην ἔννοιαν κατεκιβδήλευσεν ὁ Σωτὴρ, μὴ δεῖν ἀπόμνυσθαι λέγων, μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ Θεοῦ, μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ, μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις τοῦ μεγάλου βασιλέως ἐστίν· ἃ γὰρ ἐκεῖνοι ληροῦντες ἔφασκον, ταῦτα χρησίμως ὁ Σωτὴρ ἐφθέγξατο, πανταχῇ κατάπλαστον, καὶ οὐκ οἶδ' ὅθεν ἐξευρημένον ἐλέγχων αὐτῶν τὸ ἔν γε τούτοις εὐλαβές. Οἰχέσθω δὴ οὖν καὶ ἡ ἐπὶ τῷδε πλάνησις. Δεδιδάγμεθα γὰρ ἐν ταῖς ὅρκου χρείαις, μηδενὸς μὲν ἑτέρου διαμεμνῆσθαι πώποτε, ποιεῖσθαι δὲ μᾶλλον εἰς πίστιν ἀσφαλῆ καὶ ἀξιόχρεων, τὸ Ναὶ, ναὶ, καὶ τὸ Οὔ, οὔ. Ἔφη δὲ καὶ ὁ νόμος· «Εἰ ἀπόλοιτο παρακαταθήκη πρός τινος, ἐξαιτοίη δὲ ὁ δοὺς τὴν ἐπὶ τῷδε πίστιν, ὅρκος ἔσται τοῦ Θεοῦ ἀναμέσον ἀμφοτέρων.» Καὶ ἄνθρωποι μὲν κατὰ τοῦ μείζονος ὀμνύουσιν· ἔφη γὰρ ὧδε Παῦλος ἡμῖν ὁ σοφός· μεῖζον δὲ εἶναί φαμεν ἀνθρώπου, νοοῦντες ὀρθῶς, οὐ τῷ μεγέθει τυχὸν, ἤγουν ἐν συνέσει καὶ σοφίᾳ, καὶ δόξῃ πλεονεκτοῦν, ἀλλ' ὡς τὸ εἶναι τοιῶσδε τυχὸν ἡμῖν. {ΠΑΛΛ.} Οὐ συνίημι ὃ φής. {ΚΥΡ.} Καὶ μὴν, ὦ Παλλάδιε, σαφὴς, ὥς γέ μοι δοκεῖ, καὶ ἐναργὴς ὁ λόγος. Ἦ γὰρ οὐχὶ μεγέθει φαμὲν τῶν ἀνθρωπίνων σωμάτων διενεγκεῖν ἀσυγκρίτως πολλὰ τῶν πεποιημένων, καὶ προσέτι τὸν οὐρανόν; {ΠΑΛΛ.} Καὶ πάνυ. {ΚΥΡ.} Συνέσει δὲ καὶ σοφίᾳ καὶ ἰσχνότητι σωμάτων, οὐχ ὑπερφέρουσιν ἄγγελοι; {ΠΑΛΛ.} Ὑπερφέρουσιν, ἀλλὰ καὶ τιμῇ. {ΚΥΡ.} Λαμπρότητι δὲ καὶ δόξῃ τῇ κατὰ σῶμά φημι, οὐκ ἀπαραβλήτως ἀμείνων ἡλίου φύσις· {ΠΑΛΛ.} Ἀμείνων. 68.476 {ΚΥΡ.} Ἄραρεν οὖν, ὅτι τούτων ἕκαστον ἔχοι ἂν εἰκότως ὡς πρὸς ἡμᾶς τὸ ὑπερτεροῦν, καθ' ὃ πέφυκε νικᾷν. Ὅρκια δὴ οὖν ταυτὶ ποιησόμεθα, παρέντες ὡς περιττὸν, τὸ διαμεμνῆσθαι Θεοῦ; {ΠΑΛΛ.} Οὐδαμῶς. {ΚΥΡ.} Ἔοικεν οὖν ἄρα τὸ κατὰ φύσιν ὑπερτενὲς καὶ ὅλῳ τῷ εἶναι τῶν πεποιημένων διενεγκὸν, τουτέστι, Θεὸν, καὶ ἀνθρώπου μεῖζον εἰπεῖν. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ἔστω τοιγαροῦν τὸ Ναὶ, καὶ τὸ Οὒ, παρά γε τοῖς ἄριστα βιοῦν ᾑρημένοις, ὅρκου χρεία τε καὶ δύναμις, καὶ διαπεπήχθω ὀρθῶς· ἕψεται γὰρ οὕτω καὶ τὸ πιστεύεσθαι δεῖν. Εἰ δὲ ἀτιμάζοιτο πρός τινος τὸ Ναὶ καὶ τὸ Οὒ, τῶν ὅρκων ἡ χρεία τετράφθω λοιπὸν ἐπὶ τὸ μεῖζον ἢ καθ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμᾶς, μᾶλλον δὲ ἢ κατὰ πᾶσαν τὴν κτίσιν. Δυσφημίαν δὲ, τί ἂν λέγοιμι λοιπὸν, ὅποι τέ ἐστι, καὶ ἵν' ἀποφέρῃ κακοῦ τοὺς αὐτῇ χρωμένους, ἣν θανάτῳ μὲν πικρῷ καὶ ὁ πάλαι τιμᾶται νόμος. Καταδεδίκακε δὲ καὶ αὐτὸς ὁ Χριστὸς, ἀφύκτοις τε καὶ ἀτελευτήτοις κακοῖς· «Ὃς γὰρ ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.» Πνεῦμα λέγων τὴν ὑπὲρ σῶμα φύσιν, ὅπερ ἐστὶ Θεὸς, ᾧ τὴν γλῶτταν ἀχάλινον ὁ ἐπαφεῖναι τολμῶν, τοὺς τῆς ἀθυροστομίας ἐκθεριεῖ καρπούς. «Χείλη γὰρ ἄφρονος, ἄγουσιν αὐτὸν εἰς κακὰ, καθὼς γέγραπται. Τὸ στόμα δὲ αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται.» Τοιγάρτοι καὶ ὁ θεσπέσιος ἔφασκε Μελῳδός·» Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου· μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας.» Εἶεν δ' ἂν οὗτοι, κατὰ Θεοῦ καὶ τῆς ἀῤῥήτου καὶ ἀκηράτου φύσεως ἀνοσιωτάτη καταβοή. {ΠΑΛΛ.} Δεῖ δὴ οὖν ἄρα διερηρεῖσθαι καλῶς, τοὺς ἰέναι μὲν ἀμωμήτως τὴν ἐπ' εὐθὺ σπουδάζοντας, Θεῷ δὲ προσκρούειν οὐκ ἀνεχομένους. {ΚΥΡ.} Οὕτω φημί. Πρὸς γάρ τοι τοὺς προσιόντας Θεῷ μὴ ἐξ ὑγιοῦς καρδίας, ἀλλ' ὑπόπτου καὶ παρεφθαρμένης, καὶ ἀῤῥωστεῖν ἑλομένης τὸ ἄναλκί τε καὶ εὐκατάσειστον, ὁ προφήτης φησίν· «Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν, ἢ Βάαλ, Βάαλ, ἢ Θεῷ Θεῷ;» Τὸ γὰρ μήτε πρὸς πίστιν εἰσάπαν ὑγιὲς, μήτε μὴν εἰς πλάνησιν διαπεπῆχθαι φιλεῖν, ἐπ' ἄμφω τε χωλεύειν ἐστὶ, καὶ μὴν, τὸ ἐφ' ἑκατέρῳ καταφθείρει γνήσιον. Πρόφασις δὲ τῆς οὕτω σαθρᾶς καὶ εὐδιακλάστου γνώμης γένοιτ' ἂν, οἶμαι, τισὶ τὸ κατάπλαστον ποιεῖσθαι καὶ οὐκ ἀληθῆ τὴν εἰς Θεὸν ἀγάπησιν, καὶ ὑποκρίνεσθαι μὲν τὸ χριστιανίζειν βούλεσθαι, μὴ μὴν ἐξ ὅλης καρδίας τοῦτο δρᾷν, μήτε μὴν αἰδοῖ τῇ πρὸς τὸ ἀληθὲς ἀναπεπεισμένους καὶ τετιμηκότας τὸ ἔχον ὀρθῶς· ἀλλ' ἢ θηρωμένους 68.477 τὸ σφίσιν αὐτοῖς καθ' ἡδονὴν, ἢ κινδύνου φόβον, καὶ δυσημερίας ἀγρίαν ἔφοδον οἱονεὶ καταγοητεύοντας τῇ πίστει προσεληλυθέναι δοκεῖν, ἵνα πολλοὺς ἔχοιεν τοὺς συναθλεῖν ᾑρημένους, καὶ τὴν οἰκείαν δανείζειν φροντίδα. Ἀλλ' ἐσχάτη τοῖς τοιούτοις ἀπονεμηθήσεται φροντὶς, καὶ ἐν τοῖς ὅτι μάλιστα καταβεβλημένοις ὁ κλῆρος, ἀτιμότατοί τε καὶ ἀπεῤῥιμμένοι καὶ μόλις ἀποκερδαίνοντες τὸ ἀξιοῦσθαι ζωῆς, ἁλοῖεν ἂν Θεοῦ βασανίζοντος τὰ ἐν ἡμῖν κεκρυμμένα· ὁποῖοί τινες ἦσαν οἱ ἀπὸ Γαβαών. Προσκεχωρήκασι μὲν γὰρ τῷ Ἰησοῦ ποτε, καὶ τῷ λαῷ τοῦ Θεοῦ προσοικειοῦσθαι λίαν ἐξελιπάρουν· πλὴν οὐκ ἀκακουργὸν ἐποιοῦντο τὴν προσδρομὴν, οὔτε μὴν ἁπλῆν τε καὶ ἀκαπήλευτον, καὶ ὡς ἐξ ἀγάπης τῆς πρὸς Θεὸν, ἀλλ' ἐν ὑποκρίσει καὶ δόλῳ. Καὶ διέλαθον μὲν ἐν ἀρχαῖς. Ἐπειδὴ δὲ πικρὰ δρῶντες ἡλίσκοντο, καὶ κατεφωράθησαν κακόνοοί τε καὶ πολυγνώμονες, ἐν τοῖς ἐσχάτοις ἐτάττοντο. Γεγόνασι γὰρ ξυλοκόποι τε καὶ ὑδροφόροι πάσῃ τῇ Συναγωγῇ. Ὁρᾷς οὖν ὅποι κατακομιεῖ τὸ μὴ γνήσιον, καὶ τὸ μὴ ἑλέσθαι τιμᾷν ἐξ ὑγιοῦς διανοίας τὴν πρὸς ἁγίους οἰκειότητα πνευματικήν. Ἀπατῶσι μὲν γὰρ ἔσθ' ὅτε τινὲς, καὶ οὔτι πού φημι τὸν πάντα εἰδότα Χριστὸν, τοὺς ἐν τύπῳ δὲ μᾶλλον αὐτοῦ, τουτέστιν, τοὺς λαῶν ἡγουμένους. Καθάπερ ἀμέλει κἀκεῖνοι τότε τὸν Ἰησοῦν εἰς εἰκόνα καὶ ὑποτύπωσιν παρενεχθέντα Χριστοῦ, καὶ εἰσελαύνουσι μετὰ δόλου κατασκιασμάτων, ἐν βάθει διαλογισμῶν, καὶ τῆς εἰς νοῦν πονηρίας προϊσχόμενοι τὴν ὑπόκρισιν· καταγινωσκόμενοι δὲ, λαθεῖν γὰρ οὐκ ἔνι, σωθήσονται μόλις, μοῖραν ἔχοντες τὴν δουλοπρεπῆ καὶ ἐσχάτην· ἀνελευθέρου γὰρ γνώμης, ἀπάτη καρπός. Ἡμεῖς δὲ, οἷς τὸ φρονεῖν ὑγιῶς τὰ τοῦ Θεοῦ σκοπὸς καὶ ἀποσπουδάζεται τὰ λοιπὰ, προσκεισόμεθα τῷ ἰδίῳ Δεσπότῃ καὶ Θεῷ τῶν ὅλων, ἐξ ἁπλῆς καρδίας, ἐκ διανοίας ὀρθῆς, ἐξ ὁλοτελοῦς ἀγάπης, ἀῤῥωστεῖν τὸ δίψυχον οὐκ ἀνεχομένης, ἀποφοιτώσης δὲ παντελῶς ἠθῶν καὶ φρονημάτων Ἑλληνικῶν, καὶ ἰούσης ὡς ἀπωτάτω καὶ μάλα γοργῶς τῶν ἐκ νόμου καταδεδικασμένων. Ἐσόμεθα γὰρ οὕτω τέλειοι ἐναντίον Κυρίου τοῦ Θεοῦ, κατὰ τὸ γεγραμμένον, καὶ λαμπροὶ, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐδόκιμοι μετὰ τῶν ἄλλων ἁγίων ἐν Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

Περὶ τῆς εἰς ἀδελφοὺς ἀγάπης. Εὐφημίαις ἡμῖν, ὦ Παλλάδιε, ταῖς εἰς λῆξιν καὶ ἀνωτάτω στεφανοῦντος τοῦ νόμου τὴν πρώτην τε καὶ ὑπερτάτην τῶν ἐντολῶν, τὸ, «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου, φημὶ, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης διανοίας, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου·» προσεπάγοντος δὲ, ὅτι «Καὶ τὸν πλησίον σου ὡς σεαυτὸν,» καὶ μὴν καὶ αὐτοῦ τοῦ Χριστοῦ φάσκοντος ἐναργῶς, ὅτι ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται, πλήρωμά τε νόμου τὴν ἀγάπην κατονομάζοντος καὶ τοῦ θεσπεσίου Παύλου, διά τοι τὸ μηδὲν τῷ πλησίον ἐργάζεσθαι κακὸν, ἀποχρῶσαν ἡμῖν, ὡς γοῦν ἔμοιγε δοκεῖ, τὴν ἐπὶ τῇ πρώτῃ διασκευὴν ἐποιήσατο ὁ λόγος, κατά γε τὸ ἐγχωροῦν, ἄνω τε καὶ κάτω, καὶ οἱονεί πως ἐν κύκλῳ περινοστῶν, καὶ οὐκ ἀγεννῶς ἀφηγούμενος τῆς εἰς Θεὸν ἀγάπης ὁλοτελοῦς τε καὶ ἀμωμήτου παντελῶς, τίς ἂν γένοιτο πρὸς ἡμῶν ὁ τρόπος. Φέρε δὴ οὖν τὴν γείτονά τε καὶ ἀδελφὴν πολυπραγμονῶμεν ἐντολὴν, καὶ ἀγάπης τῆς εἰς τὸν πλησίον ἀκριβῆ ποιώμεθα τὴν κατάσκεψιν, ἰχνηλατοῦντες εὖ μάλα τὰ δι' ὧν ἂν γένοιτό τις μὲν ἀρετῆς ἐν κύκλῳ καλῷ, φιλοτεχνίας δὲ τῆς εἰς τοῦτο, τὴν ἀρίστην δόξαν ἀράμενος, ἐν ἀγαθότητι βαδιεῖται μετὰ Θεοῦ καὶ ἀνθρώπων κατὰ τὸν θεσπέσιον Σαμουήλ. Χρῆναι γὰρ ἔγωγέ φημι τῇ εἰς Θεὸν ἀγάπῃ συνεπιτηδεύειν ἀστείως τὴν εἰς ἀδελφούς· ὡς τό τοι λείπεσθαι μιᾶς, τὴν ἐπ' ἀμφοῖν ἀπότευξιν ἔχει, κατά γε τὰς Ἰωάννου φωνάς. Γέγραφε γὰρ ὡδί· «Ἐάν τις εἴπῃ, ὅτι Ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισεῖ, ψεύστης ἐστίν· ὁ γὰρ 68.481 μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε πῶς δύναται ἀγαπᾷν; Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν παρ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.» Συνδιόλλυνται δὴ οὖν ἀλλήλοιν ἑκάτερα καὶ συνανίσχει λαμπρῶς· ἀγχίθυροι γὰρ ὥσπερ ἀλλήλαιν αἱ ἀρεταὶ, καὶ οἵα τις συνωρὶς ἀδιάσπαστος, εἰς ἕν τι τὸ ἐκπρεπὲς καὶ τελεώτατον κάλλος τῆς εἰς Θεὸν εὐσεβείας, τὸν ἡνιοχεῖν ἄριστα μεμελετηκότα διακομίζουσιν. {ΠΑΛΛ.} Εὖ ἔφης. Καὶ ἐπεί τοι σκοπὸς τὸ ἱδροῦν ἐν τούτοις, ἴθι δὴ αὖ, καὶ τὰς ἐφ' ἑκάστῳ τῶν θεωρημάτων συναγείρων πίστεις ἐκ τῶν ἱερῶν Γραμμάτων, πειρῶ μοι λέγειν, τὸ ὅπως ἂν γένοιτο τῆς εἰς τὸν πλησίον ἀγάπης ἀκραιφνὴς ἡ πλήρωσις. {ΚΥΡ.} Πλείστη μὲν οὖν ὅση πρὸς τοῦτο ἡμᾶς ἀποφέρει τρίβος. Γέγραπται γὰρ, ὅτι «Πλατεῖα ἡ ἐντολή σου σφόδρα.» Τό γε μὴν ἐφ' ἑκάστῳ τῶν δρωμένων εὐτεχνὲς, οὐχ ἑτέρωθεν ἂν οἶμαί που συλλέξαιτό τις πλὴν ὅτι γε διὰ τοῦ νόμου· δεδόσθαι γὰρ ἡμῖν αὐτὸν εἰς βοήθειαν προφητικὸς ἔφη λόγος. Καὶ γοῦν πρὸς ἀνάμνησιν ἡμᾶς τὴν διηνεκῆ τῶν τεθεσπισμένων διανιστὰς ὁ νομοθέτης, φησί· «Καὶ ἐμβαλεῖτε τὰ ῥήματα ταῦτα εἰς τὴν καρδίαν ὑμῶν, καὶ εἰς τὴν ψυχὴν ὑμῶν, καὶ ἀφάψατε ταῦτα εἰς σημεῖον ἐπὶ τῆς χειρὸς ὑμῶν, καὶ ἔσται ἀσάλευτα πρὸ ὀφθαλμῶν ὑμῶν, καὶ διδάξατε αὐτὰ τὰ τέκνα ὑμῶν, λαλεῖν αὐτὰ, καθημένους ἐν ὁδῷ, καὶ κοιταζομένους, καὶ διανισταμένους, καὶ γράψατε αὐτὰ ἐπὶ τὰς φλιὰς τῶν οἴκων ὑμῶν, καὶ τῶν πυλῶν ὑμῶν, ἵνα πολυημερεύητε, καὶ ἡμέραι τῶν υἱῶν ὑμῶν ἐπὶ τῆς γῆς, ἧς ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς, καθὼς αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς.» Καὶ τί δὴ πάλιν ἐστὶ τὸ, Ἀφάψατε αὐτὰ ἐπὶ τῶν χειρῶν ὑμῶν, ἐν τοῖς Ἀρι-θμοῖς ἐδήλου σαφῶς. Γέγραπται γὰρ ὡδί· «Καὶ εἶπε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, καὶ ποιησάτωσαν ἑαυτοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κράσπεδα ἐπὶ τὰ πτερύγια τῶν ἱματίων ἑαυτῶν εἰς τὰς γενεὰς αὐτῶν· καὶ ἐπιθήσετε ἐπὶ τὰ κράσπεδα τῶν πτερυγίων κλῶσμα ὑακίνθινον, καὶ ἔσται ἐν τοῖς κρασπέδοις, καὶ ὄψεσθε αὐτὰ, καὶ μνησθήσεσθε πασῶν τῶν ἐντολῶν Κυρίου, καὶ ποιήσετε αὐτάς· καὶ οὐ διαστραφήσεσθε ὀπίσω τῶν διανοιῶν ὑμῶν, καὶ ὀπίσω τῶν ὀφθαλμῶν ὑμῶν ἐν οἷς ὑμεῖς ἐκπορνεύετε ὀπίσω αὐτῶν, ὅπως ἂν μνησθῆτε· καὶ ποιήσετε πάσας τὰς ἐντολάς μου, καὶ ἔσεσθε ἅγιοι τῷ Θεῷ ὑμῶν, ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.» Προεπιτάξας οὖν εὖ μάλα καταγράφειν ἡμᾶς ἐν καρδίαις τὸν νόμον, εἶτα χαλεπὸν ἀῤῥώστημα νοῦ τὴν λήθην εἰδὼς, οἷά περ ἐν πίνακι ταῖς φλιαῖς ἀποσημήνασθαι δεῖν ἐπιτάττει τὰς ἐντολάς· καὶ μὴν καὶ τῆς δεξιᾶς ἀφάπτειν χειρὸς δέλτιά που τάχα τὸν νόμον ὠδίνοντα, καὶ ἐγγεγραμμένον ἔχοντα τὸ χρησμῴδημα, καὶ μὴν καὶ αὐτῶν ἀπηρτῆσθαι τῶν ἐσθημάτων, οὐκ ἀσυντελὲς εἶναί φησιν εἰς ὄνησιν, τά τε κράσπεδα, καὶ τὸ κλῶσμα ὑακίνθινον. 68.484 {ΠΑΛΛ.} Καὶ τίς ἂν γένοιτο τῶν θείων νόμων ἡμῖν ἀνάμνησις διά τε κρασπέδων καὶ ὑακινθίνου κλώσματος; {ΚΥΡ.} Οὐ γὰρ δὴ τὸν νόμον αἰνιγματωδῶς λελαλῆσθαι τοῖς πάλαι καὶ μὴν καὶ ὡς ἐν σκιαῖς εἶναι φής; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Αἴνιγμα δὴ οὖν τοῦ δεῖν ἑλέσθαι, φρονεῖν τε καὶ δρᾶν τὰ ἐξ οὐρανοῦ, καὶ τῶν ἄνωθεν διαμεμνῆσθαι νόμων, τὸ κρασπέδων τε καὶ αὐτῆς ἀφάψαι χειρὸς τὸ κλῶσμα τὸ ὑακίνθινον; λίθῳ γὰρ οἶμαι τῇ Ἰνδικῇ, τῷ ὑακινθίνῳ φημὶ, τὸ αἰθέριόν πως εἰκάζεται σῶμα, αὐγῇ τε καὶ σκότῳ συμμιγὲς, καὶ ἐν βάθει πως ἔχον τὸ ὑδαροειδὲς, ὑποτρέμουσάν τε καὶ εὐδιάχυτον ὑποφαῖνον τὴν ὄψιν. Ἀπηρτῆσθαι δὴ οὖν ὁ νόμος τῶν τε ἐσθημάτων αὐτῶν καὶ μὴν καὶ χειρὸς τὸ κλῶσμα τὸ ὑακίνθινον οἰκονομικῶς προστέταχεν, οἱονεί πως ὑποφωνῶν. Ἔσθημά σοι νοῦ καὶ διανοίας ἄμφιον, λόγιον ἔστω τὸ ἐξ οὐρανοῦ, καὶ δεξιῶν ἔργων βραβευτὴς ὁ νόμος. Ἔργου γὰρ δὴ σύμβολον ἡ χείρ· τὰ δὲ συννόμως δρώμενα πρὸς ἡμῶν, πάντως που καὶ ἀνεπίπληκτα, καὶ τὸ ἐν φαυλότητι σκαιὸν οὐκ ἔχει. Ἐμεγάλυνον οὖν οἱ Φαρισαῖοι τὰ κράσπεδα αὐτῶν, καὶ ἐπλάτυνον τὰ φυλακτήρια αὐτῶν, τουτέστι, τὰ τῆς δεξιᾶς ἀπηρτημένα δέλτια· πλὴν ἐγελῶντο παρὰ Χριστοῦ, εἰς φιλοδοξίας ἀφορμὴν, καὶ οὐκ εἰς ἀνάμνησιν τοῦ νόμου τὸ χρῆμα ποιούμενοι. Ἔστιν οὖν ἄρα καὶ ἐννόμως ἀνομεῖν, εἰ μή τις ὀρθῶς ἀποχρῷτο τῷ νόμῳ. Καὶ τοῦτο, οἶμαι, ἐστὶν ὅπερ ἔφη Σολομών· «ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ.» Καταγραπτέον οὖν ἄρα τὴν θείαν ἐντολὴν εἰς νοῦν καὶ καρδίαν, καὶ τήν γε τοῦ πράγματος ὄνησιν ἐναργῆ καθιστὰς ὁ θεῖος ἔφη Δαβὶδ περὶ δικαίου παντός· «Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.» Ἔστι γὰρ, οἶμαι, καὶ μάλα σαφὲς, ὡς ὅτῳ περ ἂν ὁ θεῖος εἰς νοῦν ὑπάρχει νόμος, προσέσται που πάντως καὶ τὸ ἐρηρεῖσθαι καλῶς, καὶ τὸ ἐν βεβαίῳ κεῖσθαι τῆς ἀρετῆς. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Οὐκοῦν ἡ μακρὰ καὶ διηνεκὴς τοῦ νόμου μελέτησις, ἀποκομίζει πρὸς τὸ εὐθὺ, τοῦτο δ' ἂν εἴη τῷ Θεῷ δοκοῦν, θολὸν ὥσπερ τινὰ καὶ ὁμίχλην τῆς ἀνθρώπου διανοίας, τὴν λήθην ἐκπέμπουσα. Καὶ οὐ μέχρι τούτων ὁ νομοθέτης, ἀλλά τι καὶ ἄμεινον προσεπινοῶν, δέλεαρ ὥσπερ τι, τῆς ἔν γε τῷ χρῆναι ποιεῖν προθυμίας, ἐλπίδα ποιεῖται, τὴν ἐφ' ἅπασι τοῖς εὐκταιοτάτοις. Ἔφη γὰρ πάλιν· «Ἐὰν ἐν τοῖς προστάγμασί μου πορεύησθε, καὶ τὰς ἐντολάς μου φυλάξησθε, καὶ ποιήσητε αὐτὰς, δώσω τὸν ὑετὸν ὑμῖν ἐν τῷ καιρῷ αὐτοῦ, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ τὰ ξύλα τῶν πεδίων ἀποδώσει τὸν καρπὸν αὐτῶν. Καὶ καταλήψεται ὑμῖν ὁ ἀλοητὸς τὸν τρυγητὸν, καὶ ὁ τρυγητὸς καταλήψεται τὸν σπόρον, καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονὴν, καὶ κατοι 68.485 κήσετε μετ' ἀσφαλείας ἐπὶ τῆς γῆς ὑμῶν, καὶ ὁ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν, καὶ δώσω εἰρήνην ἐν τῇ γῇ ὑμῶν, καὶ κοιμηθήσεσθε, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν ὑμᾶς, καὶ ἀπολῶ θηρία πονηρὰ ἐκ τῆς γῆς ὑμῶν.» Συνίης ὅσης φροντίδος καὶ ἡμερότητος ἀξιοῖ τὸν ἐπιεικῆ τε καὶ φιλεργέστατον, καὶ μὴν αἰδοῖ τῇ περὶ τὸν νόμον ἡττώμενον; Πρώϊμόν τε γὰρ καὶ ὄψιμον ὑετὸν, εὐκαρπίαν τε τὴν ἀλλεπάλληλον, καὶ μὴν καὶ ἄρτου πλησμονὴν, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἐδωδίμων ἄφθονον χρῆσιν, καὶ πρός γε τούτοις εἰρήνην χαριεῖσθαι κατεπαγγέλλεται. Τὸν γάρ τοι τοῦ νόμου φύλακα γνήσιον, καὶ ὧν ἂν βούλοιτο Θεὸς ἄπληστον ἐραστὴν, ταῖς τῶν οὐρανίων ἀγαθῶν ἀφθονίαις καταμεθύειν εἰκός· γῆν μὲν γὰρ οἷά τε πίειράν τε καὶ εὔτοκον τὴν τοῦ δικαίου ψυχὴν, παράκλησις ἡ πνευματική τε καὶ ἄνωθεν ὑετοῦ κατάρδουσα δίκην, κατευφραίνει λίαν, ὡς ἀνελλιπῆ καὶ οἱονεὶ παμποίκιλον τῆς εἰς Θεὸν εὐσεβείας ἐκφαίνει καρπόν· εἰρήνη δὲ στεφανοῖ, τὴν εἰς τὸ εὖ εἶναι διαμονὴν εἰσφέρουσα. Γράφει γοῦν καὶ ὁ Παῦλος· «Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν.» Ὁ τῆς τοιᾶσδε οὖν παρὰ Θεοῦ φιλοτιμίας τετυχηκὼς, ἀπόλεμόν τε καὶ εἰρηναῖον διατελέσει βίον, εἴκοντος ἐχθροῦ, πίπτοντός τε καὶ οἰχομένου πρὸς τὸ μηδὲν τοῦ ἀνθεστηκότος παντὸς, καὶ ἀπρακτούσης ἐφόδου διαβολικῆς, καὶ φόβου παντὸς ἐκποδὼν ἰόντος εὐκόλως. Τὸν αὐτὸν δὲ τουτονὶ νόμον καὶ ἐν τῷ Δευτερονομίῳ γεγραμμένον εὑρήσομεν. Ἔφη γὰρ ὡδὶ βραχὺ παραλλάξας· «Ἐὰν δὲ ἀκοῇ εἰσακούσητε πάσας τὰς ἐντολὰς αὐτοῦ ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἀγαπᾷν Κύριον τὸν Θεόν σου, καὶ λατρεύειν αὐτῷ ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ δώσει σοι τὸν ὑετὸν τῆς γῆς σου, καθ' ὥραν πρώϊμον καὶ ὄψιμον καὶ εἰσοίσεις τὸν σῖτόν σου καὶ τὸν οἶνόν σου, καὶ τὸ ἔλαιόν σου, καὶ δώσεις χορτάσματα ἐν τοῖς ἀγροῖς σου τοῖς κτήνεσί σου.» Οὐκοῦν τὸ μὲν εὔτεχνές τε καὶ εὔρυθμον, εἴς γε τὸ χρῆναι πληροῦν ἃ ἂν βούλοιτο Θεὸς, ἡ τοῦ νόμου μελέτησις ταῖς ἡμετέραις εἰσοικιεῖται ψυχαῖς. Ἱδρῶτα δὲ τὸν ἐπ' ἀρεταῖς οἰστὸν ἀποφαίνει τῶν ἐπηγγελμένων ἡ ἔφεσις. {ΠΑΛΛ.} Ἀληθές· συναινέσαιμι γὰρ, καὶ σφόδρα εἰκότως. Ἀγάπης δὲ τῆς εἰς τὸν πλησίον, τίνα δὴ τρόπον διαπερανεῖ τις ἂν τὸν νόμον, ὥρα λέγειν, ὦ τάν. {ΚΥΡ.} Ἰτέον δὴ οὖν ἐπ' αὐτὸ δὴ τοῦτο. Καὶ δὴ λέγομεν, τοῖς ἱεροῖς ἑπόμενοι Γράμμασιν, ὅτι Μωσῇ προστέταχεν ὁ τῶν ὅλων Δεσπότης Θεὸς, ἐξεκκλησιάσαι τὸν λαὸν, καὶ ὑπὸ τὸ Σινᾶ καλούμενον ὄρος καθαρούς τε καὶ ἡγνισμένους εὖ μάλα συνενεγκεῖν· ἀποπλύνασθαι γὰρ δεῖν τὰ ἄμφια, καὶ τῆς εἰς γυναῖκας ἡδονῆς ὁρᾶσθαι βελτίους, εἰς τρεῖς διατέταχεν ἡμέρας, διὰ τῶν ἐν αἰσθήσει καὶ ὁρατῶν πραγμάτων σημαίνων τὰ νοητά· λαμπροῖς γὰρ ὥσπερ ἀμφίοις, τοῖς ἐξ ἀρετῶν αὐχήμασι κατηγλαϊσμένους, καὶ τῇ κατὰ νοῦν φαιδρότητι διαπρέποντας, καὶ φιλοσαρκίας ἁπάσης καὶ μολυσμῶν ἐπιγείων ἀπηλλαγμένους, 68.488 οἱονεί πως εἰς ὄψιν ἰέναι πρέπει Θεοῦ, παιδαγωγοῦντος ἡμᾶς εἰς τοῦτο τοῦ νόμου, καθάπερ ἀμέλει καὶ τοὺς πάλαι Μωσῆς· τύποι γὰρ ἦσαν ἐκεῖνα τῶν ἀληθεστέρων. Καὶ ἡ διὰ τοῦ πανσόφου Μωσέως παιδαγωγία, τὴν διὰ τοῦ νόμου παίδευσιν ἀποκομίζοντος εἰς Χριστὸν, ὑπετύπου τοῖς ἀρχαιοτέροις. Ἐπιτηρεῖν δὲ πρὸς τούτοις ἄξιον κἀκεῖνο οἶμαί που. Τὸ γάρ τοι χρῆμά τε καὶ πρόσωπον τοῦ παιδαγωγεῖν ὀφείλοντος, ἕν γε τῷ Μωσέως προσώπῳ τετήρηται καλῶς· οὐ γὰρ ἑαυτῷ, παρέστησεν, ἀλλὰ Θεῷ τὸν λαὸν, οἱονεί πως θεσμοθέτῃ καὶ διδασκάλῳ καὶ τῶν πρακτέων εἰσηγητῇ. Προσεκόμιζε δὲ καὶ ἡμᾶς οὐχ ἑαυτῷ διὰ τοῦ γράμματος παιδαγωγὸς ὢν ὁ νόμος, ἀλλὰ τῷ δι' ἡμᾶς ἐξ οὐρανοῦ καταφοιτήσαντι Θεῷ Λόγῳ. Ἆρά σοι κατ' ἴχνος τῶν τῆς ἀληθείας ἐννοιῶν ὁ λόγος ἡμῖν ἰέναι δοκεῖ; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Γέγραπται τοίνυν, ὅτι «Καὶ ἐξήγαγε Μωσῆς τὸν λαὸν εἰς συνάντησιν τοῦ Θεοῦ, ἐκ τῆς παρεμβολῆς, καὶ παρέστησαν ὑπὸ τὸ ὄρος τὸ Σινᾶ. Τὸ δὲ ὄρος τὸ Σινᾶ ἐκαπνίζετο ὅλον διὰ τὸ καταβεβηκέναι Κύριον ἐπ' αὐτοῦ ἐν πυρὶ, καὶ ἀνέβαινεν ὁ καπνὸς ὡς καπνὸς καμίνου· καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα· ἐγένοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρότεραι σφόδρα. Μωσῆς ἐλάλει· ὁ δὲ Θεὸς ἀπεκρίνετο αὐτῷ φωνῇ.» Τὸ μὲν οὖν ἐν ὄρει καταφοιτῆσαι Θεὸν, σημεῖον ἂν γένοιτο καὶ μάλα σαφὲς, τοῦ διανοίαις αὐτὸν οὐ χθαμαλωτάταις ἐπιφοιτᾷν, οὔτε μὴν ἐναυλίζεσθαι φιλεῖν τοῖς γεῶδες ἔχουσι καὶ χαμαιῤῥιφὲς τὸ φρόνημα, ἀλλ' ὅτῳ περ ἂν ὁ νοῦς ἀναθρώσκοι πρὸς τὸ ὑψοῦ, καὶ οἱονεὶ κορυφὴν ὑπερτέλλουσαν ἔχων, κάτω που



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βλέπει τὰ ἀνθρώπινα, καὶ μόνα φαντάζοιτο τὰ παρὰ Θεῷ. Κατασημήνειε δ' ἂν καὶ ἑτέρως, ὑψηλὴ μὲν ὅτι καὶ ὑπερκειμένη τῶν καθ' ἡμᾶς ἡ περὶ Θεοῦ γνῶσις, μόνοις δὲ τάχα που κἂν γοῦν ἐκ μέρους ἁλώσιμος τοῖς τὰ ὑψηλὰ πέτεσθαι μεμελετηκόσι· «Νεοσσοὶ γὰρ γυπὸς τὰ ὑψηλὰ πέτανται,» κατὰ τὸ γεγραμμένον. Ἐν τούτῳ δὲ σύνες, ὅτι κατέβη Θεὸς τὸν ἀρχαῖον τοῖς πάλαι διορίζων νόμον, οὐκ ἔνθα περ ἦν ὁ λαὸς, ἀλλ' ὑψοῦ καὶ μακράν. Ἀφειστήκει γὰρ μακρόθεν ἔτι κατὰ τὴν τοῦ Ψάλλοντος φωνὴν, οὔπω γεγονότος μεθ' ἡμῶν σαρκικῶς, οὔτε μὴν καθέντος ἑαυτὸν εἰς κένωσιν τοῦ Μονογενοῦς· οὐ γὰρ τοῖς ἀρχαιοτέροις, ἀλλ' εἰς ἡμᾶς αὐτοὺς τετήρηται τὸ μυστήριον· γέγονε γὰρ μεθ' ἡμῶν ὅσον ἧκεν εἰπεῖν, εἰς δόξαν ὀφθαλμοφανῆ, τὰ τῆς θεότητος ὑψώματα καταλελοιπώς· ἐπολιτεύετο δὲ μεθ' ἡμῶν, ὡς εἷς ἐξ ἡμῶν. Ἐν εἴδει γε μὴν τοῦ πυρὸς κατῄει Θεός· ἔδει, τοῖς ἀνάγκῃ καὶ νόμῳ τοὺς παιδαγωγεῖσθαι μέλλοντας, ὅτι πρὸς πῦρ ἕξουσι τοὺς λόγους, εἰ ἕλοιντο ῥαθυμεῖν, διειδέναι σαφῶς. Οὐ γὰρ ἐξ ἀγάπης τῆς ἐθελουσίου, καὶ νοῦ ῥοπῆς ἐλευθέρας ἐπράττετο τοῖς ἀρχαιοτέροις τὸ θεοφιλὲς, ἀλλ' ὡς ἐξ ἀνάγκης καὶ φόβου· πνεῦμα γὰρ ἦν οὐκ ἐλεύθερον, οὔτε μὴν υἱοθεσίας, τὸ ἐν αὐτοῖς, ἀλλὰ δουλείας εἰς φόβον. Καπνίζεται δὲ τὸ ὄρος διὰ τὸ καταβεβηκέναι Κύριον ἐπ' αὐτὸν ἐν πυρί· καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ ἐν Ψαλμοῖς 68.489 ὑμνούμενον· «Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ.» Κατασημήνειε δ' ἂν καὶ ἑτέρως ἡμῖν ὁ καπνὸς τὸ ἐπὶ τῇ καταφρονήσει πάντη τε καὶ πάντως ἐσόμενον δάκρυον· ἐξέρπει γὰρ δὴ ταῖς τοῦ καπνοῦ προσβολαῖς ἡ ἐξ ὀμμάτων ἰκμάς. Εἰ δὲ βούλοιτό τις τοῖς προκειμένοις θεωρήμασιν ἐπιβαλεῖν ἑτέρως, εἰς τὸν διὰ τοῦ νόμου φωτισμὸν καταλογιεῖται τὸ πῦρ, πλὴν ἀχλύος οὐ δίχα· καὶ γάρ ἐστιν ἀμυδρὸς καὶ ἀσαφὴς ὁ νόμος, καὶ τὸ ἐκ τοῦ γράμματος κατασκίασμα παχὺ, καὶ καταθολοῦν ἱκανὸν τὸν τῆς διανοίας ὀφθαλμόν. Ἰσχυρότεραι δὲ προβαίνουσαι τῆς σάλπιγγος αἱ φωναί· μικρὰ γὰρ ἦν καὶ μόλις ἀναφωνοῦντος τοῦ νόμου τὸ ἐν ἀρχαῖς. Ἐπειδὴ δὲ προβέβηκεν ὁ λόγος ἡμῖν εἰς παίδευσιν εὐαγγελικὴν, ἐπιλάμψαντος τοῦ Ἐμμανουὴλ, ἰσχυρότεραι γεγόνασιν αἱ φωναί· ἐξάκουστον γάρ τι καὶ τορὸν ἀναπεφώνηκεν ὁ Χριστὸς, καὶ εἰς πᾶσαν ἤδη διῆκον τὴν οἰκουμένην. Αὐτοῦ γὰρ ἔστιν ἀκοῦσαι λέγοντος διὰ φωνῆς τοῦ Δαβίδ· «Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.» Καίτοι τῆς τοῦ νόμου τηνικάδε φωνῆς, ἑτέρωθι μὲν οὐκ ἰούσης, οὔτε μὴν ἅπαντα μυσταγωγούσης τὰ ἔθνη, μόνην δὲ τὴν Ἰουδαίων περιηχούσης χώραν, καὶ παιδαγωγούσης ἓν γένος τὸ ἐξ Ἰσραήλ. Ἀλλ', «Ἐλάλει μὲν, φησὶν, ὁ Μωσῆς· ὁ δὲ Θεὸς, ἀπεκρίνετο αὐτῷ φωνῇ.» Ἐζήτει μὲν γὰρ ὡς διάκονος τὸν νόμον ὁ Μωσῆς, καὶ τῶν θείων θεσπισμάτων μεσίτης καὶ ὑπουργός· ἀπεκρίνετο δὲ Θεὸς τῇ ἰδίᾳ φωνῇ, τουτέστι, δι' Υἱοῦ· φωνὴ γὰρ καὶ λόγος τοῦ Πατρὸς, ὁ Υἱός. Ἐξ αὐτοῦ δὲ ὁ νόμος, καὶ εἰ λελάληται δι' ἀγγέλων· πάρα γοῦν, εἴπερ ἕλοιτό τις, ἐπαΐειν λέγοντος ἐναργῶς· «Αὐτὸς ὁ λαλῶν, πάρειμι.» Καὶ, «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι· λέγω γὰρ ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.» Λόγους οὖν ἰδίους, τὸν νόμον ἀποκαλεῖ· φωνὴ γὰρ αὐτὸν λελάληκε Θεοῦ, καθάπερ ἔφην ἀρτίως, τουτέστιν ὁ Υἱός. Εἶτά φησιν, ὅτι «Καταβέβηκεν ὁ Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἐκάλεσε Κύριος τὸν Μωσῆν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἀνέβη Μωσῆς. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Μωσῆν λέγων· Καταβὰς διαμάρτυραι τῷ λαῷ μήποτε ἐγγίσωσι πρὸς τὸν Θεὸν κατανοῆσαι, καὶ πέσῃ ἐξ αὐτῶν πλῆθος· καὶ οἱ ἱερεῖς οἱ ἐγγίζοντες Κυρίῳ τῷ Θεῷ ἁγιασθήτωσαν, μήποτε ἀπαλλάξῃ ἀπ' αὐτῶν Κύριος.» Κάτεισιν εἰς τὸ ὄρος ὁ ὑπὲρ πάντων Θεὸς, εἶτα κεκλημένος ἄνεισιν ὁ Μωσῆς. Οὐ γάρ ἐστι τῶν ἐνδεχομένων ἰσχύσαι τινὰς εἰς τὰ τῆς ἀληθοῦς θεοπτίας ἀναθρώσκειν ὑψώματα, μὴ οὐχὶ καθέντος ἑαυτὸν τοῦ Θεοῦ, καὶ ταῖς ἡμετέραις διανοίαις προσιτὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενέσθαι παρασκευάζοντος· αὐτοῦ δὲ καλοῦντος ἄνιμεν οὕτω μόλις εἰς ὑπερφυᾶ καὶ ἐξῃρημένην οἱονεὶ κορυφὴν, τὴν περὶ αὐτοῦ γνῶσιν ἀληθῆ ὅπερ ἐποίσει Χριστὸς, ἀποκαλύπτων ἡμῖν τὸν Πατέρα καὶ Θεὸν, καὶ ἀστιβὲς μὲν τοῖς ἀγελαίοις τὸ ὄρος (ἀνέμβατος γὰρ τοῖς πολλοῖς ἡ τῆς 68.492 ἄγαν ὑπερτενοῦς γνώσεως χάρις), βάσιμος δὲ μόνοις τοῖς εἰδόσι διαστείχειν αὐτὴν, μᾶλλον δὲ καὶ εἰς τοῦτο κεκλημένοις παρὰ Θεοῦ, καθάπερ ἀμέλει καὶ Μωσῆς. Εἴ τις οὖν ἄρα ἐστὶ πιστὸς καὶ γνήσιος ἐν οἴκῳ Θεοῦ, ἔσται καὶ αὐτὸς κατ' ἐκεῖνον ἐξειλεγμένος καὶ ἐπιτηδείως ἔχων εἰς τὸ ἀγχοῦ γενέσθαι Θεοῦ, κατά γε τὸν ἐν ἁγιασμῷ καὶ εἰδήσει τρόπον. Συνεσόμεθα γὰρ οὕτως αὐτῷ λέγοντι· «Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ.» Ἀποκαθαίρεσθαι δὲ δεῖν τοὺς ἱερωσύνῃ κατεστεμμένους παρεγγυᾷ λέγων· «Μήποτε ἀπαλλάξῃ ἀπ' αὐτῶν Κύριος.» Σφαλερὸν γὰρ κομιδῇ τῆς ἱερωσύνης τὸ χρῆμα, καὶ κινδύνων οὐκ ἀπωτάτω, μᾶλλον δὲ καὶ λίαν ἐγγὺς, εἰ μὴ ὁρῷτο προσὸν τὸ ἀμώμητον εἰς ζωήν· ἁγίους γὰρ εἶναι πρέπει τοὺς τῷ πανάγνῳ λειτουργοῦντας Θεῷ. Εἶτά φησι· «Καὶ εἶπε Κύριος τῷ Μωσῇ· Βάδιζε, κατάβηθι καὶ ἀνάβηθι σὺ καὶ Ἀαρὼν μετὰ σοῦ· οἱ δὲ ἱερεῖς καὶ ὁ λαὸς μὴ βιαζέσθωσαν ἀναβῆναι πρὸς τὸν Θεὸν, μήποτε ἀπολέσῃ ἀπ' αὐτῶν Κύριος.» Ἄνεισιν ὁ Μωσῆς καὶ οὐ δίχα τοῦ Ἀαρὼν, ὃς ἦν εἰς τύπον Χριστοῦ. Τίμιος γὰρ νόμος ἐν Χριστῷ, καὶ ὡς ἅγιος δι' αὐτὸν, ἐγγὺς Θεοῦ καὶ μετὰ Θεοῦ. Διακηρύττει γὰρ καὶ αὐτὸς τὸν ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν, κατὰ τὰς Γραφάς. Παρεζεύχθω οὖν ὁ νόμος Χριστῷ, διὰ τῆς ἐν πνεύματι θεωρίας. Ἀκήκοε γὰρ ὁ Μωσῆς· «Ἀνάβηθι σὺ καὶ Ἀαρών.»–»Ἃ οὖν Θεὸς συνέζευξεν, ἄνθρω-πος μὴ χωριζέτω,» τῆς ἐν Χριστῷ θεωρίας ἀποκομίζων τὸν νόμον, διὰ τὸ μόνῃ προσκεῖσθαι τῇ σκιᾷ, καὶ μὴ εἰς εἰκόνα τῶν τύπων παραδέχεσθαι τὴν ἀλήθειαν. Εἴρηταί γε μὴν ἀναφοιτᾷν εἰς τὸ ὄρος τοῖς δήμοις ὁμοῦ τὸ γένος τὸ ἱερόν. Οὐ γὰρ τοῖς ἐν νόμῳ παιδαγωγουμένοις, οὐδὲ τοῖς ἔτι τὴν ἐν σκιαῖς τελοῦσι λατρείαν, δέδοται παρὰ Θεοῦ τὸ ἐν ὑψηλοῖς καὶ ὑπερτάτοις ἰέναι δόγμασι τοῖς περὶ αὐτοῦ· τετήρηται δὲ μᾶλλον τοῖς ἐν πίστει δεδικαιωμένοις, καὶ ἐν Χριστῷ κεκλημένοις εἰς ὑπακοὴν, καὶ πολὺ τῆς ἀρχαιοτέρας διενεγκοῦσαν γνῶσιν. Τεθαύμακε γὰρ τὸ ὑπερέχον τῆς γνώσεως τοῦ Χριστοῦ καὶ ὁ θεσπέσιος Παῦλος· μαρτυρήσει δὲ καὶ αὐτὸς ὁ Σωτὴρ, περί τε ἡμῶν καὶ τῶν ἐξ αἵματος Ἰσραὴλ, ἀναφανδὸν λέγων, ὅτι «Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. Καὶ περὶ μὲν τῶν Ἰουδαίων· «Ἄφετε αὐτοὺς,τυφλοί εἰσιν, ὁδηγοὶ τυφλῶν.» Προσπεφώνηκε δὲ πάλιν τοῖς ἐγνωκόσιν αὐτόν· «Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούουσιν.» Ἐπειδὴ δὲ τοὺς περὶ τούτων διεπέραινε λόγους ὁ τῶν ὅλων Θεὸς, ἄρχεται θεσμοθετεῖν, καὶ τοὺς ἐφ' ἅπασι τοῖς ἀρίστοις ὁρίζειν νόμους. Οὕτω τέ φησιν· «Ἐγὼ Κύριος ὁ Θεός σου, ὅστις ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας· οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ.» Πρέπουσαν δὲ τοῖς νόμοις ἐποιήσατο τὴν ἀρχὴν, ἑαυτὸν εἶναι λέγων τὸν ἐν Αἰγύπτῳ τερατουργόν· τὸν ταῖς τῶν πλεονεκτούντων μανίαις ὅλην, ὡς ἔπος εἰπεῖν, κατεξανιστάντα τὴν κτίσιν· ὑετούς τε καὶ χαλάζας ἐξ 68.493 ὡπλικότα, καὶ τῶν στοιχείων μεταβολὰς ἐπιδεδειχότα, καὶ τοῖς πρωτοτόκοις τὸν οἰκτρὸν ἐνιέντα θάνατον, καὶ σκότον αὐτοῖς καταχέαντα τὸν τριήμερον· τὸν διὰ μέσων ἰέναι κυμάτων οἷς ἂν ἐθέλοι δωρούμενον, καὶ ἀμογητὶ συνθραύοντα τοὺς ἀνθεστηκότας. Ἔδει γὰρ, ἔδει μὴ ἀγνοεῖν τοὺς τῆς θείας ἐντολῆς ὑποτρέχοντας τὸν ζυγὸν, ὅση τίς ἐστιν ἡ τοῦ νομοθέτου δύναμις, καὶ ὅτι προσκρούειν αὐτοῖς οὐκ ἀσφαλὲς τῷ πάντα εὐκόλως κατορθοῦν ἰσχύοντι. {ΠΑΛΛ.} Ὡς εὖ γε ἡμῖν ὁ νομοθέτης καὶ θεοπρεπῶς ἐσκέπτετο! Κατάγχει γάρ πως ἀεὶ τὸ δεῖμα πρὸς εὐπείθειαν, καὶ ὥσπερ τινὰ πῶλον εὐήνιον ἀπεργάζεται τὸν ἀπηνῆ καὶ δυσάγωγον. {ΚΥΡ.} Ὀρθότατα ἔφης. Ἀποφήσας δὴ οὖν τὸ χρῆ-ναι θεοῖς προσκυνεῖν ἑτέροις, καὶ τὴν εἰδώλου παντὸς ποίησιν, ἐξομοίωμά τε καὶ γραφὴν, καὶ τὸ προσνέμειν ἀποτολμᾷν τὸ τῆς θεότητος ὄνομα ταῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἀγαλματουργῶν ἐπιστήμαις, δίκαις ὑπενεγκὼν ταῖς ἐσχάταις («Οὐ γὰρ λήψῃ, φησὶ, τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ, ὅτι οὐ μὴ καθαρίσῃ Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ»), καταρυθμίζει λοιπὸν τὰ ἀνθρώπινα, καὶ ὥσπερ τινὰ κανόνα πρὸς τὸ εὐθὺ ταῖς ἁπάντων πολιτείαις ὁρίζει τὸν νόμον· ἁπάσης δὲ ἡμᾶς ἐξίστησιν ἁμαρτίας, τὸν τῆς ἐν Χριστῷ δικαιοσύνης καὶ πρό γε τῶν ἄλλων κατασημαίνων καιρὸν, καθ' ὃν ἡ τελεωτάτη λύτρωσις καὶ ἡ φαυλότητος καταφθορὰ, καὶ ἀναμόρφωσις εἰς τὸ ἀπ' ἀρχῆς, καὶ ζωῆς ἀνακαινισμὸς τῆς ἐν ἁγιότητί τε καὶ φιλοθεΐᾳ. Τοιγάρτοι φησί· «Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν· ἓξ ἡμέρας ἐργάσῃ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ Σάββατα, ἀνάπαυσις Κυρίῳ τῷ Θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου, πᾶν τὸ κτῆνός σου, καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί. Ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. Διὰ τοῦτο ηὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν. {ΠΑΛΛ.} Καὶ τί δὴ τοῦτό ἐστιν; οὐ γάρ τοι συνίημι σαφῶς. Ἁγιάσαιμεν δ' ἂν τίνα τρόπον τὴν τῶν Σαββάτων ἡμέραν; {ΚΥΡ.} Βούλει λέγωμεν ὀλίγα ἄττα περὶ Σαββάτου καὶ τῆς ἐν αὐτῷ τετιμημένης ἀργίας; εἶεν γὰρ ἂν οὕτω καὶ μάλα σαφῆ τὰ θεόθεν ἡμῖν κεχρησμοδοτημένα. {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Τὸ Σάββατον, ὦ Παλλάδιε, τελευταία τῆς ἑβδομάδος τυγχάνον ἡμέρα, κατασημήνειεν ἂν, οἶμαί που, τὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας καιρὸν, ὃς πέφηνε μὲν ἐπὶ συντελείᾳ καὶ μονονουχὶ πρὸς αὐταῖς ἤδη τοῦ παρόντος αἰῶνος δυσμαῖς, ἀρχὴ δὲ καὶ θύρα καὶ ὁδὸς ἡμῖν γέγονεν εἰς ἀπόνιψιν 68.496 ἁμαρτίας, εἰς ἐλευθερίαν καὶ ἄφεσιν, εἰς ἀφθαρσίαν καὶ εἰς ζωὴν, καὶ εἰς ἐλπίδα τὴν μέλλουσαν. Πολυτρόπως δὲ ἡμῖν τὸν ἐν Χριστῷ νοούμενον σαββατισμὸν καὶ ἡ τῶν ἱερῶν Γραμμάτων αἰνίττεται πίστις, ὁτὲ μὲν τὴν ἐν ἑαυτῷ κατάληξιν, τὴν ὡς ἐξ ἁμαρτιῶν ὑπογράφουσα, καὶ τὴν ὅτι μάλιστα πικράν τε καὶ ἀπηνῆ τοῦ παραβαίνοντος καθορίζουσα δίκην, ὁτὲ δὲ αὖ τὴν ἐν αὐτῷ λύτρωσίν τε καὶ ἄφεσιν εἰς ἐλευθερίαν, καὶ μὴν καὶ εὐτρεπισμὸν τὸν εἰς αἰῶνα τὸν μέλλοντα τυπικῶς ὑποφαίνουσα. {ΠΑΛΛ.} Φράζε δὴ οὖν ὅπως. Εἰδείην γὰρ ἂν ὡς ἥδιστά γε. {ΚΥΡ.} Διὰ πίστεως, ὦ Παλλάδιε, τῆς ἐν Χριστῷ νοουμένης πνευματικῶς σαββατίζομεν, τῶν ἐν τῷδε κόσμῳ περισπασμῶν καταλήγοντες, καὶ περιφορᾶς εἰκαίας ἀποπαυόμενοι, καὶ φαυλότητος ἀπονοσφιζόμενοι, καὶ τὸν τῆς ἁμαρτίας διεκδύνοντες ζυγὸν, ἀνείμεθα λοιπὸν εἰς ἐλεύθερον ἁγιασμόν. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος περὶ τῶν οὔπω πεπιστευκότων φησί· «Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἀπειθήσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; Τίσι δὲ ὤμοσε μὴ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπείθειαν. Φοβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.» Καὶ μεθ' ἕτερα· «Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ.» Καίτοι πῶς οὐκ ἀληθὲς, ὡς εἴπερ ἐστὶν ὁ σαββατισμὸς, τὸ μόνον ἀργεῖν ἐν Σαββάτῳ, πῶς οὐκ εἰσῆλθεν εἰς τὴν κατάπαυσιν ὁ Ἰσραὴλ, καί τοι τὴν ἐν Σαββάτῳ τηρήσας ἀργίαν; Ἀλλ' ἦν εἰς τύπον τὸ χρῆμα τῆς ἐν Χριστῷ καταπαύσεως, καὶ τοῦ καταλήξειν ἐξ ἁμαρτίας δικαιουμένου τῇ πίστει. Τοιγάρτοι λιθόλευστον ἐκτεθνάναι δεῖν ἐκέλευσε Θεὸς τὸν ἐν Σαββάτῳ συλλέγοντα ξύλα· ἡ δὲ ἐπ' ἐκείνῳ δίκη, νοητοῦ καὶ ἀναγκαίου πράγματος ὑποτύπωσις ἦν. Ἢ γὰρ οὐχὶ τὸ ἐκ τῆς οἰκείας ῥίζης αὐανθὲν, ἐκκεκαθαρμένον καὶ ξηρανθὲν ἤδη ξύλον, νεκρότητος ἂν εἴη σύμβολον; εἴη δ' ἂν καὶ ἑτέρως πυρὸς διατροφή; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Τοιαύτη τίς ἐστιν ἡ παμμόχθηρος ἁμαρτία, νεκρότης ὥσπερ τις, καὶ τῆς ἀνημέρου φλογὸς ἀνοσία τροφὸς τοῖς ἀγαπῶσιν αὐτήν. Ὅταν τοίνυν ὡς ἐν καιρῷ καταλήξεως, τῆς ἐξ ἁμαρτιῶν λέγω, νεκρῶν καὶ ἀκάρπων ἔργων ἔχοιντό τινες, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγαπᾷν ἕλοιντο, μεθέντες τὴν ἀρετὴν, τὰ δι' ὧν αὐτοῖς εἰς αἰῶνα ποιναὶ καὶ φλόγες ἐξάπτοιντο, τὴν ἐπὶ θανάτῳ κατάῤῥησιν ὑπομενοῦσιν εἰκότως, ὅτι καίτοι μὴ βιοῦν ἀνειμένως ἐξὸν, ἐθελοντὶ διαστείχουσιν ἐπὶ τὸ κολάζεσθαι δεῖν. Εἰσερχόμεθα δὴ οὖν εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, κατά γε τὴν τοῦ μακαρίου Παύλου φωνήν. Καὶ γοῦν διὰ φωνῆς Ἰερεμίου, τοὺς δι' ἁμαρτίας τῆς εἰς τὸν τύπον, τὸ τῆς ἀληθείας παρασημαίνοντας κάλλος ἐπαιτιᾶται Θεὸς λέγων· 68.497 «Βάδισον καὶ στῆθι ἐν πύλαις υἱῶν λαοῦ σου, ἐν αἷς εἰσπορεύονται βασιλεῖς Ἰούδα, καὶ ἐν αἷς ἐκπορεύονται ἐν αὐταῖς, καὶ ἐν πάσαις ταῖς πύλαις Ἱερουσαλήμ· καὶ ἐρεῖς πρὸς αὐτούς· Ἀκούσατε λόγον Κυρίου, βασιλεῖς Ἰούδα καὶ πᾶσα Ἰουδαία καὶ πᾶσαἹερουσαλὴμ, καὶ οἱ εἰσπορευόμενοι ἐν ταῖς πύλαις ταύταις. Τάδε λέγει Κύριος· Φυλάσσεσθε τὰς ψυχὰς ὑμῶν, καὶ μὴ αἴρετε βαστάγματα ἐν τῇ ἡμέρᾳ τῶν Σαββάτων, καὶ πᾶν ἔργον οὐ ποιήσετε, καὶ μὴ ἐκπορεύεσθε ταῖς πύλαις Ἱερουσαλὴμ, καὶ μὴ ἐκφέρετε βαστάγματα ἐξ οἰκιῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ τῶν Σαββάτων, καθὼς ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν καὶ οὐκ ἤκουσαν, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν ὑπὲρ τοὺς πατέρας αὐτῶν, τοῦ μὴ ἀκοῦσαί μου, καὶ τοῦ μὴ δέξασθαι παιδείαν.» Οὐ μόνον δὴ οὖν τὸ δεῖν ἔργου παντὸς καταλήγειν ἐν Σαββάτῳ προστέταχεν, ἀλλὰ καὶ περαιτέρω πυλῶν Ἱερουσαλήμ. {ΠΑΛΛ.} Εἶτα τίς ἂν εἴη καὶ τούτων ὁ λόγος; {ΚΥΡ.} Νοητὸς δὴ καὶ πνευματικὸς, καὶ ἐπέκεινα τῶν τύπων, καὶ σκιᾶς ἀμείνων τῆς ἀρχαιοτέρας. Ἔργου μὲν γὰρ τοῦ πρὸς φαυλότητα τετραμμένου τε καὶ βλέποντος εἰς κατάληξιν ἰέναι κελεύει τοὺς ἐν Χριστῷ σαββατίζοντας, βάσταγμά γε μὴν ἐπωμάδιον ποιεῖσθαι μηδέν. Τοὺς γὰρ ἅπαξ διὰ τῆς πίστεως τὸ δύσοιστον ἀληθῶς τῆς ἁμαρτίας ἄχθος ἀποβεβληκότας, πῶς οὐκ ἀπόπληκτον παντελῶς τὸ καὶ εἰς αὖθις αὐτῷ καταφορτίζεσθαι δεῖν, καὶ ὑποπίπτειν ἑλέσθαι πάλιν τοῖς εἰς φαυλότητα ζυγοῖς; Πυλῶν δὲ εἴσω καθίζειν τῶν τῆς Ἱερουσαλὴμ, τὸ μὴ χρῆναι πόλεως ἡμᾶς τῆς ἁγίας ἀπονοσφίζεσθαι τυπῶν, μήτε μὴν ἔξω φέρεσθαι καὶ ἀπολισθεῖν ἐφιεὶς, διὰ τῆς εἰς ἕτερόν τι παρατροπῆς. Ἁγίαν δὲ πόλιν νοήσεις, τὴν Ἐκκλησίαν· ἤδη γάρ πού τινες, διὰ τῆς εἰς Χριστὸν πίστεως ἐκλελαμπρυσμένοι, ἀποφορτισάμενοί τε τὴν βέβηλον ἁμαρτίαν, εἴσω τε πυλῶν γεγονότες ἁγίων τοῦ οἴκου τοῦ Θεοῦ, παρεκομίσθησαν εἰς ἀπόστασιν, εἰ καὶ μὴ πρὸς ἐμφανῆ τυχὸν, ἀλλ' οὖν ἐξῆλαντο τῆς ἁγίας πύλης, ἔθη τιμήσαντες εἰδωλοπρεπῆ. Εἴσω δὴ οὖν καθῆσθαι πυλῶν τοὺς νοητῶς σαββατίζοντας κεχρησμῴδηκε Θεὸς, τὸ ἀσφαλές τε καὶ ἀνεξίτηλον, καὶ τὸ μηδαμῇ χρῆναι παρολισθεῖν τῆς εἰς αὐτὸν γνησιότητος, τοῦ τύπου σημαίνοντος. Ὅτι δὲ Θεοῦ πόλις ἡ Ἐκκλησία, μάλιστα μὲν ἀναβοήσει καὶ ὁ Δαβὶδ λέγων· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ·» πληροφορήσει δέ που καὶ αὐτὸς ὁ Σωτὴρ περὶ αὐτῆς λέγων· Ὧδε κατοικήσω ὅτι ᾑρετι-σάμην αὐτήν.» {ΠΑΛΛ.} Ἄραρεν οὖν, ὅτι παντὸς ἔργου καταλύσομεν ἐν Σαββάτῳ, κατά γε τὸ νομοθέτῃ δοκοῦν. {ΚΥΡ.} Οὐ παντὸς ἁπλῶς, ὦ Παλλάδιε· τὸ γάρ τοι χρῆναι φρονεῖν τε καὶ δρᾷν τὰ ἐφ' οἷς ἂν ἥδοιτο Θεὸς, καὶ οὐ μετρίαν ἔχοι τὴν ὄνησιν, οὐκ ἐπαινουμένην ἂν εἰσδέξαιτο τὴν κατάληξιν. Προστέθεικε γὰρ οὐ μάτην, ὥς γέ μοι δοκεῖ, τὸ Γράμμα τὸ ἱερὸν, 68.500 τὸ ἁγιάζεσθαι δεῖν πρὸς ἡμῶν τὴν τῶν Σαββάτων ἡμέραν· «Μνήσθητι γὰρ, «φησὶ,» τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν.» Ἀποπερανοῦμεν δὲ τοῦτο καὶ λίαν ἐπιεικῶς, εἰ ἁγίων ἔργων ἐπιμεληταὶ φαινόμεθα, σαββατίζοντες νοητῶς· εἴη δ' ἂν τοῦ πράγματος ὑποτύπωσις ἐναργὴς, τὸ ἐν Σαββάτῳ τοὺς ἱερέας ἐν τῷ ἱερῷ τὸ Σάββατον βεβηλοῦν, καὶ ἀμωμήτως ἐργάζεσθαι τὰ ἱερὰ, καὶ πληροῦν θυσίας, καὶ μηλοσφαγεῖν, πάντα τε δρᾷν τὰ εἰς δόξαν Θεοῦ ἀδιακωλύτως. Ἦ γὰρ οὐχὶ ταῖς τῶν Ἰουδαίωνμομφαῖς αὐτὸ δὴ τοῦτο παρεκόμισεν ὁ Χριστὸς, ὅτε δὴ λύσιν ἐπεφήμιζον αὐτῷ τοῦ νόμου τεθεραπευκότι τὸν παράλυτον ἐν Σαββάτῳ; {ΠΑΛΛ.} Μεμνήσομαι. {ΚΥΡ.} Περιτέμνεται δὲ καὶ ἄνθρωπος ἐν Σαββάτῳ, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, οὐκ ἐπιτιμῶντος τοῦ νόμου· παρεγγυᾷ γὰρ ὁ τύπος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ μονονουχὶ διαμαρτύρεται σαφῶς, ὅτι πρέποι ἂν καὶ μάλα εἰκότως τοῖς ἐν Χριστῷ σαββατίζουσι, τουτέστι, τοῖς καταλήγουσιν ἁμαρτίας, καὶ ἁγιαζομένοις διὰ πίστεως, ἡ ἐν πνεύματι περιτομὴ πραττομένη κατὰ τὴν ὀγδόην, τουτέστι τὴν ἀναστάσιμον ἡμέραν· ἐγήγερται γὰρ οὕτω Χριστός. Ἐπειδὴ δὲ ἀνεβίω, τὸ τοῦ θανάτου καταλύσας κράτος, κατεσφράγισεν εὐθὺς τῷ ἁγίῳ Πνεύματι τοὺς ἑαυτοῦ γνωρίμους, καὶ τοῦτό ἐστιν ἡ ἐν πνεύματι περιτομή. Ἐνεφύσησε γὰρ λέγων· «Λάβετε Πνεῦμα ἅγιον.» Ἢ οὐχ οὕτω πράττεσθαι τὴν ὡς ἐν νοήσει περιτομὴν καὶ ὁ Παῦλός φησι; Περιτετμῆσθαι γὰρ δεῖν περιτομῇ ἀχειροποιήτῳ, τουτέστι πνεύματι, διισχυρίσατο τοὺς πεπιστευκότας. Προσθείην δ' ἂν ὅτι, τῶν εἰς ἀνδρείαν τὴν πνευματικὴν, καὶ τοῦ συντρίβειν ἐχθροὺς, καὶ νικᾷν ἐν Χριστῷ τοὺς ἀνθεστηκότας, οὐκ ἂν καταλήξαιμεν εἰκότως, νοητῶς σαββατίζοντες· εἰκόνα δέ σοι παροίσω πάλιν τὸν ἀρχαῖον ἐκεῖνον Ἰησοῦν, ὁμοῦ τοῖς ἐξ Ἰσραὴλ ᾑρηκότα τὴν Ἱεριχὼ κατὰ τὴν ἑβδόμην ἡμέραν, τουτέστιν, ἐν τῷ Σαββάτῳ. {ΠΑΛΛ.} Ἀργίαν οὖν ἄρα τὸ Σάββατον μόνον ἡμῖν, ὡς ἔοικε, τῶν ἐκ φαυλότητος καὶ ἁμαρτιῶν εἰσκομίσειεν ἂν, τόγε ἧκον εἰς ἀλήθειαν, τὴν ὡς ἐν τύποις ἔτι τοῖς ἀρχαιοτέροις μονονουχὶ σκιαγραφουμένην. {ΚΥΡ.} Οὕτω φημί· καθ' ἕτερον δὲ τρόπον, τὸ Χριστοῦ μυστήριον παραδείξειεν ἂν καὶ μάλα σαφῶς. {ΠΑΛΛ.} Τίνα δὴ φής. {ΚΥΡ.} Ἔφη που πάλιν ὁ νόμος· «Ἐὰν δὲ κτήσῃ παῖδα Ἑβραῖον, ἓξ ἔτη δουλεύσει σοι, τῷ δὲ ἔτει τῷ ἑβδόμῳ ἀπελεύσεται ἐλεύθερος δωρεάν.» Καὶ ἐν μὲν τῇ Ἐξόδῳ ταυτί. Ἐν δὲ τῷ Δευτερονομίῳ πάλιν οὕτω φησί· «Ἐὰν δὲ πραθῇ σοι ὁ ἀδελφός σου ὁ Ἑβραῖος, ἢ ἡ Ἑβραία, δουλεύσει σοι ἓξ ἔτη, καὶ τῷ ἑβδόμῳ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον ἀπὸ σοῦ· ὅταν δὲ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον ἀπὸ σοῦ, οὐκ ἐξαποστελεῖς αὐτὸν κενόν· ἐφόδιον ἐφοδιάσεις αὐτὸν ἀπὸ τῶν προβάτων σου, καὶ ἀπὸ τοῦ σίτου καὶ ἀπὸ τῆς κλήρου σου· καθὼς ηὐλόγησέ σε Κύριος ὁ Θεός σου, δώσεις αὐτῷ.» Τὸν μὲν γὰρ ἄλλον ἅπαντα χρόνον, πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, πνεύματι δουλείας ὁ Ἰσραὴλ κατ 68.501 εσφίγγετο, νόμῳ τῷ κολάζοντι καταζευγνύμενος. Ἐπειδὴ δὲ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς (τέθειται δὲ ἡμῖν καὶ τοῦδε τύπος τὸ Σάββατον) ἐπέλαμψεν ὁ Ἐμμανουὴλ, τότε δὴ τὸ μὲν δουλείας ἀφῄρηται πνεῦμα, προσκεκομικότες δὲ ὅλως οὐδὲν εἰς ἀπολύτρωσιν τῷ Δεσπότῃ, φιλανθρωπίνῳ χάριτι κέκληνται πρὸς ἐλευθερίαν, καὶ εἰς τὴν τῆς υἱοθεσίας δόξαν· δεδικαίωνται γὰρ οἱ πιστεύσαντες οὐκ ἐξ ἔργων νόμου κατὰ τὰς Γραφὰς, ἀλλ' ἐκ πίστεως. Καὶ τοῦτο εἶναί φημι τὸ, «Ἀπελεύσεται ἐλεύθερος δωρεάν.» Ἀλλ', «Ὅταν, φησὶν, ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον ἀπὸ σοῦ, οὐκ ἐξαποστελεῖς αὐτὸν κενόν· ἐφόδιον ἐφοδιάσεις αὐτὸν ἀπὸ τῶν προβάτων σου, ἀπὸ τοῦ σίτου σου, καὶ ἀπὸ τῆς ληνοῦ σου.» Ὁρᾷς ἐναργῶς τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν, ἔν γε τουτοισὶ διαλάμπουσαν; λελυτρώμεθα γὰρ, καὶ ἀνῆκεν ἡμᾶς ἐλευθέρους ὁ πάντων ἡμῶν Σωτὴρ, δωρεάν. Οὐ γὰρ ἐξ ἔργων δικαιοσύνης ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος, κατὰ τὸ γεγραμμένον, τῆς οὕτως ὑπερφυοῦς ἡμερότητος μετεσχήκαμεν· ἀνιεὶς δὲ ἡμᾶς ἐλευθέρους, τουτέστιν, ἀπαλλάξας ἁμαρτιῶν, καὶ τῇ τῆς υἱοθεσίας κατακαλλύνας χάριτι, καλὸν ἡμῖν ἐφόδιον ἑαυτὸν προστέθεικεν, ὡς ἄμωμον ἱερεῖον, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν δι' ἡμᾶς ἠγμένος, χαρισάμενός τε τὸ μετασχεῖν εὐλογίας τῆς ζωοποιοῦ, τουτέστι, τῆς ἁγίας αὐτοῦ σαρκός τε καὶ αἵματος. Τοῦτο, οἶμαι, ἐστὶ τὸ ἐφοδιάζεσθαι δεῖν ἀπὸ τῶν προβάτων, ἀπό τε σίτου καὶ οἴνου, τοὺς ἐν ἑβδόμῳ καιρῷ, τουτέστιν, ἐν τῷ νοητῷ Σαββάτῳ, κεκλημένους εἰς ἐλευθερίαν ἐξ ἡμερότητος τῆς Δεσποτικῆς· ἀλλὰ ταυτὶ μὲν ὁ νόμος. Ἐπειδὴ δὲ τοῖς Ἰουδαίοις ἀναπεπτωκόσιν εἰς ῥᾳθυμίαν, οὐ λίαν ἐδόκει τηρεῖν τὰ ἐντεταλμένα, κατῃτιᾶτο ὁ Θεὸς τοῦτο δρᾷν ἑλομένους. Γέγραπται γὰρ, ὅτι καὶ «Ἐγενήθη λόγος Κυρίου πρὸς Ἱερεμίαν, λέγων· Οὕτως εἶπε Κύριος ὁ Θεὸς Ἰσραὴλ, λέγων· Διεθέ-μην διαθήκην πρὸς τοὺς πατέρας ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐξειλόμην αὐτοὺς ἐκ γῆς Αἰγύπτου ἐξ οἴκου δουλείας λέγων· Ὅταν πληρωθῇ ἓξ ἔτη,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποστελεῖς τὸν ἀδελφόν σου τὸν Ἑβραῖον, ὃς πραθήσεταί σοι, καὶ ἐργᾶταί σοι ἓξ ἔτη, καὶ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον· καὶ οὐκ ἤκουσάν μου, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν· καὶ ἐπέστρεψαν σήμερον ποιῆσαι τὸ εὐθὲς πρὸ ὀφθαλμῶν μου, τοῦ καλέσαι ἄφεσιν ἕκαστον τοῦ πλησίον αὐτοῦ· καὶ συνετέλεσαν διαθήκην κατὰ πρόσωπόν μου ἐν τῷ οἴκῳ, ᾧ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ' αὐτοῦ· καὶ ἐπεστρέψατε, καὶ ἐβεβηλώσατε τὴν διαθήκην μου, τοῦ ἐπιστρέψαι ἕκαστον τὸν παῖδα αὐτοῦ, καὶ ἕκαστον τὴν παιδίσκην αὐτοῦ, οὓς ἐξαπεστείλατε ἐλευθέρους τῇ ψυχῇ αὐτῶν, τοῦ εἶναι ὑμῖν εἰς παῖδας καὶ παιδίσκας.» Ὁρᾷς ὅπως οὐκ ἀνέχεται τῶν τύπων ἀθετουμένων, μᾶλλον δὲ αὐτῆς τῆς ἀληθείας ἐξυβρισμένης ὡς ἐν σκιαῖς ἔτι; «Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ Θεοῦ,» κατὰ τὸ γεγραμμένον. Τοὺς δὲ ἀνεθέντας ἅπαξ, ἀνόπιν ἕλκοντες Ἰουδαῖοι, καὶ τοῖς τῆς δουλείας αὖθις ὑποφέροντες ζυγοῖς, τὸ ἀμεταμέλητον οὐ τετηρήκασι, προσκεκρούκασί τε διὰ τοῦτο 68.504 τοῦ μυστηρίου τὴν δύναμιν, ἀθετήσαντές τε καὶ ἀτιμάσαντες, εἰ καὶ ἦν ἐν τύποις ἔτι {ΠΑΛΛ.} Ὀρθότατα ἔφης. {ΚΥΡ.} Δικαιούμεθα δὲ ὅτι δωρεὰν διὰ χάριτος τῆς ἐν Χριστῷ, τῆς ἑαυτῶν ζωῆς ἀντάλλαγμα προσενεγκόντες οὐδὲν, ἀλλ' οὐδὲ τὴν τῆς ἐλευθερίας ἐκ πριάμενοι δόξαν, ἡμερότητι δὲ καὶ φιλανθρωπίᾳ Δεσποτικῇ τὸ χρῆμα κερδαίνοντες, ὑπετύπου λέγων ἐν τῷ Δευτερονομίῳ· «Δι' ἑπτὰ ἐτῶν ποιήσεις ἄφεσιν. Καὶ οὕτως τὸ πρόσταγμα τῆς ἀφέσεως, ἀφήσεις πᾶν χρέος ἴδιον, ὃ ὀφείλει σοι ὁ πλησίον σου, καὶ τὸν ἀδελφόν σου οὐκ ἀπαιτήσεις ὃ ἐὰν ᾖ σοι παρ' αὐτῷ· τῷ δὲ ἀδελφῷ σου ἄφεσιν ποιήσεις τοῦ χρέους σου, ὅτι οὐκ ἔσται ἐν σοὶ ἐνδεής· ὅτι εὐλογῶν εὐλογήσει σε Κύριος ὁ Θεός σου, ἐν τῇ γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ κατακληρονομῆσαι αὐτήν.» Ὁρᾷς διαστράπτουσαν ἐν ταῖς σκιαῖς τὴν ἀλήθειαν; Ἐναργέστατα γὰρ τοῦ Σωτῆρος ἡμῶν τὴν εἰς ἡμᾶς οἰκονομίαν παραδείξειεν ἂν καὶ τόδε. Τοὺς μὲν γὰρ ἀγχοῦ γεγονότας αὐτῷ διὰ τῆς πίστεως, οἰκείους τε ἤδη καὶ ἀδελφοὺς ἀναδεδειγμένους, διὰ τοῦ μεταλαχεῖν ἁγίου Πνεύματος, θείας τε φύσεως γενέσθαι κοινωνούς, ὀφλημάτων ἀνῆκεν, ἐκτετικότας οὐδέν· οὐ γὰρ ἐζήτησε παρ' αὐτῶν τὰς τῆς παραβάσεως δίκας, καίτοι τοὺς λόγους τῶν σφίσι βεβιωμένων ἐπωφληκότας αὐτῷ· τοὺς δὲ ἀλλοτρίους ἔτι, μονονουχὶ δὲ καὶ ἀλλογενεῖς, διὰ τὴν ὀλέθριον αὐτῶν ἀπιστίαν, καὶ ὡς ἀπωτάτω γεγονότας τῆς εἰς αὐτὸν οἰκειότητος, ἐνόχους κατέστησε τοῖς ὀφλήμασι, καὶ ὡς ἀναπόνιπτον ἔχοντας ἔτι τὴν ἁμαρτίαν, ὑπόχρεώς τε τῇ δίκῃ καὶ τῷ κολάζεσθαι δεῖν εἰκότως εἰργάσατο· καὶ γοῦν προσεφώνει μὲν τοῖς πεπιστευκόσιν· «Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ὄντως μαθηταί μού ἐστε, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.» Τοῖς δὲ τὴν ἀληθῆ καὶ εὐαγγελικὴν ἀτιμάζουσι παίδευσιν, «Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε.» Συνίης οὖν ὅτι, τοὺς μὲν κατὰ πίστιν οἰκείους, πρὸς ἐλευθερίαν ἀνήσειν ἐπαγγέλλεται, τοὺς δὲ ἀλλοτρίους ἔτι καὶ ξένους, ἐντεθνεῶτας τοῖς πταίσμασιν, ἀποτίσειν ἔφη τῷ κριτῇ τῶν ἰδίων πλημμελημάτων τοὺς λόγους; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Διαμορφοῖ δὲ ἀστείως καὶ τὴν εἰς αἰῶνα τὸν μέλλοντα τρυφὴν ἁγιοπρεπῆ, καὶ τὴν τῶν οὐρανίων μέθεξιν ἀγαθῶν ἡ κατὰ τὸ Σάββατον ἀργία. {ΠΑΛΛ.} Φράσον ἂν ὅπως συνιέναι θέλοντί μοι. {ΚΥΡ.} Καὶ μάλα. Ψάλλει γάρ που λέγων ὁ θεσπέσιος Δαβὶδ περὶ τῶν υἱῶν Ἰσραὴλ, καὶ τοῦ πάντα ἰσχύοντος Θεοῦ· «Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς· ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος,» τὸ μάννα λέγων, οὐρανοῦ καὶ ἀγγέλων τροφὴν, ἵνα τῶν αἰσθητῶν τε καὶ ὁρατῶν τὸν οἰκεῖον ἱέντες ἐπέκεινα νοῦν, τὴν πνευματικὴν καὶ θείαν κατασκεπτώμεθα χορηγίαν, 68.505 ἣν ταῖς τῶν ἁγίων ψυχαῖς ἐνίησι Θεὸς, τὸν ἀγγέλους τρέφοντα, καὶ ζωογονοῦντα τοὺς ἀνθρώπους, Θεὸν λόγον ἐγκαταυλίζεσθαι ποιῶν τοῖς τὴν πίστιν εἰσδεδεγμένοις. Κατῴκηκε γὰρ ὁ Χριστὸς ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ ἁγίου Πνεύματος, καὶ ἄρτῳ ζῶντι καὶ ἐξ οὐρανοῦ τρεφόμεθα πρὸς εὐεξίαν τε καὶ ἰσχὺν πνευματικήν· τύπος μὲν οὖν τοῦ τοιοῦδε, τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μάννα, σαφὴς καὶ ἀνενδοιάστως ἔχων. Προστέταχε δὲ ὁ νόμος συναγείρειν αὐτὸ τοὺς υἱοὺς Ἰσραὴλ, τὸ διαρκῶς ἔχον ἑκάστῳ μὴ ὑπερτρέχοντας. Γέγραπται γὰρ ὡδί· «Τὸ πρωῒ ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς, καὶ ἰδοὺ ἐπὶ πρόσωπον τῆς ἐρήμου λεπτὸν ὡσεὶ κορίαννον, λευκὸν ὡσεὶ πάγος ἐπὶ τῆς γῆς. Ἰδόντες δὲ αὐτὸ οἱ υἱοὶ Ἰσραὴλ, εἶπαν ἕτερος τῷ ἑτέρῳ· Τί ἐστι τοῦτο; οὐ γὰρ ᾔδεισαν τί ἦν. Εἶπε δὲ Μωσῆς πρὸς αὐτούς; Οὗτος ὁ ἄρτος ὃν δέδωκεν ὑμῖν Κύριος φαγεῖν. Τοῦτο τὸ ῥῆμα ὃ συνέταξε Κύριος· Συναγάγετε ἀπ' αὐτοῦ ἕκαστος εἰς τοὺς καθήκοντας γομὸρ κατὰ κεφαλὰς, κατὰ ἀριθμὸν ψυχῶν ὑμῶν, ἕκαστος σὺν τοῖς συσκήνοις ὑμῶν συλλέξατε.» Εἶτά φησι καὶ μεθ' ἕτερα πάλιν· «Ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ ἕκτῃ, συνέλεξαν τὰ δέοντα διπλᾶ γομὸρ τῷ ἑνί· εἰσῆλθον δὲ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς, καὶ ἀνήγγειλαν Μωσῇ. Εἶπε δὲ Μωσῆς πρὸς αὐτούς· Τοῦτο τὸ ῥῆμά ἐστιν ὃ ἐλάλησε Κύριος· Σάββατα ἅγια ἀνάπαυσις τῷ Κυρίῳ· αὔριον ὅσα ἂν πέ[σ]σητε, πέ[σ]σετε, ὅσα ἐὰν ἕψητε, ἕψετε, καὶ πᾶν τὸ πλεονάζον καταλείπετε αὐτοῖς ἀποθήκην εἰς τὸ πρωΐ.» Εἶτα πρὸς τούτοις τὸν θεῖον αὐτοῖς διεσάφει νόμον, εὐθὺς ἐπειπὼν ὁ ἱεροφάντης Μωσῆς· «Φάγετε σήμερον· ἔστι γὰρ Σάββατα σήμερον τῷ Κυρίῳ. Οὐχ εὑρήσετε σήμερον ἐν τῷ πεδίῳ. Ἓξ ἡμέρας συλλέξετε, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ Σάββατα· οὐκ ἔσται ἐν αὐτῇ.» Ἆρά σοι λοιπὸν, ὦ Παλλάδιε, καὶ μετὰ τοῦτο ἀσυμφανὲς, ὅτι τῆς ἐσομένης εἰς αἰῶνα τὸν μέλλοντα ζωῆς, οἱονεὶ προευτρεπισμὸν καὶ ὑποτύπωσιν ἂν ἔχοι καὶ μάλα σαφῆ, τὸ μήτε τι δρᾷν ἐν Σαββάτῳ; συλλέγειν δὲ ὥσπερ εἰς ἀποθήκην τὸ ἤδη πεπορισμένον; καὶ μηδὲ αὐτὸ τὸ ἐξ οὐρανοῦ καταδεδόσθαι μάννα, τῷ δὲ ἤδη συγκεκομισμένῳ διακεχρῆσθαι δεῖν εἰς ἀπόλαυσιν καὶ τροφήν; Σαββατίζοντες γὰρ ἐν Χριστῷ καὶ εἰς λῆξιν ἰόντες τῆς ἁμαρτίας ὁλοτελῆ, τοῖς ἄνωθεν ἐντρυφήσομεν ἀγαθοῖς, πόνου μὲν ἐξῃρημένου παντὸς, ἱδρώτων δὲ δίχα, πᾶν ὅπερ ὀνίνησι πλουσίως εὑρίσκοντες. {ΠΑΛΛ.} Ἀληθὴς ὁ λόγος. Ἐφ' ἑτοίμοις γὰρ ὥσπερ καὶ προκεισομένοις ἅπασιν ἀγαθοῖς ἡ τὸ τηνικάδε τῶν ἁγίων ἔσται ζωή· εἰρήσθω δὲ καὶ πρὸς ἡμῶν αὐτῶν ἁγίῳ παντί· «Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι.» {ΚΥΡ.} Οὐκοῦν ἀναθέοντες εἰς τὸ ἀπαρχῆς, καὶ ὥσπερ ἀνόπιν τὸν λόγον ἀνασειράζοντες, ἐκεῖνό φαμεν, τὸ, ὅτι δὴ σφόδρα καὶ ἀκολούθως ὁ νόμος ἐφ' ἕνα τὸν φύσει καὶ ἀληθῶς μεταστήσας Θεὸν, οὐ συγκεχώρηκεν ἀγνοεῖν οὐδὲ τὸν ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ φύντα τε καὶ συνυπάρχοντα συναΐδιον Λόγον. 68.508 Προεντειλάμενος γὰρ καὶ εἰπὼν, «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου·» καὶ μήν· «Καὶ οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι, πλὴν ἐμοῦ·» συνῆψεν εὐθὺς τὸ Χριστοῦ μυστήριον, ἐπειπών· «Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν.» Οἶμος γὰρ ἥδε καλή τε καὶ ἀναγκαία, καὶ θεοπρεπεστάτης εὐτεχνίας ὁδὸς, καὶ τελεωτάτην τοῖς ἃ προσῆκεν εἰδέναι μανθάνουσιν, ἐμποιοῦσα τὴν ὄνησιν. Καὶ γοῦν ὁ Σωτὴρ πρὸς τὸν ἐν οὐρανοῖς ἔφη Πατέρα καὶ Θεόν· «Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.» Συμπαρομαρτεῖ γὰρ ἀναγκαίως τῷ λόγῳ τῷ περὶ Πατρὸς, ὁ περὶ Υἱοῦ, καὶ ἀγχίθυρος λίαν ἡ ἐπ' ἀμφοῖν ἐστι γνῶσις. Ἰουδαίοις γοῦν τῆς ἀληθείας ἡμαρτηκόσι, διὰ τοῦ μὴ προσίεσθαι τὸν Υἱὸν, οἰομένοις δὲ ὅτι Θεὸν ἐγνώκασιν, ἐπετίμα λέγων· «Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν Πατέρα μου ᾔδειτε ἄν.» Συνεισκρίνεται γὰρ ἐπ' ἀμφοῖν ἡ ἑκατέρου γνῶσις. Οὐκοῦν θεμέλιον ὥσπερ τινὰ προκαταθεὶς ἀναγκαίως τὸ ἀκριβὲς εἰς θεογνωσίαν, καὶ τοῦ νομοθέτου τὴν εἴδησιν προενριζώσας αὐτοῖς, κάτεισιν ἐπὶ τὰ ἀνθρώπινα, καὶ τῇ εἰς Θεὸν αἰδοῖ γείτονα τίθησι καὶ συνημμένην εὐθὺς τὴν εἰς πατέρα τε καὶ μητέρα, δι' ὧν εἰς τὸ εἶναί τε καὶ ὑπάρχειν ὅλως Θεοῦ κατανεύοντος κεκομίσμεθα, δευτέραν ὥσπερ τινὰ τάξιν ἐχόντων τοῦ Δημιουργοῦ· θείοις μὲν γὰρ νεύμασι καὶ αὐτοδιδάκτῳ τέχνῃ ζωοπλαστεῖ τὸ τικτόμενον ἡ φύσις ἐν ἑαυτῇ· δημιουργικὴν δὲ ὥσπερ ὑποπλάττεται δόξαν· καὶ ὥσπερ ὁ Θεὸς πάντων ἐστὶν ἀρχὴ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ γένεσις, καθὸ Ποιητὴς καὶ Δημιουργὸς, οὕτω καὶ ἕκαστος τῶν εἰς γονέας τετελεκότων τῷ ἐξ αὐτοῦ φύντι τέκνῳ ῥίζα τις ὥσπερ ἐστὶ γενέσεως, καὶ τῆς εἰς τὸ εἶναι παρόδου πηγή. Εἰς τύπον δὴ οὖν τοῦ πάντων δημιουργοῦ, ἡ πατρὸς καὶ μητρὸς ὑπουργία πρὸς ὕπαρξιν, εἰς ἅπαντας τοὺς ἐπὶ τῆς γῆς. Τοιγάρτοι τῶν ἄλλων προφερεστέραν τὴν εἰς αὐτοὺς ποιεῖσθαι τιμὴν ὁ νόμος προστέταχεν, οὔτε γερῶν ἀποστήσας τοὺς ᾑρημένους τιμᾷν, οὔτε ποινῆς ἀπαλλάττων τοὺς τοῦτο δρᾷν οὐκ ἀνεχομένους· τὴν μὲν γὰρ εὐγενῆ καὶ ὁσίαν γνώμην τιμαῖς στεφανοῖ· τὴν δὲ οὐχ οὕτως ἔχουσαν, τοῖς εἰς λῆξιν καταφορτίζει κακοῖς· «Τίμα» γὰρ, φησὶ, «τὸν πατέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.» Οὐκοῦν ἆθλον μὲν ὥσπερ τι καὶ γέρας ἐξαίρετον εἰς ζωὴν, καὶ τὸ ἐπὶ μήκιστον ἰέναι χρόνον, τοῖς ἐθέλουσι τιμᾷν, θάνατον δὲ τοῖς ἀλαζόσι καὶ ὑβρισταῖς ἐπαρτήσας ὁ νόμος, παιδαγωγὸν ὥσπερ τινὰ μετασοβοῦντα πρὸς τὸ εὐθὺ τὸν φόβον ἐφίστησιν. Ἔφη γὰρ πάλιν· «Ὃς τύπτει πατέρα ἢ μητέρα αὐτοῦ, θανάτῳ τελευτάτω· καὶ ὁ κακολογῶν πατέρα αὐτοῦ ἢ μητέρα, τελευτήσει θανάτῳ.» Ἄθρει δὴ οὖν ὅτι πάντα μὲν τὸν τρόπον τῆς εἰς αὐτοὺς ἁμαρτίας ἐν ἴσῳ κολάζει μέτρῳ, ἀγχοῦ δὲ δὴ πάλιν τοῖς περὶ Θεοῦ τὰ γονέων δίκαια τιθεὶς ὁρᾶται σαφῶς. Ὥσπερ γὰρ ἐπὶ Θεοῦ, τὸ γλώττης πλημμέλημα τιμᾶται θανάτῳ καὶ ταῖς εἰς 68.509 ἄκρον ὀργαῖς, οὕτω καὶ ἐπ' αὐτῶν τῶν γεγεννηκότων· καὶ τὴν θείαν μέν τις ἀθετήσας ἐντολὴν, καὶ ταῖς παραβάσεσι καταλυπεῖν ᾑρημένος τὸν παιδαγωγὸν, χωρὶς οἰκτιρμῶν ἀποθνήσκει. Πατρὸς δὲ τυχὸν ἢ μητρὸς ὑποθηκῶν ἀλογήσας, λιθόλευστος τελευτᾷ, νόμου τοῦ θείου καὶ τόδε προστεταχότος. Ἔφη δὲ οὕτως ἐν τῷ Δευτερονομίῳ· «Ἐὰν δέ τινι ᾖ υἱὸς ἀπειθὴς καὶ ἐρεθιστὴς, οὐχ ὑπακούων φωνῆς πατρὸς αὐτοῦ καὶ φωνῆς μητρὸς, καὶ παιδεύσωσιν αὐτὸν, καὶ μὴ εἰσακούσῃ αὐτῶν· καὶ συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ, ἐξάξουσιν αὐτὸν ἐπὶ τὴν γερουσίαν τῆς πόλεως αὐτοῦ, καὶ ἐπὶ τὴν πύλην τοῦ τόπου αὐτοῦ, καὶ ἐροῦσι τοῖς ἀνδράσι τῆς πόλεως αὐτοῦ λέγοντες, ὅτι Ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθεῖ, καὶ ἐρεθίζει, καὶ οὐκ εἰσακούει τῆς φωνῆς ἡμῶν, συμβολοκοπῶν οἰνοφλυγεῖ· καὶ λιθοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ λίθοις, καὶ ἀποθανεῖται. Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν, καὶ οἱ ἐπίλοιποι ἀκούσαντες φοβηθήσονται·» Ἆρά σοι λοιπὸν ἐνδοιάζειν ἔτι καὶ μετὰ τοῦτο θέμις, ὡς εἶσι κατ' ἴχνος τῆς τοῦ Θεοῦ τιμῆς ἡ εἰς πατέρα τε καὶ μητέρα; {ΠΑΛΛ.} Οὐδαμῶς. Ἐκδυσωπεῖ γὰρ ἡμᾶς εἴς γε τὸ χρῆναι τιμᾷν, καὶ τὸ ὑπό του σοφῶς εἰρημένον· «Μνήσθητι, ὅτι δι' αὐτῶν ἐγεννήθης.» Καὶ μὴν ὁ πατριάρχης Ἰακὼβ ἐπιεικέστατα λέγων· «Εἰ μὴ ὁ φόβος Ἰσαὰκ τοῦ πατρὸς ἦν μοι.» {ΚΥΡ.} Ἆρ' οὖν, εἰπέ μοι, τὸ δι' αὐτῶν γεγενῆσθαι λέγειν, οὐκ εἰκόνα τοῦ Δημιουργοῦ καὶ τοῦ πρὸς τὸ εἶναι καλοῦντος τὰ οὐκ ὄντα ποτὲ καταδείξειεν ἂν ἐναργῶς ὄντας αὐτούς; τὸ δὲ δὴ καὶ φόβῳ τῷ πρὸς ἡμῶν τετιμῆσθαι πρέπειν, οὐ μονονουχὶ καὶ ἐν αὐτῷ Δεσποτικῷ τέθεικεν ἀξιώματι; {ΠΑΛΛ.} Καὶ μάλα. Τοιγάρτοι καὶ ἐπαρᾶταί τισιν ὁ Παροιμιαστὴς, λέγων· «Ὀφθαλμὸν καταγελῶντα πατρὸς, καὶ ἀτιμάζοντα γῆρας μητρὸς, ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων.» Πλὴν ἐκεῖνο διασάφει, τὸ ὅπως ἂν οἰοιτό τις εἰρῆσθαι σαφῶς παρὰ τοῦ πάντων Σωτῆρος Χριστοῦ· «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος.» Μεμνήσομαι δὲ κἀκείνου· πατέρα γὰρ θάπτειν καὶ γηροκομεῖν ἐκλιπαροῦντι τῷ μαθητῇ, τὸ «Ἀκολούθει μοι, φησὶ, καὶ ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς.» {ΚΥΡ.} Εἶτα τί τὸ ἄτοπον ἐν τούτοις; ἅπαντες γὰρ οὐδὲν, ὥς γέ μοι δοκεῖ, ψιλὴ δὲ λίαν τῶν προκειμένων ἡ γνῶσις, καὶ ἑλεῖν ἑτοιμοτάτη τοῖς ἐθέλουσιν ὀρθῶς νοεῖν. {ΠΑΛΛ.} Καὶ μὴν οὐκ ἐλεύθερος παντελῶς ὑποψίας 68.512 ὁ λόγος· ἔοικε γάρ πως τῆς εἰς γονέας αἰδοῦς ἀποκομίζειν ἡμᾶς. {ΚΥΡ.} Ἄπαγε τῆς ὑπονοίας, ἄνθρωπε, καὶ τῶν οὕτω κεκιβδηλευμένων ἐννοιῶν! ἀφίστησι γὰρ, οὔ τί που τῆς εἰς γονέας αἰδοῦς, τοῦ Σωτῆρος ὁ λόγος, πρεσβυτέραν δὲ καὶ ἀμείνω τὴν εἰς Θεὸν ἡγεῖσθαι διδάσκει. Διατετέλεκε δὲ καὶ ἡμῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁ λόγος, ἀγχοῦ καὶ δευτέραν ἄνω τε καὶ κάτω τῆς Θεῷ πρεπούσης ὀνομάζων αὐτὴν, ὃ δὴ καὶ αὐτὸς τετήρηκεν ὁ Χριστὸς, οὐκ αἰτίαν ἐπιγράψας τοῖς ἀγαπᾷν ἑλομένοις, ἀλλ' οὐδὲ μῶμόν τινα καὶ γραφὴν ἐπιθεὶς τοῖς ᾑρημένοις τιμᾷν. Τό γε μὴν κατόπιν ἰέναι Θεοῦ τὰ ἀνθρώπινα, πρεπωδέστατα νομοθετεῖ. Τοιγάρτοι φησὶν οὐχ ἁπλῶς· «Ὁ φιλῶν πατέρα αὐτοῦ ἢ μητέρα·» προστέθεικε δὲ τὸ, «ὑπὲρ ἐμέ.» Ἢ γὰρ οὐκ οἰήσῃ πρέπειν τῆς εἰς ἀνθρώπους ἀγάπης προτετάχθαι τὴν εἰς Θεόν; {ΠΑΛΛ.} Παντάπασι μὲν οὖν. {ΚΥΡ.} Ἰέναι δὴ οὖν οὐκ ἠφίει τὸν μαθητὴν ἐπὶ τὸ μὴ δεῖν οἴεσθαι προὐργιαιτέραν ποιεῖσθαι τῆς εἰς Θεὸν αἰδοῦς τὴν εἰς ἄνθρωπον, κἂν εἰ ὑπάρχοι πατὴρ, ὁ καὶ τοῖς τῆς φύσεως νόμοις εἴς γε τὸ χρῆναι τιμᾶσθαι συνηγορούμενος. Ἀμείνω μὲν οὖν τὰ καθ' ἑαυτὸν ποιεῖται τῶν καθ' ἡμᾶς. Τὸ γάρ τοι πάντων ἐπέκεινα καὶ ἀνωτάτω, Θεός· ἐφίησι δὲ οὐδαμῶς παρ' οὐδὲν ἡγεῖσθαί τισιν τὴν εἰς γονέας αἰδὼ, διά γε τὸ χρῆναι φρονεῖν τε καὶ λέγειν, ὡς ἔστιν ἐν μοίρᾳ τῇ πρεσβυτέρᾳ τε καὶ ἀμείνονι τὰ τοῦ Θεοῦ. Ἐπίκλημα γὰρ ἐποιεῖτο τοῖς Ἰουδαίων καθηγηταῖς τὸ χρῆμα ὁ Χριστὸς λέγων· «Ὁ Θεὸς εἶπε, Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου· ὑμεῖς δὲ λέγετε, φησὶν ὁ Θεός· Ὃς ἐὰν εἴπῃ τῷ πατρὶ αὐτοῦ, Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ, καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν.» {ΠΑΛΛ.} Καὶ μὴν οὐ λίαν ἑτοίμη τῶν προκειμένων ἡ γνῶσις. Διασάφει δὴ οὖν ὅ τί ποτέ ἐστιν ἕν γε τούτῳ τὸ τῶν Φαρισαίων πλημμέλημα. {ΚΥΡ.} Ἐν τῷ Λευϊτικῷ γέγραπταί που· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἄνθρωπος ὃς ἐὰν εὔχηται εὐχὴν ὥς τε τιμὴν τῆς ψυχῆς αὐτοῦ τῷ Κυρίῳ, ἔσται ἡ τιμὴ τοῦ ἄρσενος ἀπὸ εἰκοσαετοῦς ἕως ἑξηκονταετοῦς, ἔσται ἡ τιμὴ αὐτοῦ πεντήκοντα δίδραχμα ἀργυρίου, τῷ σταθμῷ τῷ ἁγίῳ.» Ὀλίγα δὲ ἄττα μεταξὺ γυναίου τε πέρι καὶ μειρακίων εἰπὼν, ἐπιφέρει πάλιν· «Ἐὰν δὲ ταπεινὸς ᾖ τῇ τιμῇ, στήσεται ἐναντίον τοῦ ἱερέως, καὶ τιμήσεται αὐτὸν ὁ ἱερεύς.» Μυστικὸς μὲν οὖν ὁ λόγος καὶ βαθὺς, καιρῷ δὲ τῷ πρέποντι πρὸς ἡμῶν εὖ μάλα βασανισθήσεται· τὸ δὲ ἐν χερσὶ, φέρε λέγωμεν· Προσῄεσάν τινες τῶν ἐξ Ἰσραὴλ, καὶ καθιεροῦν ἐσπούδαζον τῷ Θεῷ τὰς ἑαυτῶν ψυχὰς, ὡς ἐν τύπῳ μὲν ἔτι καὶ σκιᾷ, πλὴν 68.513 κατὰ τὸν νόμον, τὰς ὑπὲρ σφῶν αὐτῶν ὁμολογοῦντες τιμὰς τοῖς ἱερᾶσθαι λαχοῦσι, καὶ τῷ θείῳ προσεδρεύουσι θυσιαστηρίῳ. Ἀλλ' ἦσάν τινες, ἐφιέμενοι μὲν τῆς τοιᾶσδε δόξης, (ἡγιασμένοι γὰρ ἤδη καὶ ἱεροὶ, καὶ θεῖον ἀνάθημα, καὶ τί γὰρ οὐχὶ τῶν τοιῶνδε χρηματίζειν ἠξίουν;) σπάνει δὲ χρημάτων ἀνακόπτοντες τὴν ἐπιθυμίαν, καὶ δυσδιάφευκτον ἔχοντες παραπόδισμα τοῦ πράγματος τὴν πτωχείαν· προτρεπόντων δὲ αὐτοὺς καὶ μάλα προθύμως ἐπὶ τὸ δεῖν ἰέναι πρὸς τοῦτο τῶν Γραμματέων καὶ Φαρισαίων (ἐρασιχρήματοι γὰρ οἱ τοιοίδε λίαν, καὶ λημμάτων αἰσχρῶν ἡττώμενοι), τὴν εἰς γονέας αἰδὼ προετείνοντο, δύνασθαί τε μόλις σφίσι τε αὐτοῖς κἀκείνοις τὰ ζωαρκῆ πορίζεσθαι τυχὸν, ἢ καὶ ἄμφια συλλέγειν, ἀληθεύοντες, ἔφασκον. Οἵδε ἀναπείθειν ἐτόλμων, παρ' οὐδὲν ἡγεῖσθαι τὸ χρῆμα διὰ Θεόν· κἂν εἰ προσίοιεν οἱ γεγεννηκότες τὴν συνήθη παρ' αὐτῶν ζητοῦντες ἐπικουρίαν, χρῆναι λέγειν ἐδίδασκον πατρὶ καὶ μητρί· «Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς ἄν.» Τουτέστιν, Ὅπερ ἂν ἐξ ἐμοῦ λάβῃς, τὸ θεῖον ἴσθι τοι παραβλάπτων ἀνάθημα, καὶ χρήμασιν ἱεροῖς τὰς χεῖρας ἐπάγων· ἀνατέθεικα γὰρ ἐμαυτὸν καὶ ὡς δῶρον ἐπήγγελμαι τῷ Θεῷ. Οἱ δὲ τὰ ἐκ τῆς ἱεροσυλίας δεδιότες βλάβη, καὶ τοὺς ἐπὶ τῷδε νόμους καταπεφρικότες ἄγαν, διεκαρτέρουν οἰμώζοντες, καὶ τὴν εἰς Θεὸν εὐσέβειαν πρόφασιν αὐτοῖς γενέσθαι λιμοῦ διετείνοντο, κατακεκραγότες τάχα που καὶ τῆς θείας ἐντολῆς, ὡς ἀδικούσης αὐτοὺς εἰς τὰ καιριώτατα. Διὰ τί τοίνυν φησὶν, «Ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ, διὰ τὴν παράδοσιν ὑμῶν;» Ἔδει γὰρ, ἔδει τι-μᾷν τοὺς φύσαντας, οὐ τῆς εἰς Θεὸν εὐσεβείας ἕνεκα τὸν ἐπ' αὐτοῖς καταλύειν νόμον. Οὐκοῦν οὔτε τῶν Θεῷ πρεπόντων ἀμελητέον διὰ τὰ ἀνθρώπινα, οὔτε μὴν εἰσάπαν τῶν ἀνθρωπίνων διὰ Θεὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταραθυμεῖν ἀναγκαῖον· ἀπονέμοντας δὲ μᾶλλον τὸ τῆς ἀγάπης ἐξαίρετον τῇ πάντων ἀρχῇ, τουτέστι τῷ Θεῷ, καὶ καθάπερ ἐν τάξει δευτέρᾳ καὶ γείτονι, παρακομίζειν εὐθὺς καὶ εἰς τοὺς τῆς γενέσεως ὑπουργοὺς τὰς αὐτοῖς ὅτι μάλιστα πρεπούσας τιμὰς προσενθυμουμένους, οἷς ἔφην καὶ τόδε. {ΠΑΛΛ.} Τὸ τί δὴ φής; {ΚΥΡ.} Χρῆμα γὰρ ὅτι μάλιστα τῶν ἀναγκαίων ἡμῖν ἀποφαίνων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν εἰς τοὺς φύσαντας αἰδῶ, φειδοῦς ἠξίου καὶ λόγου τὴν ἑαυτοῦ μητέρα. Ἀπηρτημένος γὰρ ἤδη τοῦ τιμίου σταυροῦ, καὶ τῷ ξύλῳ προσηλωμένος, τῷ γνησίῳ μαθητῇ τὴν ἁγίαν ἐδίδου Παρθένον, καὶ γηροκόμον αὐτῇ καθιστὰς τὸν ἠγαπημένον, ἔλεγεν· «Γύναι, ἰδοὺ ὁ υἱός σου· καὶ τῷ μαθητῇ εἶπεν· Ἰδοὺ ἡ μήτηρ σου· καὶ ἀπ' ἐκείνης τῆς ὥρας, φησὶν, ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ ἴδια. {ΠΑΛΛ.} Ὡς ἄριστά γε ἡμῖν ὁ περὶ τοῦδε λόγος ἐκπεποιῆσθαι δοκεῖ. {ΚΥΡ.} Καταζεύξας δὴ οὖν εὖ μάλα τοῖς γεγεννηκόσι τὰ ἐξ αὐτῶν, καὶ τὸν ἐκ νόμου καὶ ἀνάγκης 68.516 αὐτοῖς ἐπιῤῥίψας ζυγὸν, ὁποῖοί τινες εἶεν ἂν περὶ τὰ σφῶν αὐτῶν γεννήματα καὶ οἱ γονεῖς, εἰ τὸ τῷ Θεῷ δοκοῦν οὐκ ἐκσοβήσονται, παραχρῆμα νομοθετεῖ. Παῦλος μὲν οὖν ὁ σοφώτατος ἐν βραχεῖ καὶ εὐαπαλλάκτως, ὑποτάττεσθαι δεῖν τοῖς πατράσι, παρεγγυᾷ τοῖς τέκνοις· ἔφη δὲ, ὅτι καὶ «Οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν νουθεσίᾳ Κυρίου·» τουτέστι, Τῶν ἀρίστων αὐτοῖς μαθημάτων εἰσηγηταὶ γεγονότες, πρὸς θεοφιλῆ καὶ ἐννομωτάτην ἀπευθύνετε πολιτείαν. Διὰ κύκλου δὲ ὥσπερ ὁ νόμος (σύνηθες γάρ ἐστιν ὡς ἀεὶ τοῦτο αὐτῷ), τῆς τῶν τέκνων ἐπιεικείας προνοεῖν ὅτι μάλιστά γε καὶ μάλα ὀρθῶς ἐπισκήπτει πατράσιν· «Οὐ γὰρ βεβηλώσεις,» φησὶ, «τὴν θυγατέρα σου ἐκπορνεῦσαι αὐτὴν, καὶ οὐκ ἐκπορνεύσῃ ἡ γῆ, καὶ ἡ γῆ πλησθήσεται ἀνομίας. Τὴν γάρ τοι σωμάτων ἁγνείαν καὶ πρό γε τῶν ἄλλων, καὶ πρωτόλειον ὥσπερ τι τῆς εὐαγοῦς πολιτείας, ἐξαιτεῖ παρ' ἡμῶν ὁ Δημιουργός· προεισβολαὶ γὰρ ὥσπερ τῆς κατὰ πνεῦμα λαμπρότητος τὰ σωματικὰ, τὸν ἐπ' αἰσχρότητί τε καὶ ἀτιμίᾳ διαδιδράσκοντα μῶμον. Τὰ πάντων οὖν ἄριστα πρέποι ἂν ἡμῖν εἰσηγεῖσθαι πατέρας. Εἰ δὲ δὴ μέλλοιεν ὑπτιοῦσθαι καὶ ῥᾳθυμεῖν οἱ παιδαγωγοὶ, μᾶλλον δὲ καὶ τῶν αἰσχιόνων αὐτοῖς γεγονότες ἀρχηγοὶ καὶ καθηγηταὶ παραλόγως ἡλίσκοντο, ποινὴν ὑποστήσονται τὴν ἐσχάτην, ὡς τοὺς ἰδίους αὐτοὶ καρποὺς καταφθείροντες, καὶ τοῖς τῆς ἀπωλείας ἐνιέντες βόθροις, ὧν ἦν δήπου καὶ ὑπερθνήσκειν ἄμεινον· νομοθετεῖ γὰρ καὶ τοῦτο ἡ φύσις πατράσιν. Ὁ δὲ δὴ πρὸς αἰσχρότητα τὴν ἐμφανεστάτην τοῖς ἐθέλουσι προθεὶς τὸ ἑαυτοῦ κόριον, οὐχ ὑπὲρ αὐτοῦ καὶ μόνου δικαίως ἂν εὐθύνοιτό τε καὶ ἐξαιτοῖτο δίκας παρά γε τοῦ πάντων κριτοῦ, ἀλλὰ καὶ ὑπὲρ παντὸς τοῦ πρὸς αἰσχρότητα διωλισθηκότος. Θήρατρον γὰρ ὥσπερ τι προθεὶς καὶ θανάτου λίνον, πάντας ἔχει συλλαβὼν, καὶ εἰ μὴ πάντες ἁλίσκοιντο. Δοκιμάζεται γὰρ οὐχὶ δή που πάντως τὸ ἐκβεβηκὸς, ἀλλὰ τῶν ἐγχειρημάτων ἡ δύναμις· γυναικὸς δὲ πέρι τοιᾶσδε, καὶ ὁ σοφώτατος γράφει Σολομών· «Τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα καὶ σαγήνη καρδία αὐτῆς, δεσμὸς εἰς χεῖρας αὐτῆς.» Ἀναγκαίως τοιγαροῦν ὁ νομοθέτης, «Οὐ βεβηλώσεις,» φησὶ, «τὴν θυγατέρα σου, ἐκπορνεῦσαι αὐτὴν, καὶ οὐκ ἐκπορνεύσῃ ἡ γῆ.» Οὐ γὰρ οὔσης ὅλως, περὶ ἣν ἂν γένοιτο τυχὸν τῆς πορνείας τὸ ἔγκλημα, χαλεπὸν οὐδὲν τὸ διαδράναι παθεῖν, καὶ εἴ τῳ τις εἴη πρὸς ἡδονὴν εὐπάροιστος, καὶ τὸ ἄναλκι παντελῶς ἀῤῥωστήσας ὁ νοῦς, εὐκοσμίαν δὲ τὴν εἴς γε τὸ σῶμα τηρεῖσθαι. Τέως προστάξας παρὰ τῶν πατέρων τοῖς τέκνοις, θανάτῳ τιμᾶται καὶ τὸν εἰς τοῦτο ἰόντα γνώμην, ὡς εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ τὰ ἴδια παραῤῥίψαι γεννήματα· γέγραπται δὲ οὕτως ἐν τῷ Λευϊτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις λέγων· Ἐάν τις ἀπὸ τῶν υἱῶν Ἰσραὴλ, ἢ τῶν προσγεγενημένων προσηλύτων ἐν Ἰσραὴλ, ὃς ἂν δῷ τοῦ σπέρματος αὐτοῦ ἄρχοντι, θανάτῳ θανατούσθω· τὸ ἔθνος τὸ ἐπὶ τῆς γῆς λιθοβολήσουσιν αὐτὸν ἐν λίθοις· καὶ ἐγὼ ἐπιστήσω τὸ 68.517 πρόσωπόν μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον, καὶ ἀπολῶ αὐτὸν ἐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ λαοῦ αὐτοῦ, ὅτι τοῦ σπέρματος αὐτοῦ ἔδωκεν ἄρχοντι, ἵνα μιάνῃ τὰ ἅγιά μου, καὶ βεβηλώσῃ τὸ ὄνομα τῶν ἡγιασμένων μοι.» {ΠΑΛΛ.} Ἀμυδρὸς ὁ νόμος. Οὐ γὰρ ἐναργές πω μάλα τὸ τί ἂν βούλοιτο δηλοῦν. Διασάφει δὴ οὖν· δράσεις γὰρ ὀρθῶς. {ΚΥΡ.} Μωαβῖται καὶ Μαδιηναῖοι, Γεργεσαῖοί τε καὶ Ἀγαρηνοὶ, καὶ βαρβάρων ἕτερα ἄττα γένη, τὴν Ἰουδαίων προσοικοῦντα χώραν, ἔθεσιν ἐπολιτεύετο τοῖς Ἑλληνικοῖς, καὶ ἦν ἑκάστῳ θρησκεία τὸ δοκοῦν, καὶ τὸ εἰς νοῦν ἧκον ἁπλῶς, προσκύνησις καὶ λατρεία· ἀσφαλῆ δὲ οὔπω καὶ ἐρηρεισμένην ἔχοντες τὴν διάνοιαν εἰς φιλοθεῗαν οἱ ἐξ Ἰσραὴλ, κομιδῇ μὲν ἦσαν εὐπάροιστοι πρὸς ἀπόστασιν, εὔκολοι δὲ οὕτως εἰς ἀποφορὰν, ὡς ἡγεῖσθαι παρ' οὐδὲν τὸ καὶ αὐτοῖς, εἰ τύχοι, προσκυνεῖν τοῖς τῶν ὁμόρων θεοῖς, καὶ συνελέσθαι νοσεῖν τοῖς γείτοσι τὴν ἄνωθεν τε καὶ ἐν Αἰγύπτῳ πλάνησιν. Καὶ γοῦν ταῖς ἐκ Μαδιὰμ νεάνισιν ἐπεμαίνοντό ποτε, καὶ γυναίων ὥραις συνηρπασμένοι, συνεπεκαλοῦντο αὐτοῖς τὸν Βεελφεγώρ. Ἐντεῦθεν ὁ νομοθέτης προαναθρήσας εὖ μάλα τὸ σαθρόν τε καὶ εὐδιάκλαστον τῆς ἐνούσης αὐτοῖς διανοίας, ἀπέφησε παντελῶς τὴν πρὸς ἀλλοτρίους ἐπιμιξίαν, σαφέστατα λέγων· «Τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου· ἀποστήσει γὰρ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ πορευθεὶς λατρεύσει θεοῖς ἑτέροις.» Ἐπειδὴ τοίνυν ἦν δή που πάντως, καὶ μάλα εἰκότως, τῶν ἐξ Ἰσραὴλ ἑλέσθαι τινὰς, τοῖς τῶν ἐθνῶν περιφανεστέροις κατεγγυᾷν θυγατέρας πλούτῳ σεσαγηνευμένας, εἴς γε τὸ χρῆναι λογίζεσθαι παρ' οὐδὲν τὴν ἀπόστασιν, ὀργὴν καὶ τὸν θάνατον καθορίζει τοῦ τολμήματος, καὶ τοῖς περὶ τῶν ἐσχάτων ὑποφέρει λόγοις τὴν γραφήν· ἦν γὰρ ἀναγκαῖον τὴν ἀλλογενεῖ δοθεῖσαν, γενέσθαι καὶ ἑτερόφρονα, καὶ λατρεῦσαι δαίμοσιν· ὡς ὀλετῆρα δὴ οὖν τοῦ ἰδίου καρποῦ, ταῖς ἰσοῤῥόποις ὑπέστρωσε δίκαις. Οὐκοῦν ἡ μὲν ἱερά τε καὶ νέα Γραφὴ παρεγγυᾷ τοῖς φύσασιν, ἐν νουθεσίᾳ Κυρίου ποιεῖσθαι σπουδάζειν τὰς τῶν τέκνων ἀνατροφὰς, ὁ δὲ βραδύγλωσσος νόμος διὰ κύκλου καὶ περιφορᾶς τὴν αὐτὴν εἴσεισιν ὁδόν. Τὸ γάρ τοι μὴ χρῆναι πατέρας θυγατράσιν ἐφεῖναι δρᾷν τὰ εἰς αἰσχρότητα καὶ ἀσέλγειαν προεπιτάξας εὖ μάλα, δεῖν δὴ ἔτι καὶ μετὰ τοῦτό φησι τὰ εἰς θεογνωσίαν αὐταῖς ἀσάλευτα τηρεῖν, καὶ βεβήλοις εἰδωλολατρ[ε]ίαις οὐκ ἐᾷν ἐναλίσκεσθαι, κἂν εἰ πολλή τις αὐταῖς προκέοιτο περιουσία χρημάτων· ἀνδρὶ μὲν γὰρ ἀλλογενεῖ, πλουσίῳ δ' οὖν ὅμως, νόμῳ τοῦ γάμου συνεζευγμένη, ἆρ' οὐχὶ τοῦτό ἐστι τὸ, «Τί γὰρ ὠφεληθήσεται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;» {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἴδοι δ' ἄν τις, καὶ μάλα ῥᾳδίως, οὐ βραχὺ τὸ μεσολαβοῦν, τοῖς τε ἐν Χριστῷ δεδικαιωμένοις, καὶ τοῖς διὰ νόμου παιδαγωγουμένοις. Τὸ μὲν γὰρ 68.520 ὀθνείοις ἐπιπλέκεσθαί τισιν, ὁμόσε τε κατὰ ταὐτὸν τοῖς ἀλλογενέσιν ἰέναι, τοῖς ἀρχαιοτέροις οὐκ ἀζήμιον ἦν· ἡμῖν δὲ ὁ Παῦλος, πολιτεύεσθαι δεῖν ἄμεινόν τε καὶ εὐθαρσέστερον συμβουλεύει, λέγων· «Εἴ τις ἀνὴρ γυναῖκα ἔχει ἄπιστον, καὶ αὕτη συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν· καὶ γυνὴ, ἥτις ἔχει ἄνδρα ἄπιστον, καὶ οὗτος συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω τὸν ἄνδρα. Ἡγίασται γὰρ ὁ ἀνὴρ ἄπιστος ἐν τῇ γυναικί· καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί.» Τίς οὖν ἄρα ἐστὶ τῆς ἔν γε τούτοις οἰκονομίας ὁ τρόπος; Ἐδεδίει δὲ ἀνθ' ὅτου πάλαι μὲν ὁ νόμος τὴν πρὸς ἑτερόφρονας ἀναπλοκὴν, νυνὶ δὲ οὐκ ἔτι; Ἐδραίους μὲν γὰρ τοὺς ἐν Χριστῷ κεκλημένους, καὶ ἀκατάσειστον ἔχοντας τὴν φιλοθεῗαν, τὸ κατοικοῦν ἐν αὐτοῖς ἀπεργάζεται Πνεῦμα, δι' οὗ καὶ «ἐν ᾧ κράζομεν· Ἀββᾶ ὁ Πατήρ·» οἱ δὲ οὔπω τὸ δῶρον ἐπλούτουν. Ὡς γὰρ ὁ θεσπέσιος Ἰωάννης φησὶν, «Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη.» Οὐκοῦν ἡ πᾶσα τελείωσις ἐν Χριστῷ, τετελείωκε δὲ ὁ νόμος οὐδὲν, κατὰ τὸ γεγραμμένον. {ΠΑΛΛ.} Φράσῃς ἂν οὖν ἱρείροντί μοι τὸ ὅπως ἂν γένοιτο σαφὲς τὸ ἀτελὲς ἐν νόμῳ. {ΚΥΡ.} Καὶ μάλα. Βαδιεῖται δὲ ἡμῖν ἐπὶ τὰ ἐν χερσὶν ὁ λόγος, καὶ ἀγάπης τῆς εἰς τὸν πλησίον ἐκβασανιεῖ τοὺς τρόπους, παχύτερόν πως ἢ χρὴ τῆς διὰ Μωσέως συγγραφῆς, τοῖς ἀρχαιοτέροις εἰσκεκομισμένης. {ΠΑΛΛ.}


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἴθι δὴ οὖν ἐπ' αὐτὸ [τὸ] δὴ τουτὶ, καὶ μάλα προθύμως. {ΚΥΡ.} Οὐκοῦν ὁ μὲν νόμος, «Ἀγαπήσεις, φησὶ, τὸν πλησίον σου ὡς ἑαυτόν·» ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τῆς φιλαλληλίας τὸν νόμον διὰ μορίων ὅσων ἡμῖν εἰσηγεῖται λόγων, συνήγορον δὲ τῷ νόμῳ τὴν ἔμφυτον γνῶσιν, καὶ τὴν ἐν ἑκάστῳ θέλησιν οἱονεὶ καθιστὰς, «Ἃ οὖν θέλετε, φησὶν, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ταῦτα καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.» Εἰ γὰρ ὧνπερ ἄν τις εὔξαιτο τυχεῖν, ταῦτα δρᾷν ἕλοιτο καὶ αὐτὸς ἑτέροις, οὐκ ἀποδραμεῖται σκοποῦ· βαδιεῖται δὲ μᾶλλον κατ' εὐθὺ τῆς ἀγάπης, καὶ τὸν τῆς φιλαλληλίας ἀναδήσεται στέφανον. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ἡ ἀγάπη τοίνυν, νόμου μὲν πλήρωσις, πίστεως δὲ καὶ ἐλπίδος ἀμείνων. Γράφει γὰρ οὕτως ἡμῖν ὁ θεσπέσιος Παῦλος. Τοιγάρτοι καθάπερ ἐξ ἀνθέων ἠρινῶν πολυειδῆ τινα στέφανον ἀναπλέκων αὐτῇ, πάλιν φησί· «Κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσομαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ 68.521 τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει ἡ ἀγάπη, οὐδέποτε ἐκπίπτει.» Ἀλλ' ἐμφανῆ μὲν ἅπασιν, ὥς γε οἶμαι, ταυτὶ, καὶ μακρὸς ἂν γένοιτο λίαν ὁ περὶ αὐτῶν λόγος, εἴπερ τις ἕλοιτο λεπτῶς τὰ παρὰ τῇ Νέᾳ συναγείρειν Γραφῇ. Τετραψόμεθα δὲ νυνὶ πρὸς τὰς ἐκ νόμου σκιὰς, καὶ τὰ ὡς ἐν τύποις ἔτι τοῖς πάλαι τεθεσπισμένα. {ΠΑΛΛ.} Ἄριστα διανοῇ. {ΚΥΡ.} Μελέτησις μὲν ὁ νόμος ἦν εἰς δικαιοσύνην καὶ προεισβολή τις ὥσπερ τῶν εὐαγγελικῶν ἀνδραγαθημάτων. Γέγραπται γάρ· «Ἀρχὴ ὁδοῦ ἀγαθῆς, τὸ ποιεῖν τὰ δίκαια.» Παιδαγωγεῖ γὰρ ὁ νόμος ἐπὶ Χριστὸν, καὶ τῆς ἐν αὐτῷ νοουμένης ζωῆς οὐ διεψευσμένην ἂν ἔχοι τὴν δόξαν, εἰ νοοῖτο πνευματικῶς. Καὶ ἵστησι μὲν εἰς δικαιοσύνην, ἀποφέρει δὲ πρὸς τὸ ὑπὲρ τοῦτο ἔτι τὸ μάθημα τὸ εὐαγγελικόν. Τρόποι δὲ δικαιοσύνης, πρῶτος μὲν, τιμὴ καὶ ἀγάπησις, ἡ εἰς τὸν ἕνα τε καὶ φύσει Θεόν· γείτων δὲ ὥσπερ καὶ μετ' ἐκεῖνο εὐθὺς ἡ εἰς ἀδελφοὺς καὶ ὁμογενεῖς, προεγκειμένης τῆς εἰς γονέας αἰδοῦς. Ἐν κόσμῳ δὴ οὖν τῷ πρέποντι πρόεισιν ἡμῖν ὁ Λόγος, μετά γε τὴν εἰς Θεὸν εὐσέβειαν, καὶ τὸ εἰς γονέας εὐλαβὲς, ὅτι τῆς ἐπιεικείας προσήκει τὴν ἔνδειξιν καὶ εἰς ἑτέρους ἡμᾶς ποιεῖσθαι παρεγγυῶν. Πανταχῇ γὰρ ὁ νόμος, τῆς ἰσότητος προνοεῖ, καὶ ἀκριβῆ τοῦ δικαίου ποιεῖσθαι τὴν βάσανον, ὁρᾶται θεσμοθετῶν. Γέγραπται γὰρ ἐν Δευτερονομίῳ· «Οὐκ ἔσται ἐν τῷ μαρσίππῳ σου στάθμιον μέγα ἢ μικρόν· στάθμιον ἀληθινὸν δίκαιον ἔσται σοι, καὶ μέτρον ἀληθινὸν δίκαιον ἔσται σοι, ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν ταῦτα, πᾶς ποιῶν ἄδικον.» Καὶ πάλιν ἐν τῷ Λευϊτικῷ· «Ἐν μέτροις καὶ σταθμίοις, καὶ ζυγοῖς ζυγὰ δίκαια, καὶ στάθμια δίκαια, καὶ χοῦς δίκαιος ἔσται σοι.» Μέτροις δὲ καὶ σταθμίοις καὶ ζυγοῖς παρισοῦν εὖ μάλα τῆς δικαιοσύνης τοὺς τρόπους ἠπείγετο καὶ μάλα ὀρθῶς· νοῦς γὰρ εὐθύς τε καὶ φιλοδίκαιος ταλαντεύει τρόπον τινὰ καὶ ἀναμετρεῖ τῶν πραγμάτων τὰς φύσεις, καὶ τὸν τῆς ἰσότητος βασανίζει λόγον, λεπτότερόν τε καὶ ἀκριβέστερον, ἤπερ ἂν οἴοιτό τις τοὺς ἐπὶ πλάστιγγος καὶ ζυγοῦ, τὸ νόμισμα δοκιμάζοντας· ἐπιμετρεῖ δὲ ὥσπερ ἑκάστῳ τῶν θεωρουμένων τὸ ὅτι μάλιστα πρέπον αὐτῷ, οὔτε τῷ περιττῷ τῆς ἀκριβοῦς ἰσότητος παραλύων κάλλος, οὔτε μὴν τῇ πρὸς τὸ μεῖον ὑποφορᾷ, παραχαράττεσθαι συγχωρῶν τὸ ὡς ἐν ἰσότητι διαρκές. Ἔστω τοίνυν ζυγὰ καὶ στάθμια δίκαια, καὶ χοῦς δίκαιος, φησίν· εἶεν δ' ἂν, οἶμαι, ταυτὶ, τύποι τινὲς ὥσπερ καὶ ἐμφανῆ παραδείγματα, τρόπους ἡμῖν ὑποφαίνοντα, δι' ὧνπερ ἂν ἡμῖν ὁ τῆς ἀκριβοῦς ἰσότητος διερευνῷτο λόγος, καὶ ἡ τῆς δικαιοσύνης ἀναφανεῖται γνῶσις. Σύνες δὲ ὅτι συμμετρεῖται μὲν τὰ ἐν νόμῳ, καὶ ὅρον ἔχει τὴν δικαιοσύνην, πλουτεῖ δὲ τὸ μεῖζον, καὶ πολὺ δὴ λίαν ἐπέκεινα τρέχει τὰ διὰ Χριστοῦ. Πέρα γὰρ δικαίου τὸ ἀγαθὸν, τουτέστι, τῆς ἐν Χριστῷ πολιτείας ἡ δόξα. 68.524 {ΠΑΛΛ.} Εὖ λέγεις.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μεμνήσομαι γὰρ τοῖς ἐν πίστει δεδικαιωμένοις διειπόντος Χριστοῦ· «Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.» {ΚΥΡ.} Ἀλλ' ὧδε μὲν ἡμῖν ἐχέτω ταυτί· πολυπραγμονῶμεν δὲ, εἰ δοκεῖ, τῆς Μωσαϊκῆς ἐπιεικείας τὸ μέτρον, καὶ τῆς κατὰ νόμον δικαιοσύνης τὴν δόξαν· τὸν γάρτοι φιλοθηρεῖν τοῦ δικαίου τὴν γνῶσιν ὀρθότατα διεσπουδακότα, καὶ μὴν καὶ τὸ διαπρέπειν ἐν ἀγαπήσει τυχὸν τῇ πρὸς ἀδελφοὺς ἐν λόγῳ πεποιημένον, ἀσφαλῆ τε καὶ βεβηκότα, καὶ ὅπερ ἐστὶν ἀληθῶς, ὁρᾶσθαι πρέπει, οὐκ εὐκατάσειστον, οὐδὲ ἐλαφρὸν, οὐ κατάπλαστον ἔχοντα τὸ χρηστὸν, καὶ ὥσπερ ὅϊος τῷ κωδίῳ κατασκιάζει ἐθέλοντα τὴν λύκου μορφὴν, μᾶλλον δὲ γυμνὴν καὶ ἀνεπίληπτον ἔχειν ἐπείγεσθαι τοῦ ἰδίου τρόπου τὴν ἐλευθερίαν. Τοιγάρτοι φησὶν ὁ νόμος· «Οὐ πορεύσῃ δόλῳ ἐν τῷ ἔθνει σου, καὶ οὐ μισήσεις τὸν ἀδελφόν σου τῇ καρδίᾳ σου.» Τίθησί τε καὶ ἑτέρως αὐτό· «Καὶ ἱμάτιον γὰρ, φησὶν, ἐκ δύο ὑφασμένον οὐκ ἐπιβαλεῖς σεαυτῷ·» καὶ πάλιν· «Οὐκ ἐνδύσῃ κίβδηλον ἔριον καὶ λίνον ἐν τῷ αὐτῷ.» Πάνδεινον γὰρ ἀληθῶς καὶ μώμου παντὸς ἐπέκεινα, τοῖς ἐν ὑπολήψει χρηστότητος ἀπάτη καὶ δόλος· καὶ ἔστι τὸ χρῆμα τῶν ἄγαν παρὰ Θεῷ κατεστυγημένων, καὶ ἀδελφὴν ἔχον ἀεί πως τὴν διψυχίαν, καὶ τὸ οἱονεὶ τῆς γνώμης διφυές τε καὶ ἀλλοπρόσαλλον, ἐφ' οἷς ὅτι μάλιστα καταθήγεται πρὸς ὀργὰς ὁ θεῖός τε καὶ ἀκήρατος νοῦς. Ἔφη γάρ που περί τινων· «Βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν· δόλια γὰρ τὰ ῥήματα τοῦ στόματος αὐτῶν· τῷ πλησίον αὐτοῦ λαλεῖ τὰ εἰρηνικὰ, καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν. Μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι; λέγει Κύριος, ἢ ἐν λαῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;» Ἀναβήσεσθαι δὲ καὶ εἰς τὸ ὄρος τοῦ Κυρίου φησιν ὁ Δαβὶδ, τὸν ἀθῷον χερσὶ, καὶ καθαρὸν τῇ καρδίᾳ, ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, οὐδὲ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν. Ἀποφάσκει δὴ οὖν ὁ νόμος ὡς αἴσχιστόν τε καὶ ἀπηχὲς, τὸ ἐν δόλῳ πορεύεσθαι, τουτέστι, τὸ πανούργως ἑλέσθαι βιοῦν, καὶ ὑποπλάττεσθαι μὲν τῆς δικαιοσύνης τὸ σχῆμα, κατασίνεσθαι δὲ ἀδελφοὺς, τῶν τῆς ἀγάπης νόμων ἠφειδηκότα· ἄμφιόν γε μὴν ἔχειν ἡμᾶς οὐκ ἐᾷ τὸ ἐκ δυοῖν ὑφασμένον, αἴνιγμά που τὸ χρῆμα τιθεὶς, τοῦ μὴ ἀνέχεσθαι, διπλόην ὥσπερ ἔχειν εἰς νοῦν· διπλόην δὲ εἶναί φημι, τὴν ἔσω καὶ νοητὴν, τὴν ἐπάρατον ἀνθρωπαρέσκειαν, ἢ ἐκ δυοῖν ὥσπερ ἀναπλέκεται σπουδασμάτοιν, τὴν εἰς ἄλληλα διαφθορὰν οὐ μετρίαν ἠῤῥωστηκότοιν. Τίς γὰρ ἢ ποῖος τῶν ὑποκριτῶν ὁ βίος; ἆρ' οὐχὶ τὸ ἐν ὄψει μὲν ἀνθρώπων ὁρᾶσθαι χρηστοὺς, καὶ τὸ δοκεῖν μὲν εἶναι, μὴ μὴν ἔτι καὶ εἶναι κατὰ ἀλήθειαν χρηστούς; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Διττὸς οὖν ὁ τρόπος ἐξ ἀνομοίων ἡμῖν θελημάτων ἐξυφασμένος. Ἀλλ' ὅ γε θεσπέσιος Δαβὶδ 68.525 ἀποδέχεται τὸν μονότροπον καὶ φειδοῦς ἀξιοῦσθαί φησι τῆς ἄνωθεν· «Κύριος γὰρ κατοικίζει μονοτρόπους, φησὶν, ἐν οἴκῳ.» Διασκορπίζειν δὲ λέγεται καὶ ὁ Θεὸς ὀστᾶ ἀνθρωπαρέσκων· καταμυσάττεται δὲ τὸ χρῆμα καὶ ὁ Παῦλος, λέγων· «Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.» {ΠΑΛΛ.} Καὶ τίνι τῶν ὄντων οὐκ ἀσυμφανὲς, ὡς ἔκτοπον ἀληθῶς καὶ τῆς ἀκριβοῦς ὀρθότητος ἀπωτάτω τὸ διψυχεῖν τε καὶ ὑποκρίνεσθαι; {ΚΥΡ.} Ἀγάπης οὖν ἄρα καρπὸς τῆς ἀμωμήτως ἐσκευασμένης καὶ ἀνδρὶ πρεπούσης δικαίῳ τε καὶ ἀγαθῷ, τὸ ἀπηλλάχθαι δόλου. Καὶ τοῦδε δεῖν δή φησιν ὁ νόμος, τόν γε ὡς ἀληθῶς τῆς δικαιοσύνης ἐπιμελητὴν, καὶ ἀγάπης τῆς εἰς ἀδελφοὺς ἐραστὴν, ὀρθῶς ἔχειν οἴεσθαι τὴν ἐπὶ τῷδε δόξαν, οὐκ εἴπερ αὐτός τε καὶ μόνος παραιτοῖτο ἀδικεῖν, ἀλλ' εἰ καὶ γένοιτο παιδευτὴς καὶ τῶν κατὰ γένος οἰκείων, ἤγουν καθ' ἕτερόν τινα τρόπον ἐγγὺς γεγονότων, καὶ τὸ τῆς πρὸς αὐτὸν οἰκειότητος ὄνομα πεπλουτηκότων. Παρεγγυᾷ δὲ καὶ ὁ Παῦλος τὸν ἐπιμελησόμενον Ἐκκλησίας, τέκνα ἔχειν ἐν ὑποταγῇ, καὶ ἀπόδειξιν τὸ πρᾶγμα τῆς ἐνούσης αὐτῷ ἐπιεικείας καὶ μὴ, ποιεῖται λέγων· «Εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς Ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;» Διὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτό φησιν ὁ νόμος ὡς ἐν παραδείγματος τρόπῳ, καὶ ἐναργοῦς εἰκόνος· «Ἐὰν δὲ κερατίσῃ ταῦρος ἄνδρα ἢ γυναῖκα, καὶ ἀποθάνῃ, λίθοις λιθοβοληθήσεται ὁ ταῦρος, καὶ οὐ βρωθήσεται τὰ κρέα αὐτοῦ, ὁ δὲ κύριος τοῦ ταύρου ἀθῶος ἔσται· ἐὰν δὲ ὁ ταῦρος κερατιστὴς ᾖ πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης, καὶ διαμαρτύρωνται τῷ κυρίῳ αὐτοῦ, καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀνέλῃ δὲ ἄνδρα ἢ γυναῖκα, ὁ ταῦρος λιθοβοληθήσεται, καὶ ὁ κύριος αὐτοῦ προσαποθανεῖται· ἐὰν δὲ λύτρα ἐπιβληθῇ αὐτῷ, δώσει λύτρα τῆς ψυχῆς αὐτοῦ, ὅσα ἐὰν ἐπιβάλωσιν αὐτῷ. Ἐὰν δὲ υἱὸν ἢ θυγατέρα κερατίσῃ ὁ ταῦρος, κατὰ τὸ δικαίωμα τοῦτο ποιήσουσιν αὐτῷ. Ἐὰν δὲ παῖδα κερατίσῃ ἢ παιδίσκην, ἀργυρίου τριάκοντα δίδραχμα δώσει τῷ κυρίῳ αὐτῶν, καὶ ὁ ταῦρος λιθοβοληθήσεται.» Ἆρά σοι σαφὲς τὸ χρησμῴδημα; {ΠΑΛΛ.} Οὐ σφόδρα. {ΚΥΡ.} Ἄθρει δὴ οὖν ὅ φημι, καὶ πρό γε τῶν ἄλλων εἰς νοῦν ἔχε τὸν ἱερώτατον Παῦλον, ὡδὶ γεγραφότα· «Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; Ἢ δι' ἡμᾶς πάντως λέγει;» Ταύρῳ δὴ οὖν παρεικάζει τὸν ὑβριστήν τε καὶ ἀλαζόνα, καὶ πλεονεκτεῖν ἰσχύοντα. Γαῦρον γὰρ ἀεί πώς ἐστι καὶ ἀγέρωχον τὸ ζῶον, καὶ πάνδεινον εἰς ἀλκὴν, καὶ δύσοιστον ἔχει τὴν ἔφοδον. Τὸν δὴ τοιοῦτον, εἰ γένοιτο, φησὶν, οἰκεῖος, καὶ οἱονεί πως κατεζευγμένος τῶν ὁσιουργεῖν ᾑρημένων τινὶ, παραλύσειέ τε, μᾶλλον δὲ καὶ ἀνέλοι τινὰ, καταχωννὺς τάχα που ταῖς πλεονεξίαις, ἀποτιννῦναι δίκην τὴν ἐπ' αὐτῷ θανάτῳ προστέταχε· χρῆναι ἔφη λιθόλευστον τελευτᾷν. Ὑποκλέπτει δὲ
68.528 τῆς ὀργῆς τὸν κεκτημένον, εἰ μὴ τῆς πλεονεξίας εἰδείη τὸν τρόπον, μηδὲ τῆς ἐκείνου φαυλότητος ἁλίσκοιτο κοινωνός· οὐ γὰρ ἡμῶν ἐγκλήματα τὰ ἑτέρων, εἰ λαθραῖα γένοιτο τυχόν. Ἐσθίειν δ' οὐκ ἐᾷ τοῦ ταύρου τὰ κρέα, τό τοι μὴ χρῆναι μεταλαχεῖν τῆς ἑτέρων ἀκαθαρσίας, ὡς ἐν τύπῳ τῷ κατὰ τὴν βρῶσιν καὶ τὴν οἱονεὶ μέθεξιν ὑποτυπῶν· ἆρ' οὐχὶ τοῦτό ἐστιν ἐναργῶς, τὸ, «Σεαυτὸν ἁγνὸν τήρει, καὶ μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις;» {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Συγκαταδικάζεσθαι δὲ τῷ μόσχῳ δεδικαίωκε τὸν δεσπότην, εἴπερ εἰδείη τὸ πλημμεληθὲν, καὶ μαθὼν ἐλέγχοιτο τὴν πλεονεξίαν· τὸ γὰρ ἀπείργειν δύνασθαι τῆς ἀδικίας τοὺς τρόπους, καὶ κατακωλύειν εὖ μάλα τὸ πλημμελὲς, εἶτα τοῦτο δρᾷν οὐκ ἀνέχεσθαι, καὶ λίαν ἐσπουδασμένως, μονονουχὶ καὶ συνειργασμένον ἀποφαίνει τὸν ἄνθρωπον, καὶ ὅσον ἧκεν εἰς θέλησιν καὶ ταυτοβουλίαν τοῖς ἐθέλουσιν ἀνοσιουργεῖν καὶ συνεκπονεῖν ᾑρημένον. Τεθνάτω δὴ οὖν ὁ τοιόσδε, φησὶν, πλὴν εἰ μὴ λύτρα καὶ τὰς ἔν γε τούτοις ζημίας ἐπιθεῖεν οἱ κριταί. Βλέπει δὲ ὁ νόμος πρὸς τὸ χρηστὸν, καὶ συνθέλησιν τὴν εἰς ἁμαρτίαν, καὶ ὡς ἐν ψιλῇ συναινέσει συνδρομήν. «Κολάζει γὰρ μετριώτερον, εἴπερ ἕλοιντο, φησὶν, οἱ κριταί.» Καὶ δέχου τὸν τύπον εἰς ἀλήθειαν· κατακρίνει μὲν γὰρ θανάτῳ τὰ παγχάλεπα τῶν πλημμελημάτων ὁ πάντων κριτὴς, πλὴν προσίεται τοὺς ἡμαρτηκότας, καὶ λύτρα προσφέροντας, τὰ τῆς ἁμαρτίας λυτικὰ, τὸ ἐκ μετανοίας δάκρυον, τὸν ἐπὶ ταῖς μεταγνώσεσι πόνον, τῆς ἐλεημοσύνης τοὺς τρόπους· «Κατακαυχᾶται γὰρ ἔλεος κρίσεως,» κατὰ τὰς Γραφάς. Ἀκριβῆ δὲ ὁ νόμος καὶ τὴν ἐπὶ τοῖς πεπονθόσι ποιεῖται διαστολήν· εἰ μὲν γὰρ υἱὸν ἡ θυγατέρα, φησὶν, ὁ μόσχος ἀνέλῃ, τεθνάτω καὶ ἀφιλοικτιρμόνως· εἰ δὲ παῖδα ἢ παιδίσκην, ἀργύριον ἔστω τὸ ὑπὲρ αὐτῶν ζητούμενον. Τίς οὖν ὁ λόγος, πῶς οὐκ ἄξιον ἰδεῖν; καίτοι τὸ ἐλεύθερόν τε καὶ δοῦλον ἐν ἡμῖν, ἐκ πλεονεξίας καὶ οὐκ ἀῤῥώστημα φύσεως, καθάπερ ἀμέλει καὶ τὸ νοσεῖν· «Εἷς γὰρ ἡμᾶς ἔκτισε Θεὸς, καὶ εἷς ὁ πάντων Πατὴρ,» κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἆρ' οὖν ὡς ἔγκλημα καὶ δουλείαν καταγράφει τινῶν ὁ Δημιουργός; ἆρα καὶ παρ' αὐτῷ τὸ δοῦλον ἐν μείοσι, καὶ δόξῃ πλεονεκτεῖ τὸ ἐλεύθερον; Οὐ μὲν οὖν. «Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔνι δοῦλος, οὔτε ἐλεύθερος.» Οὐκοῦν, σκιὰ γὰρ ὁ νόμος, διὰ μὲν υἱοῦ τε καὶ θύγατρος, τὸ ἐλεύθερον τῶν ἁγίων σημαίνεται γένος· διὰ δέ γε παιδός τε καὶ παιδίσκης, τὸ δοῦλον ἔτι καὶ ὑπὸ ζυγὸν ἁμαρτίας. Ἔστι δὲ οὐ ταυτὸν, τὸ πλημμελεῖν εἰς ἁγίους ἢ ἁμαρτωλούς. Κολάζεται δὲ οὐκ ἐν ἴσῳ μέτρῳ τὰ ἐπ' ἀμφοῖν· ὅτι μὲν γὰρ ἀδελφοὶ τὴν φύσιν, οἴδε τε κἀκεῖνοι,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παντί τῳ σαφές· ἀλλ' ἔστι τὸ ἅγιον, ἐν ὑπεροχῇ τῇ πνευματικῇ, καὶ ἐν τοῖς τῆς ἀρετῆς ὑψώμασι· καὶ παρὰ τῷ Θεῷ τίμιον, ὡς καὶ ἐν υἱοῦ τάξει γενέσθαι καὶ θύγατρος, καὶ τὸ ἀνθρώπινόν τε καὶ δουλοπρεπὲς ὑπερφέρεσθαι μέτρον. Ὁσιουργεῖν δὲ ὁ νόμος καὶ ἀγάπης ἔχεσθαι τῆς εἰς ἀδελφοὺς, 68.529 καὶ καθ' ἑτέρους ἡμῖν εἰσηγεῖται τρόπους, οὓς καὶ παραθέντες ἐφεξῆς, τὸ εἰς νοῦν ἧκον ἐφ' ἑκάστῳ ἐροῦμεν. Ἔφη γὰρ πάλιν· «Ἐὰν δέ τις ἀνοίξῃ λάκκον, ἢ λατομήσῃ λάκκον, καὶ μὴ καλύψῃ αὐτὸν, καὶ ἐμπέσῃ ἐκεῖ μόσχος, ἢ ὄνος, ὁ κύριος τοῦ λάκκου ἀποτίσει, ἀργύριον δώσει τῷ κυρίῳ αὐτῶν, τὸ δὲ τετελευτηκὸς αὐτῷ ἔσται.» Τοῦτο δέ ἐστιν αἰνιγματωδῶς, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον, καὶ τὸ ὠφελεῖν πεφυκὸς οὐκ ἐᾷν ἄχρηστον γενέσθαι τισὶν, οὔτε μὴν ὁδὸν ὁρᾶσθαι πρὸς θάνατον, τὰ ἡμῖν τε καὶ ἑτέροις ἀναγκαῖα πρὸς ζωήν. Ἢ γὰρ οὐχὶ λάκκον τις ἀνοίγων, ἢ λατομῶν, ἑαυτῷ τι καὶ ἑτέροις χρήσιμόν τε καὶ ἀναγκαῖον ἀποτελεῖ; Ἀλλὰ μὴ ἔστω, φησὶ, κινδύνου πρόφασις ἑτέρῳ τὰ σά. «Ἡ γὰρ ἀγάπη,» καθά φησιν ὁ θεσπέσιος Παῦλος, «οὐ ζητεῖ τὰ ἑαυτῆς,» λογίζεται δὲ μᾶλλον καὶ τὰ ἑτέρων. {ΠΑΛΛ.} Καὶ τίς ὁ λάκκον ἀνοίγων ἢ λατομῶν, τίς δὲ ὁ λάκκος, ἐθέλοιμ' ἂν εἰδέναι σαφῶς. {ΚΥΡ.} Τὸ μὲν οὖν ἐκ τῆς ἱστορίας ὑποδηλούμενον, οὐκ ἀσυμφανές· χρῆναι γάρ φησι κατακαλύπτεσθαι λάκκον, ἵνα μή τι βλάβος συμβαίνῃ τισίν. Ἤγουν ἴστω, φησὶν, ὁ μὴ τοῦτο πεπραχὼς, ὡς εἴπερ τι κατολισθήσειεν, ἀργύριον ἀποδώσει τῷ κυρίῳ αὐτοῦ, τὸ δὲ τεθνηκὸς ἔσται αὐτῷ. Ἀναθρώσκοντες δὲ τὸ τῆς ἱστορίας ἐμφανὲς, καὶ εἰς θεωρίαν ἀναγαγόντες τὸ χρῆμα πνευματικὴν, ἐκεῖνο ἐροῦμεν· Λάκκον ἔοικεν ὀνομάζειν ἡμῖν ἐν τούτοις ὁ νόμος, τῆς θεοπνεύστου Γραφῆς τὴν γνῶσιν, καὶ τὸν περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος λόγον, καὶ τοῦ κατὰ Χριστὸν μυσιηρίου τὴν εἴδησιν· κεῖται γὰρ ὥσπερ ἐν βάθει ταυτὶ, καὶ ζωοποιὸν ἔχει τὴν δύναμιν· καὶ μαρτυρήσει λέγων αὐτὸς ὁ Σωτήρ· «Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.» Οὐκοῦν ὁ συγγράμμασι μὲν τοῖς ἀρχαιοτέροις ἐντυχὼν, καὶ σὺν πόνῳ πολυπραγμονῶν τῆς θεοπνεύστου Γραφῆς τοὺς λόγους, καὶ τὴν ἀκριβῆ τε καὶ ἀκίβδηλον γνῶσιν ἀναζητῶν, πολλὴν ἂν ἔχοι τὴν ἐμφέρειαν πρός γε τὸν ὀρύττοντα λάκκον· ζητεῖ γὰρ ὕδωρ ζωοποιὸν, καὶ πηγὴν εὐφραίνουσαν, καὶ χειμάῤῥουν τρυφῆς· ὁ δέ γε εἰς τοῦτο λοιπὸν συνέσεως ἀφιγμένος, ὡς καὶ ἰδίᾳ δύνασθαι παραδοῦναι συγγραφῇ τοῦ μυστηρίου τὸν λόγον, λατομεῖ λάκκον· καινουργεῖ γὰρ ὥσπερ οὐ τοῖς ἑτέρων ἱδρῶσιν ἐποικοδομῶν, ἀλλὰ τοῖς ἰδίοις ἑαυτόν τε καὶ ἑτέρους ὠφελῶν. Ὀρύττουσι δὲ λάκκους συντετριμμένους, κατὰ τὴν τοῦ προφήτου φωνὴν, καὶ οἱ τῆς ψευδωνύμου γνώσεως ἐρασταί· εἴ τις τοίνυν ὀρύξειε λάκκον, ἀσφαλιζέσθω, φησὶν, μὴ ἄρα τισὶν ὀλέθρου γένοιτο τρόπος, τὸ καλῶς εἰργάσθαι δοκοῦν· δεῖ γὰρ ἡμᾶς ὀρθῶς τε καὶ ἀπηκριβωμένως τὸν περὶ Θεοῦ ποιεῖσθαι λόγον, ὡς μηδενὶ γενέσθαι σκανδάλου πρόφασιν. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ πῶμα ἐπικεῖσθαι τῷ λάκκῳ, τὸ τῆς καθηκούσης ἀσφα 68.532 λείας μὴ ἀμοιρεῖν τὸν λόγον. Ἐὰν γὰρ πέσῃ, φησὶ, βοῦς ἢ ὄνος, ὁ πεπονηκὼς ἀποτίσει. Βοῦν δὲ καὶ ὄνον ὀνομάζει πάλιν οὐχ ἁπλῶς, ἀλλ' ὡς ἐν λόγῳ βαθεῖ· καὶ βοῦν μέν φησιν, ἵνα νοήσῃς τὸ ἱερόν τε καὶ καθαρὸν γένος· ὄνον δὲ, ἵνα συνῇς, τὸ ἀνίερον καὶ ἀκάθαρτον· οὐ γὰρ προσάγεται κατὰ νόμον εἰς θυσίαν Θεῷ τὸ ἀκάθαρτον· ἱερὸν δὲ γένος καὶ καθαρὸν εἶναί φαμεν, τοὺς ἡγιασμένους ἤδη διὰ τῆς πίστεως· ἀνίερον δὲ καὶ ἀκάθαρτον, τοὺς οὔπω κεκαθαρμένους διὰ τοῦ ἁγίου βαπτίσματος, ἀλλ' ἐντετηγμένον ἔχοντες ἔτι τῆς ἁμαρτίας τὸν μολυσμόν. Ὅμοιον οὖν ὡς εἰ λέγοι, Εἴ τι γένοιτο βλάβος, ἢ περί τινα τῶν ἤδη βεβαπτισμένων καὶ κατεσφραγισμένων διὰ τῆς χάριτος εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν, ἤγουν εἴς τινα τυχὸν τῶν οὔπω τοιούτων, ὀφλήσει δίκην ὁ τοῦ σκανδάλου πρόξενος, καὶ αὐτῷ μενεῖ τὸ τεθνηκὸς, τουτέστιν, αὐτοῦ γενήσεται τοῦ παθόντος ὁ θάνατος. Ἀσφαλίζεταί γε γοῦν καὶ αὐτὸς ὁ Σωτὴρ ἡμᾶς λέγων· «Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης.» {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἴδοις δ' ἂν εὐκόλως καὶ δι' ἑτέρων ἡμῖν αἰνιγμάτων παραδηλοῦντα τὸν νόμον σφαλερὸν, ὅτι τὸ πλημμελεῖν καὶ τοῦτο εἰς ἀδελφούς· τὸ γὰρ τύπτειν αὐτῶν ἀσθενοῦσαν τὴν συνείδησιν, εἰς Χριστὸν ἡμῶν ἀναφέρει τὸ πλημμελές. Ἔφη τοίνυν· «Ἐὰν δὲ ἐξελθὸν πῦρ εὕρῃ ἀκάνθας καὶ προσεμπρήσῃ ἅλωνας ἢ στάχυας, ἢ πεδίον, ἀποτίσει τὸ πῦρ ὁ ἐγκαύσας.» Οὐ γάρ τοι προσήκει τοῖς ἀδικεῖν πεφυκόσι συνδιόλλυσθαι τὸ χρηστὸν, οὐδὲ τοῖς ἀγρίοις συνδαπανᾶσθαι τὸ ἥμερον. {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Ἢ γὰρ οὐχὶ ταῖς ἐν ὄρεσί τε καὶ ἐν ἀγροῖς ἀκάνθαις παρεικάζοιτο ἂν εἰκότως τὰ τῶν ἀνοσίων αἱρετικῶν συγγράμματα, καὶ ἡ τῶν παρ' Ἕλλησι δογμάτων τερθρεία; τίς γὰρ ἂν γένοιτο ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐκεῖθεν ἡ ὄνησις, μᾶλλον δὲ ποῖον οὐκ ἔσται βλάβος τοῖς εἰς νοῦν ἐθέλουσιν ἐκεῖνα λαβεῖν; Πυρὸς τοίνυν μόνου τροφὸς, ἡ ἄκανθα, καὶ φλογὸς διατροφή. Ἀνακαίουσι δὲ καὶ φλόγας ἡμῖν τὰς εἰς αἰῶνα καὶ τῶν πεπλανημένων τὰ ἐξίτηλα δόγματα, καὶ τὰ τῶν εἰδωλολατρῶν γραοπρεπῆ μυθάρια· ἄσταχυς δὲ καὶ σῖτος, ἡμερωτάτη τροφὴ, καὶ ἀνθρώποις ἐδώδιμα, καὶ ἀναγκαῖα πρὸς ὄνησιν· συνέχει γὰρ ἡμᾶς εἰς ζωὴν, καὶ τύπος ἂν εἴη τῶν τῆς ἀληθείας δογμάτων, δι' ὧν οἱ πεπιστευκότες ὡς ἄρτῳ ζῶντι τρεφόμεθα καὶ ἀληθινῷ, τῷ Χριστῷ. Ἔστι δὲ αὖ πεδίον λεῖον ὥσπερ τι καὶ ἄτραχυ, τοῖς διαστείχειν εἰδόσιν ὀρθῶς ἡ θεόπνευστος Γραφή· «Πάντα γὰρ ἐνώπιον τοῖς συνιοῦσι,» κατὰ τὸ γεγραμμένον· «καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.» Οὐκοῦν ἄκανθα μὲν ἡ μυσαρωτάτη καὶ βέβηλος ἀθυροστομία τῶν διεστραμμένων· σῖτος δὲ καὶ ἄσταχυς ὁ ψυχωφελής τε καὶ τροφιμώτατος τῆς ἀληθείας λό 68.533 γος· ψιλὸν δὲ πεδίον, ἡ θεόπνευστος Γραφή. Ὅταν τοίνυν οἱά περ φλόγες, ἢ πῦρ τοῖς τῶν ἑτεροδόξων τε καὶ Ἑλλήνων φενακισμοῖς οἱ τῶν ἁγίων μυσταγωγῶν ἐπιφύοιντο λόγοι, τοῖς τῆς ἀληθείας συνηγοροῦντες δόγμασι, καὶ τὰ κατὰ μόνης ἰόντων ἀκάνθης φησὶ, καὶ καταφλεγόντων μὲν ὡς ἄχρηστον καὶ ἀγρίαν ὕλην, τὰ παρ' ἐκείνοις συγγράμματα, μὴ συναδικούντων δὲ σῖτον ἢ ἄσταχυν, τουτέστιν, νηφέτωσαν οἱ μυσταγωγοὶ, μὴ ἄρα τι καταπημήνειαν τῶν τῆς ἀληθείας δογμάτων· ἢ ἴστω, φησὶν, ὁ σὺν ἀσφαλείᾳ τοῦτο δρᾷν οὐκ ἀνεχόμενος, ὡς εἴπερ τι γένοιτο συγκαταφλεχθῆναι τοῖς φαύλοις τῶν ἀναγκαίων εἰς ὄνησιν, ἀποτίσει τῆς ἀπροσεξίας τοὺς λόγους. Αἰσθάνῃ δὴ οὖν ὅσην ἡμᾶς ποιεῖσθαι τὴν ἐπιτήρησιν προστέταχεν ὁ νομοθετῶν, τῆς εἰς ἀδελφοὺς ἀγάπης τὸ εἰλικρινὲς ἀθόλωτον ἀποσώζων πανταχῇ; {ΠΑΛΛ.} Συνίημι.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

Ἔτι περὶ ἀγάπης τῆς εἰς ἀδελφοὺς, καὶ κατὰ τοῦ κλέπτοντος μόσχον ἢ πρόβατον. Πανταχόθεν δὴ οὖν, ὦ Παλλάδιε, πάρα σοι νοεῖν, ὡς ὀρθούς τε καὶ ἀκριβεῖς ἄγαν ποιεῖσθαι κελεύει τῆς μυσταγωγίας τοὺς λόγους καὶ ὁ πάλαι νόμος. Οὐκ ἀζήμιον δὲ τοῖς ἐξαπατᾷν εἰωθόσι τῶν ἁπλουστέρων τινὰς τὸ χρῆμα τιθεὶς, ἔφη πάλιν· «Ἐὰν δέ τις κλέψῃ μόσχον ἢ πρόβατον, καὶ σφάξῃ ἢ ἀποδῶται, πέντε μόσχους ἀποτίσει ἀντὶ τοῦ μόσχου, καὶ τέσσαρα πρόβατα ἀντὶ τοῦ προβάτου. Ἐὰν δὲ ἐν τῷ διορύγματι εὑρεθῇ ὁ κλέπτης, καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν αὐτῷ φόνος· ἐὰν δὲ ἀνατείλῃ ὁ ἥλιος ἐπ' αὐτῷ, ἔνοχος ἔσται, ἀνταποθανεῖται. Ἐὰν δὲ μὴ ὑπάρχῃ αὐτῷ, πραθήτω ἀντὶ τοῦ κλέμματος· ἐὰν δὲ καταληφθῇ καὶ εὑρεθῇ ἐν τῇ χειρὶ αὐτοῦ κλέμμα, ἀπό τε ὄνου καὶ ἕως προβάτου ζῶντα, διπλᾶ ἀποτίσει αὐτά.» 68.536


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

{ΠΑΛΛ.} Οὐ σφόδρα σαφὴς ὁ λόγος. Σὺ δὲ ὅ τί ποτέ ἐστι τὸ ὡς ἐν αἰνίγματι χρησμῳδούμενον, πειρῶ μοι λέγειν. {ΚΥΡ.} Ζημίαν ὁ νόμος καθορίζει χρησίμως τοῦ πλεονεκτεῖν ἐθέλοντος, καὶ ἀνασειράζει τρόπον τινὰ τὸν ἀκάθεκτον εἰς ἐπιθυμίαν, ὧν ἂν ἔχοι τυχὸν ἢ γείτων, ἢ ἀδελφὸς, ὥστε κἂν εἰ γένοιτο, φησὶν, ἐν αὐτῷ τεθνάναι τῷ κλέπτειν τὸν ἐπὶ τῷδε κατεγνωσμένον, οὐδένα τοῖς ἀνῃρηκόσι προστρίβεσθαι μῶμον. Ἀτιμᾷ δὲ καὶ λέγων, ὅτι προσήκει πιπράσκειν αὐτὸν, εἰ μὴ πρὸς λύτρων ἀντέχοι καταβολὴν, εἴς γε τὸ χρῆναι βιοῦν ἑλέσθαι καλῶς συνελαύνων τοῖς δείμασι. Νοῦς γε μὴν τῆς ἱστορίας ὁ κεκρυμμένος ἕτερος ἂν εἴη παρὰ τοῦτον πολὺ, καὶ δεῖ καὶ λέγειν ἡμᾶς ὡς ἔνι καλῶς. Μόσχος μὲν δὴ καὶ πρόβατον, καθαρά τε ἄμφω καὶ ἱερὰ, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνακομιζόμενα τῷ Θεῷ. Ἀλλ' ὁ μὲν μόσχος ἐν ὑπεροχῇ καὶ μεγέθει σώματος· θάτερόν γε μὴν, οὐχ οὕτω. Μόσχου γὰρ μεῖον τὸ πρόβατον. Μόσχοι δὴ οὖν καὶ πρόβατα ὥσπερ τινὰ ζῶα καθαρά τε καὶ ἱερώτατα, τῶν διὰ πίστεως δεδικαιωμένων ἡ ἁγία πληθὺς, καὶ διχηλοῦντες ὁπλὴν, καὶ μηρυκισμὸν ἀνάγοντες, κατὰ τὸν νόμον, καὶ καρπῶν ἡμέρων ἐργάται· γηπονεῖ γὰρ ὁ μόσχος· ἔγκαρπον δὲ καὶ τὸ πρόβατον, καὶ ἐνσεσήκασται μὲν ταῖς θείαις αὐλαῖς, τουτέστιν, ἐν ἐκκλησίαις ἡ τῶν κεκλημένων ἀγέλη· πολλοὶ δὲ λίαν οἱ κλέπται περὶ αὐτὴν, διορύττοντες τε καὶ παρεισδύνοντες, καὶ πολυτρόποις φενακισμοῖς τὰς τῶν ἁπλουστέρων ψυχὰς ἐξέλκοντες, καὶ μονονουχὶ καταπιπράσκοντες τῷ ὀλοθρεύοντι Σατανᾷ· πλὴν ὁ δεδρακώς τι τοιοῦτον, πέντε μόσχους ἀποτίσει, φησὶν, ἀνθ' ἑνὸς, καὶ τέσσαρα πρόβατα ἀντὶ τοῦ προβάτου· πενταπλασίονα μὲν γὰρ ἐπὶ τῷ μόσχῳ, τῷ κεκλοφότι τὴν δίκην, τετραπλασίονα δὲ δεῖν ἐφ' ἑνὶ προβάτῳ γενέσθαι φησὶ, κατὰ τὸ μέτρον, οἶμαί που, τῆς πνευματικῆς κατ' ἀρετὴν ποσότητος, τῶν ἀπολλυμένων ἐπιθεὶς τὴν κόλασιν. Τύπος δ' ἂν εἴη καὶ σκιὰ τῆς ἐν ἀρετῇ ποσότητος, ἡ σωματική· τὸ γάρτοι μεῖζον ἢ μεῖον ἐν ἐπιεικείαις, ἀταλαίπωρον ἰδεῖν ἔν γε τοῖς πεπιστευκόσιν, ἐπεὶ μὴ ἐν ἴσῳ πάντες τυχόν· «Ἀλλ' ἕκαστος ἡμῶν ἴδιον ἔχει χάρισμα ἐκ Θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως.» Εἰ δὲ δὴ κλέπτων τε καὶ διορύττων ἔτι, καὶ τὰ τῆς λῃστείας ἔργα πληρῶν, ὡς ἐν νυκτί τε καὶ σκότῳ καταφωραθείη, φησὶ, καὶ ἐκτεθνάτω τότε· καὶ τὸ χρῆμα, οὐ φόνος, οὐδὲ τῷ δράσαντι γραφή. Πλεονέκτης γὰρ καὶ βίαιος ὁ πεσὼν, καὶ πολέμου τέτρωται νόμῳ· ἡλίου δὲ ἀνατείλαντος, καὶ παρελάσαντος ἤδη τοῦ τῆς λῃστείας καιροῦ, τὴν τοῦ πλήττοντος εἴργει χεῖρα, καὶ φόνου γραφὴν καθορίζει τοῦ τολμήματος. Ἕως μὲν γὰρ ὁ κλέπτης ὁ νοητὸς, τὴν τοῦ πιστεύσαντος εἰς Χριστὸν καταλωβᾶται ψυχὴν, καὶ ἀγάπης ἐξέλκει τῆς εἰς Θεὸν, εἰ ἐν αὐτοῖς ἁλοίη τοῖς πλημμελήμασι, πάθοι ἂν οὐκ ἀδίκως καὶ τὸ ἐκτεθνάναι δεῖν· ψυχὴν γὰρ ἀπέκτεινε, τὴν ἀμείνω σώματος· ἡλίου δὲ ἀνατείλαντος καὶ αὐτῷ κατὰ νοῦν, καὶ διαυγαζούσης ὡς ἐν τάξει φωτὸς καὶ ἡμέρας, τῆς ἀληθοῦς γνώσεως, 68.537 κινδυνεύειν οὐκ ἐᾷ, κολάζεται γὰρ τὰ νυκτὸς ἔργα καὶ σκότους, τὰ δὲ ὡς ἐν φωτὶ λοιπὸν, οὐκ ἔτι. Ἀνεῖσθαι δὲ τῶν ἀρχαίων ἐγκλημάτων, καὶ τῶν ἐν ἀγνοίᾳ καὶ σκότῳ, δεδικαίωκε Θεός. Καὶ δὴ καὶ λεγέσθω τοῖς ἐξ ἁμαρτίας εἰς φῶς ἀφιγμένοις τὸ νοητὸν, «Ἦτέ ποτε σκότος, νυνὶ δὲ φῶς ἐν Κυρίῳ.» Οὕτω δεδικαίωκεν ὁ Κύριος καὶ τὸν θεσπέσιον Παῦλον, τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν· καθ' ὑπερβολὴν γὰρ ἐδίωκε τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθει αὐτήν. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Ἐὰν δὲ μὴ δύνηται, φησὶ, πέντε μόσχους ἀνθ' ἑνὸς, καὶ πρόβατα τέσσαρα ἀνθ' ἑνὸς, πραθήτω ἀντὶ τοῦ κλέμματος. Ὁρᾷς ὅπως ἀτιμίαν ὁ νόμος τὴν δουλοπρεπῆ καταγράφει σαφῶς τῶν διηνεκῆ καὶ ἀνέκνιπτον ἐχόντων τὴν ἁμαρτίαν, καὶ μηδ', ὅσον εἰπεῖν, λύτροις ἀποκρούεσθαι τὰ ἐγκλήματα δυναμένων, διά τε τὸ τῆς γνώμης ἀσθενὲς οὐκ ἀνεχομένων ἱδροῦν εἰς μετάγνωσιν, καὶ διὰ τῶν εἰς τοῦτο πόνων ἐκμειλίττεσθαι Θεόν; Πιπράσκεσθαι δὴ οὖν εὖ μάλα φησίν. Ἐναριθμεῖσθαι γὰρ οὐκ ἐᾷ τοῖς διὰ τῆς θείας χάριτος ἠλευθερωμένοις, τοὺς οὕτω μεμολυσμένους. Ἐξωθούμενοι δὲ τῆς τοῖς ἐλευθέροις πρεπούσης τιμῆς, ἀκούσονται καὶ αὐτοί· «Ἰδοὺ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταῖς ἀνομίαις ὑμῶν ἐπράθητε.» Εἰ δὲ κεκλοφὼς μὲν ἁλοίη, φησὶν, οὔπω δὲ ἀνελὼν, τουτέστιν, εἰ φενακισμοῦ καὶ ἀπάτης ἀρξάμενος τῆς εἰς ἑτέρους καταλαμβάνοιτό τις τῶν ἑτεροδοξεῖν εἰωθότων, νενικηκὼς δὲ οὔπω καὶ κατακομίσας εἰς ὄλεθρον τοὺς ἀκροωμένους, ἀποτίσει διπλᾶ. Ἀναλήψεται γὰρ τὸ οἰκεῖον ὁ τῆς ἀγέλης δεσπότης, προσεξαιτηθήσεται δὲ καὶ λόγους ὁ βωμολόχος· τοῦτο γὰρ ἂν εἴη τὸ ἐν διπλῷ· καὶ ζημίαν ὑπομενεῖ τὴν εἰς θάνατον. Ὃ γὰρ ἠθέλησε δρᾷν εἰς ἑτέρους, πάθοι ἂν αὐτὸς καὶ μάλα εἰκότως. {ΠΑΛΛ.} Ὡς ὀλέθριόν τε καὶ πάνδεινον ἀληθῶς τῶν φενάκων τὸ χρῆμα, περὶ ὧν οἶμαί που καὶ αὐτὸν προαγορεῦσαι Χριστόν· «Προσέχετε ἀπὸ τῶν ἐρχομένων πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.» {ΚΥΡ.} Ὀρθῶς οὖν ὁ νόμος ὡς θηρῶν ἀγρίων, τὸ ἐκτεθνάναι δεῖν παντὸς τοιοῦδε καταψηφίζεται. Γέγραπται γὰρ ἐν μὲν τῇ Ἐξόδῳ· «Ἐὰν κλέψῃ τίς τινα τῶν υἱῶν Ἰσραὴλ, καὶ καταδυναστεύσας αὐτὸν ἀποδῶται, καὶ εὑρεθῇ ἐν αὐτῷ, θανάτῳ τελευτάτω.» Ἐν δέ γε τῷ Δευτερονομίῳ· «Ἐὰν δὲ ἁλῷ ἄν-θρωπος κλέπτων ψυχὴν ἐκ τῶν ἀδελφῶν αὐτοῦ, τῶν υἱῶν Ἰσραὴλ, καὶ καταδυναστεύσας αὐτὸν ἀποδῶται, ἀποθανεῖται ὁ κλέπτης ἐκεῖνος.» Οὐ γάρ τοι θέμις τὸ ἱερὸν ἐν Χριστῷ καταδῃοῦσθαι γένος, καὶ εἰς δουλείαν οὐκ ἐντριβῆ κατακομίζεσθαί ποι παρά γε τῶν τοῦτο δρᾷν εἰωθότων· ὥσπερ γὰρ οἱ τὰ μειράκια φενακίζοντες, πόλεώς τε καὶ οἰκιῶν ἀπονοσφίζουσι, καὶ αὐχημάτων αὐτὰ τῶν ἐλευθέρων ἐκπέμποντες, τοῖς τῆς ἀναγκαίας δουλείας ὑποφέρουσι ζυγοῖς· τὸν αὐτὸν, οἶμαι, τρόπον, οἱ τοὺς ὀρθὰ φρονεῖν ἑλομένους, καὶ τὸν ἐλευθέροις πρέποντα βίον ἐπιτηδεύοντας, ἐπὶ 68.540 τὸ σφίσιν αὐτοῖς ἀνοητότατα δοκοῦν, πολυπλόκοις ἐννοιῶν ἀπάταις ἀποκομίζοντες, λῃστείας εἰκότως τῆς ἐπὶ ψυχαῖς ἀνθρώπων, ὑπομενοῦσι τὴν γραφήν· ποινὴ δὲ αὐτοῖς ὁ θάνατος. Τοῖς τοιούτοις, μηδὲ «Χαίρειν λέγετε,» φησὶ τοῦ Σωτῆρος ὁ μαθητὴς, οὐκ εἰς τρόπων ἡμᾶς ἀγριότητα παιδαγωγῶν, ἀλλ' ὅτι τῷ λύκῳ τὸ πρόβατον εἰς διαθέσεις οὐκ ἐπιτήδειον· ἀσύμβατα δὲ ὥσπερ ἀλλήλοιν, τὰ ἑτερογνωμονεῖν εἰωθότα· «Τίς γὰρ μερὶς πιστῷ μετὰ ἀπίστου;» Καὶ πρός γε δὴ τούτοις, τοῖς πόρνοις τοῦ αἰῶνος τούτου μὴ συναναπλέκεσθαι δεῖν, ὁ θεσπέσιος Παῦλος γράφει. Ἵνα τοίνυν μὴ καθάπερ ἐκ πατρῴας ἑστίας τῆς Ἐκκλησίας τοῦ Θεοῦ καθαρπάζοιντό τινες, καὶ εἰς ἐκκλησίας ἀποφέροιντο πονηρευομένων, ταῖς εἰς φαυλότητα παρατροπαῖς τὸν οἰκεῖον ὥσπερ καταπιπράσκοντες νοῦν, «Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαὶ,» θάνατον ὁρίζει τὴν δίκην ὁ νόμος τοῖς τοῦτο δρᾷν ἀνοσιώτατα προτεθυμημένοις. Ἴδοις δ' ἂν αὐτὸ πλαγίως ἡμῖν ὑποφαίνοντα πάλιν νόμον, καὶ δι' ἑτέρου χρησμῳδήματος. Καταρυθμίζει γὰρ ἐπὶ τὸ ἔχον ὀρθῶς τὰ ἐν κόσμῳ πράγματα, διὰ τῆς ἐμφανεστέρας καὶ ἑτοίμης ἑλεῖν τοῖς ἐθέλουσι θεωρίας. Οὐ γάρ τοι τὴν ἱστορίαν ἔν γε τοῖς ὅτι μάλιστα χρησίμοις ὡς ἕωλον ἀναιρήσομεν. Ὀνήσει γὰρ ἔσθ' ὅτε καὶ αὐτὸ τὸ γράμμα τοὺς ἀκροωμένους, ὠδίνει δὲ ὥσπερ ἐν βάθει τὰ πνευματικὰ, καὶ τῶν ἰσχνοτέρων ἐννοιῶν τὴν δύναμιν ὡς ἐν σκιαῖς ἔχει λεπταῖς. Ἔφη δὲ ἐν τῇ Ἐξόδῳ πάλιν· «Ἐὰν δέ τις ἀπατήσῃ παρ-θένον ἀμνήστευτον, καὶ κοιμηθῇ μετ' αὐτῆς, φερνῇ φερνιεῖ αὐτὴν ἑαυτῷ γυναῖκα. Ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ, καὶ μὴ βούληται ὁ πατὴρ αὐτῆς δοῦναι αὐτὴν αὐτῷ γυναῖκα, ἀργύριον ἀποτίσει τῷ πατρὶ καθ' ὅσον ἐστὶν ἡ φερνὴ τῶν παρθένων.» Ἀνευρύνων δὲ ὥσπερ ἡμῖν τὴν θείαν ἐντολὴν, ὁ θεσπέσιος Μωσῆς ἐν τῷ Δευτερονομίῳ φησίν· «Ἐὰν δὲ εὑ-ρεθῇ ἄνθρωπος κοιμώμενος μετὰ γυναικὸς συνωκισμένης ἀνδρὶ, ἀποκτενεῖτε ἀμφοτέρους, τὸν ἄνδρα τὸν κοιμώμενον μετὰ τῆς γυναικὸς, καὶ τὴν γυναῖκα, καὶ ἐξαρεῖς τὸ πονηρὸν ἐξ υἱῶν Ἰσραήλ. Ἐὰν δὲ γένηται παρθένος μεμνηστευμένη ἀνδρὶ, καὶ εὑρὼν αὐτὴν ἄνθρωπος ἐν πόλει, κοιμηθῇ μετ' αὐτῆς, ἐξάξετε ἀμφοτέρους ἐπὶ τὴν πύλην τῆς πόλεως αὐτῶν, καὶ λιθοβοληθήσονται ἐν λίθοις, καὶ ἀποθανοῦνται· τὴν νεάνιν, ὅτι οὐκ ἐβόησεν ἐν τῇ πόλει, καὶ τὸν ἄνθρωπον, ὅτι ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ· καὶ ἐξαρεῖτε τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν. Ἐὰν δὲ ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πεδίῳ εὕρῃ ἄνθρωπος τὴν μεμνηστευμένην, καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, ἀποκτενεῖτε τὸν ἄνθρωπον, τὸν κοιμώμενον μετ' αὐτῆς, μόνον· τῇ δὲ νεάνιδι ποιήσετε οὐδὲν, οὐκ ἔσται τῇ νεάνιδι ἁμάρτημα θανάτου, ὅτι ὡς εἴ τις ἐπαναστῇ ἄνθρωπος ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ φονεύσῃ αὐτοῦ τὴν ψυχήν, οὕτως τὸ πρᾶγμα τοῦτο, ὅτι ἐν τῷ ἀγρῷ εὗρεν αὐτὴν, ἐβόησεν ἡ νεάνις ἡ μεμνηστευμένη, καὶ ὁ βοηθήσων οὐκ ἦν αὐτῇ.» Τὸ μὲν οὖν τῆς ἱστορίας, οὐδενὸς οἶμαί που δεήσεσθαι λόγου, πρὸς τὸ συνιέναι δύνασθαί τισι· σαφῆ γὰρ λίαν καὶ ἐναργῆ. 68.541 Δεῖ δὲ ἡμᾶς, ὡς ἔοικε, ταυτὶ μεθέντας εἰς τὸ παρὸν, τὴν ἔσω τε καὶ κεκρυμμένην ἰέναι τρίβον. {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Φημὶ δὴ οὖν, ὅτι ὥσπερ ἐν τοῖς εἰς γυναῖκα πλημμελήμασι, τὸ πάντων ἂν εἴη παγχάλεπον, ἡ μοιχεία, τὸν ἑτέρου τινὸς παραλύουσα γάμον, καὶ τῶν ἤδη συνημμένων ποιοῦσα διάζευξιν, κατὰ τὸν αὐτὸν, οἶμαι, τουτονὶ τρόπον, τῶν εἰς ἀνθρωπίνας ψυχὰς αἰτιαμάτων, τὸ πάντων μάλιστά ἐστι δυσσεβέστερόν τε καὶ ἀφορητότερον, τὸ ἐπιτηδεῦσαι τὴν παραφθορὰν, οὐκ εἰς τὴν τυχοῦσαν ἁπλῶς, ἀλλὰ εἰς τὴν ἤδη τρόπον τινὰ συνῳκισμένην καὶ ἑνωθεῖσαν Χριστῷ, τῷ ἄνωθέν τε καὶ ἐξ οὐρανοῦ νυμφίῳ· ἑνούμεθα γὰρ αὐτῷ διά τε τῆς πίστεως, καὶ προσέτι, τοῦ μεταλαχεῖν ἁγίου Πνεύματος· «Ὁ γὰρ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι,» κατὰ τὰς Γραφάς. Θανάτῳ δὴ οὖν ὁ νόμος τιμᾶται δικαίως ὁμοῦ τῷ μοιχεύσαντι τὴν πεπορνευμένην, καὶ τὸν μὲν ὡς ἐνιέντα τῆς ἑνούσης αὐτῷ δυσσεβείας τὰ σπέρματα, τὴν δὲ, ὅτι τὸν τῆς γνησιότητος ἀτιμάζουσα νόμον, ἑτέρῳ γέγονε, καὶ ταῖς ἐκείνου παραφθοραῖς ἁπλοῦσα τὸν νοῦν, τὸν ἐξ ἀνθρωπίνων εὑρημάτων εἰσεδέξατο μολυσμόν. {ΠΑΛΛ.} Πιθανὸς ὁ λόγος. {ΚΥΡ.} Γυναικὶ μὲν οὖν, ἀνδρὶ κατὰ νόμους συνῳκισμένῃ, παρεικαστέον εὖ μάλα τὴν διὰ πίστεώς τε καὶ Πνεύματος Χριστῷ συνῳκισμένην καὶ ἑνωθεῖσαν ψυχήν. Παρθένον δὲ εἶναι μεμνηστευμένην λογιούμεθα, τὴν κεκλημένην εἰς ἀρχὰς γνώσεως ἀληθοῦς, οὔπω δὲ ὁλοτελῶς ἑνωθεῖσαν Χριστῷ, περιμένουσάν τε ἔτι καθάπερ τινὰ γάμον καὶ συναφείας τρόπον τὸν ἀληθέστερον, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος χάριν, καὶ τὴν τοῦ ἁγίου Πνεύματος μέθεξιν, ἀῤῥαβῶνά γε μὴν, καὶ ὁμιλίας ὥσπερ ἀρχὴν, τὸν τῆς κατηχήσεως λόγον εἰσδεδεγμένην. Οὕτω τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ὁ θεῖος ἡμῖν μυσταγωγὸς, Παῦλος δὲ οὗτος, παρεκόμισε τῷ Χριστῷ· γράφει γὰρ ὧδε· «Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ.» Καὶ αὐτὸς δέ πού φησιν ὁ Νυμφίος διὰ φωνῆς προφητῶν· «Καὶ μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα, ἐν δικαιοσύνῃ, καὶ ἐν κρίματι, καὶ ἐν ἐλέῳ, καὶ ἐν οἰκτιρμοῖς· καὶ μνηστεύσομαί σε ἐν πίστει, καὶ ἐπιγνώσῃ τὸν Κύριον.» Εἰ τοίνυν γένοιτο, φησὶ, τῆς παραφθορᾶς τὰ ἐγκλήματα, καὶ ἐπί τινι τοιᾷδε ψυχῇ, μοιχείᾳ γεγράφθω τὸ χρῆμα· ὑπόχρεως γὰρ ἡ μεμνηστευμένη, καὶ ὑπὸ χεῖρα λοιπὸν τοῦ μετὰ βραχὺ νυμφίου. Ἀλλ' εἰ μὲν ἐν πόλει γένοιτο τὸ ἀδίκημα, φησὶ, τουτέστιν, ἢ ἐν Ἐκκλησίᾳ Χριστοῦ, καὶ ἐν πόλει Θεοῦ ζῶντος, ἣν κατοικοῦσιν ἄγγελοι, καὶ ἄνδρες ἅγιοι, καθηγηταὶ καὶ διδάσκαλοι τοῖς κινδυνεύουσι, καὶ ἀπατωμένοις ἐπαμύνειν οἷοί τε, συναποτεθνάτω τῷ φένακι καὶ ἡ παθοῦσα παρθένος. Ἐξὸν γὰρ ἑτοίμως διαδράναι τὴν παραφθορὰν, εἰ τοῖς διασώζειν εἰδόσι καταμεμήνυκε διδασκάλοις, ἐθελούσιον ἠῤῥώστησε τὸ παθεῖν, καὶ οὐκ ἐξ ἀνάγκης ἔχει τὴν εἰς τὸ φαῦλον ἀπαγωγήν. Εἰ δὲ δὴ μὴ γένοιτο, φησὶν, ἐν Ἐκκλησίᾳ, μηδὲ ἐν 68.544 πόλει Θεοῦ ζῶντος, ἀλλ' ὥσπερ ἐν πεδίῳ καὶ ἐν ἀγρῷ, οὗ μυσταγωγὸς ὁ ἐπαμύνων οὐκ ἦν, καὶ τῶν μεταπείθειν ἐπὶ τὸ ἄμεινον εἰωθότων ἐρημία πολλὴ, καὶ ὡς ἐν σπάνει παιδαγωγῶν ὁ φενακισμὸς, κινδυνευέτω μόνος ὁ βιασάμενος· πλεονεξία γὰρ ἤδη τὸ δρώμενον καὶ πάθος ἀνεπικούρητον, καὶ ἀνάγκη τις δυσδιάφυκτος, παρακρούσεται τὴν γραφήν· ἢ τοῖς ἀβουλήτως ἐπενηνεγμένοις ὡς ἀκουσίοις, ἐπιτιμᾷν οὐ περιττὸν εἶναι φήσομεν; {ΠΑΛΛ.} Παντάπασι μὲν οὖν· ὅσιος γὰρ ὁ νόμος. {ΚΥΡ.} Εὖ λέγεις· ἰσχνοτέραν δὲ τῶν δρωμένων ποιεῖ τὴν βάσανον, καὶ ἐπιμετρεῖ τρόπον τινὰ τοῖς πλημμελήμασι τὰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀργὰς, οὔτε τοῦ κολάζεσθαι δεῖν ἀπαλλάττων εἰσάπαν τὸ ἐπὶ τοῖς μείοσι πλημμελὲς, οὔτε μὴν ἐν ἴσῳ τοῖς ὑπὲρ τοῦτο τιθεὶς, ἰσομεγέθη δὲ ὥσπερ τοῖς αἰτιάμασιν ἀποτορνεύων τὴν κίνησιν. Ἔφη γὰρ πάλιν· «Ἐὰν δέ τις εὕρῃ τὴν παῖδα τὴν παρθένον, ἥτις οὐ μεμνήστευται, καὶ βιασάμενος αὐτὴν κοιμηθῇ μετ' αὐτῆς, καὶ εὑρεθῇ, δώσει ὁ ἄνθρωπος ὁ κοιμηθεὶς μετ' αὐτῆς τῷ πατρὶ τῆς νεάνιδος πεντήκοντα δίδραχμα ἀργυρίου, καὶ αὐτοῦ ἔσται γυνὴ, ἀνθ' ὧν ἐταπείνωσεν αὐτήν· οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον.» Μοιχεία μὲν οὖν ὑπόχρεω κατεστήσατο τὸν συνόντα μεμνηστευμένῃ, κατὰ τρόπους δὲ δηλονότι τοὺς ἤδη προειρημένους. Εἰ δὲ δὴ φαίνοιτο, φησὶ, καὶ ἀσυναφὴς ἔτι, κατεγγυηθεῖσα δὲ οὔπω Χριστῷ διὰ τῆς πίστεως, ὡς ἐν εἴδει παρθένου ψυχὴ, εἶτά τις αὐτὴν τοῖς εἰς δυσσέβειαν λόγοις καταμιάνας ἁλῷ, καὶ παρενεγκὼν ἐκ πλάνης εἰς πλάνησιν, ὁποῖόν τι δρῶσιν αἱρετικοὶ, τοὺς ἐξ ἐθνῶν ἔσθ' ὅτε καὶ Ἰουδαίων ἁρπάζοντες, ἕπεσθαί τε σφίσιν αὐτοῖς ἀναπείθοντες, οὐκ ἀζήμιον εὑρήσει τὸ ἐγχείρημα. Ἀποτίσει γὰρ τῷ πατρὶ τῶν πνευμάτων, τουτέστι, τῷ Θεῷ, τῆς πλημμελείας τοὺς λόγους, ὡς ἐν ζημίᾳ χρημάτων ὑποτυπουμένης εὖ μάλα. Τὸ δὲ, Αὐτοῦ ἔσται γυνὴ, τῇ ἱστορίᾳ χρήσιμον. {ΠΑΛΛ.} Συνίημι ὃ φής· διπλοῦς γὰρ ὁ νόμος· σαρκικός τε καὶ πνευματικός. {ΚΥΡ.} Ἐπιτήρει δὲ, ὅπως οὐδὲ ὁ τῆς ἀρχαίας ἐντολῆς ἠγνόησε λόγος, ὅπερ ἔφη Χριστὸς ἀνδρός τε πέρι καὶ γυναικός· «Ὃ οὖν Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.» Αὐτοῦ γὰρ ἔστω γυνὴ, φησὶν, ἀνθ' ὧν ἐταπείνωσεν αὐτήν· οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον. Καὶ πρός γε τούτῳ, διανοοῦ τῆς πανάγνου παρθενίας, ὁπόσον ἐστὶ τὸ ὡς ἐν αὐχήμασιν ὑψηλόν· ταπείνωσιν γὰρ οἶδέ τε καὶ ὀνομάζειν ἀξιοῖ τῆς θεοπνεύστου Γραφῆς ὁ λόγος, τὴν διαπαρθένευσιν, καὶ οἱονεὶ τῆς σεμνότητος τὴν ἀπόθεσιν. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἀποφήσας δὴ οὖν ὡς θεομισῆ καὶ ἀνόσιον ἀληθῶς τὸν τῶν ἑτεροδόξων φενακισμὸν, καὶ τὴν εἰς φαυλότητα παρατροπὴν τῶν παραφθείρειν εἰωθότων τοὺς ὀρθοποδεῖν ᾑρημένους, καὶ τὴν ἐφ' ἃ μὴ προσ 68.545
ῆκεν ἀπαγωγὴν, ἐπινενόηκέ τι καὶ ἕτερον, ὃ δὴ καὶ αὐτὸς ἡμῖν ὁ θεσπέσιος Παῦλος μαθημάτων ἄριστον ἐποιεῖτο, λέγων· «Μὴ λογομαχεῖν ἐπ' οὐδενὶ χρησίμῳ, ἢ ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.» Αἱ γὰρ περιτταὶ διαλέξεις, καὶ τὸ φιλόνεικον κομιδῇ περὶ ζητήσεις, οὐκ ἀναγκαίας γεννῶσι μάχας, καὶ τὸν τῶν ἀκροωμένων τύπτουσι νοῦν· οἱ μὲν γὰρ, ἐξ ἐλαφρίας, τὸ μὴ ὀρθῶς ἔχον τε καὶ εἰρημένον ἔσθ' ὅτε προαλῶς τε καὶ ἀμαθῶς εἰσδέχονταί τε καὶ ἐπαινεῖν σπουδάζουσιν· οἱ δὲ, τοῖς ἀρίστοις τὴν αἰσχίω ψῆφον ἐπάγοντες, τὴν ἴσην τοῖς ἄλλοις ἠῤῥωστηκότες ἀπαιδευσίαν, ἁλοῖεν ἄν· ὀλίγοι δὲ παντελῶς οἱ διακρίνειν εἰδότες, καὶ τοῦ κατασίνεσθαι πεφυκότος προτάττειν τὸ ὠφελοῦν. Ἄπληγα δὲ τὸν νοῦν οὗτοι διατηροῦσι μόλις ἐν ταῖς τῶν ἑτέρων λογομαχίαις. Οὐκοῦν ὡς ἔσται τὸ χρῆμα τοῖς δρᾷν ἐθέλουσιν οὐκ ἀζήμιον, ὑπαινίττεται πάλιν ἡμῖν ὁ νόμος, λέγων· «Ἐὰν δὲ μάχωνται δύο ἄνδρες, καὶ πατάξωσι γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται, καθότι ἂν ἐπιβάλῃ ὁ ἀνὴρ τῆς γυναικὸς, καὶ δώσει μετὰ ἀξιώματος. Ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς.» Λόγος μὲν οὖν, ἐν μήτρᾳ τὸ ἔμβρυον, ἀνθρωποειδὲς ὁρᾶσθαι μόλις, καὶ εἰς τύπον ἰέναι τοῦ καθ' ἡμᾶς σώματος τότε, ὅτε καὶ ἀριθμὸς ἐπ' αὐτῷ τεσσαρακοστῆς ἡμέρας διαπεραίνεται. Ταύτῃτοί φασι Μωσέα μὲν τὸν πανάριστον ἐκ τῆς ἐν Αἰγύπτῳ πλάνης οἱονεί πως ἀνωδίνοντά τε καὶ ἀναμορφοῦντα τὸν Ἰσραὴλ εἰς τὴν ἐν νόμῳ ζωὴν, σιτίων ἀπέχεσθαι καὶ ποτῶν· «Ἄρτον γὰρ, φησὶν, οὐκ ἔφαγον, καὶ ὕδωρ οὐκ ἔπιον τεσσαράκοντα ἡμέρας.» Καὶ εἰς ἡμᾶς δὲ αὐτοὺς, ὑποτοπητέον δράσαι τε τοῦτο καὶ ὑπομεῖναι Χριστόν. Ἀνεμορφοῦτο γὰρ ἐν αὐτῷ πρὸς ἁγιασμὸν δι' ἐγκρατείας ἡ φύσις, ἐξ ἀκρατοῦς ὀρέξεως ἐν ἀρχαῖς ἐν τῷ πρωτοπλάστῳ τὸν εἰς ἁμαρτίαν καὶ παράβασιν ἀῤῥωστήσασα μολυσμόν. Ταυτὶ μὲν ἡμᾶς οὐκ ἀπίθανον ἐννοεῖν· πλὴν, ὅπως ποτ' ἂν ἔχοι τῆς ἱστορίας ὁ λόγος, παρείσθω νυνί· πῶς δ' ἂν νοεῖσθαι πρέποι, τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γυναῖκα πλήττεσθαι τὴν ἐν γαστρὶ ἔχουσαν, πρὸς τῶν εἰωθότων λογομαχεῖν, φέρε δὴ, φέρε διασκεπτώμεθα· τὸ γάρ τοι λίαν ἰσχνομυθεῖν ἔν γε δὴ τούτοις, οὐκ ἀτερπές. Οὐκοῦν καρπὸς ἂν εἴη καὶ κύημα νοῦ, πίστις ἡ εἰς Χριστὸν, δι' ἐντελοῦς ἡμᾶς γνώσεως ἀναπλάττουσα πρὸς αὐτὸν, καὶ εἰς θεῖον διαμορφοῦσα τύπον· καὶ γοῦν οἱ πεπιστευκότες διὰ φωνῆς Ἡσαΐου, τοῦτο, οἶμαί που, κατασημαίνοντες, εὖ μάλα κατακεκράγασι· «Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν, πνεῦμα σωτηρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς.» Οὐκοῦν καρπὸς ἂν εἴη καὶ κύημα νοῦ τὸ πνευματικὸν καὶ σωτήριον, πίστις ἡ εἰς Χριστὸν, ἣ καὶ τοὺς θείους ἡμῖν χαρακτῆρας ἐνσημαίνεται. Τοῖς γοῦν ἐκ τελεωτέρας γνώσεως μετεῤῥυηκόσιν ἀμαθῶς εἰς τὴν μείω τε καὶ ἀτελεστέραν, Γαλάται δὲ οὗτοι, προσεφώνει λέγων ὁ θεσπέσιος Παῦλος· «Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.» Ἐναρξάμενοι γὰρ πνεύματι, τὴν 68.548 κατὰ σάρκα τελείωσιν ἐπετήδευον, εἰς τὴν τοῦ νόμου λατρείαν μετενηνεγμένοι· ταύτητοι καὶ ἀτελεσφόρητον ἐν ἑαυτοῖς τὴν τοῦ Χριστοῦ μόρφωσιν ἀπετέλουν, οἱονεί πως ἀπαμβλίσκοντες τὸ ἔν γε σφίσιν αὐτοῖς ὡς ἐν νηδύϊ κείμενον ἀγαθόν. Οὐκοῦν τὸ ἐν γνώσει τέλειον καὶ τὸ ἀκραιφνὲς εἰς πίστιν, τοῦ Σωτῆρος τὴν μόρφωσιν ταῖς ἁπάντων ἡμῶν εἰσοικιεῖται ψυχαῖς, καὶ τοῦτο ἐν ἡμῖν ὡς θεία τις ἔσται σπορά. Ὅταν τοίνυν ὡς ἀπό γε τῆς τινων λογομαχίας σκανδαλίζοιντό τινες· εἶτα ἡ τοῦτο παθοῦσα ψυχὴ, τὴν ὡς ἐν ὠδῖσι κειμένην, καὶ εἰς νοῦν ἔσω τεθησαυρισμένην, ἀπαμβλίσκοι πίστιν τε καὶ γνῶσιν, εἰ μὲν εἴη, φησὶ, μὴ ἐξεικονισμένη, τουτέστιν, εἰ ἀτελὴς ἔτι καὶ ἀκαλλεστέρα, ζημίαν ὑπομενεῖ πάντη τε καὶ πάντως ὁ τοῦ σκανδάλου παραίτιος, ἣν ἂν ἐπιβάλῃ, φησὶν, ὁ ταύτης νυμφίος, τουτέστι, Χριστός· καὶ δώσει μετὰ ἀξιώματος, τουτέστι, καὶ ὁμολογείτω χάριν, μὴ τὴν εἰς ὄλεθρον παντελῆ ποινὴν ὑποστάς. Εἰ δὲ εἴη, φησὶν, ἐξεικονισμένον τὸ τῆς ψυχῆς κύημα νοητὸν, τουτέστιν, εἰ γνῶσις εἴη καὶ πίστις τοῦ Χριστοῦ φοροῦσα μόρφωσιν, τοῖς περὶ τῶν ἐσχάτων ὑποκείσεται λόγοις, ὡς ἤδη καὶ φονευτή. Ψυχῆς γὰρ θάνατος, ἡ τῆς ἀμωμήτου πίστεως ἀπόθεσις, καὶ τῆς ἀρτίως ἐχούσης γνώσεως ἡ ζημία. Τοιγάρτοι τὸ χρῆναι μεταλαχεῖν ἀνοσίων εἰσηγημάτων, καὶ ὧν ἂν ποιοῖτο λόγων, ἀνὴρ, γεγονὼς κατάβρωμα διαβολικὸν, καὶ τῆς τῶν δαιμονίων ἀγέλης οἱονεί πως τροφὴ, μολυσμὸν εἶναί φησι· καὶ ἀποφάσκει πάλιν, ὡς ἐν αἰνίγματι λέγων, «Καὶ κρέας θηριάλωτον οὐκ ἔδεσθε· τῷ κυνὶ ἀποῤῥίψατε αὐτό.» Κύνα μὲν γὰρ, τὸν ἀναιδῆ καὶ ἀκάθαρτον ἄνθρωπον ὀνομάζειν ἔθος τῇ θείᾳ Γραφῇ. Πρέπον δ' ἂν εἴη τῷ τοιῷδε τυχὸν, ἅπας τις οὖν, οἶμαι, λόγος βδελυρὸς καὶ δυσώδης, καὶ ἐξ αὐτοῦ συγκείμενος τοῦ Βεελζεβοὺλ, ὡς θηρὸς ἀγρίου κατεδηδοκότος τὴν ὑποπεσοῦσαν αὐτῷ καὶ ὑπηρετοῦσαν εἰς τοῦτο ψυχήν· «Λέγει γὰρ οὐδεὶς, Ἀνάθεμα Ἰησοῦς, εἰ μὴ ἐν Βεελζεβούλ.» Ἁγίοις γε μὴν τὸ ἐν μεθέξει γενέσθαι τῶν οὕτως αἰσχρῶν ἢ κεκιβδηλευμένων ἐννοιῶν τε καὶ λόγων, ἀνάρμοστον κομιδῇ. «Κοινωνία γὰρ οὐδεμία φωτὶ πρὸς σκότος.» {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἐγρηγορέναι δὲ ὅτι προσήκει τοὺς καθηγεῖσθαι λαχόντας, καὶ ἡγουμένους ποιμνίων, κατεχρησμῴδησε πάλιν. Τίς δ' ἂν γένοιτο τῆς πρὸς ἡμῶν ἐπιεικείας εἰς τοῦτο τρόπος, ὑπεμφαίνει, λέγων ἐν τῷ Λευϊτικῷ· «Τὰ κτήνη σου οὐ κατοχεύσεις ἑτεροζύγῳ, καὶ τὸν ἀμπελῶνά σου οὐ κατασπερεῖς διάφορον.» Πώεσι μὲν γὰρ αἰγῶν καὶ προβάτων, ἤγουν ἀμπελῶνι παρεικαστέον εὖ μάλα τὴν ὑπὸ χεῖρα πληθύν. Ἤκουε μὲν γὰρ ὁ θεσπέσιος Πέτρος· «Σίμων Ἰωνᾶ, φιλεῖς με; βόσκε τὰ ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου.» Περὶ δέ γε τῶν ἐξ Ἰσραὴλ, ὁ προφήτης ἔφασκεν Ἡσαΐας· «Ὁ γὰρ ἀμπε-λὼν Κυρίου Σαβαὼθ, οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ 68.549 ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον.» Ποιμένος δὴ οὖν ἀρετὴ, τὸ μὴ ἐπαφιέναι προβάτοις ἑτεροειδές τι ζῶον, ὡς ταῖς ὀθνείου τυχὸν ὀχείαις ὑποπεσεῖν, ἵνα μὴ ἑτεροφυὲς τέκῃ, καὶ τῆς ἐνούσης αὐτῷ φυσικῆς εὐγενείας ἐκνενευκός· ἀμπελώνων δὲ ὁ μελεδωνὸς, εἴπερ εἴη νουνεχὴς, καὶ γηπονεῖν ἄριστα μεμελετηκὼς, οὐκ ἂν ἀνάσχοιτό ποτε τὰ ξηρὰ τῶν σπερμάτων ὑπ'


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐταῖς φύεσθαι ταῖς ἀμπέλοις, ἵνα μὴ δαπανωμένης αὐταῖς τῆς ἰκμάδος εἰς τὸ ἀλλότριον, ὑστερίζοιεν αὗται περὶ τὸ οἰκεῖον. Ἴθι δὴ οὖν ὡς ἐξ εἰκόνος ἤδη πως, ἐπὶ τὸν πνευματικὸν, τὰ λογικὰ θρέμματα, μὴ τοῖς τῶν ἑτεροδιδασκάλων ὑπάγεσθαι συγχωρῶμεν ἀνοσίως ὥσπερ σπερματισμοῖς, νοητοῖς δηλονότι, καὶ ταῖς ὡς ἐν λόγῳ εἰσηγήσεσιν· ἀκαλλὴς γὰρ λίαν ὁ ἐξ ἀνομοίου καρπὸς γνώμης, καὶ οἱ τῶν οὐχ ὁμοπίστων λόγοι, φαύλων ἂν γένοιντο κυημάτων πρόξενοι τοῖς εἰσδεδεγμένοις αὐτούς· ἀμπελῶνας δὲ ὄντας ἡμᾶς, καὶ ἐν ὀρχάτων τάξει κειμένους, μονοειδεῖ τρόπον τινὰ προσήκει στεφανοῦσθαι καρπῷ, καὶ τὸν διφυᾶ παραιτεῖσθαι τρόπον. Λόγος γὰρ οὐδεὶς εἰς ὁμοιότητα φυσικὴν, σίτῳ καὶ βότρυσιν. Ἀλλοτρίων δὴ οὖν σπερμάτων μηδεὶς ἡμῶν ἔστω τόπος. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Καὶ καθ' ἕτερον δὲ τρόπον ἀσυναφῆ καὶ ἀσύμβατα, καὶ τῆς πρὸς ἄλληλα κοινωνίας διεσχισμένα τὰ ἑτεροτροποῦντα δεικνύει, παραθεὶς εἰς τύπον τὴν ἐκτοπωτάτην καὶ ἀλλόκοτον κομιδῇ τοῦ λογικοῦ ζώου σύνοδον, πρὸς τὸ μὴ τοιοῦτον, ἑτεροειδὲς δὲ καὶ ἔκφυλον. Καὶ δὴ καί φησιν ἐν μὲν τῇ Ἐξόδῳ· «Ὃς ἂν κοιμηθῇ μετὰ κτήνους, θανάτῳ ἀποκτενεῖτε αὐτόν.» Σαφέστερον δὲ πάλιν ἐν τῷ Λευϊτικῷ· «Καὶ ὃς ἐὰν δῷ κοιτασίαν αὐτοῦ ἐν τετράποδι, θανάτῳ θανατούσθω, καὶ τὸ τετράπουν ἀποκτενεῖτε· καὶ γυνὴ ἥτις προσελεύσεται πρὸς πᾶν κτῆνος βιασθῆναι αὐτὴν ὑπ' αὐτοῦ, ἀποκτενεῖτε τὴν γυναῖκα, καὶ τὸ κτῆνος· θανάτῳ θανατούσθωσαν· ἔνοχοί εἰσιν.» Ὁμιλίαι τε γὰρ, καὶ οἱονεὶ μίξεις αἱ νοηταὶ καὶ σύνοδοι, αἱ πρὸς οὓς ἂν ἥκιστα πρέποι, καὶ οἷς κατηῤῥώστησε πρὸς ἀλογίαν ὁ νοῦς τὴν ἐσχάτην, θανάτου πρόξενοι, καὶ αὐτοῖς τοῖς παραφθείρουσι, καὶ τοῖς ἐθελούσιον ὑπομένουσι τὴν παραφθοράν. {ΠΑΛΛ.} Ὀρθότατά τε καὶ μάλα ὁσίως ὁ νόμος φησί. {ΚΥΡ.} Θαυμάσαις δ' ἂν ἔτι καὶ τόδε· ἦν γὰρ δή πού τινας, ὡς ἐξ ἀφορήτου πλεονεξίας, καὶ εἰ μὴ βούλοιντο τυχὸν τὴν ἐξ ὀρθότητος ἐννοιῶν ἐπὶ τὸ πλαγίως ἔχον ὑπομεῖναι παραφθορὰν, καὶ καθάπερ ἐξ ἀνάγκης, οὐκ ἀδακρυτὶ τάχα που παθεῖν τὴν πλάνησιν. Οὐκ ἀνεπικούρητον τοίνυν ὁ νόμος περιορᾷν ἠξίου καὶ τὸ τοιοῦτον γένος. {ΠΑΛΛ.} Τὸ ποῖόν τι φῄς; {ΚΥΡ.} Τὸ ζυγῷ δουλείας κατεσφιγμένον καὶ ταῖς τῶν πριαμένων ἐξουσίαις κατησχοιμένον. 68.552 {ΠΑΛΛ.} Βεβοήθηκε δὲ τίνα δὴ ἄρα τρόπον καὶ τούτοις ὁ νόμος; {ΚΥΡ.} Ἀνίησι γὰρ δεσμοῦ καὶ ἀνάγκης, εἰ τὸ βλάβος εἴη περὶ ψυχὴν, καὶ ἀποτρέχειν εἰ βούλοιτο τὸ ἠδικημένον παραποδίζοντος οὐδενὸς, δεδικαίωκεν ἐναργῶς. Ἔφη γὰρ ὧδε πλαγίως ἐν τῇ Ἐξόδῳ· «Ἐὰν δέ τις πατάξῃ τὸν ὀφθαλμὸν τοῦ οἰκέτου αὐτοῦ, ἢ τὸν ὀφθαλμὸν τῆς θεραπαίνης αὐτοῦ, καὶ ἐκτυφλώσῃ, ἐλευθερίους ἐξαποστελεῖ αὐτοὺς, ἀντὶ τοῦ ὀφθαλμοῦ αὐτῶν· ἐὰν δὲ τὸν ὀδόντα τῆς θεραπαίνης αὐτοῦ ἐκκόψῃ, ἢ τὸν ὀδόντα τοῦ οἰκέτου αὐτοῦ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς, ἀντὶ τοῦ ὀδόντος αὐτῶν.» Ὅσον μὲν γὰρ ἧκεν εἰς θεωρίαν ἐξωφανῆ καὶ πρόχειρον νοῦν, κατακωλύει τὸ θράσος, καὶ συμμέτρους ἀποτελεῖ τὰς τῶν κτησαμένων ὀργὰς, καὶ οὐ μέχρις ἐκείνων ἰέναι βούλεται, δι' ὧν ἂν γένοιτο, τὴν εἰς τὸ εὖ εἶναι ζημίαν τοὺς ὑπεζευγμένους, ἀποστῆναι. Ἐφίησι δὲ οὐδαμῶς ἀχαλίνως ἰέναι τὰ ἐκ θυμοῦ, καὶ εἰς αὐτὴν ἤδη πράττεσθαι τὴν φύσιν, ἧς ἂν νοοῖτο μόνος ὑπάρχων Δεσπότης ὁ Δημιουργός· δουλεία γὰρ καὶ τὸ ἐπὶ τῇδε πάθος οὐκ ἀῤῥώστημα φυσικὸν, ἀλλ' εἰσποιητὸν ἐκ πλεονεξίας. Ἐν Χριστῷ μὲν οὖν ὁ Θεὸς καὶ Πατὴρ ὅλην ἀναπλάττει εὐθὺς πρὸς τὸ ἐν ἀρχαῖς τὴν φύσιν. «Εἴ τις γὰρ ἐν Χριστῷ, καινὴ κτίσις.» Ἀναιρεῖται δὲ παντελῶς τῆς δουλείας τὸ αἶσχος· γράφει γὰρ ὁ Παῦλος, ὅτι «Ἐν Χριστῷ Ἰησοῦ, οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος.» Ἀφαιρεῖται δὲ τέως ὁ νόμος προσπαιδαγωγῶν εἰς τὸ τέλειον τὸ τῆς ἐξουσίας ἀκάθεκτον, καὶ τὸ ἐπέκεινα μέτρου τοῦ καθήκοντος, ζημίαν ἐπιτιθεὶς τοῖς ὀλιγωροῦσι τοῦ νόμου, τῶν ἠδικημένων τὴν ἄφεσιν. Ἀλλὰ ταυτὶ μὲν εἰς γράμμα καὶ σκιὰν, εἴπερ ἕλοιτό τις καὶ τῇδε νοεῖν· εἰ δὲ δὴ διερμηνεύοιτο πνευματικῶς ὁ τοῦ νόμου σκοπὸς, προσβάλλοις ἂν, ὦ Παλλάδιε, καὶ καθ' ἕτερον τρόπον τοῖς ἐν αὐτῷ θεωρήμασι· φῶς μὲν γὰρ τουτὶ τὸ ἐγκόσμιον τοῖς τοῦ σώματος ὀφθαλμοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰσδεχόμεθά τε καὶ θαυμάζομεν· φῶς δὲ τὸ θεῖον καὶ νοητὸν ἐν ταῖς ἡμετέραις ἀνίσχει καρδίαις· καὶ τροφὴ μὲν ἡ τοῦ σώματος, ὀδοῦσι καταλεαίνεται, καὶ ἔσται τὸ χρῆμα πρὸς ζωὴν ὁδός· τὰ δέ γε τῶν θείων θεωρημάτων, σκληρὰ, καὶ δυσέφικτα καθάπερ ὀδόντι τῇ τῆς διανοίας ἰσχύϊ μονονουχὶ συνθρύπτεται καὶ ἀποτρέφει ψυχήν. Καὶ γοῦν ἡ Σοφία τὴν θείαν ἡμῖν καὶ πνευματικὴν ἁπλοῦσα τράπεζαν, «Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον,» φησίν. Οὐκοῦν κἂν εἰ οἰκέτῃ συμβαίνοι τυχὸν περί τι τῶν τοιούτων βλάβος, παραπαίοντος δεσπότου καὶ παρολισθεῖν ἀναγκάζοντος ἐξ ὀρθότητος δογμάτων εἰς ἔκτοπον πλάνησιν, λελύσθω, φησὶν, ὁ δεσμὸς, καὶ λόγος ἔστω μηδεὶς ἀναγκαίου ζυγοῦ. Διεῤῥίφθω δέ ποι καὶ τῆς ἐξουσίας τὸ δεῖμα, ἴτω τε λοιπὸν ὁ κατεζευγμένος, ὅποιπερ ἂν αὐτῷ τὸ ἀλωβήτως ἔχειν εὑρίσκοιτο· ψυχῆς γὰρ ἄμεινον οὐδὲν ἦν. Καὶ ἵνα σώσῃ, φησὶν, ἀπολελύσθω δουλείας. Ἴδοις δ' ἂν ἀληθῆ τὸν λόγον, καὶ ἐν καιροῖς ἔτι τοῖς καθ' ἡμᾶς πληρούμενον· οὐ γὰρ ἀνέχονται δεσποτῶν οἰκέται παρακομιζόντων εἰς πλάνησιν, τῆς ἐπηρτημένης αὐτοῖς ἐξουσίας ὑπεξαγαγόντες γενικῶς 68.553 τὸ ἔν γε τούτῳ πειθήνιον· ἄχθει μὲν γὰρ τῷ δουλείας τὸν τοῦ σώματος ὑπενεγκόντες αὐχένα, τηροῦσιν ἀθόλωτον ἐν ἑαυτοῖς τὸν νοῦν, καὶ τὸ δεῖν εἰδέναι σαφῶς τε καὶ ἀπλανῶς τὸν περὶ τῆς ἀληθοῦς πίστεως λόγον, πολλοῦ δὴ λίαν, μᾶλλον δὲ τοῦ παντὸς εἶναι ἄξιον πεπιστεύκασι, καὶ τροφὴν τὸ χρῆμα ποιοῦνται πνευματικὴν, οἷά περ ὀδόντι τῷ νῷ κατατρίβοντες τὸ εἰς οὖς ἐρχόμενον, καὶ τὴν τῶν θείων νοημάτων ἀναμασώμενοι δύναμιν. {ΠΑΛΛ.} Ὡς σαφής τε ἡμῖν, καὶ ὀρθῶς ἔχων ὁ λόγος. {ΚΥΡ.} Προσεθίζει δὲ καὶ ἑτέρως ὁ νόμος ἡμᾶς εἰς φιλαλληλίαν, τιμᾷν ἀναπείθων τὸ συγκαθίστασθαι τοῖς ἐγγὺς, καὶ τοὺς τῆς ἀνισότητος καταμυσαττόμενός τε καὶ κολάζων τρόπους. {ΠΑΛΛ.} Πῶς δὴ φής; {ΚΥΡ.} Ἄκουε δή· γράφει γὰρ πάλιν· «Ἐὰν κε-ρατίσῃ τινὸς ταῦρος τὸν ταῦρον τοῦ πλησίον, καὶ τελευτήσῃ, ἀποδώσονται τὸν ταῦρον τὸν ζῶντα, καὶ διελοῦνται τὸ ἀργύριον αὐτοῦ, καὶ τὸν ταῦρον τὸν τεθνηκότα διελοῦνται. Ἐὰν δὲ γνωρίζηται ὁ ταῦρος ὅτι κερατιστής ἐστι πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης ἡμέρας· καὶ διαμεμαρτυρημένοι ὦσι τῷ κυρίῳ αὐτοῦ, καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀποτίσει ταῦρον ἀντὶ ταύρου, ὁ δὲ τετελευτηκὼς αὐτῷ ἔσται.» Ὁρᾷς τὸ αἴνιγμα, καὶ οἱονείπως ἡμῖν ἐκ παραδείγματος ἐναργεστάτου πρὸς τὸ εὐθὺ διαστείχοντα τὸν ἐπὶ τῷδε λόγον; Εἰ γὰρ γένοιτο τεθνάναι, φησὶ, τὸν τοῦ δεῖνα ταῦρον, καὶ ὑφ' ἑτέρου ταύρου πεσεῖν, διελοῦνται τὸν ταῦρον τὸν ζῶντα, καὶ ἀμφοῖν ἔσται πάλιν ὁ τεθνηκὼς, τουτέστιν, εἰ πλεονεξίας ἐπιγένοιτο καὶ ἀδικίας τρόπος παρ' οὐχ ἑκόντος τινὸς εἰς ἕτερον, ἐντρυφάτω, φησὶν, ὁ ἠδικημένος τοῖς τοῦ λυπήσαντος ἀγαθοῖς, καὶ κοινὰς ἐχέτω τὰς θυμηδίας. Τοῦτο γὰρ, οἶμαι, ἔστι, τὸ διελέσθαι τὸν ταῦρον τὸν ζῶντα· Κοινὰς δὲ ποιείτω, φησὶ, καὶ ἀνεθελήτως προσκεκρουκὼς τὰς τοῦ πεπονθότος συμφοράς· τουτὶ γὰρ οἶμαι παραδηλοῦν, τὸ διελέσθαι τὸν τεθνηκότα. Ὁρᾷς οὖν ὅπως ὁ νόμος αἰνιγματωδῶς ἔτι καὶ κατεσκιασμένως τὸν φιλάλληλον εἰσηγεῖται τρόπον; Ἢ οὐχὶ δὴ τουτό ἐστι τὸ, «Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων;» {ΠΑΛΛ.} Ἔοικε. {ΚΥΡ.} Εἰ δὲ δὴ, φησὶν, ὁ πλεονεκτῶν εἰδείη σαφῶς, ὅτι πείσεταί τι δεινὸν ὁ πέλας, τῶν τῆς πλεονεξίας τρόπων οὐκ ἀνῃρημένων, ζημίαν αὐτὸς τὴν ἴσην ὑπομενεῖ, καὶ τὴν τοῦ παθόντος συμφορὰν ἐπαντλήσει μόνῃ τῇ ἰδίᾳ ψυχῇ. Τοῦτο γὰρ αἰνιγματωδῶς, τὸ, «Ἀποτίσει ταῦρον ἀντὶ ταύρου, ὁ δὲ τετελευτηκὼς αὐτοῦ ἔσται.» Οὐ γὰρ μέχρι τοῦ τῶν οἰκείων ἀγαθῶν ἀποπεσεῖν τοῖς ἀδικοῦσιν ὁ λόγος, ἀλλ' ἰδίαν ἕξουσι συμφορὰν, καὶ αὐτῶν ἔσται πάθος, τὸ τῷ πέλας συμβεβηκός. {ΠΑΛΛ.} Ὡς εὖ γε ἡμῖν ὁ λόγος ἔχει. 68.556 {ΚΥΡ.} Σοφὸν δὲ ἡμῖν τῆς εἰς ἀλλήλους ἀγάπης ἐτίθει νόμον καὶ ὁ θεσπέσιος Παῦλος, ὡδίπη λέγων· «Μὴ τὰ ἑαυτῶν ζητοῦντες, ἀλλὰ καὶ τὰ ἑτέρων.» Οὐ ζητεῖ γὰρ ἡ ἀγάπη τὰ ἑαυτῆς· περισκέπτεται δὲ μᾶλλον καὶ τὰ ἑτέρων, καὶ ὅπως ἂν ἔχοι τὰ ἀδελφῶν εὖ. Τοῦτό τοι πάλιν τὸ ἀρχαῖον ἡμῖν ὑπαινίττεται Γράμμα· ἔχει δὲ οὕτως· «Ἐὰν δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταβοσκήσῃ τις ἀγρὸν ἢ ἀμπελῶνα, καὶ ἀφῇ τὸ κτῆνος αὐτοῦ, καταβοσκῆσαι ἀγρὸν ἕτερον, ἀποτίσει ἐκ τοῦ ἀγροῦ αὐτοῦ κατὰ τὸ γέννημα αὐτοῦ· ἐὰν δὲ πάντα τὸν ἀγρὸν καταβοσκήσῃ, τὰ βέλτιστα τοῦ ἀγροῦ αὐτοῦ, καὶ τὰ βέλτιστα τοῦ ἀμπελῶνος αὐτοῦ ἀποτίσει.» Ὁ μὲν γὰρ ἀγροῖς ἑτέρων τὸ ἴδιον κτῆνος ἐπαφιεὶς, ὀνίνησι μὲν τὰ καθ' ἑαυτὸν, καὶ ζητεῖ πως τὰ ἑαυτοῦ, πλὴν οὐκ ἐξ ὧν ὁ γείτων εὐφραίνεται, οὐδὲ ἐφ' οἷς ἂν ἥδοιτό τις τῶν πέλας, ἀλλ' ἐξ ὧν ἂν λυπεῖσθαί τε καὶ ἀδικεῖσθαι συμβαίνοι. Ζητητέον οὖν ἄρα τὸ ἡμᾶς ὠφελοῦν, τουτέστι, τὸ ἑαυτῶν, οὐ διὰ τῆς εἰς ἑτέρους πλεονεξίας, ἀλλὰ δι' ὧν ἂν γένοιτο πρὸς τοῦτο ἰέναι, πλημμελοῦντας οὐδὲν, καὶ τῆς τοῦ γείτονος εὐθυμίας ἑστώσης ὀρθῶς. Τοῦτο γὰρ ἂν εἴη σαφῶς, τὸ ζητεῖν καὶ τὰ ἑτέρων. Ἢ ἴστω τις, φησὶν, εἰ ἀφυλάκτως ἕλοιτο καταλυπεῖν ἀδελφοὺς, καὶ ἀπρονοήτως ἔχοι τοῦ πέλας, εἰς μόνον τάχα που τὸ ἴδιον βλέπων, τὴν ἴσην ὑπομενεῖν ζημίαν, καὶ τὸν τῆς δοκούσης ὠφελείας τρόπον, τῶν ὅτι μάλιστα φιλαιτάτων αὐτῷ προξενήσων τὴν ἀπώλειαν. Τουτὶ γὰρ, οἶμαι, ἔστι τὸ, «Ἀποτίσει τὰ βέλτιστα τοῦ ἀγροῦ αὐτοῦ, καὶ τοῦ ἀμπελῶνος αὐτοῦ.» Ἁρμόζει δ' ἂν, ὥς γέ μοι φαίνεται, τῶν προκειμένων ἡ δύναμις καὶ τοῖς τῶν αἱρέσεων εὑρεταῖς, ὧν οἱ βδελυροὶ καὶ ἀνούστατοι μαθηταὶ, κτηνῶν ἀλόγων δίκην, λήϊά τε καὶ ἀμπελῶνας κατανέμονται τοὺς δεσποτικοὺς, εἰς κρίμα καὶ κόλασιν τῶν τῆς αἱρέσεως εὑρετῶν· συμβήσεται γὰρ ἐκείνοις ἡ τῶν καλλίστων ζημία, τουτέστιν, ὁ περὶ αὐτὴν ὄλεθρος τὴν ψυχήν· ἀμπελῶνος γὰρ, ἤγουν ληΐου τυχὸν, καὶ ἀνὰ μέρος ἑκάστου τῶν καθ' ἡμᾶς νοουμένων τὸ ἐν αὐτῷ βέλτιστον ἡ ψυχή. {ΠΑΛΛ.} Καρπὸν οὖν ἄρα τῆς ἀγάπης εἶναί φαμεν τὸ χρῆναι ζητεῖν τὰ ἑτέρων, καὶ οὐχὶ δὴ μόνον τὰ ἑαυτῶν. {ΚΥΡ.} Πάνυ μὲν οὖν, ὦ Παλλάδιε, καὶ τὸ μὲν χρῆναι πληροῦν τὴν εἰς ἀδελφοὺς ἀγάπησιν, ὡς ἥδιστον τῷ Θεῷ, καταφορτίζεσθαι δὲ τὴν ἀγάπην τῷ περιττῷ καὶ πλείονι τῆς πρὸς ἡμῶν καταχρήσεως, οἰκονομικῶς οὐκ ἐᾷ· κατασίνεται γὰρ εὐκόλως καὶ τὸν εὖ βεβηκότα νοῦν, κἂν εἰ ἐν καλῷ γένοιτο τυχὸν τῆς ἐφ' ὅτῳ οὖν ἀρετῆς, τὸ μὴ μετρίως αὐτῷ, δυσαντήτῳ δὲ μᾶλλον ἐπιθρῶσκον ὁρμῇ. {ΠΑΛΛ.} Ὅσον δὴ τί φής; οὐ γάρ τοι συνίημι σαφῶς. {ΚΥΡ.} Ἢ οὐκ ἀρετὴν εἶναι φὴς, τὸ πρᾶόν τε καὶ ἀνεξίκακον; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; 68.557 {ΚΥΡ.} Ἀλλ' εἴπερ τις τυχὸν τῷ πραότητά τε καὶ ἀνεξικακίαν ἐπιτηδεύοντι, λύπας τε καὶ ὕβρεις ἐπισωρεύσειε, καὶ τὰ δι' ὧν οἱ θυμοὶ, μετρίως μὲν εἰ γένοιτο, διακαρτερήσειεν ἂν ἔσθ' ὅτε καὶ οἴσει γεννικῶς, γύμνασμά τε πραότητος καὶ ἀοργησίας τὸ χρῆμα ποιήσεται. Εἰ δὲ δή τις ἴοι τοῦ μετρίου πέρα, καὶ τῶν ἀνεξικακίας ὅρων ἐπέκεινα τρέχοι, τὸ ἀπεικὸς οὐδὲν, καταβιασθεῖσαν ὥσπερ τὴν ἀρετὴν καὶ ἀτονῆσαι βραχύ. {ΠΑΛΛ.} Εὖ λέγεις· μεθύει γάρ πως ἐν ἀνθρώποις τὸ ἀγαθὸν, καὶ οὐδενὸς κατασείοντος, ἕστηκε μόλις. {ΚΥΡ.} Ἴθι δὴ οὖν, εἰ δοκεῖ, καὶ ἐπ' αὐτὴν τὴν ἀγάπησιν. Ἀρετὴ γὰρ ἡ προὔχουσα, καὶ τῶν ἄλλων ἐστὶν ἡ προφερεστέρα. Τῆς γε μὴν ἄγαν καταχρήσεως οὐκ ἀνέχεται. Ὃ δὴ πάλιν καθάπερ ἐν εἴδει παραβολῆς καὶ σαφοῦς παραδείγματος, ὁ νόμος ἡμῖν ὑφηγεῖται λέγων· «Ἐὰν δὲ εἰσέλθῃς εἰς τὸν ἀμητὸν τοῦ πλησίον σου, καὶ συλλέξῃς ἐν ταῖς χερσί σου στάχυς, καὶ δρέπανον οὐ μὴ ἐπιβάλῃς ἐπὶ τὸν ἀμητὸν τοῦ πλησίον σου· ἐὰν δὲ εἰσέλθῃς εἰς τὸν ἀμπελῶνα τοῦ πλησίον σου, καὶ φάγῃς σταφυλὴν ὅσον ψυχήν σου ἐμπλησθῆναι, εἰς δὲ ἄγγος οὐκ ἐμβαλεῖς.» Τὸ μὲν γὰρ ὀλίγους χερσὶ συναγεῖραι στάχυας, ἤγουν ἀποκεῖραι βότρυν εἰς ἐπιθυμίαν ἢ τροφὴν, οὐδὲν ἂν ἔχοι τὸ βλάβος. Οἴσει γὰρ, οἶμαι, σὺν θυμηδείᾳ ταυτὶ τῆς ἀγάπης ὁ νόμος, καὶ οὐκ ἐπέκεινα τοῦ μέτρου τὸ χρῆμα φαίνεται. Τὸ δὲ καὶ ἀμῶντα σίδηρον τοῖς τοῦ πέλας ὑπενεγκεῖν, ὑπερνήχεταί πως καὶ ὑπερθρώσκει λοιπὸν τὸ φιλάλληλον, καὶ εἰς ὅρους ἤδη τοὺς τῆς πλεονεξίας οἴχεται. Οὐκοῦν ὑπόδειγμα τοῦτο σαφὲς τοῦ μὴ κατακεχρῆσθαι δεῖν ταῖς τῶν ἀδελφῶν ἀγαπήσεσίν ἐστι, τιμᾷν δὲ ταῖς αὐταρκείαις καὶ τὸ φιλάλληλον. Οὐκ ἄκομψον δὲ καθάπερ ἐγῷμαι, τὸν ἐπὶ τῷδε πάλιν εἰς ἡμᾶς καὶ ἑτέροις τισὶν ἐφαρμόσαι λόγον, οἳ τὰς ἐν ταῖς Ἐκκλησίαις τῶν διδασκόντων φωνὰς, αἵπερ ἂν ἐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ παραχρῆμα καὶ προχείρου γένοιντο, καθάπερ τινὰ τροφὴν δρεπόμενοι νοητὴν, οὐ μέχρι τούτου μένειν ἀνέχονται, πέρα δὲ ὥσπερ ἰόντες τοῦ μέτρου, καὶ οἷά περ εἰς ἄγγος ἐμβάλλοντες, καὶ δέλτοις ἐναποτίθενται, χρηστομαθεῖς μὲν ὄντες λίαν, ἀδικοῦντες δέ πως εἰς ὑπόληψιν ἀδελφοὺς, ὅτι τὸ ἐσχεδιασμένον εὐθὺς, ὥσπερ τι τῶν ἄγαν κατεσκευασμένων, ἐναποτίθενται γραφῇ, Ἀλλ' ὅ γε νόμος, ὦ βέλτιστοι, φαίην ἂν αὐτοῖς, τὸ μηδὲν εἰς ἄγγος ἐμβάλλειν προστέταχεν ἐναργῶς. {ΠΑΛΛ.} Σφαλερὸν οὖν ἄρα τὸ ἀναμοχλεύειν ὥσπερ ψυχῆς ἀρετὴν, καὶ τὸν εὖ βεβηκότα νοῦν μονονουχὶ κατασείειν ἀποτολμᾷν τῷ τῆς καταχρήσεως περιττῷ. {ΚΥΡ.} Ἀτρεκὴς ὁ λόγος. Χρῆναι γὰρ δεῖν δεδικαίωκεν ἐναργῶς ὁ τῶν ὅλων Θεὸς, οὐκ ἐπιβουλεύειν ἡμᾶς ἀρετῇ, μετέχειν δὲ μᾶλλον, εἰ τύχοι, τῶν ἐξ ἀρετῆς ἀγαθῶν. Καὶ ἀμυδρὸν ἐπὶ τούτῳ ποιεῖται τὸ αἴνιγμα, καὶ ἐν μικροῖς κομιδῇ τὰ ἀσυγκρίτως ὑπερκείμενα ζωγραφεῖ. Γέγραπται γὰρ ἐν τῷ 68.560 Δευτερονομίῳ· «Ἐὰν δὲ συναντήσῃς νοσσιᾷ ὀρνέων πρὸ προσώπου σου ἐν τῇ ὁδῷ, ἢ ἐπὶ παντὶ δένδρῳ, ἢ ἐπὶ τῆς γῆς, νεοσσοῖς, ἢ ᾠοῖς, καὶ ἡ μήτηρ θάλπῃ ἐπὶ τῶν νεοσσῶν, ἢ ἐπὶ τῶν ᾠῶν, οὐ λήψῃ τὴν μητέρα μετὰ τῶν τέκνων. Ἀποστολῇ ἀποστελεῖς τὴν μητέρα, τὰ δὲ παιδία λήψῃ σεαυτῷ, ἵνα εὖ σοι γένηται, καὶ πολυήμερος ἔσῃ.» {ΠΑΛΛ.} Καὶ τί δὴ τοῦτό ἐστιν; οὐ γάρ μοι σαφὲς τὸ αἴνιγμα. {ΚΥΡ.} Ἢ οὐκ ἐναργῶς ἐπαΐεις; ὡς εἴπερ τις ἕλοι νεοττεύουσαν ἔτι τὴν ὄρνιν, ἤγουν ἐπωάζουσαν, ποιείσθω μὲν ὄνησίν τε καὶ εὕρημα τὰ ἐξ αὐτῆς· ἀποπεμπέτω γε μὴν, οὐδὲν ἐποίησε βλάβος. {ΠΑΛΛ.} Ναί· ὁ γάρ τοι τοῦ Γράμματος οὗτος ἂν εἴη σκοπός. {ΚΥΡ.} Οὐκοῦν ἄθρει τὸ κεκρυμμένον, καὶ οἱονεὶ διαπτύξας τὴν σκιὰν, κατασκέπτου νοητῶς τὴν ἀλήθειαν. Ἑκάστη μὲν γὰρ ἀρετὴ, μήτηρ οἷά τίς ἐστι τῶν ἐξ αὐτῆς ἀγαθῶν καὶ γένεσις, οἷον εἴ τις λέγοι τὴν χρηστότητα, τὴν φιλοπτωχείαν, τὴν πραότητα, τὴν μακροθυμίαν. Χρηστεύεται γάρ τις οὐχ ἑαυτῷ μᾶλλον ἢ ἑτέροις· μετάσχοιεν δ' αὖ τῆς φιλοπτωχείας, οἱ ταύτης δεδεημένοι, καὶ πραότητος ὁμοίως καὶ μακροθυμίας. Οὐκοῦν ἀρετὴ μὲν ἑκάστη μήτηρ ἂν νοοῖτο, καὶ οἱονεί τις ἀρχὴ τῶν ἐν αὐτῇ τε καὶ ἐξ αὐτῆς ἀγαθῶν. Νοσσιαὶ δὲ ὥσπερ ἀρετῶν, αἱ ταύτας ὠδίνουσαι, καὶ ἐν σφίσιν αὐταῖς ἑλοῦσαι ψυχαί. Χρῆναι δὴ οὖν ἄρα φησὶν ὁ νόμος, τοὺς ἀνδράσι περιτυγχάνοντας, ἐν οἷς ἂν εἶεν ἀρεταὶ καθάπερ εἰς νοσσιὰν συγκεκομισμέναι, ποιεῖσθαι μὲν κέρδη τὰ ἐξ αὐτῶν, μὴ μὴν ἔτι κατασίνεσθαι φιλεῖν ἀρετὴν, τὴν τῶν ἀρίστων κατορθωμάτων μητέρα· ἀδικεῖται δὲ ἀρετὴ, κατασειομένη πρός τινος, κατά γε τοὺς ἤδη προειρημένους τρόπους. {ΠΑΛΛ.} Ὡς βαθὺ τὸ αἴνιγμα! {ΚΥΡ.} Ναί· λέγεις ὀρθῶς. Ἀλλ', ἵνα τι φῶμεν ταῖς τοῦ μακαρίου Παύλου συμβαῖνον φωναῖς, «Μὴ τῶν στρουθίων μέλει τῷ Θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει;» τύπους γὰρ ἡμῖν πραγμάτων, οὐκ αὐτὰ σαφῶς ἐξηγεῖται τὰ πράγματα, τῆς διὰ Μωσέως ἐντολῆς ὁ λόγος· ἴδοις δ' ἂν, ὅπως ἡμᾶς καὶ εἰς τρόπους ἤδη τῆς ἀνωτάτω φιλαλληλίας ἀνακομίζει κατὰ βραχύ. Πειρᾶται γὰρ ἀναπείθειν, καὶ αὐτοὺς ἀγαπᾷν τοὺς προσκεκρουκότας, καὶ λύπης ἀμείνους ὁρᾶσθαι τῆς εἰς ἐχθροὺς, μὴ ὑπὸ τοῦ κακοῦ νικωμένους, νικῶντας δὲ μᾶλλον ἐν τῷ ἀγαθῷ τὸ κακόν. Ἔφη γὰρ πάλιν ἐν μὲν τῇ Ἐξόδῳ· «Ἐὰν δὲ συναντήσῃς τῷ βοῒ τοῦ ἐχθροῦ σου, ἢ τῷ ὑποζυγίῳ αὐτοῦ, πλανωμένοις ἐν τῇ ὁδῷ, ἀποστρέψας ἀποδώσεις αὐτῷ· ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσῃ αὐτὸ, ἀλλὰ συνεγερεῖς αὐτὸ μετ' αὐτοῦ.» Ἐν δὲ τῷ Δευτερονομίῳ· «Μὴ ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου, ἢ τὸ πρόβατον αὐτοῦ, πλανώμενα ἐν τῇ ὁδῷ, ὑπερίδῃς αὐτά· ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ ἀδελφῷ σου· ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ 68.561 ἀδελφός σου πρὸς σὲ, μηδὲ ἐπιστήσῃ αὐτὸν, συνάξεις αὐτὰ ἔνδον εἰς τὴν οἰκίαν σου, καὶ ἔσται μετὰ σοῦ, ἕως ἂν ζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις αὐτὰ αὐτῷ· οὕτως ποιήσεις τὸν ὄνον αὐτοῦ, καὶ οὕτως ποιήσεις τὸ ἱμάτιον αὐτοῦ, καὶ οὕτως ποιήσεις κατὰ πᾶσαν ἀπώλειαν τοῦ ἀδελφοῦ σου, ὅσα ἐὰν ἀπόληται παρ' αὐτοῦ, καὶ εὕρῃς, οὐ δυνήσῃ ὑπεριδεῖν αὐτά· οὐχ ὑπερόψει τὸν ὄνον τοῦ ἀδελφοῦ σου, ἢ τὸν μόσχον αὐτοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πεπτωκότα ἐν τῇ ὁδῷ· μὴ ὑπερίδης, ἀνιστῶν ἀναστήσεις αὐτὰ μετ' αὐτοῦ.» Συνίης οὖν, ὅπως ἡμᾶς ἀστειότατα παιδαγωγεῖ πρὸς τὸ ἄγαν ἤδη πως καὶ τελέως ἀγαθὸν, μελέτησιν ὥσπερ ἀμνησικακίας ποιεῖσθαι προστάττων, τὴν εἰς τὰ κτήνη φειδὼ τοῦ λελυπηκότος, ὃν καὶ ἄνω τε καὶ κάτω τῷ τῆς ἀδελφότητος ὀνόματι στεφανοῖ, κατακωλύων, οἶμαί που, τὸ ἔντονον εἰς ὀργὰς, καὶ τὸ περιττὸν εἰς μικροψυχίας, καὶ τὸν τῆς φύσεως νόμον, βραβευτὴν ὥσπερ τινὰ τῆς ἀγάπης εἰσφέρων. Ἂν γὰρ εὕρῃς, φησὶν, πλανώμενον κτῆνος, ἢ ἀπολωλὸς ἱμάτιον, περισώσεις αὐτὰ τῷ ἀδελφῷ σου· κἂν εἰ γένοιτό τι τῶν ἀχθοφορεῖν εἰωθότων κατολισθῆσαν εἰς γῆν ὑπ' αὐτῷ συντρίβεσθαι τῷ φορτίῳ, συνεργάσῃ καὶ συνεγερεῖς. Ἕτερον δὲ τοῦτό ἐστιν οὐδὲν, ἢ τὸν κεκτημένον ὠφελεῖν, καὶ μελέτη πρὸς ἔλεον, καὶ παιδαγωγία πρὸς φιλοικειότητα, καὶ τὸ λυπεῖσθαι μακρὰ παρωθεῖσθαι ζητεῖν, καὶ παραιτεῖσθαι διαφορὰς, ὑπέρ γε τοῦ μὴ δοκεῖν προσκρούειν ἀγάπῃ καὶ νόμῳ τῷ εἰς φιλαδελφίαν. Εἰκὸς δὲ δή τι καὶ ἕτερον ὑπαινίττεσθαι, τὸ χρησμῴδημα· εἰ γὰρ τοσαύτη γέγονε τῷ νομοθέτῃ φροντὶς, ὡς εἰ καί τι τῶν ἀλόγων εἴη τὸ πεπονθὸς, ὀρέγειν ἡμᾶς τὴν ἐπικουρίαν, πῶς οὐκ ἂν αὐτῷ μειζόνως ἀρέσειεν ἡ εἰς ἀνθρώπους φειδὼ, καὶ ἡ τοῖς ὁμογενέσιν ὀφειλομένη φιλαλληλία; οὐκοῦν κἂν εἰ ἐχθρὸς πλανῷτο τυχὸν, μανθανέτω τὴν ἐπ' εὐθὺ, καὶ δι' ἡμῶν νευέτω πρὸς τὸ συμφέρον. Οὕτω καὶ ὁ Χριστὸς, λίθοις μὲν ἐβάλλετο παρὰ τῶν ἐξ Ἰσραὴλ, ἐπεφώνει δὲ ὅμως· «Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ.» Καὶ εἰ πόνῳ τις καὶ πειρασμοῖς ἐνθλίβοιτο τῶν προσκεκρουκότων, καὶ οἱονείπως εἰς γῆν ἐῤῥιμμένος, ἀφύκτοις ἀνάγκαις καταπιέζοιτο, φησὶν, ἐπικουρείσθω πρὸς ἡμῶν, καὶ ἔστω λύπης ἀμείνων, ὁ διάφορος. Ἦ οὐχὶ δὴ τοῦτό ἐστιν, «Εὖ ποιεῖτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς;» {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Ἁγιοπρεπὲς οὖν ἄρα, τὸ τοῖς κάμνουσι συναλγεῖν, καὶ οὐχὶ δὴ μᾶλλον τὰ ἐφ' οἷς ἦν ἄμεινον ἐποικτείρεσθαι δεῖν, πλεονεξίας τῆς κατ' αὐτῶν ποιεῖσθαι πρόφασιν, ἐπιθρώσκοντάς τε καὶ ἐπιμηνιῶντας ἔτι τοῖς ἠδικημένοις. Κἂν εἰ δύναιτό τις λαθραίους ἀποτελεῖν τῆς ἐπιβουλῆς τοὺς τρόπους, ἀποσχέσθαι δεῖν ὁ νόμος εὖ μάλα φησὶ καὶ τῶν ἐπὶ τῷδε κακουργημάτων· ἔφη γὰρ πάλιν· «Οὐ κακῶς ἐρεῖς κωφὸν, καὶ ἀπέναντι τυφλοῦ οὐ προσθήσεις σκάνδαλον.» Καί τοι πῶς οὐκ ἄμεινον, καὶ τοῖς ἄγαν ἐπιεικέσιν ὅτι μάλιστα πρέπει τὸ χαλινὸν ὥσπερ ἔχειν ἐν 68.564 γλώττῃ, καὶ τὴν ἐφ' ὁτῳοῦν, μᾶλλον δὲ ἀνθρώπῳ παντὶ παραιτεῖσθαι κατάῤῥησιν; Μὴ καταλαλεῖτε γὰρ, φησὶν, ἀδελφοί μου, ἀλλήλων, τοῦ Σωτῆρος ὁ μαθητής. Νῦν δέ φησιν ὁ νόμος· «Οὐ κακῶς ἐρεῖς κωφὸν,» δι' αἰνίγματος, οἶμαί που, κατασημαίνειν ἐθέλων τὸ δεῖν ἀναγκαίως τούς γε ὡς ἀληθῶς ἐπιεικεῖς τὸν τρόπον, ἀποφοιτᾷν ἀδικίας, κἂν εἰ τὸ παθεῖν ἑτοίμως δύνασθαι συμβαίνῃ τισί· κωφὸς μὲν γὰρ ἢ τυφλὸς, ἀῤῥωστίας οὐκ ἐλεύθεροι· νοσοῦσι γὰρ δὴ τὰ ἀπὸ σώματος, καὶ τὰς αἰσθήσεις πεπήρωνται, ὄψιν δὲ λέγω καὶ ἀκοήν. Καὶ οὐκ ἂν ἀκούσειεν ὁ κωφὸς τοῦ καταλαλεῖν ἐθέλοντος, ἀλλ' οὐδ' ἂν καταθεῷτο τυφλὸς τὸν προστιθέντα σκάνδαλον. Λαθεῖν οὖν ἄρα χαλεπὸν οὐδὲν, κἂν εἰ βούλοιτό τις ἐπιβουλεύειν αὐτοῖς. Ἀλλ' οὓς ἔδει μᾶλλον ἐλεῖν, ὡς ἠῤῥωστηκότας ἤδη τῆς οἴκοθεν συμφορᾶς, καὶ προσαδικοῦντες ἁλώσονται, σκανδάλῳ μὲν τὸν τυφλὸν οὐκ εἰδότα συντρίβοντες, λοιδορίαις δὲ τὸν κωφὸν, ὡς ἐπ' εὐφημίαις, ἔσθ' ὅτε καὶ μειδιᾷν ἀναπείθοντες, πλήττοντές γε μὴν καὶ εἰς αὐτά που πολλάκις τὰ καιριώτατα. Οὐκοῦν κεκρυμμένη μὲν, εἴπερ ἕλοιτό τις, ἡ ἐπ' ἀμφοῖν ἂν γένοιτο κακουργία, σκληρότητος δὲ καὶ τῆς ἄγαν μισαλληλίας οὐκ ἂν διεξοίχοιτο γραφήν. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Φιλαλλήλους γὰρ ὅτι καὶ φιλοικτίρμονας, καὶ τὸ ἀρχαῖον ἡμᾶς καθίστησι θέσπισμα, ῥᾶον ἂν μάθοις ἐπαΐων λέγοντος, ὁτὲ μὲν, ὅτι «Ἀνοίγων ἀνοίξεις τὰ σπλάγχνα σου τῷ ἀδελφῷ σου τῷ ἐπιδεομένῳ ἐν σοί·» ὁτὲ δὲ αὖ, «Καὶ προσήλυτον οὐ κακώσετε, οὐδὲ μὴ θλίψετε αὐτόν· ἦτε γὰρ προσήλυτοι ἐν γῇ Αἰγύπτου. Πᾶσαν χῆραν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀρφανὸν οὐ κακώσετε· ἐὰν δὲ κακίᾳ κακώσητε αὐτοὺς, καὶ κράξαντες καταβοήσωσι πρὸς μὲ, ἀκοῇ εἰσακούσομαι τῆς φωνῆς αὐτῶν, καὶ ὀργισθήσομαι θυμῷ, καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ, καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι, καὶ τὰ παιδία ὑμῶν ὀρφανά. Ἐὰν δὲ ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ σου πενιχρῷ τῷ παρὰ σοὶ, οὐκ ἔσῃ αὐτὸν κατεπείγων, οὐδὲ ἐπιθήσεις αὐτῷ τόκον· ἐὰν δὲ ἐνεχύρασμα ἐνεχυράσῃς τὸ ἱμάτιον τοῦ πλησίον σου, πρὸ δυσμῶν ἡλίου ἀποδώσεις αὐτῷ. Ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτοῦ μόνον, τοῦτο τὸ ἱμάτιον ἀσχημοσύνης αὐτοῦ· ἐν τίνι κοιμηθήσεται; ἐὰν οὖν καταβοήσῃ πρός με, εἰσακούσομαι αὐτοῦ· ἐλεήμων γάρ εἰμι.» Ἀκούεις ὅπως τὸ γλυκὺ τῆς φιλαλληλίας μάθημα προτιθεὶς, προσηπείλησε τὴν ὀργήν; μονονουχὶ δὲ καὶ ἀπολογεῖται χρηστῶς τοῖς αὐτὴν ὑπομεῖναι μέλλουσιν, εἰ μὴ ποιοῖντο διὰ σπουδῆς τὴν εἰς ἀδελφοὺς εὐσπλαγχνίαν; Ἐλεήμων γάρ εἰμι, φησὶ, τουτέστιν, ἀγαθὸς ὢν κατὰ φύσιν, καὶ οἰκτίρμων ὡς Θεὸς, προσδέξομαι πάντως τὴν τοῦ παθόντος καταβοὴν, καὶ ἐλεήσω προχείρως τῶν τῇ πενίᾳ κατηχθισμένων τὸ δάκρυον. Παραιτητέον οὖν ἄρα τοῦ πένητος τὴν κατάῤῥησιν. Ὅτι γὰρ εἶναι προσήκει κοινωνικοὺς, καὶ σπουδῆς ἀξιοῦν τῆς προὐργιαιτάτης τὴν φιλοπτωχίαν, ἐκδεδυσώπηκε πάλιν ἐν τῷ Δευτερονομίῳ, λέγων, «Οὐκ ἀποστερήσεις μισθὸν πένητος, ἢ ἐνδεοῦς ἐκ τῶν ἀδελφῶν σου, ἢ ἐκ τῶν προσηλύτων 68.565 τῶν ἐν ταῖς πόλεσί σου, αὐθημερινὸν ἀποδώσεις τὸν μισθὸν αὐτοῦ. Οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ' αὐτῷ, ὅτι πένης ἐστὶ, καὶ ἐπ' αὐτῷ ἔχει τὴν ἐλπίδα· καὶ οὐ καταβοήσεται κατὰ σοῦ πρὸς Κύριον, καὶ οὐκ ἔσται ἐν σοὶ ἁμαρτία.» Συνίῃς οὖν ὅτι τοῦ πένητος τὴν καταβοὴν κατοῤῥωδεῖν ἀναπείθει, συνελαύνων εἰς φιλαλληλίαν; καὶ ἡ μὲν νέα τε καὶ διὰ Χριστοῦ Γραφὴ, τὸ τελείως ἀγαθὸν εἰσφέρουσα, «Πωλήσατε τὰ ὑπάρχοντα, φησὶ, καὶ δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα εὔοδα ὑμῖν ἔσται·» ὃ δὴ καὶ δεδράκασι τῶν πεπιστευκότων τινές. «Προσεκόμιζον γὰρ χωρίων τε καὶ οἰκιῶν τιμὰς, καὶ ἐτίθεσαν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, διεδίδοτο δὲ ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν.» Ἐπειδὴ δὲ στοιχειωτής ἐστιν ὁ νόμος, καὶ εἰς ἀρχὰς ἀποφέρει τῶν λογίων τοῦ Θεοῦ, προμελέτησιν ὥσπερ τινὰ τῆς εἰς τοῦτον τρίβου ποιεῖσθαι προστάττει τὸ ὡς ἐν ὀλίγοις ἄφθονον, διὰ τοῦτό φησιν· «Ἐὰν δὲ ἀμήσῃς ἀμητόν σου ἐν τῷ ἀγρῷ σου, καὶ ἐπιλάθῃ δράχμα ἐν τῷ ἀγρῷ σου, οὐκ ἀναστραφήσῃ λαβεῖν αὐτό· τῷ πτωχῷ, καὶ τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται, ἵνα εὐλογήσῃ σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις τῶν χειρῶν σου· ἐὰν δὲ ἐλαιολογῇς οὐκ ἐπαναστρέψεις καλαμήσασθαι τὰ ὀπίσω σου, τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται, καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτου, διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο. Ἐὰν δὲ τρυγήσῃς τὸν ἀμπελῶνά σου, οὐκ ἐπανατρυγήσῃς αὐτὸν τὰ ὀπίσω σου, τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται, καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ. Διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.» Καλὸν γὰρ ἐν εὐθυμίαις τὸ διαμεμνῆσθαι πόνων, καὶ θλίψεως τῆς ἀρχαιοτέρας· καλεῖ γὰρ τὸ χρῆμα πρὸς φιλοπτωχίαν, καὶ τῆς εὐημερίας τὸ πλάτος, ἀμνημονεῖν οὐκ ἐᾷ τῶν ἐν ἐνδείᾳ κακῶν. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Θέα δὲ ὅπως ἡμᾶς εὐτεχνέστατα καὶ λίαν ἀστείως ἀπεθίζει μὲν τῶν χειρόνων, καὶ ἀποσπουδάζειν ἀναπείθει τὸ ἀσυμπαθὲς, προσάγει δὲ τοῖς ἀμείνοσι, καὶ τοῖς τῆς φιλαλληλίας ἐμβιβάζει τρόποις· προτρέπει μὲν γὰρ εἴ του δέοιντο τυχὸν, ἐκδανείζειν ἀδελφοῖς, ἀπείργει δὲ τόκων, καὶ διωθεῖσθαι προστάττει πλεονασμούς. Προσεπιτάξας δὲ δεῖν μὴ εἶναι φορτικοὺς, μήτε μὴν ἐγκεῖσθαι τοῖς ὠφληκόσιν, ἄφεσιν χρεῶν ποιεῖσθαι κελεύει. Γράφει δὲ οὕτως· «Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργυρίου, καὶ τόκον βρωμάτων, καὶ τόκον παντὸς πράγματος, οὗ ἐὰν ἐκδανείσῃς τῷ ἀλλοτρίῳ, οὐκ ἐκτοκιεῖς· ἵνα εὐλογήσῃ Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις σου ἐπὶ τῆς γῆς, ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν.» Ὅσον μὲν γὰρ ἧκεν εἴς γε τὴν τοῦ νομοθέτου βούλησιν, προὔκειτο ἂν ἀφθόνως, ὡς ὀθνείῳ τε ὁμοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀδελφοῖς τὸ τῶν ἐν πλάτει περιουσίας, δεξιὸν καὶ φιλότιμον· «Παντὶ γὰρ τῷ αἰτοῦντί σε δίδου, φησὶν ὁ Χριστὸς, καὶ ἀπὸ τοῦ 68.568 αἴροντος τὰ σὰ, μὴ ἀπαίτει.» Ἐπειδὴ δὲ οὐκ ἄγαν εὐσθενὴς τῶν ἐν ἀρχαῖς ἐπὶ δικαιοσύνῃ ὁ νοῦς, εἴς γε τὸ περαίνειν ἀμωμήτως δύνασθαι τὸ ἀγαθὸν, κατὰ βραχὺ πρόεισιν ἐπ' αὐτὸ παιδαγωγῶν ὁ νόμος, καὶ τὸν τῆς δικαιοσύνης τρόπον ἐπιμετρεῖται· ὡς εἰς ἀδελφοὺς καὶ γείτονας, τῆς εὐσπλαγχνίας τὸ ἀκριβὲς, καὶ τὸ εἰς ὀθνείους ἄφθονον, καὶ τὸ εἰς ἅπαντας κοινωνικὸν, παιδαγωγίᾳ τηρῶν τῇ τελεωτέρᾳ, μέχρι γὰρ καιροῦ διορθώσεως αἱ σκιαί· καιρὸς δὲ ἦν οὗτος ὁ τῆς Χριστοῦ παρουσίας. {ΠΑΛΛ.} Ἀστειότατα ἔφης. {ΚΥΡ.} Προσεπιτάξας δὴ οὖν τὸ χρῆναι διακιχρᾷν, καὶ πλεονασμοὺς ἀποτεμὼν, καὶ τοῖς τοῦτο δρᾷν ἑλομένοις εὐλογίαν ὑπισχνούμενος, ἑπτὰ τοῖς ὀφλήμασιν ἐπελιττομένων ἐνιαυτῶν, ἀνεῖναι προστάττει, τὸν τῆς ἁπάντων ἀφέσεως τιμῶντας καιρὸν, τουτέστι, τῆς τοῦ Χριστοῦ παρουσίας, καθ' ὃν οἱ πάντες δεδικαιώμεθα τῇ πίστει, τῶν ἀρχαίων πλημμελημάτων τὴν ἀμνηστίαν ἀποκερδαίοντες, προσηλώσαντος αὐτοῦ τῷ ἰδίῳ σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον, καὶ οὓς ὠφλήσαμεν λόγους τῷ κριτῇ, πεποιηκότος ἐκ μέσου. Λέγει δὲ οὕτω πάλιν ἐν τῷ Δευτερονομίῳ· «Δι' ἑπτὰ ἐτῶν ποιήσεις ἄφεσιν, καὶ οὕτως τὸ πρόσταγμα τῆς ἀφέσεως· Ἀφήσεις πᾶν χρέος ἴδιον, ὃ ὀφείλει σοι ὁ πλησίον, καὶ τὸν ἀδελφόν σου οὐκ ἀπαιτήσεις, ὅτι ἐπικέκληται ἄφεσις Κυρίῳ τῷ Θεῷ σου. Τὸν ἀλλότριον ἀπαιτήσεις ὅσα ἐὰν ᾖ σοι παρ' αὐτῷ. Τῷ δὲ ἀδελφῷ σου ἄφεσιν ποιήσεις τοῦ χρέους σου, ὅτι οὐκ ἔσται ἐν σοὶ ἐνδεὴς, ὅτι εὐλογῶν εὐλογήσει σε Κύριος ὁ Θεός σου ἐν τῇ γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ κατακληρονομῆσαι αὐτήν.» Καὶ μεθ' ἕτερα πάλιν· «Ἐὰν δὲ γένηται ἐν σοὶ ἐνδεὴς ἐκ τῶν ἀδελφῶν σου, ἐν μιᾷ τῶν πόλεών σου, ἐν τῇ γῇ ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐκ ἀποστρέψεις τὴν καρδίαν σου, οὐδὲ μὴ συσφίγξῃς τὴν χεῖρά σου ἀπὸ τοῦ ἀδελφοῦ σου, τοῦ ἐπιδεομένου. Ἀνοίγων ἀνοίξεις τὴν χεῖρά σου αὐτῷ, δάνειον δανιεῖς αὐτῷ ὅσον ἂν ἐπιδέηται, καὶ καθ' ὅσον ὑστερεῖται. Πρόσεχε σεαυτῷ μήποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα λέγων· Ἐγγίζει τὸ ἔτος τὸ ἕβδομον, ἔτος τῆς ἀφέσεως, καὶ πονηρεύσηται ὁ ὀφθαλμός σου τῷ ἀδελφῷ σου τῷ ἐπιδεομένῳ, καὶ οὐ δῷς αὐτῷ, καὶ βοήσεται κατὰ σοῦ πρὸς Κύριον, καὶ ἔσται σοι ἁμαρτία μεγάλη· διδοὺς δώσεις αὐτῷ, καὶ δάνειον δανιεῖς αὐτῷ ὅσον ἂν ἐπιδέηταί σου, καὶ οὐ λυπηθήσῃ τῇ καρδίᾳ σου, διδόντος σοῦ αὐτῷ· ὅτι διὰ τὸ ῥῆμα τοῦτο εὐλογήσει σε Κύριος ὁ Θεός σου, ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν πᾶσιν οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου.» Οὐ λυπηθήσῃ, φησὶ, τῇ καρδίᾳ διδόντος σοῦ αὐτῷ· «Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεὸς,» κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. {ΠΑΛΛ.} Εἶτα πῶς τὸ ἔτος τὸ ἕβδομον τοῦτο τὴν τοῦ Σωτῆρος ἡμῶν καταδηλοῖ παρουσίαν, καθ' ἣν ὁ τῆς ἁπάντων ἀφέσεως ἀνεδείχθη καιρὸς, ἤτοι τετελείωται τρόπος; 68.569 {ΚΥΡ.} Ἢ οὐ μεμνήσῃ διειρηκότων ἡμῶν καὶ ἐν τοῖς ἤδη παρῳχηκόσιν, ὅτι σύνηθες τῇ θείᾳ Γραφῇ, τοῦ παρόντος καὶ ἐνεστηκότος αἰῶνος τὸ σύμπαν διάστημα παρομοιοῦν ἑβδομάδι, διὰ τὴν εἰς τὸ ἀπαρχῆς τῶν ἡμερῶν ἀνακύκλωσιν; πέρας γὰρ ἑβδομάδος, τὸ Σάββατον, καὶ γείτων εὐθὺς ἡ ὀγδόη, νέαν ἡμῖν ὥσπερ αἰῶνος ἀρχὴν εἰσκομίσουσα, διὰ τῆς ἀναστάσεως τοῦ Χριστοῦ. {ΠΑΛΛ.} Μεμνήσομαι. {ΚΥΡ.} Ἐπιδεδήμηκε τοίνυν κατὰ τὰς Γραφὰς, ἐπὶ συντελείᾳ τοῦ παρόντος αἰῶνος, καὶ οἱονεί πως ἐν Σαββάτῳ Χριστὸς, ὅτε καὶ ἀνῆκεν ἅπαντας, σειραῖς τῶν οἰκείων ἁμαρτιῶν κατεσφιγμένους, καὶ ἐπωφληκότας αὐτῷ τοὺς τῆς παραβάσεως λόγους. Τοιγάρτοι καὶ ἐν τοῖς Εὐαγγελίοις, ὀφειλέταις ἡμᾶς παρεικάζει λέγων· «Δύο χρεωφειλέται ἦσαν ἀνθρώπῳ ἑνί· ὁ εἷς ὤφειλεν αὐτῷ δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. Μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο.» Καὶ πρὸς τούτοις ἔτι τὸν τῆς προσευχῆς ἡμῖν διαπλάττων τύπον, «Οὕτως οὖν ὑμεῖς προσεύχεσθε, φησί· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.» Πλαγίως οὖν ἄρα καὶ αἰνιγματωδῶς ὁ νόμος τὸ θεῖον ἡμῖν ὑπεδήλου μυστήριον, ἄφεσιν ποιεῖσθαι προστάττων τὴν δι' ἐτῶν ἑπτὰ, καὶ ταῖς τῆς χρηστότητος ἐμβιβάζει τρίβοις, χρημάτων ἀμείνω ποιεῖσθαι διδάσκων, τὴν εἰς ἀδελφοὺς ἀγάπησιν, εὐμεταδότους τε εἶναι καὶ κοινωνικοὺς ἀναπείθων, καὶ οἱονεὶ μελέτησίν τινα τῆς εἰς ἅπαντας ἀφθονωτέρας αἰδοῦς, τὴν εἰς ἀδελφὸν καὶ γείτονα τέως ἡμερότητα τιθείς. {ΠΑΛΛ.} Ὧδε ἔχει. Συναινέσαιμι γὰρ ἀριστοεπεῖν ἐθέλοντί σοι. {ΚΥΡ.} Καὶ τὸ ἔτι μεῖζον, εἰ μάθοις, καταθαυμάσαις ἂν, ὦ Παλλάδιε. {ΠΑΛΛ.} Τὸ ποῖον; {ΚΥΡ.} Χρηστότητος γὰρ καὶ φιλαλληλίας εἰς τοῦτο προήκειν ἡμᾶς ὁ νόμος βούλεται, ὡς οὐδὲν ἡγεῖσθαι, τῆς εἰς ἀδελφοὺς ἀγάπης τὸ ἰσοστατοῦν. Κατακολουθεῖν δὲ οὕτω γεννικῶς ταῖς ἐπ' αὐτοῖς δυσθυμίαις, ὡς καὶ ὀργῆς ὁρᾶσθαι κρείττονας, κἂν εἰ μὴ γένοιντο πρὸς ἡμᾶς ὁποίους εἶναί τε καὶ ὁρᾶσθαι χρὴ, καὶ ταῖς ἀφιλοστοργίαις ἕλοιντο λυπεῖν. Ἔχεις καὶ τοῦδε τὸν τύπον ἐν τοῖς Ἀριθμοῖς· «Καὶ ἀπέστειλε γὰρ, φησὶν, ὁ Μωσῆς ἀγγέλους ἐκ Κάδης πρὸς βασιλέα Ἐδὼμ, λέγων· Τάδε λέγει ὁ ἀδελφός σου Ἰσραήλ· Σὺ ἐπίστῃ πάντα τὸν μόχθον τὸν εὑρόντα ἡμᾶς, καὶ κατέβησαν οἱ πατέρες ἡμῶν εἰς Αἴγυπτον, καὶ παρωκήσαμεν ἐν Αἰγύπτῳ ἡμέρας πλείους, καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι καὶ τοὺς πατέρας ἡμῶν, καὶ ἀνεβοήσαμεν πρὸς Κύριον, καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς ἡμῶν, καὶ ἀποστείλας ἄγγελον, ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου, καὶ νῦν ἐσμεν ἐν Κάδης πόλει, ἐκ 68.572 μέρους τῶν ὁρίων σου. Παρελευσόμεθα διὰ τῆς γῆς σου, οὐ διελευσόμεθα δι' ἀγρῶν, οὐδὲ δι' ἀμπελώνων, οὐδὲ πιόμεθα ὕδωρ ἐκ λάκκου σου, ὁδῷ βασιλικῇ πορευσόμεθα, οὐκ ἐκκλινοῦμεν δεξιὰ οὐδὲ εὐώνυμα, ἕως ἂν παρέλθωμεν τὰ ὅριά σου. Καὶ εἶπε πρὸς αὐτὸν Ἐδώμ· Οὐ διελεύσῃ δι' ἐμοῦ, εἰ δὲ μὴ, ἐν πολέμῳ ἐξελεύσομαι εἰς συνάντησίν σοι. Καὶ λέγουσιν αὐτῷ οἱ υἱοὶ Ἰσραήλ· Παρὰ τὸ ὄρος παρελευσόμεθα· ἐὰν δὲ τοῦ ὕδατός σου πίωμεν ἐγώ τε καὶ τὰ κτήνη μου, δώσω τιμήν σοι· Ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστι, παρὰ τὸ ὄρος παρελευσόμεθα. Ὁ δὲ εἶπεν· Οὐ διελεύσῃ δι' ἐμοῦ. Καὶ ἐξῆλθεν Ἐδὼμ εἰς συνάντησιν αὐτῷ ἐν ὄχλῳ βαρεῖ, καὶ ἐν χειρὶ ἰσχυρᾷ. Καὶ οὐκ ἠθέλησεν Ἐδὼμ δοῦναι τῷ Ἰσραὴλ παρελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ, καὶ ἐξέκλινεν Ἰσραὴλ ἀπ' αὐτοῦ.» Ἀκούεις ὅπως, οἱ μὲν ἐξ αἵματος Ἰσραὴλ, τὰς ἐν Αἰγύπτῳ ταλαιπωρίας χρησίμως ἀπαριθμούμενοι, καὶ τῆς πλεονεξίας τοὺς τρόπους ἄνω τε καὶ κάτω συντιθέντες, ἀστείως τὴν οὐδὲν ἀδικοῦσαν αἰτοῦσι χάριν, μονονουχὶ συλλήπτορα ποιεῖσθαι σπουδάζοντες τὸν ὁμογενῆ· καὶ γὰρ ἦσαν ἐξ Ἠσαῦ ἀδελφοὶ Ἰακώβ· οἱ δὲ καίτοι κατοικτεῖραι δέον, ἐφεῖναί τε δρᾷν ὅπερ ἂν εἰδεῖεν χρήσιμόν τε καὶ ἐπωφελὲς αὐτῶν, σκληροί τε καὶ ἀτεράμονες καὶ συναλγεῖν οὐκ εἰδότες, δι' αὐτῶν ἠλέγχοντο τῶν πραγμάτων· ἐξείργουσι γὰρ ὁδοῦ, καίτοι λέγοντος ἐναργῶς τοῦ λαοῦ, μήτε ἀμπελῶσι, μήτε ἀγρῶν εὐκαρπίαις κατασίνεσθαί ποι, ἀλλὰ καὶ ὕδωρ ἀντλήσειν οὐκ ἀνάργυρον. Ὁ δὲ, εἰ μὴ βούλοιντο τῶν αἰτηθέντων ἀποχωρεῖν, οὐ προσηπείλησε μόνον τὴν ἔφοδον, ἀλλ' ἦν καὶ ἐν ὅπλοις ἤδη, καὶ πανστρατὶ, παρετάττετο. Καὶ τί δὴ πρὸς τοῦτο; κρείττων ἦν μικροψυχίας ὁ Ἰσραήλ· ἐξέκλινε γὰρ ἀπ' αὐτοῦ, φησὶ, τὸ πρὸς ἀδελφοὺς δύσερι παρωθούμενος, καὶ τῆς ἀγχιστείας τὸν νόμον, ταῖς ἄγαν ἀνεξικακίαις ἐκτετιμηκώς. Ἢ οὐχ ὧδε ἔχειν οἰήσῃ ταυτί; {ΠΑΛΛ.} Καὶ πάνυ. {ΚΥΡ.} Οὐκοῦν τὸ θυμοὺς ἀνακόπτειν καὶ ἀνασειράζειν ὀργὰς, καὶ ἐπιμετρεῖν ἀναλόγως τὰς δίκας τοῖς ἑκάστου πταίσμασι, καὶ μὴν καὶ τὸ δεῖν ὀρθὰς καὶ ἀδιαβλήτους παντελῶς πράττεσθαι πρὸς ἡμῶν τὰς ἐφ' ἑκάστῳ κρίσεις, ἀγάπης εἶναι λογιούμεθα τῆς εἰς ἀδελφοὺς καρπόν τε καὶ ἀποτέλεσμα. {ΠΑΛΛ.} Καὶ μάλα δικαίως. {ΚΥΡ.} Πάρα δὴ οὖν ἐθέλοντί σοι, διαπείθεσθαι πάλιν, ποτὲ μὲν λέγοντος, «Καὶ οὐ μηνιεῖς τοῖς υἱοῖς τοῦ λαοῦ σου·» ποτὲ δὲ αὖ· «Ἐὰν δὲ γένηται ἀντιλογία ἀνὰ μέσον ἀνθρώπων, καὶ προσέλθωσιν εἰς κρίσιν, καὶ κρίνωσι καὶ δικαιώσωσι τὸν δίκαιον καὶ καταγνῶσι τοῦ ἀσεβοῦς, καὶ ἐὰν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄξιος ᾖ πληγῶν ὁ ἀσεβῶν, καὶ καθιεὶς αὐτὸν ἐναντίον τῶν κριτῶν, καὶ μαστιγώσουσιν αὐτὸν ἐναντίον αὐτοῦ, κατὰ τὴν ἀσέβειαν αὐτοῦ, ἀριθμῷ τεσσαράκοντα μαστιγώσουσιν αὐτὸν, οὐ προσθήσουσιν, ἐὰν δὲ προσθήσωσι μαστιγῶσαι αὐτὸν, ὑπὲρ ταύτας τὰς πληγὰς πλείους, ἀσχημονήσει ὁ ἀδελφός σου ἐναντίον σου.» 68.573 {ΠΑΛΛ.} Καὶ τίς ἂν ὀρῷτο πάλιν ἡμῖν ὁ λόγος, τοῦ χρῆναι πληγαῖς ἀριθμῷ τεσσαράκοντα μόναις καταπαίεσθαι τοὺς κατεγνωσμένους; αἰσχύνει δὲ ὅπως τινὰς, τὸ ὑπὲρ τούτου φράσον. {ΚΥΡ.} Κατὰ πολλοὺς ἡμῖν τρόπους τὸ Χριστοῦ μυστήριον σκιαγραφεῖται καλῶς διὰ τῆς ἀρχαίας ἐντολῆς, καὶ τὸ σωτήριον ἡμῖν οἱονεὶ πλαστουργεῖται πάθος, ἐν ᾧ, καὶ δι' οὗ παντὸς ἀπηλλάγμεθα τοῦ κακοῦν ἰσχύοντος, καὶ ἀνηκέστοις ἡμᾶς ἐνιέντος συμφοραῖς· καὶ ὥσπερ ἔναγχος ἔφην, τὸ δι' ἑπτὰ ἐτῶν ἀνεῖσθαι τοὺς ὠφληκότας, τὸν τῆς ἁπάντων ἀφέσεως καιρὸν ὑπαινίττεται. Δεδικαιώμεθα γὰρ ἐν Χριστῷ, καὶ δεδιδάγμεθα λέγειν ἐν προσευχαῖς, πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεὸν, «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν·» οὕτω κἀνθάδε, τὸ μέχρι πληγῶν τεσσαράκοντα προήκειν τοῖς παίουσιν, ἤτοι παιομένοις τὰς διὰ μαστίγων αἰκίας, τὸν τριπόθητον ἡμῖν τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς ἀποφαίνει καιρὸν, καθ' ὃν τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, καὶ μεμαλάκισται μὲν αὐτὸς διὰ τὰς ἁμαρτίας ἡμῶν, ἐμπαροινησάντων εἰς αὐτὸν τῶν ἐξ Ἰσραὴλ, καὶ τὰς κατὰ νώτων πληγὰς ἐπενεγκόντος Πιλάτου, ποινῆς δὲ ἡμεῖς καὶ κολάσεως ἐξῃρήμεθα. Πάλαι γὰρ ἦσαν πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, κατὰ τὸ γεγραμμένον, ἀλλ' ὑπὲρ ἡμῶν ἐμαστίχθη Χριστός· ὥσπερ γὰρ ὑπὲρ πάντων ἀπέθανεν, οὕτω καὶ ὑπὲρ πάντων ἐμαστιγοῦτο πάλιν, εἷς ὢν ὁ πάντων ἀντάξιος. Τὸν δέ γε τεσσαρακονθήμερον ἀριθμὸν εἰς τὸν πεντάκις ὀκτὼ κατατεμὼν, χρήσιμον εὑρήσεις τῇ τοῦ καιροῦ σημασίᾳ, τὸν πέντε καὶ τὸν ὀκτὼ, ἐπιδεδήμηκε γὰρ ὁ Μονογενὴς ἐν πέμπτῳ καιρῷ, κατά γε τὴν Εὐαγγελικὴν παραβολήν· Ἐμισθοῦτο γάρ τις εἰς τὸν ἀμπελῶνα τοὺς ἐργάτας· ἐξελθὼν δὲ περὶ τὴν ὥραν πρώτην, τρίτην τε καὶ ἕκτην, καὶ ἐννάτην καὶ ἑνδεκάτην· ἐγήγερται δὲ κατὰ τὴν ὀγδόην, τοῦ θανάτου καταλύσας τὸ κράτος, καὶ τῆς ἐπεισάκτου φθορᾶς τὴν μητέρα συνδιολλὺς αὐτῷ, τοῦτ' ἔστιν, ἁμαρτίαν, ἧς ἀνῃρημένης, ἀργεῖν ἀνάγκη καὶ μάστιγας, καὶ τὰς δι' αὐτὴν ποινὰς καὶ κολάσεις. Οὐκ ἐᾷ τοιγαροῦν ὁ νόμος ὑπερτρέχειν ἔτι τὴν μάστιγα τὸν τεσσαρακοστὸν ἀριθμὸν, μέχρι τῆς Χριστοῦ παρουσίας καὶ οἱονεί πως ἱστὰς τὰ κολαστήρια, καὶ τὸν τῆς ἀφέσεως κατασημαίνων καιρόν. Τῆς γὰρ ἀληθείας οἱ τύποι τὸ κάλλος ὠδίνουσιν. Ἰστέον δὲ ὅτι προσκρούσας ὁ Ἰσραὴλ, τεσσαρακοστὸν ἔτος ἐπλανᾶτο τὴν ἔρημον· ὅρκῳ γὰρ ὤμοσεν ὁ Θεὸς, μὴ εἰσάξειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Καὶ ἦν ὅρος οὗτος αὐτοῖς τῆς ὀργῆς, παρῳχηκότος δὲ τοῦ καιροῦ, λέλυται μὲν ἡ ὀργὴ, διέβησαν δὲ τὸν Ἰορδάνην οἱ ἐξ αὐτῶν, καὶ εἰσέφρησαν εἰς τὴν γῆν, οὐχ ὑπερδραμούσης τῆς ἀγανακτήσεως τὸ τεσσαρακοστὸν ἔτος. Τύπος οὖν ἄρα καὶ τοῦδε σαφὴς, τὸ μέχρι πληγῶν τεσσαράκοντα καταπαίεσθαι τινὰς, ἀφέσεως γὰρ ὁ μετὰ τοῦτο καιρὸς, διάβασιν ἡμῖν εἰσφέρων τὴν τοῦ Ἰορδάνου τὴν μυστικὴν, καὶ μὴν καὶ μαχαίρας πετρίνας, ὅ ἐστι, τὴν ἐν πνεύματι περιτομὴν, καὶ τὴν Ἰησοῦ στρατη 68.576 γίαν· γέγονε γὰρ ἡμῖν καθηγητὴς ὁ Χριστὸς, μετὰ Μωσέα καὶ νόμον. {ΠΑΛΛ.} Πείθομαι. {ΚΥΡ.} Ἵνα τοίνυν ὀρθῶς τε καὶ ἀδεκάστως τὰ παρεμπίπτοντα διακρίνοιτο, καὶ οἱ τῆς πλεονεξίας ἀφανίζοιντο τρόποι, «Κριτὰς, φησὶ, καὶ γραμματοεισαγωγεῖς καταστήσεις σεαυτῷ ἐν πάσαις ταῖς πόλεσί σου, αἷς Κύριος ὁ Θεὸς δίδωσί σοι, κατὰ φυλὰς καὶ κρινοῦσι τὸν λαὸν δικαίαν κρίσιν. Οὐκ ἐκκλινοῦσι κρίσιν, οὐδὲ ἐπιγνώσονται πρόσωπον, οὐδὲ λήψονται δῶρα· τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ἐξαίρει λόγους δικαίων.» Ὤετο γὰρ δεῖν ὁ νόμος, καὶ μάλα εἰκότως τοὺς οἵπερ ἂν εἶεν εἰς τὸ δικάζειν ἡγμένοι, καὶ τοῦ χρηματίζεσθαι φιλεῖν ὁρᾶσθαι βελτίους, καὶ τῇ πρός τινας αἰδοῖ μὴ χαριζομένους τοῦ καλῶς καὶ ἀδιαβλήτως ἔχοντος τὴν παράβασιν, καὶ μὴν καὶ τὸ ἑτεροκλινὲς, ὡς ἀνόσιον ἀποσειομένους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταλαντεύοντάς τε συννόμως ἕκαστα τῶν πραγμάτων, καὶ τὸν τῶν ὅλων ἀπομιμεῖσθαι κριτὴν, τοῦτ' ἔστι, Χριστὸν, ὃν καὶ αὐτὸς ὁ νόμος προαναπεφώνηκεν ἐναργῶς, καὶ κριτὴν ὄντα εἰδὼς ὡς Θεόν. Ἔφη δὲ οὕτω πάλιν· «Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ, καὶ κληρονομήσῃς αὐτὴν, καὶ κατοικήσῃς ἐπ' αὐτῆς, καὶ εἴπῃς, Καταστήσω ἐπ' ἐμαυτὸν ἄρχοντα καθὰ καὶ τὰ λοιπὰ ἔθνη τὰ κύκλῳ μου, καθιστῶν καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου, αὐτὸν ἐκ τῶν ἀδελφῶν σου καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα· οὐ δυνήσῃ καταστῆσαι ἐπὶ σεαυτὸν ἄνθρωπον ἀλλότριον, ὅτι οὐκ ἀδελφός σού ἐστιν.» Οὐ δεῖ γὰρ ἡμᾶς τῇ κτίσει λατρεύειν παρὰ τὸν κτίσαντα Θεὸν, ἱέντας ὡς ἐσωτάτω τοῖς τῆς ἀληθείας προσκλίνεσθαι λόγοις, καὶ εἰσκαλέσαι μὲν ὥσπερ εἰς γῆν τὴν ἁγίαν, τοῦτ' ἔστι, τὴν ἐπαγγελίαν τοῦ Θεοῦ τὴν διὰ πίστεως τῆς ἐν Χριστῷ· καταστῆσαι δὲ οὕτως ἐφ' ἑαυτοῖς ἄρχοντα καὶ κριτὴν τὸν ἐκ Θεοῦ πεφυκότα Υἱὸν, κἂν εἰ νοοῖτο μετὰ σαρκός· λέγει τε περὶ ἡμῶν· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου.» Ἕτερόν γε μὴν ἐπ' αὐτῷ τὸ σύμπαν, οὐδένα παραδεξόμεθα, καὶ τοῖς ὀθνείων ζυγοῖς οὐχ ὑποίσομεν τὸν αὐχένα· εἷς γὰρ ἡμῖν ἐστι καθηγητὴς ὁ Χριστός. Ἰουδαῖοι γὰρ οἱ τάλανες ἔξω μεμενήκασι δι' ἀπιστίαν, καὶ ἥκιστα μὲν ἐφ' ἑαυτοῖς εἰς ἄρχοντά τε καὶ κριτὴν κατεδέξαντο τὸν Χριστὸν, καί τοι κατηγμένον ἐξ οὐρανοῦ, θελήσει τε καὶ εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ πρὸς τούτοις ὅτι καὶ ἄνθρωπον ἀλλότριον ἐφ' ἑαυτοῖς κεχειροτονήκασι τὸν τῆς ἀπωλείας υἱὸν, τοῦτ' ἔστι, τὸν Ἀντίχριστον, ἔκφυλόν τε καὶ ἀλλογενῆ, καὶ οὐδ' ἐξ αἵματος Ἰσραὴλ, καί τοι τοῦ νόμου διειπόντος σαφῶς, «Οὐ δυνήσῃ καταστῆσαι ἐπὶ σεαυτὸν ἄνθρωπον ἀλλότριον, ὅτι οὐκ ἀδελφός σού ἐστιν.» Ἤκουον δὲ λέγοντος καὶ αὐτοῦ τοῦ Χρι 68.577 στοῦ· «Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβάνετέ με. Ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.» Ἐπιδεδήμηκε γὰρ ὁ Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. Ἥξει δὲ κατὰ καιροὺς ὁ τῆς ἀνομίας υἱὸς, οὐκ εἰς δόξαν Θεοῦ Πατρὸς, τοῦτο γὰρ οἶμαι εἶναι τὸ, Ἐν τῷ ὀνόματι τοῦ Πατρὸς, ἀλλ' ἰδίᾳ κεφαλῇ περιτιθεὶς ὁ δείλαιος τὸ τῆς θεότητος ὄνομα. «Καθιεῖται γὰρ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἀποδεικνὺς ἑαυτὸν, ὅτι ἐστὶ Θεός.» Ἀλλ' οὐκ ἂν αὐτῷ προσκυνήσουσιν Ἰουδαῖοι, οὐδ' ἂν ὡς Χριστὸν παραδέξαιντό ποτε τηροῦντες τὸν νόμον· ἐξ αἵματος γὰρ Ἰσραὴλ ἀναφύναι Χριστὸν, προμεμήνυκεν ἐναργῶς. Οἱ δὲ, καὶ τοῦτο μεθέντες ὡς ἕωλον, ἄνθρωπον ἀλλότριον καὶ ἀλλογενῆ παραδέξονται. {ΠΑΛΛ.} Οὐκοῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρποὺς, καὶ τῆς αἰσχρᾶς εἰκαιοβουλίας τὴν ἰσοπαλῆ κομιοῦνται δίκην. {ΚΥΡ.} Εὖ ἔφης· ὁ γάρτοι τὰ δίκαια κρίνων Θεὸς, διανεμεῖ δὴ πάντως ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ. Καὶ ὧδε μὲν ἡμῖν ἐχέτω ταυτὶ, καὶ ἀποχρῶν ἔστω ὁ λόγος. Ἀτὰρ δὴ τοῖς εἰς τὸ κρίνειν ἑτέρους ἠγμένοις, καὶ εἰς τὸν τοῖς δικάζουσι πρέποντα θῶκον, ἐπεφώνει πάλιν ὁ νόμος· «Οὐ παραδέξῃ ἀκοὴν ματαίαν,» τοῦτ' ἔστι, λόγον ψευδῆ καὶ συκοφαντίας ἔμπλεω· «Οὐ προστεθήσῃ μετὰ πλήθους ἐκκλῖναι μετὰ πλειόνων, ὥστε ἐκκλῖναι κρίσιν.» Καὶ πάλιν μεθ' ἕτερα· «Οὐ διαστρέψεις κρῖμα πένητος ἐν κρίσει αὐτοῦ, ἀπὸ παντὸς ῥήματος ἀδίκου ἀποστήσῃ.» Πρέποι γὰρ ἂν ὅτι μάλιστά γε, τὸ ἀνεπίληπτον ἐν λόγοις τοῖς τοῦ δικάζειν κυρίοις, καὶ ὀρθοεπεῖν ἀνάγκη τὸν ἐφ' ἑκάστῳ τῶν κατηγορουμένων ψηφορεῖν ὀφείλοντα τὸ τῷ νομοθέτῃ δοκοῦν. Ἐπενήνεκται δὲ χρησίμως καὶ τὸ, «Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει.» Πρόχειρον γάρ τι χρῆμα καὶ προαλὲς, παρά γε τοῖς κρίνουσι τὸ ἐπ' ἄμφω βλέπειν, ὅτε μὴ πλούσιος ὁ κρινόμενος, καὶ εὐκατάτροχον κομιδῆ πρὸς πλεονεξίαν, ἀνὴρ πενίᾳ κατηχθισμένος· ἔχει δὲ οὐκ ἀνικάνως ἔσθ' ὅτε καὶ πρός γε τὸ δύνασθαι τὸν τοῦ δικαίου καταβιάσασθαι λόγον, καλῶν εἰς ἔλεον τοὺς τῶν δικαζόντων ἁπαλωτέρους. Ἐξείργει δὴ οὖν ὁ νόμος καὶ τοῦ πλεονεκτεῖσθαι δεῖν καὶ τοῦ κατοικτείρειν τοὺς ἐν ἐνδείᾳ καὶ ἀθλιότητι, τῆς δικαιοκρισίας τὸ κάλλος τηρῶν ἀπαράφθορον, καὶ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἰσότητος πρύτανιν πανταχῇ τὸν δικάζοντα τιθείς· «Δικαίως γὰρ τὸ δίκαιον διώξεις,» φησίν. Ὡς τό τοι λυποῦν τὸν νόμον, κἂν εἴ τι τῶν ἀγαθῶν ὑπάρχειν δοκῇ, νοοῖτ' ἂν εἰκότως οὐκ ἀπλημμελές· «Ἔστι γὰρ δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ,» κατὰ τὸ γεγραμμένον. Δεῖται δὴ οὖν εὐτεχνίας τὸ ἀγαθὸν, καὶ τὸ ἐποικτείρειν οὐκ ἐν καιρῷ, τῆς εἰς νόμον ἀδικίας οὐκ ἂν διαφύγοι γραφήν. Τοὺς μὲν οὖν μετρίοις ἐγκατειλημμένους αἰτιάμασι, ταῖς διὰ μαστίγων αἰκίαις ἐπανορθοῖ. Θέα δὲ ὅπως δουλοπρεπὲς τὸ χρῆμα καὶ ἀνελεύθερον κομιδῇ, καὶ μή τοι θαυμάσῃς· πνεῦμα γὰρ ἦν ἐν αὐτοῖς δουλείας. Διὰ τοῦτο πληγαὶ μὲν οὐκέτι τοῖς διὰ Χριστοῦ θεσπίσμασιν 68.580 ἕπονται, καθὰ καὶ τῷ πάλαι νόμῳ. Πρόκειται δὲ μᾶλλον τὰ ἐλευθέροις πρέποντα, λαμπραὶ καὶ ἀξιόληπτοι δωρεαὶ, καὶ πνευματικῶν ἀγαθῶν ἀπαρχαί τε καὶ ὑποσχέσεις, καὶ μακαρισμοὶ τοῖς κατορθώμασι πρέποντες, καὶ ἀπειλὴ μὲν οὐκέτι, προκλήσεις δὲ μᾶλλον ἐπ' ἀρετήν. Οἰκέταις μὲν γὰρ ὡς οἰκέτης καὶ συνομόδουλος προσελάλει Μωσῆς, τοῖς ἀρχαιοτέροις, Χριστὸς δὲ υἱοῖς ὡς Υἱὸς, καὶ ὡς ἀδελφοῖς κατὰ θέσιν, ὁ ἀληθῶς καὶ γνήσιος ἐκ Θεοῦ Πατρός. {ΠΑΛΛ.} Ὀρθῶς ἔχει. {ΚΥΡ.} Θανάτῳ γε μὴν τὸν φονεύοντα ζημιοῖ, καὶ ταῖς τῶν ἴσων ἐπαγωγαῖς, τὸ ἀχάλινον ἀνασειράζει θράσος, καὶ τὸν οὐκέτι φορητὸν κολάζει θυμὸν ἀφορήτῳ δίκῃ καὶ τοῖς εἰς λῆξιν ἰοῦσι κακοῦ, προβασανίζων εὖ μάλα τοῦ δεδρακότος τὸν σκοπόν· καὶ εἰ μὲν ἑκούσιον εἴη τὸ πλημμεληθὲν, ἀναιρεῖ τὸν ἔλεον. Ἀσχημονεῖν δὲ οὐκ ἐᾷ τὴν φιλαλληλίαν, θρυπτομένην οὐκ ἐν καιρῷ, καὶ ἐφ' οἷς ἥκιστα χρὴ, κατασπωμένην ὥσπερ ἐπὶ τὸ μαλθακώτερον. Ἔφη γὰρ οὕτως· «Ἐὰν δέ τις ἐπίθηται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ, καὶ καταφύγῃ, ἀπὸ τοῦ θυσιαστηρίου μου λήψῃ, αὐτὸν θανατῶσαι.» Εἰ δὲ μέχρι τοῦ ἀῤῥωστῆσαι μόνον προήκει τῷ παίοντι τοῦ βεβιασμένου τὸ πάθος· ἐπιμετρεῖ τὴν δίκην, καὶ μέχρι χρημάτων προστάττει γενέσθαι τὸ βλάβος. Ἔφη γὰρ ὧδε πάλιν· «Ἐὰν δὲ λοιδορῶνται δύο ἄνδρες, καὶ πατάξῃ τις τὸν πλησίον λίθῳ, ἢ πυγμῇ, καὶ μὴ ἀποθάνῃ, κατακλιθῇ δὲ ἐπὶ κοίτης, ἐὰν ἐξαναστὰς ὁ ἄνθρωπος περιπατήσῃ ἔξω ἐπὶ ῥάβδου, ἀθῷος ἔσται ὁ πατάξας, πλὴν τῆς ἀργίας αὐτοῦ ἀποτίσει, καὶ τὰ ἰατρεῖα. Καὶ ταυτὶ μὲν ὁ νόμος. Ἀλλ' ὅ γε Σωτὴρ, τὸ τελείως ἀγαθὸν εἰσφέρων· «Τῷ παίοντί σε,» φησὶν, «ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην.» Οἰκετῶν δὲ πέρι νομοθετεῖ τάδε· «Ἐὰν δέ τις πατάξῃ τὸν παῖδα αὐτοῦ, ἢ τὴν παιδίσκην αὐτοῦ ἐν ῥάβδῳ, καὶ ἀποθάνῃ ὑπὸ τὰς χεῖρας αὐτοῦ, δίκῃ ἐκδικηθήσεται, ἐὰν δὲ διαβιώσῃ ἡμέραν μίαν ἢ δύο, οὐκ ἐκδικηθήσεται· τὸ γὰρ ἀργύριον αὐτοῦ ἐστιν.» Θανάτῳ μὲν οὖν τιμᾶται τὴν εἰσάπαν ὀργήν· οὐ γὰρ ἐπεί τοι γεγόναμεν ἐκ πλεονεξίας δεσπόται, καὶ ζωῆς ἀπείργειν αὐτῆς ἐφῆκε Θεὸς, τοὺς ὑπὸ χεῖρα καὶ ζυγόν. Συναναπλέκειν δὲ ταῖς ὀργαῖς ἀναπείθει τὸν ἔλεον, ποινὴν καθορίζων τοῦ φονεύοντος τὴν ἐσχάτην. «Εἰ δὲ διαβιῴη, φησὶν, ἡμέραν μίαν ἢ δύο, οὐκ ἐκδικηθήσεται, τὸ ἀργύριον αὐτοῦ ἐστιν.» Μονονουχὶ γάρ φησιν, Οὐ τῆς τοῦ παίοντος ἔργον ὀργῆς τὸ τῷ παθόντι συμβεβηκὸς, μετά γε τὸ εὐρωστῆσαί πως. Οὐ γὰρ ἂν ἠθέλησέ τις ἀποβαλεῖν τὸν ἴδιον οἰκέτην, ὃν ἀργυρίοις ἐπρίατο, καὶ χρήματα δοὺς, ἐκτήσατο. Ἀκούσιος δὲ εἰ γένοιτο φονεὺς, ζημιοῦν ἀειφυγίᾳ δικαιοῖ πάλιν ὁ νόμος αὐτὸν, συμμέτρῳ φιλανθρωπίᾳ κεράσας τὴν κόλασιν, καὶ τὸ ἀνεθελήτως πλημμεληθὲν, οὐκ ἐν ἴσῃ μοίρᾳ τοῖς ἐθελουσίοις εὖ μάλα τιθείς. Πόλεις δὲ ἀφορίζεσθαι τρεῖς προστέταχεν, ἃς καὶ τῶν Φυγαδευτηρίων ὠνόμασε, συνελαύνει τε οὗ 68.581 τως ἐκεῖ τοὺς ἐπ' ἀκουσίοις πταίσμασι φεύγοντας. Καὶ καιρὸν ἀφέσεως ὁρίζει πάλιν καὶ τοῖς ὧδε πεπραχόσιν ἀθλίως, ἱερέως θάνατον τοῦ ὑπερκειμένου καὶ προὔχοντος. Γράφει δὲ οὕτως ἐν τοῖς Ἀριθμοῖς· «Ἐὰν δὲ ἐξαπίνης οὐ δι' ἔχθραν ὤσῃ αὐτὸν, ἢ ἐπιῤῥίψῃ ἐπ' αὐτὸν πᾶν σκεῦος, οὐκ ἐξ ἐνέδρου ἢ παντὶ λίθῳ, ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ οὐκ εἰδὼς, καὶ ἐπιπέσῃ ἐπ' αὐτὸν, καὶ ἀποθάνῃ, αὐτὸς δὲ οὐκ ἐχθρὸς αὐτοῦ ἦν, οὐδὲ ζητῶν κακοποιῆσαι, καὶ κρινεῖ ἡ Συναγωγὴ ἀνὰ μέσον τοῦ πατάξαντος, καὶ ἀνὰ μέσον τοῦ ἀγχιστεύοντος τὸ αἷμα κατὰ τὰ κρίματα ταῦτα, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξελεῖται ἡ Συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα. Καὶ ἀποκαταστήσουσιν αὐτὸν ἡ Συναγωγὴ εἰς τὴν πόλιν τοῦ φυγαδευτηρίου, οὗ κατέφυγε· καὶ κατοικήσει ἐκεῖ ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς μέγας, ὃν ἔχρισαν αὐτὸν τῷ ἐλαίῳ τῷ ἁγίῳ.» Εἶτα μεθ' ἕτερα· «Καὶ μετὰ τὸ ἀποθανεῖν τὸν ἱερέα τὸν μέγαν, ἐπαναστρέψει ὁ φονεύσας εἰς τὴν γῆν τῆς κατασχέσεως αὐτοῦ.» {ΠΑΛΛ.} Λύσις οὖν ἄρα τῆς ἀειφυγίας αὐτοῖς, ὁ τοῦ προλεχθέντος ἡμῖν ἀρτίως ἱερέως θάνατος. {ΚΥΡ.} Σχῆμα τοῦτο τοῖς τύποις. Ὠδίνουσι δὲ τὸ τοῦ Χριστοῦ μυστήριον αἱ σκιαί. {ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Οὐκ ἀπίθανον, ὦ Παλλάδιε, τό γε οἴεσθαι τυχὸν τοὺς ταῖς ἁμαρτίαις ἐγκατειλημμένους, φονευτὰς ὥσπερ τινὰς τῆς ἰδίας ὑπάρχειν ψυχῆς, καὶ κατολισθῆσαι εἰς τοῦτο ταλαιπωρίας οὐκ ἐθελουσίως, ἐκβεβιασμένους δὲ ὥσπερ εἰς παράβασιν, καὶ εἰς τὸ προσκροῦσαι Θεῷ, διὰ τὸ ἐγκεῖσθαι τὴν διάνοιαν τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, καὶ διὰ τὸν ἐν τοῖς μέλεσι τῆς σαρκὸς τῆς ἀτιθάσσου φιληδονίας, τυραννήσαντα νόμον. Φυγῇ τοιγαροῦν τῇ ἀπὸ κόσμου καὶ σώματος ἡ ἀθλία ψυχὴ τοῦ ἀνθρώπου ζημιοῦται, καὶ ὥσπερ εἰς πόλιν τινὰ φυγαδευτηρίου τοῖς τοῦ θανάτου μυχοῖς ἐνιζήσασα, μακροὺς διετέλει χρόνους, ἀνείθη δὲ μόλις ἀποθανόντος Χριστοῦ τοῦ μεγάλου ἱερέως, ὃς τὸν ὑπὲρ πάντων θάνατον ἀνατλὰς, καταπεφοίτηκε μὲν εἰς ᾅδου, πύλας δὲ ἤνοιξε τοῖς κάτω, καὶ δεσμῶν ἠφίει, «λέγων τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, Ἀνακαλύπτεσθε.» {ΠΑΛΛ.} Ὡς σαφὴς ὁ λόγος. {ΚΥΡ.} Οὐ καθ' ἕνα δὲ τρόπον εὐδοκιμεῖν ἀναπείθων τοὺς ἀρχαιοτέρους ὁ νόμος, ἀλλ' εὖ συντεθεῖσθαι διὰ πάντων, καὶ ὡς ἄριστα ἔχειν, ἵνα ᾖ ἄρτιος ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτημένος, καὶ συνόδους γαμικὰς καταῤῥυθμίζει πρὸς τὸ σεμνὸν, καὶ ὡς ἂν ἀμωμήτως πράττοιτο ταυτὶ παρά τε Θεῷ καὶ ἀνθρώποις, καθίστησιν ἐναργές. Πορνείαν μὲν οὖν καὶ ἀκαθαρσίαν ἐξορίζει παντελῶς, ἀῤῥενομιξίαν δὲ καὶ μοιχείαν, ὡς ἀπωτάτω ποιεῖται, λέγων ἐν τῷ Λευιτικῷ· «Καὶ πρὸς τὴν γυναῖκα τοῦ πλησίον σου οὐ δώσεις κοίτην σπέρματός σου, ἐκμιανθῆναι πρὸς αὐτὴν, καὶ μετὰ ἄρσε 68.584 νος οὐ κοιμηθήσῃ κοίτην γυναικείαν· βδέλυγμα γάρ ἐστιν.» Αὐτόθεν, φησὶ, τὰ τοιαῦτα τὸ κατακεκρίσθαι νοσεῖ, καὶ πολὺ τὸ δυσῶδες ἐντετηκὸς αὐτοῖς, ἀταλαιπώρως εὑρίσκεται, καὶ μακροῦ πρὸς ἔλεγχον οὐ δεήσει λόγου τοῖς εἰς τοῦτο βδελυρίας ἠγμένοις, ὡς οἴκοθεν ἔχειν αἰσχρὰν οὕτω καὶ ἀκαλλῆ τὴν δόξαν, καὶ παρ' αὐτῆς τῆς φύσεως τὴν γραφήν. Τοιγάρ τοι παρεὶς τὰ τοιαῦτα, τὰ συννόμως δρώμενα, καὶ οὐκ ἔξω λόγου βασανίζει, λέγων ἐν τῷ Δευτερονομίῳ· «Ἐὰν δέ τις λάβῃ γυναῖκα καὶ συνοικήσῃ αὐτῇ· καὶ ἔσται, ἐὰν μὴ εὕρῃ χάριν ἐναντίον αὐτοῦ· ὅτι εὗρεν ἐν αὐτῇ ἄσχημον πρᾶγμα, γράψει αὐτῇ βιβλίον ἀποστασίου, καὶ ἀποδώσει εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἀποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ· καὶ ἐὰν ἀπελθοῦσα γένηται ἀνδρὶ ἑτέρῳ, καὶ μισήσῃ αὐτὴν ἀνὴρ ὁ ἔσχατος, καὶ γράψῃ αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσῃ εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἐξαποστείλῃ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, ἢ καὶ ἀποθάνῃ ὁ ἀνὴρ αὐτῆς ὁ ἔσχατος, ὃς ἔλαβεν αὐτὴν ἑαυτῷ γυναῖκα, οὐ δυνήσεται ὁ ἀνὴρ ὁ πρότερον ἐξαποστείλας αὐτὴν, ἐπαναστρέψας λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα, μετὰ τὸ μιανθῆναι αὐτὴν, ὅτι βδέλυγμά ἐστιν ἐναντίον Κυρίου τοῦ Θεοῦ σου, καὶ οὐ μιάνητε τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς ὑμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ.» Τὴν γὰρ ἐπ' αἰτίαις εὐλόγοις ἀνδρὸς διεσχοινισμένην καὶ ἀνατλᾶσαν ὕβριν τὴν ὑφ' ἑτέρῳ, γνήσιον ποιεῖσθαι σύνοικον, οὐκ ἀσφαλὲς, μᾶλλον δὲ καὶ εἰσάπαν ἀμαθές. «Ὁ γὰρ κατέχων, φησὶ, μοιχαλίδα, ἄφρων καὶ ἀσεβής.» Ὥσπερ δὲ ἀποφάσκει τοῖς ἐμφανῶς αἰσχροῖς καὶ ἀναμφιβόλως κατεγνωσμένοις, τὸ ἐφήδεσθαι δεῖν, οὕτω δὴ πάλιν οὐκ ἐᾷ τὰ σεμνὰ διαβάλλειν, ὡς ἄσεμνα. Ἐν ἴσῳ γὰρ πλημμελείας λόγῳ κείσεται τὸ φιλοστοργίας ἀξιοῦν, ὃ φεύγειν ἄμεινον, καὶ τὸ διαθέσεως ἀποστερεῖν, ὃ παραιτεῖσθαι φόβος. «Οὐαὶ γὰρ, φησὶν, οἱ λέγοντες τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ· τὸ καλὸν πονηρὸν, καὶ τὸ πονηρὸν καλόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σκότος φῶς.» Οὐκοῦν εἰσποιεῖσθαι μὲν εἰς αὖθις τὴν γεγενημένην ἀπόπεμπτον οὐκ ἐᾷ, οὔτε μὴν ἐφίησι τοῖς οὔπω κατεγνωσμένοις τὰ ἐκ φιλολογίας ἐπιφέρεσθαι βλάβη. Ἔφη δὲ οὕτω πάλιν· «Ἐὰν δέ τις λάβῃ γυναῖ-κα, καὶ συνοικήσῃ αὐτῇ, καὶ μισήσῃ αὐτὴν, καὶ ἐπιθῇ αὐτῇ προφασιστικοὺς λόγους, καὶ κατενέγκῃ αὐτῆς ὄνομα πονηρὸν, καὶ λέγῃ, Τὴν γυναῖκα ταύτην εἴληφα, καὶ προσελθὼν αὐτῇ οὐχ εὕρηκα αὐτῆς τὰ παρθένια· καὶ λαβὼν ὁ πατὴρ τῆς παιδὸς καὶ ἡ μήτηρ, ἐξοίσουσι τὰ παρθένια τῆς παιδὸς πρὸς τὴν γερουσίαν ἐπὶ τὴν πύλην, καὶ ἐρεῖ ὁ πατὴρ τῆς παιδὸς τῇ γερουσίᾳ· Τὴν θυγατέρα μου ταύτην δέδωκα τῷ ἀνθρώπῳ τούτῳ γυναῖκα, καὶ μισήσας αὐτὴν νῦν οὗτος, ἐπιτίθησιν αὐτῇ προφασιστικοὺς λόγους, λέγων, Οὐχ εὕρηκα τῇ θυγατρί σου παρθένια· καὶ ταῦτα τὰ παρθένια τῆς θυγατρός μου. Καὶ ἀναπτύξουσι τὸ ἱμάτιον ἐναντίον τῆς γερουσίας τῆς πόλεως, καὶ λήψεται ἡ γερουσία τῆς πόλεως ἐκείνης τὸν ἄνθρωπον ἐκεῖνον, καὶ παιδεύσουσιν αὐτὸν, καὶ ζημιώ 68.585 σουσιν αὐτὸν ἑκατὸν σίκλους, καὶ δώσουσι τῷ πατρὶ τῆς νεάνιδος, ὅτι ἐξήνεγκεν ὄνομα πονηρὸν ἐπὶ παρθένον Ἰσραηλῖτιν, καὶ αὐτοῦ ἔσται γυνή. Οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον.» Συνίης οὖν ὅπως οὐκ ἀζήμιον παντελῶς ἀπαλλάττεσθαι δεῖν τοῦ συνεδρίου, προστέταχε τὸν ἀδίκως ὀλιγωρήσαντα τῆς οὔπω κατεγνωσμένης. Χρῆναι γὰρ οἶμαι περιέπειν εὖ μάλα τὸ ἀγαθὸν, καὶ μὴ ἀψικόρως ἵεσθαι πρὸς τὸ δοκοῦν τὸ σεμνὸν ὡς ἄσεμνον συκοφαντεῖν ᾐρημένους· πειρᾶσθαι δὲ μᾶλλον αἰδοῦς ἀξιοῦν, τὸ παντὶ προσκεῖσθαι καλῷ, καὶ τοῖς ἀρίστοις εἰς εὐφημίαν συνδιαιτᾶσθαι φιλεῖν. Ὁ γάρ τοι τὰς διὰ μέσου τῶν πραγμάτων ἀκηδίας οὐ προσιέμενος, τὸν ἐφ' οἷς ἂν γένοιτο καλῶς ἀποπεραίνει σκοπόν. Ὅτι δὲ εἶναι προσήκει τοιούτους ἡμᾶς ὑπεδήλου πάλιν ὁ νόμος ὑποφωνῶν· «Ἐὰν οἰκοδομήσῃς οἰκίαν καινὴν, ποιήσεις στεφάνην τῷ δώματί σου. Καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου, ἐὰν πέσῃ ὁ πεσὼν ἐπ' αὐτοῦ.» Ὥσπερ γάρ ἐστιν ἀκαλλὴς οἰκία ταινίας ἐρήμη, καὶ τῶν ὑστεροδομίων οὐκ ἐπενηνεγμένων αὐτῇ, τὸν αὐτὸν, οἶμαι, τρόπον, ἀπίθανον κομιδῇ πᾶν ἔργον ἡμῖν ἀγαθὸν, εἰ μὴ πρὸς πέρας ἄγοιτο τὸ πρέπον αὐτῷ· καὶ οὐ μέχρι τούτων, ἀλλ' ἕψεται τοῖς ῥᾳθυμοῦσι καὶ κίνδυνος. Τοῦτο γὰρ, οἶμαι, ἔστι τὸ κατολισθεῖν ἐκ τῆς οἰκίας τινά. «Οὐαὶ γὰρ,» φησὶν, «οἱ ποιοῦντες τὸ ἔργον Κυρίου ἀμελῶς.» Διὰ μυρίων οὖν ὅσων ὁ νόμος ἡμᾶς ἀποκομίζει πρὸς τὸ συμφέρον. Καὶ τροφὴν μὲν οὔπω παρατίθησι τὴν ἀνδροπρεπῆ τε καὶ στερεωτέραν, γάλακτι δὲ ὥσπερ νηπίους ὄντας παιδοκομεῖ, τοὺς ἀρχαιοτέρους διαβιβάζων κατὰ βραχὺ πρὸς τὸ Χριστοῦ μυστήριον. Ὅτι γὰρ πνευματικὸς ὁ νόμος, καὶ ὅσον μὲν ἧκεν εἰς σκιὰν καὶ τύπους, οἱονεί πως οὐκ ἐδώδιμος, οὔτε μὴν ἀναγκαῖος εἰς πνευματικὴν ἂν γένοιτο τροφὴν, ἔσται δὲ τοιοῦτος, εἰ γοῦν μεταπλάττοιτο πρὸς θεωρίαν εὐαγγελικὴν, καὶ εἰς τὸ Χριστοῦ μυστήριον, συνήσεις εὖ μάλα γεγραφότος ὡδὶ τοῦ πανσόφου Μωσέως περὶ αὐτοῦ. Ἔφη γὰρ ἐν τῷ Λευιτικῷ· «Ὅταν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσιν ὑμῖν, καὶ καταφυτεύσητε πᾶν ξύλον βρώσιμον, περικαθαριεῖτε τὴν ἀκαθαρσίαν αὐτοῦ· ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ὑμῖν ἀπερικάθαρτος, οὐ βρωθήσεται. Καὶ τῷ ἔτει τῷ τετάρτῳ ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος, αἰνετὸς τῷ Κυρίῳ. Ἐν δὲ τῷ ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπὸν αὐτοῦ. Πρόσθεμα ὑμῖν τὰ γεννήματα αὐτοῦ. Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.» Παραδείσοις μὲν γὰρ τοῖς εὐερνεστάτοις ἡ Μωσέως ἡμῖν ἔοικε Συγγραφὴ, πολυειδῆ θεσπισμάτων ὠδίνουσα βλάστην, καὶ ξύλοις ὥσπερ κατάκομος, τοῖς ἐφ' ἑκάστῳ νόμοις. Ἀλλ' ἐφ' ἑκάστῳ ξύλῳ καθαριεῖτε, φησὶν, τὴν ἀκαθαρσίαν αὐτοῦ, τοῦτ' ἔστι, τὸ τῆς ἱστορίας εἰκαῖον ἀποτεμεῖς, καὶ τὸ οἱονεὶ ξυλῶδες περιελεῖς τοῦ γράμματος, ἐπ' αὐτὴν δὲ ἥξεις τοῦ φυτοῦ τὴν καρδίαν, τοῦτ' ἔστι, τοῦ τεθεσπισμένου τὸν ἔσω περιεργάσῃ καρπὸν, καὶ αὐτὸ ποιήσῃ τροφήν. «Ἀλλ' ἔσται,» φησὶν, 68.588 «ὁ καρπὸς αὐτοῦ, τρία ἔτη ἀπερικάθαρτος· οὐ βρωθήσεται.» Τὸ ἔτος τίθησιν εἰς καιρόν· καιροὶ γὰρ πρῶτοι γεγόνασι τρεῖς, καθ' οὓς ἦν ὁ νόμος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπερικάθαρτος ἔτι, τῷ τῆς ἱστορίας πάχει κατηχθισμένος, καὶ ὥσπερ εἰκαῖον συρφετὸν περικείμενος τὴν σκιάν. Χρόνους δὲ τρεῖς εἶναί φημι, τὸν Μωσέως, τὸν Ἰησοῦ, τὸν Κριτῶν· καιρὸς μετ' ἐκείνους τέταρτος ἦν, καθ' ὃν ὁ λαμπρὸς τῶν ἁγίων προφητῶν ἀνέφυ χορός. Τότε γέγονεν ὁ τοῦ νόμου καρπὸς ἅγιός τε καὶ αἰνετός. Ἤρξατο γὰρ ἐκ προφητῶν ἁγίων, ἀθετεῖσθαι τὰ ἐν νόμῳ, καὶ οὐδὲ ὀνομάζεσθαι τὰ ὡς ἐν σκιαῖς, κηρύττεσθαι δὲ φανερῶς ἡ ἀλήθεια, καὶ τῆς Χριστοῦ παρουσίας ἐπαινεῖσθαι τὸ μυστήριον. Καὶ γείτων εὐθὺς ὁ πρόδρομος ἦν, ἀνακεκραγώς τε καὶ λέγων· «Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.» Οὐκοῦν ἐν τετάρτῳ χρόνῳ πρὸς ἀρχὰς τοῦ διακαθαίρεσθαι τὰ ἐν νόμῳ γέγονε, καὶ ἦν ἤδη πως ὁ καρπὸς ἅγιος. Πλὴν, ἐν πέμπτῳ βρώσιμος, καθ' ὃν ἡ Χριστοῦ παρουσία μαρτυρουμένη διά τε τοῦ νόμου καὶ διὰ τῶν προφητῶν. Διὰ τοῦτό φησιν, «Ἔσται ὁ καρπὸς αὐτοῦ πρόσθεμα ὑμῖν.» Πρὸς γὰρ τοῖς εὐαγγελικοῖς κηρύγμασι καὶ ἡ νομικὴ παίδευσις πρὸς θεωρίαν ἠγμένη πνευματικὴν τοῖς φιλομαθέσι χρειωδεστάτη· καὶ γοῦν ἔφασκεν ὁ Σωτὴρ, ὅτι «Πᾶς γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ πλουσίῳ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά·» καινὰ λέγων, τὰ Εὐαγγέλια, καὶ παλαιὰ δὲ, τὰ ἐν νόμῳ, τὴν ἐν Χριστῷ γνῶσιν ἡμῖν οὐκ ἀγεννῶς συνεισφέροντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΕΝΝΑΤΟΣ.

### Περὶ τῆς ἁγίας σκηνῆς, ὅτι τύπος ἦν τῆς ἐν Χριστῷ Ἐκκλησίας.

Ἀγάπης μὲν οὖν εἰς Θεόν τε καὶ ἀδελφοὺς περιφανῆ τὰ αὐχήματα, καὶ ἀποπεραίνεται μὲν δι' ἀμφοῖν 68.589 ὁ νόμος. εὐκλείας γε μὴν εἰς τοῦτο κατηντηκὼς ἅπας τις οὖν, λαμπρός τε καὶ ἀξιάγαστος, καὶ ἐν τοῖς ὅτι μάλιστα γνησίοις κατατετάξεται, Χριστοῦ βοῶντος καὶ λέγοντος, «Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.» Εἰσελεύσεται γὰρ δὴ καὶ μάλα ἑτοίμως εἰς τὴν ἐπουράνιον Ἱερουσαλὴμ, καὶ ταῖς ἄνω μοναῖς ἐνδιαιτήσεται, τοῖς ὑπὲρ νοῦν καὶ λόγον ἐντρυφῶν ἀγαθοῖς. Τοιουτονί τι καὶ ὁ προφήτης Ἡσαΐας φησίν· «Οἱ ὀφθαλμοί σου ὄψονται, Ἱερουσαλὴμ, πόλεις πλουσίας, σκηνὰς, αἳ οὐ μὴ σεισθῶσιν, οὐδὲ μὴ κινηθῶσιν οἱ πάσσαλοι τῆς σκηνῆς, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαῤῥαγῶσι.» Παράγει μὲν γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου, κατὰ τὰς Γραφάς. Ἑδραιοτάτη δὲ σφόδρα καὶ ἀκράδαντος πάντως ἡ τῶν ἐσομένων ἐλπίς. Ἀλλὰ τούτων ἁπάντων λυομένων, καθὰ καὶ τοῦ Σωτῆρος διισχυρίσατο μαθητὴς, ποταμοὺς δεῖ εὑρεθῆναι ἡμᾶς, ἁγίους καὶ ἀμώμους κατ' ἐνώπιον αὐτοῦ, πνευματικαῖς μὲν θυσίαις καταγεραίροντας ὡς Σωτῆρα καὶ Λυτρωτὴν, ἱερὰν δὲ καὶ ἀπόλεκτον, καὶ τοῖς εὐαγγελικοῖς συμβαίνουσαν νόμοις ἐπιτηδεύοντας πολιτείαν· καθάπερ ἀμέλει τοῖς ἀρχαιοτέροις ὁ νόμος τὴν οὕτω σεπτήν τε καὶ ἀξιόληπτον ἐσκιαγράφει ζωήν· μηλοσφαγεῖν ἐπιτάττων, καὶ τὰς δι' αἱμάτων ποιεῖσθαι προσαγωγὰς, δεκάτας τε καὶ ἀπαρχὰς ἀφιεροῦν τῷ Θεῷ, καὶ πρὸς τούτοις ἔτι χαριστήρια. Πλὴν, οὐκ ἔξω ταυτὶ τῆς ἁγίας πράττεσθαι δεῖν ἐνομοθέτει σκηνῆς. Ἀπόλεκτον δὲ τὸ ἐκ Λευῒ γένος ἀνετίθει τῷ Θεῷ, τύπον ἡμῖν καὶ εἰς ἡμᾶς αὐτοὺς τὸ χρῆμα τιθείς. Κεκλήμεθα γὰρ καὶ ἡμεῖς παρά γε ταῖς θείαις Γραφαῖς «γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν.» Εἰσελαύνομεν δὲ καὶ εἰς σκηνὴν τὴν ἀληθεστέραν, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος, τοῦτ' ἔστι τὴν Ἐκκλησίαν, οὐ διὰ μόσχων καὶ τράγων ἐκμειλισσόμενοι τὸν τῶν ὅλων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Δημιουργὸν, ἀλλ' ὡς ἐν ὀρθῇ τε καὶ ἀμωμήτῳ πίστει διαπρέποντες, καὶ πνευματικαῖς καρποφορίαις νοητῶς εὐωδιάζοντες. «Τοιαύταις γὰρ δὴ θυσίαις εὐαρεστεῖται Θεὸς,» καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. Καὶ θυσίαις μὲν ταῖς ὑπὲρ νόμον ὅτι προσῆκεν ἡμᾶς εὐδοκιμεῖν, φαίην ἂν ἔγωγε· συνθήσομαι γάρ. Πλὴν, ἐκεῖνο φράσον· ἆρ' οὐκ εἰς τύπον ἡμῖν τῆς ἐξ ἐθνῶν Ἐκκλησίας ἡ παλαιὰ κατὰ τὴν ἔρημον διεπήγνυτο σκηνὴ, τῆς ἀληθεστέρας ἀμυδρόν πως ἔτι τὸ κάλλος ἐκφαίνουσα; {ΚΥΡ.} Πάνυ μὲν οὖν. Ἔφην δὲ καὶ ἀρτίως, ὅτι καὶ τὸ ἄριστα δεῖν εἰλῆφθαι πρὸς ἱερὰς λειτουργίας τοὺς ἐξ αἵματος Λευῒ, καὶ κεκλημένων ἐν πίστει πρὸς ἱερὰν καὶ ἀμώμητον ζωὴν, φημὶ δὴ τὴν ἐν Χριστῷ, τύπος ἂν εἴη πάλιν. 68.592 {ΠΑΛΛ.} Βούλει δὴ οὖν ὀλίγα ἄττα περί τε τῆς ἁγίας σκηνῆς, καὶ τῆς κατὰ νόμον ἱερωσύνης λέγωμεν, βασανίζοντος ἡμῖν τοῦ λόγου τὰ ἐπ' ἀμφοῖν ὁσίως τεθεσπισμένα; {ΚΥΡ.} Οὐκ ἄτραχυ μὲν τὸ χρῆμα· πόνου γὰρ, οἶμαι, δεήσει μακροῦ, καὶ ἱδρῶτος ἡμῖν, ὦ Παλλάδιε, πρός τε τὸ δύνασθαι συνιέναι ταυτὶ, καὶ μὴν καὶ φράσαι. Ἀτὰρ, εἴτοι δοκεῖ, Θεῷ πίσυνοι διαστείχωμεν· διεπύθου γὰρ λέγοντος ἐναργῶς, «Τίς ἔδωκε στόμα ἀνθρώπῳ; καὶ τίς ἐποίησε δύσκωφον καὶ κωφὸν, βλέποντα καὶ τυφλόν; οὐκ ἐγὼ Κύριος ὁ Θεός; καὶ νῦν πορεύου καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου.» {ΠΑΛΛ.} Ἴθι δὴ οὖν, συλλήπτορα καὶ πρός γε τουτὶ τὸν τῆς σοφίας ποιούμενος χορηγόν. {ΚΥΡ.} Οὐκοῦν εἶμί τοι, καὶ δὴ καὶ ἐρῶ, τὰ ἐξ ἱερῶν Γραμμάτων εὖ μάλα συνενεγκών. Κατέθορε μὲν γὰρ ἐν εἴδει πυρὸς ἐπὶ ὄρος τὸ Σινᾶ Θεὸς ὁ πάντων δημιουργὸς, καὶ νόμους ἐτίθει, καθ' οὓς ἦν ἕκαστα τῶν πρακτέων ἀποφέρεσθαι πρὸς τὸ εὐθὺ καὶ ἀκιβδήλως ἔχον. Εἶτα τῆς ἀρχαιοτέρας αὐτοὺς ἀποκομίζων πλάνης, καὶ τῆς ἐν Αἰγύπτῳ ψευδολατρείας ὡς ἀπωτάτω τιθεὶς, προσελάλει Μωσῇ τῷ τηνικάδε μεσιτεύοντι. «Τάδε ἐρεῖς,» φησὶ, «τῷ οἴκῳ Ἰακὼβ, καὶ ἀναγγελεῖς τοῖς υἱοῖς Ἰσραήλ· Ὑμεῖςἑωράκατε, ὅτι ἐκ τοῦ οὐρανοῦ λελάληκα πρὸς ὑμᾶς, οὐ ποιήσετε ἑαυτοῖς θεοὺς ἀργυροῦς, καὶ θεοὺς χρυσοῦς οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς.» Θεοῖς μὲν γὰρ οὐκ ἠφίει τοῖς ψευδωνύμοις λατρεύειν. Προσκεῖσθαι δὲ δεῖν ἐπιτάττει μόνῳ τῷ ἄνωθεν ἥκοντι καὶ ἐξ οὐρανοῦ, καὶ τῷ κατὰ πάντων οὐσιωδῶς ἀνημμένῳ τὸ κράτος, οὐκ ἐν εὐχροίαις ὑλῶν ἔχοντι τὸ περιφανὲς, ἀλλ' ἐν τῷ δεικνύειν ἴδιον ὄντα τὸν οὐρανόν. Ἦν δέ πως ἀνάγκη, τοὺς τῆς ἀρχαίας ἀνοσιότητος καὶ βεβήλου λατρείας ἀποφοιτᾷν ἐπιτεταγμένους, ἐφ' ἑτέραν εὐθὺς μεταχωρῆσαι συνήθειαν, καὶ ὥσπερ τινὰ ζυγὸν ὑπελθεῖν τὴν ὑπὸ Θεῷ τῷ κατὰ φύσιν, λατρείαν. Ἀνειμένος γὰρ νοῦς, ἀκάθεκτος, καὶ πολὺ λίαν ἕτοιμος εἰς ἀποφορὰν, τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἐκτοπωτάτων δειμάτων τε καὶ φροντίδος ἐπηρτημένων, ἀταλαιπώρως κομιδῇ διᾴττει πρὸς τὸ εὐθὺ, καὶ ἀπονεύει πρὸς τὸ συμφέρον. Ἐπειδὴ δὲ δι' Υἱοῦ πρόσιμεν τῷ Πατρί· «Οὐδεὶς γὰρ ἔρχεται πρὸς τὸν Πατέρα,» φησὶν, «εἰ μὴ δι' ἐμοῦ.» Λοιπὸν ἀναγκαίως τὴν δι' Υἱοῦ πρόσοδον καὶ τῆς ἐν αὐτῷ καρποφορίας τοὺς τύπους, ἐθεσμοθέτει λέγων· «Θυσιαστήριον ἐκ γῆς ποιήσεις μοι, καὶ θύσετε ἐπ' αὐτῷ τὰ ὁλοκαυτώματα, καὶ τὰς θυσίας ὑμῶν, τὰ πρόβατα καὶ τοὺς βόας ὑμῶν, ἐν παντὶ τόπῳ ᾧ ἂν ἐπονομάσω τὸ ὄνομά μου ἐκεῖ· καὶ ἥξω πρὸς σὲ, καὶ εὐλογήσω σε. Ἐὰν δὲ ἐκ λίθων θυσιαστήριον ποιῇς μοι, οὐκ οἰκοδομήσεις αὐτοὺς τμητούς· τὸ γὰρ ἐγχειρίδιόν σου ἐπιβέβληκας ἐπ' αὐτὸ, καὶ μεμίανται.» Γήϊνον μὲν γὰρ ὀνομάζει θυσιαστήριον τὸν Ἐμμανουήλ· «Γέγονε γὰρ σὰρξ ὁ Λόγος.» Γῆ δὲ ἐκ γῆς ἡ σαρκός ἐστι 68.593 φύσις. Ἐν Χριστῷ δὴ οὖν ἡ πᾶσα καρποφορία καὶ πᾶσα προσαγωγή· φησὶ γὰρ αὐτὸς, «Χωρὶς ἐμοῦ, οὐ δύνασθε ποιεῖν οὐδέν.» Ὥσπερ γὰρ δι' αὐτοῦ τὴν προσαγωγὴν ἐσχήκαμεν, οὕτω καὶ πᾶσα θυσία δεκτὴ δι' αὐτοῦ, τῶν τὴν πίστιν εἰσδεδεγμένων. Ἐπαγγέλλεται δὲ τοῖς τὸ ἐκ γῆς ἱστᾶσι θυσιαστήριον, ἄφιξίν τε καὶ εὐλογίαν. «Ἥξω γὰρ,» φησὶ, «πρὸς σὲ, καὶ εὐλογήσω σε.» Παραδεξαμένοις γὰρ ἡμῖν διὰ τοῦ πανσόφου Μωσέως τῆς ἀληθείας τοὺς τύπους, καὶ αὕτη κατὰ καιροὺς ἐπέλαμψεν ἡ ἀλήθεια, τουτ' ἔστι Χριστὸς, δι' οὗ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἐν ᾧ τὴν ἄνωθεν εὐλογίαν καὶ παρὰ Πατρὸς πεπλουτήκαμεν, κατεσφραγισμένοι πρὸς υἱοθεσίαν ἐν ἁγίῳ Πνεύματι, ἐν Χριστῷ δὲ δὴ πάλιν καὶ τοῦτο διαπεραίνεται. «Ἐὰν δὲ θυσιαστήριον ἐκ λίθων ποιῇς μοι,» φησὶν, «οὐκ οἰκοδομήσεις αὐτοὺς τμητούς.» Οὐκ ἐᾷ σιδήρῳ κατατιτρώσκεσθαι τοὺς ἀφιερωμένους τῷ Θεῷ λίθους. Λίθος γὰρ ἦν ἐκλεκτὸς, ἀκρογωνιαῖος, ἔντιμος, ὁ Χριστὸς, ἄτρωτος μὲν ἁμαρτίαις, τὰς δὲ ἐκ διαβόλου πληγὰς παθεῖν οὐκ εἰδὼς, οὐ μεμερισμένος Θεῷ τε καὶ κόσμῳ, καὶ εἰ γέγονε σὰρξ, ἀλλ' ὅλος ὢν ἅγιος, οὐ διαιρούμενος εἰς Θεὸν ἰδίᾳ, καὶ εἰς ἄνθρωπον ἰδικῶς μετὰ τὴν ἄῤῥητον ἕνωσιν, ἤτοι τὴν πρὸς σάρκα σύνοδον, ἀλλ' εἷς ὑπάρχων Θεὸς, καὶ ἄνθρωπος ὁ αὐτός. Μεμέρισται γὰρ οὐδαμῶς, καθὰ καὶ ὁ σοφὸς γράφει Παῦλος. {ΠΑΛΛ.} Τὸ ἐκ γῆς οὖν ἄρα θυσιαστήριον, καὶ μὴν καὶ οἱ ἀπλῆγες λίθοι, σημαίνουσι Χριστὸν, κατὰ τοὺς ἤδη προειρημένους τρόπους; {ΚΥΡ.} Οὕτω φημί· πνευματικὸς γὰρ ὁ νόμος, κατὰ τὰς Γραφάς. Ἐπειδὴ δὲ τὸ Χριστοῦ μυστήριον, καὶ τὴν δι' αὐτοῦ πρόσοδον αἰνιγματωδῶς ὑπετύπου, τότε δὴ, τότε καὶ τῆς Ἐκκλησίας προαναδεῖξαι τὸ σχῆμα Θεὸς ἐσκέπτετο. Μωσέα μὲν οὖν ἐκάλει καὶ σὺν αὐτῷ τὸν Ἰησοῦν ἐπὶ τὸ ὄρος τὸ Σινᾶ. Καὶ σύνες ἐντεῦθεν, ὅτι καὶ αὐτοῖς τοῖς ἁγίοις προφήταις δι' Υἱοῦ προσιτὸς ὁ Πατήρ· ἀναθρώσκουσι γὰρ ἀλλήλοις Μωσῆς τε καὶ Ἰησοῦς. Γέγραπται γὰρ, «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Εἶπον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λάβετέ μοι ἀπαρχὰς παρὰ πάντων, οἷς ἂν δόξῃ τῇ καρδίᾳ, λήψεσθε τὰς ἀπαρχάς μου, καὶ αὕτη ἐστὶν ἡ ἀπαρχὴ, ἣν λήψεσθε παρ' αὐτῶν, χρυσίον καὶ ἀργύριον, χαλκὸν καὶ ὑακίνθινον, πορφύραν καὶ κόκκινον διπλοῦν, καὶ βυσσὸν κεκλωσμένην, καὶ τρίχας αἰγείας, καὶ δέρματα κριῶν ἠρυθροδανωμένα, καὶ δέρματα ὑακίνθινα, καὶ ξύλα ἄσηπτα, καὶ λίθους σαρδίου, καὶ λίθους εἰς τὴν γλυφὴν, εἰς τὴν ἐπωμίδα, καὶ εἰς τὸν ποδήρη, καὶ ποιήσεις μοι ἁγίασμα, καὶ ὀφθήσομαι ἐν ὑμῖν. Καὶ ποιήσεις μοι κατὰ πάντα ὅσα ἄν σοι δείξω ἐν τῷ ὄρει τὸ παράδειγμα τῆς σκηνῆς, καὶ τὸ παράδειγμα πάντων τῶν σκευῶν αὐτῆς, οὕτως ποιήσεις.» Ὁρᾷς ὅπως ἐπὶ τὸ χρῆναι καρποφορεῖν τὸ λυσιτελές τε καὶ χρειωδέστατον, εἰς Ἐκκλησίας σύστασιν προτρέπει λαοὺς, προσκομίζοντας ἱλαρῶς τὰ κατ' ἰσχύν τε καὶ γνώμην; Οὐ γάρ τοι χρυσὸν ἐζήτει μόνον 68.596 ἤγουν τὰ πολλοῖς δυσπόριστα τυχὸν, ἀλλὰ καὶ τρίχας αἰγείας, καὶ κριῶν δέρματα, δεικνὺς ὅτι καὶ τὸ βραχύ τε καὶ εὐτελὲς, εἰ μηδὲν ἔχοι λαμπρότερον ὁ καρποφορεῖν ᾑρημένος, οὐκ ἀπόβλητον τῷ Θεῷ· ἢ τάχα που καὶ ἐν ἴσῳ τοῖς τιμιωτάτοις, ἢ καὶ ἐν ἐπαίνῳ μείζονι, καθάπερ ἀμέλει καὶ ὁ Χριστὸς οὐκ ἀθαύμαστον ἠφίει τὴν ἐν τοῖς Ἱεροσολύμοις χήραν, τῷ γαζοφυλακίῳ προσάγουσαν βραχύ τι καὶ εὐπόριστον κομιδῆ, μέγα δ' ἴσως τοῖς ἐν ἐσχάτῃ πενίᾳ, οὓς δὴ καὶ κατατρύχειν εἰκὸς καὶ τῶν ἄγαν εὐτελεστάτων τὴν ἀπεμπολήν. Ληφθεισῶν δὲ τῶν ἀπαρχῶν, «Ἁγίασμά μοι ποιήσεις,» φησὶ, «καὶ ὀφθήσομαι ἐν ὑμῖν.» Ἐπιφαίνεται γὰρ ἐν Ἐκκλησίᾳ Χριστὸς, καὶ ἐπιλάμπει τοῖς ἐν αὐτῇ, κατά γε τὸ ἐν Ψαλμοῖς, «Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.» Ἐπιτήρει δὲ ὅπως, καίτοι καταβεβηκὼς ἐπὶ τὸ ὄρος ἐν εἴδει πυρὸς, ὀφθείς τε τῷ λαῷ παντί· γέγραπται γὰρ οὕτως, ὡς οὔπω φανεὶς, τὸ Ὀφθήσομαι, φησὶν, ἐν ὑμῖν, ἐγηγερμένου τοῦ ἁγιάσματος. Μόνον γὰρ οὐχὶ διακεκραγὼς ὁρᾶται σαφῶς, ὅτι σκιαὶ μὲν, αἱ ὀπτασίαι ἐκεῖναι τῆς ἀληθοῦς θεοπτίας. Ἡ δὲ ἀληθὴς ἀνάδειξις, ὁ Χριστὸς, ἐν ᾧ καὶ αὐτὸν τεθεάμεθα τὸν Πατέρα. Καὶ γοῦν Ἰουδαίους οἰομένους ὅτι τεθέανται κατὰ τὸ ἀληθὲς ἐν τῷ ὄρει Σινᾶ τὸν τῶν ὅλων Θεὸν, ἀνούστατα διατιθεμένους διήλεγχε, λέγων· «Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.» Οὐκοῦν ὀφθήσομαι, φησὶν, ἐν ὑμῖν ἐγηγερμένου τοῦ ἁγιάσματος. Τοῦτο δὲ ἦν Ἐκκλησίας τύπος, καθ' ὁμοιότητα γενομένης τῆς ἄνω. Καὶ γάρ τοι φησὶ, «Ποιήσεις μοι κατὰ πάντα ὅσα δεικνύω σοι ἐν τῷ ὄρει, οὕτω ποιήσεις.» Παρεδείχθη γάρ τοι τῷ μακαρίῳ Μωσῇ τύπος, ὡς ἔφην, τῶν ἁγίων Ἐκκλησιῶν, καὶ πολυειδῶς αὐτὸς ὡς ἐν σκιᾷ πλαττόμενος ὁ δι' ἡμᾶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενόμενος ἄνθρωπος. Ἐφ' ἑκάστῳ γε μὴν τῶν παραδειγμάτων πολὺς ἂν γένοιτο καὶ μακρὸς ὁ λόγος, καὶ ἰσχνομυθίας ἔμπλεως. Ἐπειδὴ δέ ἐστι τὰ μὲν ἴδιά τε καὶ πρέποντα τῇ τῶν γεγονότων κατασκευῇ, τὰ δὲ πρὸς τὴν τῶν θεωρημάτων ἀπονένευκε χρείαν, φέρε, λέγωμεν τὰ εἴς γε τοῦτο λυσιτελῆ, μεθέντες τὰ ἕτερα. {ΠΑΛΛ.} Οὐ συνίημι ὃ φής. {ΚΥΡ.} Ἄθρει δὴ οὖν ὅ φημι· συνήσεις γὰρ, οἶμαι, καὶ λίαν ἀμογητί· κιβωτὸν γενέσθαι προστέταχεν ἐκ ξύλων ἀσήπτων, ἔσωθέν τε καὶ ἔξωθεν χρυσίῳ καθαρῷ διαπεπυκασμένην, καὶ τὰ καλούμενα μαρτύρια, τοῦτ' ἔστι, τὸν νόμον ὡς ἐν πλαξὶν ὠδίνουσαν, καὶ οὐ μέχρι τούτων τὰ ἐπ' αὐτήν· ἀναφορέας γὰρ δὴ γενέσθαι προστάττει πάλιν ἐξ ἀσήπτων ξύλων, ἐν ἴσῳ κεχρυσωμένους, χρυσοῦς τε δακτυλίους καὶ στρεπτὰ κύκλῳ. Μῆκός τε καὶ πλάτος καὶ ὕψος ὡρίσατο τῷ τεχνήματι. Ἀλλ' εἰ βούλοιτό τις πολυπραγμονεῖν εὖ μάλα τὰ τοιάδε μυστικῶς, εὑρήσει μὲν ἴσως, ὅ τί ποτέ ἐστιν ἡ κιβωτὸς, καὶ τὰ ἐν αὐτῇ 68.597 μαρτύρια, καὶ τίς ἡ ξύλων ἀσήπτων γέγονε χρεία. Τί δ' ἂν βούλοιτο δηλοῦν, καὶ τῇ κιβωτῷ τὸ χρυσίον, τὰ τέως ἐν τάξει χρείας τε καὶ κόσμου συντεθειμένα, κυμάτια δὴ λέγω, στρεπτὰ, κρίκους τε καὶ ἀναφορέας, εἰ περιεργάζοιτο τυχὸν, σκληρὸν εὑρήσει τὸ χρῆμα. Καὶ λόγον αὐτοῖς ἐφαρμόσαι τὸν μυστικὸν οὐκ ἔχων, περιττοεπήσει τάχα που, καὶ ὄχλον εἰκαίων ἐπισωρεύσει ῥημάτων, ταῖς τῶν φιλομαθεστέρων ἀκοαῖς. Ἀληθὴς δὲ ἡμῖν ὁ λόγος οὐκ ἐπί τοι μόνης τῆς κιβωτοῦ τυχὸν, προσθείην δ' ἂν ὅτι καὶ ἐπί γε τῶν ἄλλων, ἃ δὴ γενέσθαι προστέταχεν. {ΠΑΛΛ.} Οὐκ ἀπίθανά μοι δοκεῖς διανοεῖσθαί τε καὶ λέγειν. Τοιγάρτοι μεθεὶς τό γε ἧκον, ὡς φὴς, εἰς συμμετρίαν. τε καὶ χρείαν, ἤγουν εἰς κόσμον τῶν ἀποτελεσμάτων, ἐπ' αὐτὸ διάττειν ἐπείγου τὸ τοῖς θεωρήμασιν, ἀναγκαῖον, τοῦτ' ἔστι, τίνα τρόπον αὐτὸς ἡμῖν ὁ Χριστὸς σημαίνεται διὰ τῶν παραδεδειγμένων, ἤτοι κατεσκευασμένων, ἀμελητὶ διασάφει. {ΚΥΡ.} Οὐκοῦν, ἐγὼ μὲν, ὡς ἔνι φράσαι τε καὶ νοεῖν, πειράσομαι. Διαμαρτάνοντι δέ τ' ἀληθοῦς, καὶ μεῖον ἢ χρὴ τῇ τῶν νοημάτων ὑπεροχῇ προσβάλλοντι, συγγνώμων ἔσο. Τὸ γὰρ ἐν ἐσόπτρῳ τε καὶ αἰνίγματι βλέπειν, ἀποσφήλειεν ἂν ἔσθ' ὅτε καὶ τὸν ἀκριβῆ τε καὶ ἔμφρονα νοῦν. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ἡ κιβωτὸς ἡμῖν, ὦ Παλλάδιε, τύπος ἂν εἴη καὶ εἰκὼν τοῦ Χριστοῦ. Τὸν γὰρ τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς ἀνασκοπούμενοι τρόπον, καθάπερ ἐν κιβωτῷ τῷ ἐκ Παρθένου ναῷ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ἐνηυλισμένον ὀψόμεθα. «Κατῴκησε γὰρ ἐν αὐτῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς,» κατὰ τὰς Γραφάς. Λόγος δὲ ἦν Θεοῦ, τὰ ἐν τῇ κιβωτῷ μαρτύρια. Καὶ ἄσηπτα μὲν ἦν αὐτῆς τὰ ξύλα, χρυσῷ δὲ τῷ καθαρῷ καὶ δοκιμωτάτῳ κατεκαλλύνετο, ἔσωθέν τε καὶ ἔξωθεν. Ἄφθαρτον γὰρ τὸ σῶμα Χριστοῦ, καθάπερ τινὶ χρυσῷ, τῇ τοῦ ἐνοικοῦντος Λόγου δυνάμει καὶ λαμπρότητι, καὶ τῇ τοῦ ἁγίου Πνεύματος φύσει καὶ ἐνεργείᾳ ζωοποιῷ, πρὸς ἀφθαρσίαν διακρατούμενον. Διὰ γάρ τοι τοῦτο καὶ ζωοποιεῖν λέγεται Χριστός. Ζωὴ γὰρ ὢν κατὰ φύσιν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, τῇ δυνάμει τοῦ ἰδίου πνεύματος τὸν ἴδιον αὐτὸς ἀνεζωοποίει ναὸν, φθορᾶς ἀνωτέρω τιθείς. «Ἡ γὰρ σὰρξ αὐτοῦ οὐκ οἶδε διαφθορὰν,» κατὰ τὴν τοῦ ἁγίου Παύλου φωνήν. Προσεφώνει δέ που καὶ Ἰουδαίοις, περὶ τοῦ ἰδίου σώματος· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν·» καὶ μὴν καὶ ὁ Πέτρος τεθανατῶσθαι μὲν σαρκὶ, φησὶν, αὐτὸν, ἐζωοποιῆσθαι δὲ πνεύματι. Σύμβολον οὖν ἄρα τῆς ὑπερλάμπρου θεότητος, ὁ χρυσὸς, ἐπαληλειμμένης ὥσπερ τῷ ἁγίῳ σώματι, καὶ τὴν ἰδίαν αὐτοῦ λαμπρότητά τε καὶ ἀφθαρσίαν ἐνιείσης ἀπο῾ρ῾ήτως, καὶ ὡς αὐτή που μόνη καὶ καθ' ἑαυτὴν ἡ θεία τε καὶ ὑπὲρ νοῦν ἐπίσταται φύσις. Εἰ γὰρ «Οἱ δίκαιοι κατὰ 68.600 καιροὺς ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν,» τίς ἔσται λοιπὸν ἡ αὐτοῦ δόξα Χριστοῦ; Πῶς δὲ οὐ νοῦ καὶ λόγου πέρα παντὸς ἡ ἔκλαμψις; Χρυσοῖ δὲ τὴν κιβωτὸν ἔχοντες ἀναφορεῖς, χρυσοῖ καὶ οἱ κρίκοι, καὶ πάντα τὰ ἐν αὐτῇ· μέτοχοι γὰρ τῆς δόξης οἱ ἀμφ' αὐτὸν, καὶ ὡς ἐν ἀγάπῃ καὶ ἁγιασμῷ προσερηρεισμένοι καὶ χρήσιμοι. Τοιοῦτοί τινες ἦσαν καὶ οἱ μακάριοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μαθηταὶ, δύναμιν τὴν παρ' αὐτοῦ τὴν θεοπρεπῆ δεχόμενοι, καὶ τῆς ἄνωθεν ὑπεροχῆς τὴν λαμπρότητα μεθεκτῶς ἐκπεπλουτηκότες, καὶ πληροῦντες διὰ τοῦτο τὰς θεοσημίας. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} «Καὶ πρός γε τῇ κιβωτῷ, ποιήσεις,» φησὶν, «ἱλαστήριον, ἐπίθεμα χρυσίου καθαροῦ δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος, καὶ πήχεως καὶ ἡμίσους τὸ πλάτος. Καὶ ποιήσεις δύο Χερουβὶμ χρυσᾶ τορνευτά· καὶ ἐπιθήσεις αὐτὰ ἐξ ἀμφοτέρων τῶν κλιτῶν τοῦ ἱλαστηρίου. Ποιηθήσονται Χερουβὶμ εἷς ἐκ τοῦ κλίτους τούτου, καὶ Χερουβὶμ εἷς ἐκ τοῦ κλίτους τοῦ δευτέρου τοῦ ἱλαστηρίου. Καὶ ποιήσεις τοὺς δύο Χερουβὶμ ἐπὶ τὰ δύο κλίτη. Ἔσονται οἱ Χερουβὶμ ἐκτείνοντες τὰς πτέρυγας ἐπάνωθεν συσκιάζοντες ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τοῦ ἱλαστηρίου, καὶ τὰ πρόσωπα αὐτῶν εἰσάλληλα, εἰς τὸ ἱλαστήριον ἔσονται τὰ πρόσωπα τῶν Χερουβίμ. Καὶ ἐπιθήσεις τὸ ἱλαστήριον ἐπὶ τὴν κεφαλὴν ἄνωθεν, καὶ εἰς τὴν κιβωτὸν ἐμβαλεῖς τὰ μαρτύρια ἃ ἂν δῶ σοι. Καὶ γνωσθήσομαί σοι ἐκεῖθεν, καὶ λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ μέσον τῶν δύο Χερουβὶμ τῶν ὄντων ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, κατὰ πάντα ὅσα ἂν ἐντείλωμαί σοι πρὸς τοὺς υἱοὺς Ἰσραήλ.» {ΠΑΛΛ.} Εἶτα τί τὸ ἱλαστήριον εἶναι φής; {ΚΥΡ.} Ὅσον μὲν ἧκεν εἴς τε γράμμα καὶ σκιὰν, ἐκ χρυσοῦ ἐπεποίητο καθαροῦ, καὶ ἐπήρτητό πως ἐπικειμένη τῇ κιβωτῷ· εἴρηται γὰρ ἐπίθεμα διὰ τοῦτο. Τετραμμένοι δὲ εἰς αὐτὸ καὶ βλέποντες, οἱ τοῖς τῆς ἱερωσύνης αὐχήμασι κατηγλαϊσμένοι, πρὸς Θεὸν ἐδόκουν τετράφθαι καὶ βλέπειν. Φαμὲν δὲ εἶναι τὸ ἱλαστήριον, εἰ νοοῖτο πνευματικῶς, τὸν δι' ἡμᾶς γενόμενον ἄνθρωπον, «ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ.» Παῦλος γὰρ ὧδέ φησιν. Ἐπιστέλλει δὲ ἡμῖν καὶ Ἰωάννης ὁ σοφώτατος μαθητής· «Τεκνία, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε, καὶ ἐάν τις δὲ ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνων, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.» Δι' αὐτοῦ γὰρ ἱλασμὸς, εὐχή τε πᾶσα, καὶ αἴτησις ἀγαθῶν. «Ἕως γὰρ ἄρτι,» φησὶν, «οὐκ ᾐτήσατε οὐδὲν ἐπὶ τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν.» Αὐτὸς οὖν ἄρα τὸ ἱλαστήριον. Δι' αὐτοῦ γὰρ ἡμῖν ἵλεως ὁ Πατὴρ, καὶ εἰς αὐτὸν καταλήγει πᾶν πέρας εὐχῆς, καὶ δι' αὐτοῦ πρόσιμεν, οὐχ ἑτέρως ὄντες δεκτοί. Τοιγάρτοι φησὶν, «Ἐγώ εἰμι ἡ ὁδός·» καὶ, «Ἐγώ εἰμι θύρα,» καὶ, «Οὐδεὶς ἔρχεται πρὸς τὸν 68.601 Πατέρα, εἰ μὴ δι' ἐμοῦ.» Πλὴν εἰ καὶ γέγονε καθ' ἡμᾶς, καθιεὶς ἑαυτὸν εἰς ἀνθρωπότητά τε καὶ κένωσιν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἀλλ' ἔστι καὶ ἴδιον αὐτοῦ φυσικῶς τὸ ἐν δόξῃ νοεῖσθαι τῇ θεοπρεπεῖ, καὶ ἐν ὑπεροχαῖς ὑπάρχειν ταῖς ὑπὲρ τὴν κτίσιν, καθάπερ ἀμέλει καὶ πρὸ τῆς σαρκός. Διὰ τοῦτο τὰ Χερουβὶμ περιεστᾶσι τὸ ἱλαστήριον, πυκάζοντα ταῖς πτέρυξι, καὶ πρὸς αὐτὸ τετραμμένα, καὶ ἀεὶ τὸ πρόσωπον ἐπερείδοντα, καὶ δορυφορίας μὲν ἀπόδειξις ἐναργὴς, ἡ εἰς δεξιά τε καὶ εὐώνυμα στάσις. Τὸ δὲ τῶν ἀνωτάτω δυνάμεων οἱονεί πως ἔντονόν τε καὶ ἀκόρεστον εἰς θεοπτίαν, ὑπεμφαίνειν ἔοικεν, τὸ βλέπειν ἀεὶ τὰ Χερουβὶμ ἐπὶ τὸ ἱλαστήριον. Ἐν τῷ ἰδίῳ δὲ σχήματι γράφει τὸν Υἱὸν καὶ ὁ προφήτης Ἡσαΐας, λέγων· «Εἶδον τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ Σεραφὶμ εἱστήκεσαν κύκλῳ αὐτοῦ,» καὶ ἓξ μὲν ἑκάστῳ πτέρυγας ἐκπεφυκέναι, φησὶ, καλύπτειν δὲ αὐτὰ, ταῖς μὲν δυσὶ τοὺς πόδας, ταῖς δὲ δυσὶ τὰ πρόσωπα, πέτεσθαι δὲ ταῖς ἑτέραις. Καὶ εἰ μὲν οἴοιτό τις ὅτι τὸ τοῦ Θεοῦ πρόσωπον, καὶ μὴν καὶ τοὺς πόδας κατεκάλυπτον τὰ Σεραφὶμ, οὐδὲν ἀπεικὸς ἐννοεῖν τι τοιοῦτον. Μετατρέποντες γὰρ εἰς Ἑλλήνων φωνὴν, τοῦ Σεραφὶμ τὴν δήλωσιν, γνώσεως πληθυσμὸν ἤτοι σοφίας χύσιν σημαινομένην εὑρήσομεν. Ὑπεμφαίνουσι τοιγαροῦν τῷ σχήματι καὶ μάλα σαφῶς, αἱ πάνσοφοί τε καὶ ἀνωτάτω δυνάμεις, ὅτι Θεοῦ πρόσωπον οὐ θέμις ὁρᾶσθαι πρός τινος. Ἄποπτος γὰρ παντελῶς ἡ ὑπὲρ πάντα νοῦν ἐστι φύσις, καὶ φῶς ἀπρόσιτον οἰκεῖ, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν, καὶ «Οὐδεὶς ὄψεται Θεοῦ πρόσωπον, καὶ ζήσεται,» κατά γε τὸ παρ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ πρὸς Μωσέα τὸν ἱερώτατον εἰρημένον ὀρθῶς. Ἀλλ' οὐδ' ἄν τις γνοίη τά τε ἴχνη καὶ τὰς ὁδοὺς αὐτοῦ. Γέγραπται γὰρ, «Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!» Ψάλλει δὲ καὶ ὁ μακάριος Δαβὶδ, καὶ σοφὸν ἀνακρούει μέλος· «Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.» Ὥσπερ γὰρ οὐκ ἄν τις ἴδοι ἴχνος ἐν ὕδασιν, ἢ ἀνθρώπου τυχὸν ἢ νεὼς, ἢ τῶν ἐν αὐτοῖς νηχομένων, οὕτως οὐκ ἂν καταθρήσειέ τις θείας τε καὶ ἀποῤῥήτους ὁδούς. Ὧν ἂν εἶεν εἰς τύπον οἱ πόδες. Εἰ δὲ δὴ καὶ τὰ ἑαυτῶν πρόσωπα καὶ τοὺς πόδας καταπυκάζειν ταῖς πτέρυξιν ὑποτοπήσαιτό τις τὰ ἅγια Σεραφὶμ, ἐννοῶμεν ὅτι τῆς περὶ Θεοῦ σοφίας, ἤτοι γνώσεως ἀρχὴν ἢ τέλος ἰδεῖν οὐ θέμις. Ἀκατάληπτος γὰρ καὶ αὐτὴ, καὶ ὑπὲρ νοῦν ἐστι τὸν ἀνθρώπινον. Ἀρχὴ δὲ παντὸς σώματος, κεφαλή· τέλος δὲ οἱ πόδες. Τὸ ἱλαστήριον οὖν ἄρα Χριστὸς, ὃς καὶ ἐν σαρκὶ πεφηνὼς, οὐδὲν ἧττόν ἐστι Θεὸς, καὶ Κύριος, φύσει τε καὶ ἀληθῶς, περιεστώσας ἐν κύκλῳ δουλοπρεπῶς καὶ αὐτὰς ἔχων τὰς ἀνωτάτω δυνάμεις. Ἔφη δέ που καὶ λόγος ἡμῖν ἱερὸς, ὡς μετά γε τὸ ἐκστῆναι τὸν Σατανᾶν τὴν ἐν Χριστῷ μεθέντα πεῖραν, ὅτε νενήστευκεν ὑπὲρ ἡμῶν, ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ· «Πνεύματα γάρ εἰσι λει 68.604 τουργικὰ εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίας.» Ἄνωθεν δὲ τοῦ ἱλαστηρίου, γνωσθήσομαί σοι, φησὶ, καὶ λαλήσω σοι, δύο που, καθάπερ ἐγᾦμαι, καὶ διὰ τούτου δηλῶν. Ἢ γὰρ ὅτι ἄνθρωπος ὢν ὁ Χριστὸς, τὰ ὑπὲρ ἀνθρώπου λαλήσει φύσιν, καὶ οὐχὶ μόνοις ἐμμενεῖ τοῖς τῆς κενώσεως μέτροις, διά γε τὸ εἶναι Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν. «Ἐγὼ γὰρ, ἔφασκε, καὶ ὁ Πατὴρ ἕν ἐσμεν,» καὶ, «Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.» Ἢ ἐκεῖνό που τάχα· γινώσκεται γὰρ ἄνωθεν τοῦ ἱλαστηρίου καὶ τῶν Χερουβὶμ, τουτέστιν, ἐν ὑπεροχῇ καὶ δόξῃ τῇ ὑπὲρ ἄνθρωπον, καὶ παντὸς ἐπέκεινα γενητοῦ, ὧν τὸ ἀκρότατόν τε καὶ ὑπέρτατον τὰ Σεραφὶμ, εἰ καὶ γέγονε σάρξ. Ἐκ χρυσοῦ δὲ τὸ ἱλαστήριον, καὶ αὐτὰ τὰ Σεραφίμ. Ἡ μὲν γὰρ εὐκλεής τε καὶ περικαλλεστάτη φύσις, Θεός. Ἐν ὁμοιώσει δὲ τῇ πρὸς αὐτὸν κατὰ μέθεξιν, τὰ γενητά. Τοῖς δὲ ἐν κύκλῳ καὶ ἀγχοῦ γεγονόσιν αὐτοῦ, τὴν τῆς ἰδίας καὶ φυσικῆς φαιδρότητος ἐπιμερίζει μέθεξιν, ὡς φωτὸς ἐπί τι τῶν πέλας ἀντανακλωμένου, καὶ λαμπρότητι τῇ ἰδίᾳ τὸ προστυχὸν καταυγάζοντος. {ΠΑΛΛ.} Ὀρθῶς ἔχει, καὶ ἀπεξεσμένος ἡμῖν εἰς τἀληθὲς, ὁ λόγος. {ΚΥΡ.} Μετὰ δὲ τὴν τοῦ ἱλαστηρίου κατασκευὴν, καὶ ἑτέρως ἡμῖν τὸ Χριστοῦ μυστήριον σκιαγραφεῖ, λέγων· «Καὶ ποιήσεις τράπεζαν χρυσοῦ καθαροῦ.» Δακτυλίους τε αὐτῇ προσερειρῆσθαι δεῖν ἐπιτάξας, καὶ χρυσοῦς ἐμβάλλεσθαι τοὺς ἀναφορέας, μέτρα τε αὐτῆς καὶ εὐτεχνίας τοὺς τρόπους, καθ' οὓς ἂν γένοιτο λαχοῦσα τὸ ἐκπρεπὲς εἰς εἶδος τὸ ἀνωτάτω σαφέστατα διειπὼν, «Καὶ ἐπιθήσεις, φησὶν, ἐπὶ τὴν τράπεζαν ἄρτους ἐνωπίους, ἐναντίον μου διὰ παντός.» Χρυσᾶ δὲ αὐτῆς τὰ σκεύη, τρυβλία τε καὶ θυίσκας, καὶ μὴν καὶ κυάθους, καὶ σπονδεῖα γενέσθαι προστέταχεν. Ἆρ' οὐκ ἐναργῶς ὁ ἄρτος ἡμῖν ὁ ἐξ οὐρανοῦ κατεδείκνυτο, προκεισόμενος κατὰ καιροὺς ἐν ἁγίαις τραπέζαις ἐκκλησιῶν, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Τρυβλία τε καὶ θυίσκαι, κύαθοί τε καὶ σπονδεῖα, καὶ τὰ δι' ὧν τῆς ἁγίας τραπέζης ἡ μυστικὴ καὶ ἱερωτάτη πληροῦται χρεία, οὐ τῶν θείων κειμηλίων τύπος ἂν εἶεν. ὦ τᾶν; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἀλλὰ ταυτὶ μὲν ἐν τῇ Ἐξόδῳ. Τραπέζης δὲ πέρι καὶ μὴν καὶ προθέσεως ἄρτων, κεχρησμῴδηκεν ὁ νομοθέτης ἐν τῷ Λευιτικῷ· ἀνευρύνει δὲ ὥσπερ τὴν ἐντολὴν, τίνα τε τρόπον ἡ πρόθεσις ἔσται, διδάσκει σαφῶς, λέγων οὕτως· «Καὶ λήψεσθε σεμίδαλιν, καὶ ποιήσετε αὐτὴν δώδεκα ἄρτους. Δύο δεκάτων ἔσται ὁ ἄρτος ὁ εἷς. Καὶ ἐπιθήσετε αὐτοὺς δύο θέματα, καὶ ἓξ ἄρτους τὸ ἓν θέμα ἐπὶ τὴν τράπεζαν τὴν καθαρὰν ἔναντι Κυρίου. Καὶ ἐπιθήσετε ἐπὶ τὸ θέμα λίβανον καθαρὸν καὶ ἅλα, καὶ ἔσονται εἰς ἄρτους εἰς ἀνάμνησιν προκείμενα τῷ Κυρίῳ, τῇ ἡμέρᾳ τῶν σαββάτων 68.605 προσθήσεται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔναντι Κυρίου διαπαντὸς ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ, διαθήκην αἰώνιον· καὶ ἔσται Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ. Καὶ φάγονται αὐτὰ ἐν τόπῳ ἁγίῳ· ἔστι γὰρ Ἅγια τῶν ἁγίων τοῦτο αὐτῶν, καὶ ἀπὸ τῶν θυσιαζομένων τῷ Κυρίῳ, νόμιμον αἰώνιον.» Ἐν δέ γε τοῖς Ἀριθμοῖς, ὡς ἕνα πάλιν ἄρτον ἡμῖν τὸν ἐξ οὐρανοῦ καὶ ἐξ ἡμῶν· γέγονε γὰρ Θεὸς ὢν φύσει καθ' ἡμᾶς ὁ Λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, κατεδείκνυ λέγων πρὸς τὸν ἱεροφάντην Μωϋσέα· «Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἐν τῷ πο-ρεύεσθαι ὑμᾶς εἰς τὴν γῆν ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, καὶ ἔσται, ὅταν ἐσθίητε ὑμεῖς ἀπὸ τῶν ἄρτων τῆς γῆς, ἀφαιρεῖτε ἀφαίρεμα ἀφόρισμα Κυρίῳ ἀπαρχὴν φυράματος ὑμῶν· ἄρτον ἀφαίρεμα ἀφοριεῖτε αὐτὸ ὡς ἀφαίρεμα ἀπὸ ἅλωνος, οὕτως ἀφαιρήσετε ἀπαρχὴν φυράματος ὑμῶν, καὶ δώσετε τῷ Κυρίῳ ἀφαίρεμα εἰς τὰς γενεὰς ὑμῶν.» Καὶ ἀπονητὶ μὲν διὰ τούτων καταθεῷτό τις ἂν τὸ τῆς ἀληθείας μυστήριον. Λελέξεται δὲ πρὸς ἡμῶν ἐν ἰδίῳ καιρῷ λεπτῶς καὶ ἀπηκριβωμένως, εἰς ἕτερον ἡμῖν ἱδρῶτα συγγραφῆς μετεῤῥηκότος τοῦ λόγου. Πλὴν ἐκεῖνο, οἶμαί που, κατατεθήποι τις ἂν εἴς γε τὸ παρὸν ἡμῖν, ὦ Παλλάδιε. {ΠΑΛΛ.} Τὸ ποῖόν τι φῄς; {ΚΥΡ.} Πολυειδῶς γὰρ ἡμῖν ἐμφανῆ καθιστὰς τὸν Ἐμμανουὴλ, καὶ δι' ἑτέρου πάλιν αὐτὸν ἀναπλάττει λόγου. Πρὸς γάρ τοι Μωϋσέα φησί· «Καὶ ποιήσεις λυχνίαν ἐκ χρυσίου καθαροῦ, τορνευτὴν ποιήσεις τὴν λυχνίαν· ὁ καυλὸς αὐτῆς καὶ οἱ καλαμίσκοι, καὶ οἱ κρατῆρες, καὶ οἱ σφαιρωτῆρες, καὶ τὰ κρίνα ἐξ αὐτῆς ἔσται. Ἓξ καλαμίσκοι ἐκ τοῦ κλίτους τοῦ δευτέρου.» Καὶ αὖ ἐπὶ τούτοις τὰ εἰς κόσμον τε καὶ χρείαν τῷ τεχνήματι τελοῦντα προστεθεικὼς, κρίνα τέ φημι, καὶ σφαιρωτῆρας καὶ καρυίσκους, ἐπεφώνει πάλιν· «Ὅλη τορνευτὴ, ἐξ ἑνὸς χρυσίου καθαροῦ· καὶ ποιήσεις τοὺς λύχνους αὐτῆς ἑπτὰ, καὶ ἐπιθήσεις τοὺς λύχνους αὐτῆς. Καὶ φανοῦσιν ἐκ τοῦ ἑνὸς προσώπου. Καὶ τὸν ἐπαρυστῆρα αὐτῆς, καὶ τὰ ὑποθέματα αὐτῆς ἐκ χρυσίου καθαροῦ, ποιήσεις πάντα τὰ σκεύη ταῦτα ταλάντου χρυσίου καθαροῦ. Ὅρα, ποιήσεις κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.» Χρυσῆ μὲν οὖν ἡ λυχνία τύπον ἐπέχουσα τοῦ Χριστοῦ. Φύσει γὰρ καὶ ἀληθείᾳ Θεὸς ὁ Υἱός· χρυσῷ δὲ παρεικαστέον, καθὰ καὶ ἐν τοῖς ἀνωτέρω διωριζόμεθα, τὴν θείαν λαμπρότητα καὶ ὑπεροχήν. Τορνευτὴ δὲ ὅτι περικαλλὴς καὶ πέρα λόγου παντὸς, τό γε ἧκον εἰς εὐμορφίαν τὴν νοητὴν, ὁ Ἐμμανουήλ. Γέγραπται γὰρ ὅτι «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.» Οὐκοῦν τὸ ἐκτετορνεῦσθαι τὴν λυχνίαν, τὸ εἰς εἶδος ἐκπρεπὲς, δῆλον δὲ ὅτι τὸ θεοπρεπὲς, κατεδείκνυεν ἂν εὖ μάλα τοῦ Ἐμμανουήλ. Εἰς δεξιὸν δὲ καὶ εὐώνυμον, οἱάπερ ἐκ δένδρου καλαμίσκους ἐκπεφυκότας, συναναθρώσκειν δὲ τῷ μέσῳ καυλῷ, καὶ εἰς ὕψος αἴρεσθαί φησι τὸ ἰσοστατοῦν. Εἷς γὰρ ὢν κατὰ φύσιν ὁ Μονογενὴς, καὶ ἐν ἁπλότητι τῇ κατ' οὐσίαν, ὡς Θεὸς, διαφόροις ἐνεργείαις πολλοστὸς εἶναι δοκεῖ, ἀλλ' οὐδὲν εἰσκεκριμένον ἢ ὀθνεῖον 68.608 ἐν αὐτῷ, κἂν εἰ νοοῖτό πως τοῖς θεοπρεπέσιν ἀξιώμασιν οὐχ ἁπλοῦς. Φῶς γὰρ καὶ ζωὴ, καὶ δύναμις καὶ ἀφθαρσία νοεῖται. Ὅτι γὰρ οὐδὲν εἰσποιητὸν ἐν αὐτῷ διδάξαι βεβουλημένος, προσεπήνεγκεν, οἶμαί που, τὸ, «Οἱ σφαιρωτῆρες καὶ οἱ καλαμίσκοι ἐξ αὐτῆς ἔστωσαν· ὅλη τορνευτὴ ἐκ χρυσίου καθαροῦ,» τοῦτ' ἔστιν, ὅλος διόλου Θεὸς, οὐκ ἐν ἴσῳ τοῖς γενητοῖς ἡγιασμένος, οὐδὲ ὥσπερ ἄγγελοι τυχὸν ἐν ἰδίᾳ νοούμενοι φύσει, κατηγλαϊσμένοι δὲ ἐκείνου χάριτί τε καὶ δόξῃ, καὶ οἱάπερ χρυσίῳ καθαρῷ, τῇ τοῦ πνεύματος δόσει κατακεχρισμένοι, ἀλλ' αὐτὸ τῇ φύσει τὸ χρῆμα, Θεὸς, ἡ καθαρωτάτη τε καὶ ὑπερτάτη φύσις. Ἑπτὰ δὲ οἱ λύχνοι· κατὰ πολλοὺς γὰρ τρόπους ὁ παρὰ Χριστοῦ φωτισμός. Καὶ, «Ὧ μὲν δέδοται λόγος σο-φίας, ἑτέρῳ δὲ λόγος γνώσεως, διάκρισίς τε πνευμάτων,» καὶ τὰ λοιπά. Τελειότητος δὲ σημεῖον, ὁ ἑπτὰ πάλιν ἐστὶν ἀριθμός. Παντέλειος δὲ καὶ κατὰ φύσιν ἰδίαν ὁ Ἐμμανουὴλ, ὡς Θεὸς, καὶ τῶν παρ' αὐτοῦ χαρισμάτων ἐν διανομῇ, τελείως ἔγκειται τοῖς ἑλεῖν ἀξίοις. Οὐ γὰρ «Ἐκ μέτρου δίδωσι τὸ πνεῦμα,» κατὰ τὴν τοῦ Ἰωάννου φωνὴν, ἀλλ' «ἐκ τοῦ πληρώματος ἡμεῖς πάντες ἐλάβομεν.» Εἶτά φησι· «Καὶ ἐπιθήσεις τοὺς λύχνους, καὶ φανοῦσιν ἐκ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑνὸς προσώπου.» Ἀλλὰ τίς ἂν γένοιτο τυχὸν ἡ τοιάδε θέσις, ἐν τοῖς Ἀριθμοῖς ἐδήλου σαφῶς, οὕτω λέγων· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Λάλησον Ἀαρὼν, καὶ ἐρεῖς πρὸς αὐτόν· Ὅταν ἐπιθῇς τοὺς λύχνους ἐκ μέρους κατὰ πρόσωπον τῆς λυχνίας, φωτιοῦσιν οἱ ἑπτὰ λύχνοι· καὶ ἐποίησεν οὕτως Ἀαρὼν ἐκ τοῦ ἑνὸς μέρους κατὰ πρόσωπον τῆς λυχνίας, καὶ ἐξῆψε τοὺς λύχνους αὐτῆς, καθὰ συνέταξε Κύριος τῷ Μωσῇ» Σύνες δὴ οὖν, ὅτι κατὰ πρόσωπον τῆς λυχνίας, οἱ ἑπτὰ τετραμμένοι λύχνοι, τὸ φῶς τοῖς ὁρῶσιν ἐνίεσαν. Οὐ γὰρ τοῖς κατόπιν καὶ οἱονεί πως ἐν ἀποστροφῇ κειμένοις τῇ παρὰ Θεῷ, τὸ θεῖόν τε καὶ νοητὸν ἐπιλάμπει φῶς, ἀλλὰ τοῖς εἰς ὄψιν ἠγμένοις δι' ἁγιασμοῦ, καὶ ἀντιπροσώποις ἤδη γεγονόσι διὰ τῆς ἐν πίστει παῤῥησίας, καὶ τῆς ἔν γε τῷ βιοῦν ὀρθῶς παγκάλου σεμνότητος. Βδελυρὸν μὲν γὰρ καὶ ἀπηχθημένον πᾶν ὅσον ἐστὶν ἐν φαυλότητί τε καὶ ἀπειθίᾳ. Τίμιον δὲ καὶ ἐν ἐπισκέψει Θεοῦ, τὸ εὐπειθὲς καὶ εὐήνιον. Ἰουδαίοις μὲν γὰρ ἐμπαροινεῖν ἑλομένοις ἀκαθέκτως αὐτῷ, καὶ διὰ φωνῆς Ἡσαΐου φησίν· «Ὅταν τὰς χεῖρας ἐκτείνητε πρὸς μὲ, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν.» «Ὀφθαλμοὶ δὲ Κυρίου ἐπὶ δικαίους,» κατὰ τὸ ἐν Ψαλμοῖς ὑμνούμενον. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Τῆς ἁγίας ταυτησὶ λυχνίας μέμνηται σαφῶς καὶ ὁ θεσπέσιος Ζαχαρίας· ἔφη γὰρ, ὅτι «Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ ἐξήγειρέ με, ὃν τρόπον ἐξηγέρθη ἄνθρωπος ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπε πρὸς μὲ, Τί σὺ βλέπεις; Καὶ εἶπα, Ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς, καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς· μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καὶ μία 68.609 ἐξ εὐωνύμων. Καὶ ἐπηρώτησα, καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ, λέγων, Κύριε, τί ἐστι ταῦτα; καὶ εἶπε πρὸς μὲ, λέγων, Οὐ γινώσκεις τί ἐστι ταῦτα; Καὶ εἶπα, Οὐχὶ, Κύριε.» Ὁ μὲν οὖν μακάριος προφήτης διεπυνθάνετο λέγων, Τί ἐστι ταῦτα, Κύριε; Βραχὺ δὲ διήγημα παρενθεὶς ὁ θεσπέσιος ἄγγελος διερμηνεύει τὴν ὅρασιν, καὶ τὴν τῆς λυχνίας κατασκευὴν εἰς Χριστὸν ἀναφέρει λέγων περὶ τῶν ἐν αὐτῇ λύχνων ἑπτὰ, «Οὗτοι οἱ ὀφθαλμοὶ Κυρίου, ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν.» Εἰ γὰρ χρή τι καὶ τῶν παχυτέρων εἰπεῖν, μυρίοις ὅσοις ἡμᾶς ὀφθαλμοῖς τὸ θεῖον ὁρᾷ καὶ κατασκέπτεται τὰ ἀνθρώπινα, γινώσκων τὰ ἐν τῷ σκότει, κατὰ τὸ γεγραμμένον, «Καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστιν.» Εἰ γὰρ καὶ ἡμῖν τοῖς ἐν κόσμῳ τὸ φῶς ἐνίησι Θεὸς, καταπλουτήσειεν ἂν αὐτὸ καὶ πρό γε τῶν ἄλλων ἐν ἰδίᾳ φύσει λαχών. Ἢ εἴπερ οὐχ ὧδε ἔχειν ὑποπτεύουσί τινες, ὥρα που τάχα τοῖς ὧδε φρονεῖν ἑλομένοις ἐπιφωνεῖν, «Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί ποτε φρονήσατε. Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν, οὐχὶ κατανοεῖ; Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ ἠκονημένος μᾶλλον μαχαίρας διστόμου, διικνούμενος μέχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. Πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ.» Φωτίζει δὴ οὖν καὶ ἐφορᾷ πάντα Χριστός. Τοιγάρτοι καὶ ἔφασκε δι' ἑνὸς τῶν προφητῶν· «Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν. Μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;» Λάθοι γὰρ ἂν οὐδὲν τὸν πάντα εἰδότα νοῦν. Ἢ οὐκ ἄριστά σοι ταῦτα διεσκέφθαι δοκῶ; {ΠΑΛΛ.} Παντάπασι μὲν οὖν. {ΚΥΡ.} Ἀσύνηθες δέ τι περὶ τὴν λυχνίαν ὁ προφήτης ὁρῶν, ἐλαιῶν γὰρ ἦσαν κλάδοι, προσεπυνθάνετο λέγων, «Τί αἱ δύο ἐλαῖαι αὗται αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ ἐξ εὐωνύμων; Καὶ ἐπηρώτησα,» φησὶν, «ἐκ δευτέρου, καὶ εἶπα πρὸς αὐτόν· Τί οἱ δύο κλάδοι τῶν ἐλαιῶν, οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν, τῶν ἐπιχεόντων καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς; Καὶ εἶπε πρός με,» φησὶν, «Οὐ γινώσκεις τί ἐστι ταῦτα; Καὶ εἶπα, Οὐχὶ, Κύριε. Καὶ εἶπέ μοι· Οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος παρεστήκασι τῷ Κυρίῳ πάσης τῆς γῆς.» {ΠΑΛΛ.} Τίς οὖν ἄρα γέγονε χρεία τῷ μακαρίῳ προφήτῃ, τοῦ καὶ εἰς αὖθις ἀναπυθέσθαι δεῖν; Ἐπηρώτησα γὰρ, φησὶν, ἐκ δευτέρου. {ΚΥΡ.} Ἢ γὰρ οὐχὶ φαίης ἂν, ὦ Παλλάδιε, σοφόν τε εἶναι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πρέπον, τοῖς γε ὅλως ὀρθὰ φρονεῖν ᾑρημένοις, ἀκριβεῖς καὶ ἀπεξεσμένους τὰς ἐφ' ὅτῳ οὖν τῶν ἀναγκαίων ποιεῖσθαι πεύσεις; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Κλῶνας δὴ οὖν ἐλαιῶν θαλῷ βρύοντας ἁπαλῷ καὶ νεοθαλεῖ τεθεαμένος ὁ προφήτης, ἐλαίας αὐτοὺς, καὶ οὐκ ἐξ ἐλαιῶν ὠνόμαζε κλάδους. Εἶτα σεσιώπηκεν ὁ θεσπέσιος ἄγγελος, τὴν ἐμφρονεστέραν καὶ 68.612 ἀληθῆ περιμένων πεῦσιν· ἐπειδὴ δὲ διεγηγερμένος, δύο κλάδους ἐλαιῶν ὠνόμαζε λοιπὸν, καὶ ἀναμαθεῖν ἐλιπάρει, τίνος ἂν εἴη σύμβολα ταυτὶ ἐδιδάσκετο παραχρῆμα, τοῦ ἀγγέλου λέγοντος· «Οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος παρεστήκασι τῷ Κυρίῳ πάσης τῆς γῆς.» Υἱοὺς δὲ πιότητος δύο, τόν τε ἐξ Ἰσραὴλ, καὶ μέν τοι τὸν ἐξ ἐθνῶν ἀπεκάλει λαὸν, οὓς καὶ τῷ Κυρίῳ πάσης τῆς γῆς παρεστάναι φησὶ, σαφῶς τε καὶ ἐναργῶς εἰς τύπον Χριστοῦ, τὸ ἐπὶ τῇ λυχνίᾳ τέχνημα τιθεὶς, ἧς οἱ κλάδοι τῶν ἐλαιῶν, εἰς δεξιά τε καὶ εὐώνυμα, καὶ οἱονεὶ τὴν ἐν κύκλῳ λαχόντες στάσιν τῷ ἐλαίῳ καταπιαίνονται, ὅ ἐστιν ἁγίου Πνεύματος τύπος, τὸν τῶν πιστευόντων κατάρδοντος νοῦν, κατὰ τὸ, «Ἐν ἐλαίῳ ἐλίπανας τὴν κεφαλήν μου.» {ΠΑΛΛ.} Εἶτα τί μὴ μᾶλλον ἐλαίας αὐτὰς, κλῶνας δὲ μᾶλλον ἐλαιῶν ἀπεκάλει; {ΚΥΡ.} Ὅτι, ὦ ἑταῖρε, καθάπερ ἐξ ἐλαιῶν μόσχια λεπτὰ καὶ ἀρτιθαλεῖς ἐξήρηνται κλάδοι, μόνον δὲ οὐχὶ μεταβοθρεύονται μετὰ πίστεως εἰς εὐσέβειαν οἱ πεπιστευκότες, οἱ μὲν ἐκ τῆς Ἰουδαίων ὄντες συναγωγῆς, οἱ δὲ, τῆς ἐξ ἐθνῶν πληθύος ἐξῃρημένοι· πεπιστεύκασι γὰρ οὐχὶ πάντες οἱ ἐξ Ἰσραὴλ, οὔτε μὴν ἅπασα τῶν ἐθνῶν εἰσέφρησεν ἡ πληθύς. Κλάδοι τοίνυν ἐλαιῶν, οἱ ὡς ἐκ δένδρων ἀπεσπασμένοι πληθύος Ἰουδαϊκῆς, καὶ μὴν καὶ Ἑλληνικῆς, καὶ ἐν φωτὶ τῷ θείῳ γεγενημένοι, καὶ ἐνσπαταλῶντες ἤδη πως τῇ τοῦ ἁγίου Πνεύματος ἀφθονωτέρᾳ χύσει. Τοῦτο γὰρ οἶμαι δηλοῦν, τὸ, ὡς ἐν μυξωτῆρσι τῶν λύχνων τοὺς τῶν ἐλαιῶν κεῖσθαι κλάδους, ὧν καὶ ὁ μακάριος Ψαλμῳδὸς διαμέμνηταί που, πρὸς τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν ἀναμελῳδῶν τε καὶ λέγων περί τε τῆς συνηρμοσμένης αὐτῷ νύμφης, τουτέστι, τῆς Ἐκκλησίας, καὶ τῶν ἐν πίστει τέκνων αὐτῆς· «Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. Οἱ υἱοί σου, ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου.» Ζωοποιούμεθα γὰρ ἐν μεθέξει Πνεύματος, καὶ ἐν ἁγίᾳ τραπέζῃ Χριστοῦ, τὴν εἰς αὐτὸν πίστιν εἰσδεδεγμένοι. {ΠΑΛΛ.} Ναὶ λέγεις ὀρθῶς· «Ἐγὼ γάρ εἰμι,» φησὶν, «ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.» {ΚΥΡ.} Ἀλλὰ λυχνίας μὲν πέρι, καὶ τῶν ἐν αὐτῇ, ταυτὶ πρὸς ἡμῶν εἰς παρὸν εἰρήσεται. Ἴτω δὲ ὁ λόγος ἐπὶ τὸ χαλκοῦν ἤδη θυσιαστήριον, τῆς κατὰ νόμον λατρείας, τὸ χρειωδέστατον. «Ποιήσεις γὰρ,» φησὶ, «θυσιαστήριον ἐκ ξύλων ἀσήπτων. Πέντε πήχεων τὸ μῆκος, καὶ πέντε πήχεων τὸ εὖρος. Τετράγωνον ἔσται τὸ θυσιαστήριον, καὶ τριῶν πήχεων τὸ ὕψος αὐτοῦ· καὶ ποιήσεις τὰ κέρατα ἐπὶ τῶν τεσσάρων γωνιῶν, ἐξ αὐτοῦ ἔσται τὰ κέρατα, καὶ καλύψεις αὐτὰ χαλκῷ, καὶ ποιήσεις στεφάνην τῷ θυσιαστηρίῳ, καὶ τὸν καλυπτῆρα αὐτοῦ, καὶ τὰς φιάλας αὐτοῦ, καὶ τὰς κρεάγρας αὐτοῦ, καὶ τὸ πυρεῖον αὐτοῦ, πάντα τὰ σκεύη αὐτοῦ ποιήσεις χαλκᾶ.» Πεντάπηχυ μὲν οὖν εἰς εὖρός τε καὶ μῆκος 68.613 τὸ θυσιαστήριον. Ἔδει γὰρ, ἔδει μέτρων αὐτῷ, καὶ λίαν ἀφθονωτάτων. Σχίσαι τε γὰρ ἐπ' αὐτῷ καὶ βοῶν ἔμελλον ἀναφέρεσθαι τμήματα, καὶ ὁλοκαυτώσεις, οἰῶν τε καὶ τράγων ἀναφοραὶ καθιερουμένων Θεῷ. Ταύτῃτοι χαλκῆ καὶ ἐσχάρα καὶ πυρεῖον αὐτῷ, κρεάγραι τε καὶ φιάλαι, καὶ πάντα αὐτοῦ τὰ σκεύη, ὡς ἂν δύναιντο ταῖς κατὰ νόμον θυσίαις, τὴν παρά γε σφῶν αὐτῶν εἰσκομίζοντα χρείαν, ταῖς τοῦ παμφάγου πυρὸς μὴ καταφθείρεσθαι προσβολαῖς. Στεφάνην δὲ καὶ τὰ ἐπὶ ταῖς γωνίαις κέρατα, τῷ τοῦ σχήματος κάλλει προσθήσομεν. Ἄχαρι γὰρ οὐδὲν παρὰ τῷ πανσόφῳ Θεῷ. Πλὴν, ἐκεῖνο πάλιν δὴ φέρε λέγωμεν, ἀκριβῆ τὸν νοῦν ἐπερείδοντες τοῖς ἐφ' ἑκάστῳ τεθεσπισμένοις. Θυσιαστήριον προστέταχε ταῖς κατὰ νόμον θυσίαις ἐοικὸς καὶ πρέπον, ἀλλ' οὐδὲν ἐν αὐτῷ χρυσοῦν, καθάπερ ἀμέλει, καταθεῷτό τις ἂν ἐπὶ τῆς κιβωτοῦ, λυχνίας τε αὖ καὶ τραπέζης, καὶ τῶν ἀμφ' αὐτήν. {ΠΑΛΛ.} Τί δὴ οὖν ἄρα καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτό ἐστι; {ΚΥΡ.} Οὐ γὰρ δὴ τῆς θείας τε καὶ ἀκηράτου φύσεως τὴν κατὰ πάντων ὑπεροχὴν, καὶ ἀσύγκριτον λαμπρότητα, ὡς ἐν νοήσει λέγω, τὸ χρυσίον εὖ μάλα καταδηλοῦν ἐλέγομεν, ὦ Παλλάδιε; {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Ἄθρει δὴ οὖν, ἀχρύσωτον παντελῶς τῆς κατὰ νόμον λατρείας τὸ θυσιαστήριον, αἴνιγμά που τὸ χρῆμα τιθέντος ἡμῖν τοῦ Θεοῦ, καὶ μάλα σαφῶς, ὅτι Πνεύματος ἁγίου πρόξενος ἥκιστα μὲν ὁ νόμος, τετίμηται δὲ οὐχὶ τοιαύτῃ χάριτι τῆς ἐν τύπῳ λατρείας ἡ δύναμις. Πνεῦμα γὰρ ἦν δουλείας ἐπὶ τὸν Ἰσραήλ· ἡμῖν δὲ τὸ δῶρον ἀπενεμήθη διὰ Χριστοῦ μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν. Ἐνεφύσησε γὰρ, λέγων, «Λάβετε Πνεῦμα ἅγιον.» Τοιγάρτοι καὶ Παῦλος προσεφώνει τοῖς πεπιστευκόσιν, «Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ.» Ὅτι δὲ τῆς κατὰ νόμον λατρείας ἡ δύναμις τὴν τοῦ ἁγίου Πνεύματος οὐκ ἐπλούτει μέθεξιν, δέδονται δὲ μᾶλλον τοῖς ἐν πίστει δεδικαιωμένοις, πληροφορήσει λέγων ὁ σοφὸς Ἰωάννης· «Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη.» Οὔπω γὰρ ἀνεβίω Χριστός· μονονουχὶ γὰρ τότε κατεχρυσώθη τῷ Πνεύματι, καὶ κοινωνίᾳ τῇ πρὸς αὐτὸν, ἡ ἀνθρώπου φύσις. Χρυσοῦ μὲν δὴ δίχα, ταύτητοι γενέσθαι προστέταχε τὸ θυσιαστήριον, καθάπερ ἐγῷμαι, τὸν δὲ ἐπὶ τῷ χαλκῷ λόγον, ἐξ οὗ καὶ πεποίητο, παραδραμεῖν, ὡς ἔοικε, τοῖς φιλομαθέσιν οὐκ ἀζήμιον. Ἐκτέκοι γὰρ ἄν τι τῶν ἀναγκαίων ἡ βάσανος, καθάπερ τὸ ὑπό του σοφῶς εἰρημένον, Ἐν παντὶ μεριμνῶντι ἔνεστι περιττόν. {ΠΑΛΛ.} Τί οὖν ἂν ἔχοις εἰπεῖν καὶ ἐπὶ τῷδε πάλιν; {ΚΥΡ.} Ἄκουε δή· ψήφῳ μὲν γὰρ τῇ ἄνωθεν εἰς ἱερέα καὶ ἡγούμενον τὸν θεσπέσιον Ἀαρὼν κεχειροτονῆσθαί φησι τὸ Γράμμα τὸ ἱερόν. Κορέ γε μὴν καὶ Δαθὰν, καὶ τοῖς ἀμφ' αὐτοὺς, ἡ ἀγρία πληθὺς τῆς ἄνωθεν ψήφου προαλέστατα καταθέοντες, καὶ 68.616 τῶν θείων κατεξανιστάμενοι νόμων, πυρεῖα προσῆγον ἄκλητοι καὶ αὐτόμολοι πρὸς τοῦτο ἰόντες, καὶ τιμὴν ἁρπάζοντες, οὐ νεμηθεῖσαν αὐτοῖς, ἀντιπαρεξάγοντες καὶ μάλα θερμῶς, τὰ ἐξ ἀπονοίας καὶ θράσους, ἱερεῖ τῷ προὔχοντι, καὶ τῶν ἄλλων ἁπάντων ἀπολέγδην ἐξῃρημένῳ. Ἐσκιαγραφεῖτο δὲ διὰ τούτων ἡ ἐσομένη κατὰ Χριστοῦ τῶν Ἰουδαίων ἀπόνοια. Αὐτὸς γὰρ ἡμῶν ἀρχιερεὺς, ψήφῳ πρὸς τοῦτο ἡγμένος τῇ παρὰ Πατρὸς, καὶ οἱ μὲν τῶν οὕτως αἰσχρῶν ἐπιχειρημάτων ἐκτετίκασι δίκας· ἀποτίσουσι δὲ καὶ μετ' αὐτοὺς Ἰουδαῖοι τοῖς ἴσοις ἐγκλήμασι γεγονότες ἔνοχοι. Θεὸς δὲ δὴ τότε πρὸς Μωσέα τε τὸν ἱερὸν, καὶ μὴν καὶ πρὸς Ἐλεάζαρ ἔφη, τὸν ἐξ Ἀαρὼν τὸν ἱερέα· «Ἀνέλεσθε τὰ πυρεῖα τὰ χαλκᾶ ἐκ μέσου τῶν κεκαυμένων, καὶ τὸ πῦρ τὸ ἀλλότριον τοῦτο σπεῖρον ἐκεῖ, ὅτι ἡγίασε τὰ πυρεῖα τῶν ἁμαρτωλῶν τούτων ἐν ταῖς ψυχαῖς αὐτῶν. Καὶ ἐποίησαν αὐτὰ λεπίδας ἐλατὰς, περίθεμα τῷ θυσιαστηρίῳ, ὅτι προσηνέχθησαν ἔναντι Κυρίου, καὶ ἡγιάσθησαν. Καὶ ἐγένοντο εἰς σημεῖον τοῖς υἱοῖς Ἰσραήλ. «Ταύτῃ μὲν οὖν ἔφη τὸ τηνικάδε Θεός. Ἐν τῇ Ἐξόδῳ δὲ γέγραπται περὶ τοῦ Βεσελεὴλ, ὃς ἦν ἐκ πατρὸς μὲν Οὐρίου, φυλῆς δὲ τῆς Δὰν, καὶ πάσης εὐτεχνίας ἡγούμενος· «Οὗτος ἐποίησε τὸ θυσιαστήριον τὸ χαλκοῦν ἐκ τῶν πυρείων τῶν χαλκῶν, ἃ ἦν τοῖς ἀνδράσι τοῖς καταστασιάσασι μετὰ τῆς Κορὲ συναγωγῆς.» {ΠΑΛΛ.} Τί οὖν τοῦτό γε; {ΚΥΡ.} Πολλὴν ἂν ἔχοι τὴν ὄνησιν, εἰ ἐννοοῖτο ὅτι πεποίηται μὲν ἡ κιβωτὸς εἰς τύπον Χριστοῦ, καὶ μέν τοι καὶ τὰ ἕτερα, λυχνία, φημὶ, καὶ τὸ ἱλαστήριον, καὶ ἐκ χρυσίου τράπεζα, προσκομίσαντος τοῦ λαοῦ καὶ ἀναθέντος ἑκάστου τὸ ἐν χερσί. Δεκτοὶ γὰρ λίαν εἰς δόξαν Θεοῦ καὶ Πατρὸς, οἱ καρποφοροῦντες Χριστῷ, καὶ δωροφορίας προσάγοντες τὰς πνευματικὰς, ὧν ἦσαν ἐκεῖνοι τύποι καὶ σκιαί. Τῆς δὲ κατὰ νόμον λατρείας τὸ θυσιαστήριον, παροξυσμοῦ καὶ ἀντιλογίας, καὶ ἵν' οὕτως εἴπω λοιπὸν, ἀντάρσεως τῆς καθ' ἱερέως τοῦ μεγάλου γεγενημένης, οἱονεί πως ὑπόμνημα καὶ προαναφώνησις, ἐν αὐτῇ κειμένη τῇ κατασκευῇ, μυστικῶς τε καὶ οἰκονομικῶς σημαίνεται. Ἆρά σοι σαφὲς τὸ αἴνιγμα; Χριστοῦ γὰρ εἰς τύπον ὁ Ἀαρών· πεφιλονεικήκασι δὲ τῇ τοῦ Χριστοῦ δόξῃ καὶ Ἰουδαῖοι, καὶ ἀντιλέγεται διὰ τοῦτο τὸ κατὰ νόμον θυσιαστήριον. Πέπαυται γὰρ ἡ ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν σκιαῖς λατρεία· καὶ ἐν Χριστῷ δὴ μᾶλλον εὐωδιάζομεν τῷ Πατρὶ τὴν νοητὴν εὐοσμίαν· καὶ τοῦτο ἡμῖν ὡς ἐν σκιαῖς πάλιν ὑπετύπου, λέγων· «Καὶ ποιήσεις μοι θυσιαστήριον θυμιάματος ἐκ ξύλων ἀσήπτων, καὶ ποιήσεις αὐτὸ πήχεως τὸ μῆκος, καὶ πήχεως τὸ εὖρος· τετράγωνον ἔσται, καὶ δύο πήχεων τὸ ὕψος. Ἐξ αὐτοῦ ἔσται τὰ κέρατα αὐτοῦ, καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ καθαρῷ, τὴν ἐσχάραν αὐτοῦ, καὶ τοὺς τοίχους αὐτοῦ κύκλῳ, καὶ τὰ κέρατα αὐτοῦ.» Σκυτάλας δὲ αὐτῷ καὶ κρίκους, καὶ ἀναφορέας, ἕτερά τε τοιαῦτα προστεθεικὼς, καὶ θήσεις αὐτὸ, φησὶν, «Ἔναντι τοῦ καταπε 68.617 τάσματος τοῦ ὄντος ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ Θεός· καὶ θυμιάσει ἐπ' αὐτοῦ Ἀαρὼν θυμίαμα σύνθετον λεπτὸν τὸ πρωΐ, πρωΐ· ὅταν ἐπισκιάζῃ τοὺς λύχνους, θυμιάσει ἐπ' αὐτοῦ. Καὶ ὅταν ἐξάπτῃ Ἀαρὼν τοὺς λύχνους τὸ ὀψὲ, θυμιάσει ἐπ' αὐτοῦ θυμίαμα ἐνδελεχισμοῦ διὰ παντὸς ἔναντι Κυρίου εἰς τὰς γενεὰς αὐτῶν. Καὶ οὐκ ἀνοίσεις ἐπ' αὐτῷ θυμίαμα ἕτερον· κάρπωμα θυσίας, καὶ σπονδὴν οὐ σπείσεις ἐπ' αὐτοῦ. Καὶ ἐξιλάσεται ἐπ' αὐτοῦ Ἀαρὼν ἐπὶ τῶν κεράτων αὐτοῦ, ἅπαξ τοῦ ἐνιαυτοῦ ἀπὸ τοῦ αἵματος τοῦ καθαρισμοῦ τῶν ἁμαρτιῶν τοῦ ἐξιλασμοῦ. Ἅπαξ τοῦ ἐνιαυτοῦ καθαριεῖ αὐτὸ εἰς τὰς γενεὰς αὐτῶν· Ἅγιον τῶν ἁγίων ἐστὶ τῷ Κυρίῳ.» {ΠΑΛΛ.} Εἰς τύπον ἄρα Χριστοῦ καὶ τοῦτο παραδεξόμεθα; {ΚΥΡ.} Πάνυ μὲν οὖν, ὦ Παλλάδιε. Ἀληθὲς γὰρ ὅτι τὸ χρῆμά ἐστι, τὸ τίμιον αὐτοῦ καὶ βαθὺ μυστήριον ἐνδείξ[ει]εν ἂν καὶ μάλα ῥᾳδίως τοῖς γε ᾐρημένοις τὰ τοιάδε πολυπραγμονεῖν ἰσχνῶς τε καὶ κατεῤῥινημένως. Πεποίητο μὲν γὰρ ἐκ ξύλων ἀσήπτων, χρυσῷ δὲ ὅλον ἀλήλ[ε]ιπτο. Ἀδιάφθορον γὰρ τὸ σῶμα Χριστοῦ, καὶ φύσιν ἐν ἑαυτῷ τὴν θείαν καταπλουτοῦν· «Γέγονε γὰρ σὰρξ ὁ Λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.» Ἀπαρχὴ δὲ ἡμῶν ὁ Χριστὸς, καὶ ῥίζα τοῦ γένους ἀνακτιζομένου πρὸς ἀφθαρσίαν διὰ τῆς πρὸς Θεὸν ἑνώσεως, εἰ καὶ ἐξαιρέτως ἐπ' αὐτοῦ τὸ χρῆμα νοοῖτο. Κέρατα δὲ τῷ θυσιαστηρίῳ, καὶ οἱονεὶ χεῖρες ἐκπεπετασμέναι, καὶ τοῦ τιμίου σταυροῦ τὸ σχῆμα προαναπλάττοντα. Εἰ δὲ δὴ τέτταρά τις εἶναι λέγοι τὰ κέρατα, ἀδικοῦν οὐδὲν, εἴς γε τὸ νοεῖν ὀρθῶς τὸν φιλομαθῆ. Τετραγώνου τε γὰρ καὶ ἰσοπλεύρου πανταχῇ τοῦ θυσιαστηρίου τυγχάνοντος, ἴση πανταχόθεν τῶν κεράτων ἡ θέα· καὶ τίς ὁ τοῦδε λόγος; ἐν παντὶ γὰρ τόπῳ Χριστὸς γινώσκεται, καὶ οὗτος ἐσταυρωμένος· αὔχημα δὲ τοῦτο λαμπρὸν τοῖς πιστεύουσιν εἰς αὐτόν. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.» Πρόσκειται δὲ τῷ τεχνήματι, τὰ τελοῦντα πρὸς κόσμον, στεφάνη στρεπτή· καὶ γάρ ἐστιν ἀληθῶς «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων» ὁ Ἐμμανουήλ. Ἐπενήνεκται δὲ καὶ τὰ εἰς χρείαν αὐτῷ, οἱ ἀναφορεῖς τε καὶ τὰ λοιπά. Φέρεσθαι γὰρ ἐν κόσμῳ κατὰ τοὺς τῶν ἀναζεύξεων καιροὺς τὸ θεῖον ἔδει θυσιαστήριον. Ἔδρων δὲ τοῦτο καὶ οἱ θεσπέσιοι μαθηταὶ, Χριστὸν περιφέροντες διὰ τοῦ κηρύγματος εὐσχημόνως τε καὶ κατὰ τάξιν, ὡς Θεοῦ διάκονοι καὶ οἰκονόμοι μυστηρίων Χριστοῦ. «Θήσεις δὲ,» φησὶ, «τὸ θυσιαστήριον ἀπέναντι τοῦ καταπετάσματος τοῦ ὄντος ἐπὶ τῆς κιβωτοῦ τῶν μαρτυρίων ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖθεν.» {ΠΑΛΛ.} Εἶτα τί τὸ ἀναγκαῖον καὶ χώρων αὐτῶν οἶμαι, τῶν τεταγμένων; {ΚΥΡ.} Ὡς βαθὺς μὲν ὁ λόγος, καὶ ἀμυδρὸς ἄγαν ἐρῶ δὲ ὡς ἔνι, Θεῷ πίσυνος τῷ καὶ αὐτοὺς σοφοῦντι 68.620 τοὺς τυφλούς. Κιβωτὸν γενέσθαι ἐκ ξύλων ἀσήπτων καὶ χρυσίου καθαροῦ, φησὶ, καὶ ἦν ὁ νόμος ἐν αὐτῇ, τουτέστιν, ὁ θεῖος λόγος, ἤτοι τὰ μαρτύρια. Τύπος γὰρ ἦν τὸ χρῆμα, τοῦ ἐκ Θεοῦ φύντος Λόγου, κατοικήσαντος ἐν ἡμῖν, καὶ σαρκὸς ἐν ὁμοιώματι γεγονότος, κατὰ τὰς Γραφάς. Εἶτα καταπέτασμά τι τέσσαρσι στύλοις ἐπιτετανυσμένον, ἀπαιωρεῖσθαι τῇ κιβωτῷ δεῖν ἔφη. Ὄνομα δὲ τῷ καταπετάσματι, τὸ ἱλαστήριον. Χριστὸς δὲ καὶ τοῦτο. «Ἱλασμὸς γάρ ἐστιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἱλαστήριον διὰ πίστεως.» Ὠνόμαζε γὰρ οὕτως ὁ Παῦλος αὐτόν· γεγράφατο δὲ καὶ οἱονεί πως ἐν κύκλῳ τοῦ ἱλαστηρίου τὰ Χερουβὶμ, τῶν ἀνωτάτω


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυνάμεων τὴν ὑπὸ Θεῷ δουλείαν· Θεὸς γὰρ ὁ Λόγος· καὶ τὸ ἀγχοῦ δὴ μάλα, καὶ μὴν καὶ τὸ παρεστάναι λειτουργικῶς, εὖ μάλα σημαίνοντα. Εἶτα Θεὸς ἔφη πρὸς Μωσέα· «Καὶ γνωσθήσομαί σοι ἐκεῖθεν, καὶ λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου ἀναμέσον τῶν δύο Χερουβὶμ τῶν ὄντων ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου.» Ἦν δὲ, ὡς ἔφην, ἡ κιβωτὸς ὁ Χριστὸς, ὡς ἐν ἀφθάρτῳ σώματι Θεὸς Λόγος, πλὴν εἰς γῆν ἡ κιβωτός· γέγονε δὲ καὶ ἐν ὑφέσει καὶ ἐν χθαμαλότητι τῇ καθ' ἡμᾶς ὁ Μονογενής. Μορφὴν γὰρ ὑπέδυ τὴν δουλοπρεπῆ, καὶ κεκένωκεν ἑαυτόν. Αὐτὸς δὲ πάλιν ἐστὶ τὸ ἱλαστήριον, τὸ ὑψοῦ κείμενον, καὶ ὑπὸ τῶν ἄνω Δυνάμεων δορυφορούμενον. Οὐ γὰρ ἐκ μόνων ἡμῖν τῶν τῆς κενώσεως τρόπων γνώριμος ὁ Υἱὸς, ἀλλὰ καὶ ἐξ ὧν ἐστι Θεὸς καὶ τῶν ὅλων Κύριος. Εἰ γὰρ καὶ τεταπείνωκεν ἑαυτὸν διὰ τὸ ἀνθρώπινον, ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς καταβεβηκὼς, ἀλλ' «Ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα.» Τύπος δ' ἂν εἴη καὶ τοῦδε, τὸ ὑψοῦ τεθεῖσθαι τὸ ἱλαστήριον εἰς δεξιὸν καὶ εὐώνυμον ἀναγεγραμμένων τῶν Χερουβίμ. Ἔνθα γὰρ ἂν ἡ Θεῷ πρέπουσα μόνῳ φαίνοιτο λειτουργία, ἐκεῖ δήπου εἴη ἂν πάντως καὶ ἡ τῆς θεότητος δόξα, καὶ τῶν ὑπὲρ λόγον ἀξιωμάτων ἡ ὑπεροχή. «Ἄνωθεν δὲ τῶν Χερουβὶμ, γνωσθήσομαί σοι,» φησὶν, ὁ πάντων Δεσπότης, τὴν ἄῤῥητον φύσιν μὴ ἐν οἷς ἡ κτίσις ζητεῖσθαι προστάττων, ἀλλ' ἐπέκεινα πάντως τοῦ κεκλημένου πρὸς ὕπαρξιν· Θεοῦ γὰρ φύσει λόγος τε καὶ τόπος ὁ πρεπωδέστατος, τὸ πέρα τε καὶ ἄνω παντὸς γενητοῦ. Οὐκοῦν ὁ ὑπεράνω τῶν Χερουβὶμ τόπος, καὶ αἰσθητῶς ἐν τῇ ἁγίᾳ σκηνῇ μονονουχὶ τὴν θείαν ἡμῖν καταδηλοῖ φύσιν· ταύτῃτοι τὸ χρυσοῦν θυσιαστήριον εἰς τύπον Χριστοῦ γεγονὸς, ἀποκεῖσθαι προστέταχεν ἀπέναντι τοῦ ὑπεράνω τῶν Χερουβὶμ χρηματίζοντός τε καὶ νοουμένου τοῦ οἱονεί πως εἰς ὄψιν Θεοῦ καὶ ἐν ὀφθαλμοῖς τοῦ Πατρὸς ἐν Χριστῷ γενέσθαι τὰ καθ' ἡμᾶς τοῦτό που σημαίνοντος. Ἐν ἀποστροφῇ γὰρ ὄντα τὸν ἄνθρωπον, καὶ προσκεκρουκότα Θεῷ διὰ τὴν παράβασιν καὶ πολλὴν ἁμαρτίαν, ἔστησε πάλιν ἐν προσώπῳ τοῦ Πατρὸς ὡς ἐν ἑαυτῷ καὶ πρώτῳ Χριστός. «Πρόδρομος γὰρ ὑπὲρ ἡμῶν εἰσβέβηκεν εἰς τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν,» καθὰ γράφει Παῦλος ἡμῖν ὁ σοφός. Ὁ γὰρ ὑπάρχων ἀεὶ μετὰ τοῦ ἰδίου 68.621 Πατρὸς, νῦν ἐμφανισθῆναι λέγεται ὡς ἐν ἑαυτῷ γε καὶ πρώτῳ παρατιθεὶς ἐν ὄψει τοῦ Πατρὸς τὰ ἀνθρώπινα, καὶ τὴν ἀρχαίαν ἐκείνην ἀποστροφὴν μεθιστάς. «Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν,» κατὰ τὰς Γραφάς. {ΠΑΛΛ.} Ἄραρεν οὖν ὅτι Χριστοῦ πάλιν εἰκὼν τὸ θυσιαστήριον τὸ χρυσοῦν. {ΚΥΡ.} Καὶ πρός γε δὴ τούτῳ νοοῖτ' ἂν εἰκότως αὐτὸς ὁ θυμίαμα τὸ σύνθετον καὶ λεπτόν. Αὐτὸς γὰρ ὁ ἀρχιερεύς· «Θυμιάσει γὰρ,» φησὶν, «ἐπ' αὐτοῦ Ἀαρὼν θυμίαμα σύνθετον, λεπτόν·» καὶ σύνθετον μὲν τὸ θυμίαμα· Θεὸς γὰρ ὢν ὁ Λόγος, γέγονε σάρξ. Καὶ συντέθειταί πως ἡμῖν ὁ Ἐμμανουὴλ, θείας φύσεώς τε καὶ ἀνθρωπότητος εἰς ἑνότητα τὴν ὑπὲρ νοῦν, ἀποῤῥήτως συνηνεγμένην. Λεπτὸν δὲ, ὅτι τὸ παχὺ τῆς κατὰ νόμον λατρείας οὐκ ἔχει. «Θυσίας γὰρ καὶ προσφορὰν οὐκ ἠθέλησας. Ὁλοκαύτωμα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας. Σῶμα δὲ κατηρτίσω μοι, φησί· τότε εἶπον, Ἰδοὺ ἥκω· τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου.» Καὶ τί δὴ τοῦτό ἐστι τὸ θέλημα τοῦ Πατρὸς, αὐτὸς ἡμᾶς ἐν Εὐαγγελίοις μεμυσταγώγηκε λέγων, ὅτι «Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πεμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.» Προσκεκόμικε γὰρ ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας, κεχρημάτικέ τε διὰ τοῦτο καὶ ἀρχιερεύς. Οὐκοῦν αὐτὸς ὁ ἀρχιερεὺς, αὐτὸς τὸ θυμίαμα τὸ σύνθετόν τε καὶ λεπτόν· καὶ μαρτυρήσει λέγων ὁ Παῦλος· «Τῷ δὲ Θεῷ χάρις, τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ, ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις· οἷς μὲν ὀσμὴ ἐκ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν.» Προσεφώνει δὲ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῖν· «Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας.» Καὶ τόν γε τοῦ θυμιᾷν ἐναργῆ καθίστη καιρὸν, ἅπαντα δὲ δεῖν ἐν τάξει τε καὶ εὐκοσμίᾳ πράττεσθαι νομοθετῶν, καὶ δι' ὧν ἂν ἡμῖν ἡ τῶν εἰς τὸ εἴσω θεωρημάτων εὖ ἔχοι δύναμις. «Τὸ πρωῒ» γὰρ, φησὶ, «καὶ τὸ ὀψὲ τῶν λύχνων ἐξαπτομένων καὶ ἐπισκιαζομένων,» τοῦ μὲν ὀψὲ καὶ πρωῒ, τὸ ἀδιάλειπτόν τε καὶ διηνεκὲς ἐμφαίνοντος, τοῦ δὲ ὑπὸ λύχνοις χρῆναι θυμιᾷν, ἐκεῖνό που τάχα παραδηλοῦντος εὖ μάλα, ὅτι φωτὶ τῷ θείῳ καταλαμπόμενοι, τότε δὴ, τότε τῆς εὐωδίας Χριστοῦ πλουσίως ἀναπιμπλάμεθα, ἴμεν τε οὕτω πρὸς αἴσθησιν τῶν ἔσω σκηνῆς ἀγαθῶν, ἤτοι τῆς τῶν θείων χαρισμάτων διανομῆς, ἣν τοῖς ἀξίοις ὀρέγει Χριστός· Ὥστε εἴ τις οὔπω γέγονεν ἐν φωτὶ διὰ πίστεως, ἔστι που πάντως καὶ τῆς νοητῆς εὐωδίας ἀμέτοχος, ἔτι τὸ Χριστοῦ μὴ εἰδὼς μυστήριον. 68.624 «Ἐὰν γὰρ μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε, φησί. Προσβολὴ γὰρ ἡ πίστις, εἰς σύνεσιν ἀποφέρουσα, καὶ οἱονεὶ πρὸς παραδοχὴν τοῦ θείου φωτὸς ἁπλοῦσα τὸν νοῦν. Ἐνδελεχισμοῦ δὲ ὀνομάζει τὸ θυμίαμα. Καιρὸς γὰρ οὐδεὶς, καθ' ὃν οὐκ εὐωδιάζει Χριστὸς ἐν τῇ ἁγίᾳ σκηνῇ, τουτέστιν, ἐν τῇ Ἐκκλη-σίᾳ. Ἀποφάσκει δὲ παντελῶς, τὸ δεῖν ἐπ' αὐτοῦ, δῆλον δὲ ὅτι τοῦ θυσιαστηρίου τοῦ Χριστοῦ, σπονδὴν κατακεῖσθαι, καὶ ἀναφέ[ρε]σθαι κάρπωμα. Κατήργηται γὰρ ἐν Χριστῷ τὰ ἐν νόμῳ, καὶ εἰς τέλος ἕρπουσιν αἱ σκιαί. Τοῦτο, οἶμαι, ἔστι σπονδὴ καὶ κάρπωμα. Καὶ μαρτυρεῖ λέγων ὁ προφήτης· «Ἐξῆρται ἐξ οἴκου Κυρίου θυσία καὶ σπονδή.» Ἀναδεδειγμένης γὰρ ἤδη τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας, περιτταί πως αἱ σκιαὶ, καὶ τὸ ἐν τύποις εἰκαῖον καὶ ἀνόνητον παντελῶς· καινὴ γὰρ κτίσις ἐν Χριστῷ. Τῆς γὰρ χάριτος ἐκπεπτώκασιν οἱ ἐν νόμω δικαιούμενοι μετὰ τὴν τῆς ἀληθείας ἀνάδειξιν. «Οὐκ ἀνοίσεις δὲ,» φησὶν, «ἐπὶ τὸ θυσιαστήριον θυμίαμα ἕτερον.» Παραδεξόμεθα γὰρ ἐν Χριστῷ ἕτερον παντελῶς οὐδένα. Ῥαββὶ δὲ τῶν ὄντων ἐροῦμεν οὐδενί. Εἷς γὰρ ἡμῶν διδάσκαλος καὶ καθηγητὴς, καὶ αὐτῷ δὴ μόνῳ προσκεισόμεθα, λέγοντες, «Μῦρον ἐκκενωθὲν ὄνομά σου. Διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε. Εἵλκυσάν με, ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦσαι.» Ἠ οὐχὶ τοῦτό ἐστι τὸ, «Οὐκ ἀνοίσεις ἐπ' αὐτὸ θυμίαμα ἕτερον;» Μόνου γὰρ Χριστοῦ τὸ εὐῶδες ἐν Ἐκκλησίᾳ τοῖς γε ἀληθῶς ἐχέφροσιν ἐξαρκοίη ἂν, ἑτέρας ὀσμῆς οὐκ ἐφιεμένοις· καθάπερ ἀμέλει καὶ οἱ τάλανες Ἰουδαῖοι. Τὸ μὲν γὰρ θυμίαμα τὸ σύνθετον καὶ λεπτὸν, τουτέστι, Χριστὸν, ταῖς ἀπονοίαις περιυβρίζουσιν. Καὶ ἀμέτοχοι μὲν τῆς ἱερᾶς ταύτης ἢ καὶ θείας ἀληθῶς μεμενήκασιν εὐωδίας· ἕτερον δὲ ἀντ' αὐτοῦ παραδέξονται, τὸν τῆς ἀνομίας υἱὸν, «τὸν ἀντικείμενον καὶ ὑπεραιρόμενον ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ, κατὰ τὸ γεγραμμένον, καθίσαι, ἀποδεικνύοντα ἑαυτὸν ὅτι ἐστὶ Θεὸς,» ὃς καὶ τὴν θείαν σκηνὴν καταμιαίνει, καπνὸς ὢν ἀλλότριος, καὶ ἵν' οὕτως εἴπω, κακοσμία διαβολική· «Ἔσται γὰρ αὐτοῦ,» φησὶν, «ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ.» {ΠΑΛΛ.} Συνίημι ὃ φής. Καὶ γάρ ἐστιν ἐναργὴς ὁ λόγος. {ΚΥΡ.} Ἐξιλάσασθαί γε μὴν ἐπὶ τοῦ θυσιαστηρίου τοῦ θυμιάματος, προστάττει τῷ Ἀαρὼν ἅπαξ τοῦ ἐνιαυτοῦ καταχρίοντι τῷ αἵματι τοῦ καθαρισμοῦ τῶν ἁμαρτιῶν, τὰς τῶν κεράτων ἀρχάς. «Ἅγιον γὰρ,» φησὶ, «τῶν ἁγίων ἐστί.» Καὶ τοῦτό σοι σαφὲς καταστήσει, λέγων, ὁ θεσπέσιος Παῦλος· «Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελεωτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως· οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑ 68.625 ράμενος.» Ὡς γὰρ αὐτός που πάλιν φησὶν, «Ἅπαξ ἀποθανὼν, οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύσει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ.» Εἰσήει τοίνυν ὁ θεσπέσιος Ἀαρὼν εἰς τὰ Ἅγια τῶν ἁγίων, ἅπαξ τοῦ ἐνιαυτοῦ, δι' αἵματος τοῦ καθαρισμοῦ τῶν ἁμαρτιῶν. Καὶ ὅρα Χριστὸν ἐν τουτοισὶ πάλιν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἵματι τῷ ἰδίῳ τῆς ἁπάντων σωτηρίας καὶ ζωῆς, μονονουχὶ τὸν ἴδιον καταῤῥαίνοντα σταυρόν. Σταυροῦ γὰρ τύπος τὰ κέρατα, τῇδε κἀκεῖσε ὡς ἐν τάξει χειρῶν ἀποτάδην ἐκνενευκότα. Οὐκοῦν ἀποθανόντα μὲν ἅπαξ ἐννόει Χριστὸν, Ἅγιον δὲ τῶν ἁγίων ὄντα, κατὰ φύσιν, ὡς Θεόν. Καὶ γάρ ἐστιν ἀληθὴς Ἰωάννης, λέγων, ὅτι «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.» Χριστοῦ γὰρ μέτοχος ἡ πᾶσά ἐστι ὁρατὴ καὶ ἀόρατος κτίσις. Ἄγγελοί τε γὰρ καὶ ἀρχάγγελοι, καὶ τὰ ἔτι τούτων ἐπέκεινα, καὶ αὐτὰ δὲ τὰ Χερουβὶμ, οὐχ ἑτέρως ἅγια, πλὴν ὅτι διὰ μόνου Χριστοῦ, ἐν ἁγίῳ Πνεύματι. Αὐτὸς οὖν ἄρα ἐστὶ τὸ θυσιαστήριον, αὐτὸς δὲ τὸ θυμίαμα, καὶ ἀρχιερεὺς, αὐτὸς δὲ ὁμοίως τὸ αἷμα τοῦ καθαρισμοῦ ἁμαρτιῶν. {ΠΑΛΛ.} Ναὶ λέγεις ὀρθῶς. Πλὴν ὅ τί ποτέ ἐστι τοῦ καθαρισμοῦ τῶν ἁμαρτιῶν τὸ αἷμα, σαφῶς ἐννοεῖν οὐκ ἔχω. {ΚΥΡ.} Προανατυπῶν ὁ νόμος τὴν δι' αἵματος ἀποκάθαρσιν καὶ τὸ θῦμα τὸ ἱερὸν, φημὶ δὴ Χριστὸν, δι' οὗ καὶ σεσώσμεθα, τὸν ἐξ ἁμαρτίας ἐντετηγμένον ἡμῖν διαδιδράσκοντες μολυσμὸν, ὧδέ πή φησιν ἐν τῷ Λευϊτικῷ· «Ἐὰν δὲ πᾶσα,» φησὶ, «συναγωγὴ Ἰσραὴλ ἀγνοήσῃ, καὶ λάθῃ ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς, καὶ ποιήσωσι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσωσι, καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμαρτία, ἣν ἥμαρτον ἐν αὐτῇ, καὶ προσάξει ἡ συναγωγὴ μόσχον ἐκ βοῶν ἄμωμον περὶ τῆς ἁμαρτίας, καὶ προσάξει αὐτὸν παρὰ τὰς θύρας τοῦ μαρτυρίου τῆς σκηνῆς, καὶ ἐπιθήσουσιν οἱ πρεσβύτεροι τῆς συναγωγῆς τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι Κυρίου, καὶ σφάξουσι μόσχον ἔναντι Κυρίου, καὶ εἰσοίσει ὁ ἱερεὺς χριστὸς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου. Καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ ῥανεῖ ἑπτάκις ἔναντι Κυρίου κατ' ἐνώπιον τοῦ καταπετάσματος τοῦ ἁγίου, καὶ ἀπὸ τοῦ αἵματος ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων τῆς συνθέσεως, ὅ ἐστιν ἐνώπιον Κυρίου, ὅ ἐστιν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.» Καὶ πλατύτερον μὲν περί γε τούτων ἡμῖν κατὰ καιροὺς εἰρήσεται· ἄθρει δὲ ὡς ἐν μόσχῳ πάλιν ὑπὲρ ἡμῶν σφαζόμενον τὸν Ἐμμανουὴλ, καὶ ἁμαρτίας ἡμᾶς ἀπαλλάττοντα, καὶ ἐξιστῶντα δίκης, καὶ ποινῆς ἀποφέροντα, καὶ διὰ τῆς μείζονος καὶ τελειοτέρας ἰόντα σκηνῆς, οὐ διὰ μόσχων καὶ τράγων, ἀλλὰ δι' αἵματος τοῦ ἰδίου, καὶ θανάτου προσάπαξ ἀπογευσάμενον. Ἐπὶ ξύλου γὰρ ἄνω λόγχῃ διανοιγεὶς τὴν πλευρὰν, αἷμά τε καὶ ὕδωρ ἐξέβλυσεν. Τύπος δ' ἂν εἶεν σταυροῦ, καθὰ καὶ φθάσαντες εἴπομεν, αἱ τῶν κεράτων ἐξοχαί. 68.628 {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἀλλ' οὔτι πω μόνῳ τῷ αἵματι καθαίρεσθαι δεῖν αἰνιγματωδῶς ὁ νόμος, ἀλλὰ καὶ ὕδατι τῷ ἁγίῳ προστέταχε. Τελεωτάτη γὰρ ἥδε πρὸς κάθαρσιν ὁδὸς, κατά γε τὸ ἐν Χριστῷ μυστήριον. {ΠΑΛΛ.} Πῶς δὲ δὴ ἄρα καὶ τοῦτο δέδειχεν, ἢ τίνα τρόπον; {ΚΥΡ.} Γέγραπται γὰρ, ὅτι «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Ποίησον λουτῆρα χαλκοῦν, καὶ βάσιν αὐτοῦ χαλκῆν, ὥστε νίπτεσθαι. Καὶ θήσεις αὐτὸν ἀνὰ μέσον τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἀνὰ μέσον τοῦ θυσιαστηρίου. Καὶ ἐκχεεῖς εἰς αὐτὸν ὕδωρ· καὶ νίψονται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἐξ αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας ὕδατι. Ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, νίψονται ὕδατι, καὶ οὐ μὴ ἀποθάνωσιν· ἢ ὅταν προσπορεύωνται πρὸς τὸ θυσιαστήριον λειτουργεῖν, καὶ ἀναφέρειν τὰ ὁλοκαυτώματα Κυρίῳ, νίψονται τὰς χεῖρας καὶ τοὺς πόδας ὕδατι. Ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, νίψονται ὕδατι ἵνα μὴ ἀποθάνωσι· καὶ ἔσται αὐτοῖς νόμιμον αἰώνιον αὐτῷ. καὶ ταῖς γενεαῖς αὐτοῦ μετ' αὐτόν.» Ὅτι μὲν οὖν ἡ διὰ τοῦ ἁγίου βαπτίσματος ὡς ἔν γε δὴ τούτῳ προανεγράφετο χάρις, οὐκ ἀσυμφανές. Βαπτιζόμεθα γὰρ, οὐ σαρκὸς ἀπόθεσιν ῥύπου ἀποκερδαίνοντες, ἀλλὰ τῶν νοῦ καὶ καρδίας ἀπαλλαττόμενοι μολυσμῶν, καὶ τὰς τῶν πλημμελημάτων ἀπολουόμενοι κηλίδας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ καλοῦντος εἰς σωτηρίαν. Δεδικαιώμεθα γὰρ οὐκ ἐξ ἔργων νόμου, κατὰ τὰς Γραφὰς, ἀλλ' ἐκ πίστεως Ἰησοῦ Χριστοῦ. Θέα δὲ δὴ, ὅπως καίτοι κατὰ νόμον ἅγιος ὢν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀαρὼν, καὶ μὴν καὶ οἱ σὺν αὐτῷ λειτουργεῖν ἐπιτεταγμένοι, προσαπονίζονται χεῖράς τε καὶ πόδας ὕδατι, πόνων δὲ οὕτως ἅπτονται τῶν ἱερῶν, καὶ μὴν εἰς τὰ Ἅγια τῶν ἁγίων εἰστρέχουσι, δειμάτων ἐλεύθεροι, σαφῶς τε καὶ ἐναργῶς καταδηλοῦντος, οἶμαί που, καὶ τοῦτο τοῦ νόμου, μόνον δὲ οὐχὶ καὶ αὐτοῦ διακεκραγότος τοῦ πράγματος, ὡς ἀνίερος παρὰ Θεῷ, καὶ ὁ δοκῶν εἶναί τις κατὰ νόμον ἱερὸς, εἰ μὴ ἀπολούσαιτο τῷ ὕδατι, καὶ ὅτι τῆς ἐν νόμῳ λατρείας ἡ δύναμις οὐκ ἀπόχρη πρὸς κάθαρσιν. Προαπενίζοντο γοῦν, καίτοι κατὰ νόμον ἡγιασμένοι, καθαίρεται δὲ, οὔτι που τὸ καθαρὸν, ἀλλὰ τὸ ῥυποῦν καὶ ἀκάθαρτον. Τοιουτονὶ δὲ καὶ αὐτὸς εἴρηκεν ὁ Χριστὸς, «Ὁ λελουμένος οὐ χρείαν ἔχει, εἰ μὴ τοὺς πόδας νίψασθαι, ἔστι γὰρ καθαρός.» Γράφει δὲ καὶ σοφώτατος Παῦλος, ὡς ἔστιν ἀδύνατον αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας. Ἀτελὴς οὖν ὁ νόμος εἰς ἁγιασμὸν, εἰ μὴ προσγένοιτο τοῖς δεδιψηκόσι τὴν πρὸς Θεὸν οἰκειότητα τὸ σωτήριον βάπτισμα. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Ἰωάννης, καίτοι τοῖς ἄγαν αὐχήμασιν εὖ μάλα κατεστεμμένος, καὶ ἀρετῆς εἰς τοῦτο διέρπειν εἰδὼς, ὡς εἰς λῆξιν ἤδη γενέσθαι τὴν ἀνωτάτω, βαπτίζεσθαι παρεκάλει τῷ Σωτῆρι λέγων· «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι.» {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Χεῖρες δὲ καὶ πόδες ἀπονιπτόμενοι, ἔργου καὶ πορείας τῆς οἱονεὶ πρὸς ἕκαστα τῶν πρακτέων, 68.629 τὸ καθαρὸν καὶ ἀκίβδηλον ὑποσημαίνουσιν. Τουτὶ δὲ ἡμῖν ἐξησκηκόσιν, ἐφεῖται μὲν εἰσελθεῖν εἰς τὴν ἐσωτέραν σκηνὴν, προσκομίζειν δὲ τῷ Θεῷ θυσίας πνευματικὰς, καὶ ὡς ἐν τάξει θυμιαμάτων τῆς εὐαγγελικῆς πολιτείας καθιεροῦν οἱονείπως τὴν εὐοσμίαν. Παρεγγυᾷ δὲ χρησίμως ἀπονίζεσθαι δεῖν τοὺς εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσελαύνειν ἐθέλοντας, καὶ τῶν ἱερῶν ἔργων ἐπιμελητὰς, ἵνα μὴ ἀποθάνωσιν. Χρῆμα γὰρ ἐπισφαλὲς καὶ ἐπιζήμιον ἀληθῶς, τὸ ἐγγίζειν Θεῷ μὴ κεκαθαρμένους. Τοιγάρτοι καὶ σοφὸς ἡμῖν ἐπισκήπτει Παῦλος, εἰ τῆς μυστικῆς εὐλογίας μεταλαχεῖν ἐθέλοιμεν, ἑαυτοὺς δοκιμάζειν, προσιέναι τε οὕτω λοιπόν. Πρᾶγμα δὲ ὅτι καὶ κινδύνου μεστὸν τὸ ἀτημελὲς ἐν τούτοις, ἐκκαλύπτει λέγων· «Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. Κρινόμενοι δὲ ὑπὸ Κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.» {ΠΑΛΛ.} Ἄραρεν οὖν ὅτι τὴν διὰ τοῦ ἁγίου βαπτίσματος ὁ ἱερὸς ἡμῖν λουτὴρ προκατεδείκνυε χάριν. {ΚΥΡ.} Ὧδε ἔχει· μὴ γὰρ ἐνδοιάσῃς ὅλως. Καὶ τόν γε τῆς τούτου κατασκευῆς περιαθρήσας τρόπον, κατατεθηπὼς ἂν, οἶμαι, καὶ ἔτι μειζόνως ἔσῃ. Γέγραπται γὰρ ὡδὶ περὶ τοῦ Βεσελεὴλ, τοῦ τὰ ἐν τῇ σκηνῇ τετεχνουργηκότος· «Οὗτος ἐποίησε τὸν λουτῆρα τὸν χαλκοῦν, καὶ τὴν βάσιν αὐτοῦ χαλκῆν, ἐκ τῶν κατόπτρων τῶν νηστευσασῶν, αἳ ἐνήστευσαν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐν ᾗ ἡμέρᾳ ἔπηξεν αὐτήν. Καὶ ἐποίησε τὸν λουτῆρα, ἵνα νίπτωνται ἐξ αὐτοῦ Μωσῆς τε καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας, εἰσπορευομένων αὐτῶν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, οἳ ὅταν προσπορεύωνται εἰς τὸ θυσιαστήριον, λειτουργεῖν, ἐνίπτοντο ἐξ αὐτοῦ, καθάπερ συνέταξεν ὁ Κύριος τῷ Μωσῇ.» {ΠΑΛΛ.} Καὶ τί τῶν κατόπτρων τὸ χρῆμα; τίνες δὲ ἄρα καὶ αἱ νηστεύσασαι; {ΚΥΡ.} Πολλὰ τῶν γεγενημένων σαφῆ μὲν οὐκ ἔχει παρὰ τῇ θείᾳ Γραφῇ τὴν ἀφήγησιν. Σημαίνεται δέ πως ἐκ παραδρομῆς, καθάπερ ἀμέλει καὶ τόδε τὸ ἐν χερσί. Ποῦ γὰρ, ἢ τίνες νενηστεύκασι τῆς ἁγίας ἐγηγερμένης σκηνῆς, οὐ λελάληκεν ὁ Μωσῆς. Ὅτι δὲ γέγονεν, οὐκ ἐνδοιάσαι τις ἄν· εἴρηται γὰρ, εἰ καὶ μὴ σαφῶς. Ἀλλὰ τουτὶ δὴ μεθέντες, ἐπ' ἐκεῖνο ἴωμεν, εἰ δοκεῖ. {ΠΑΛΛ.} Τὸ ποῖον; {ΚΥΡ.} Τὰ νενηστευκότα γύναια τίνος ἂν εἶεν εἰς τύπον; τί δὲ τὸ ἐκ τῶν κατόπτρων τὸν λουτῆρα πλάττεσθαι τὸν χαλκοῦν; {ΠΑΛΛ.} Καὶ μὴν, σὸν ἤδη πως καὶ τοῦτο εἰπεῖν. {ΚΥΡ.} Ἄκουε δή· Λελατρεύκασιν εἰδώλοις οἱ ἐξ Ἰσραὴλ, τὴν ὑπὸ τοῖς Αἰγυπτίοις ἀνατλάντες θητείαν, καὶ τοῖς ἐκείνων διαβιοῦντες νόμοις, μακροὺς διατετελέκασι χρόνους. Ἔθος τοίνυν Αἰγυπτίων μάλιστα γυναιξὶν, εἰσφοιτᾷν ἱεροῖς, λινῇ μὲν ἐσθῆτι κατεσταλμέναις, κατόπτρῳ δὲ τὴν ἀριστερὰν, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σείστρῳ τὴν δεξιὰν ἱεροπρεπῶς κατεστεμμέναις, αἳ ὅτι 68.632 μάλιστα τῶν ἄλλων ἐξειλεγμέναι καὶ ἱερομύστιδες, τῆς τοιαύτης μόλις ἠξιοῦντο τιμῆς, ὕβρεως μὲν οὖν· ὧδε γὰρ ἄμεινόν τε καὶ ἀληθὲς εἰπεῖν. Γύναια δὴ οὖν τῶν ἐξ αἵματος Ἰσραὴλ, λείψανα τῆς ἐν Αἰγύπτῳ λατρείας ἐν ἰδίοις σκεύεσιν εὑρηκότα, ταυτὶ δὴ τὰ κάτοπτρα προσεκόμισαν εἰς καρποφορίαν, ἃ καὶ εἰς τὸ τοῦ λουτῆρος μετεσκευάσθη χρῆμα. Σκηνῆς δὲ τῆς ἁγίας ἐγηγερμένης νενηστεύκασι προσιζήσαντά που ταῖς θύραις, καὶ πάντα ἁγνῶς διαιτώμενα, ὑποδηλοῦντος, οἶμαι, τοῦ πράγματος, ὅτι τῆς ἀληθεστέρας ἀναδεδειγμένης σκηνῆς, τοῦτ' ἔστι, τῆς Ἐκκλησίας ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος, ὡς ὁ θεσπέσιος γράφει Παῦλος, καιρὸς ἤδη πως τοὺς ἀνακειμένους εἰς δόξαν ποτὲ τῆς τῶν δαιμονίων ἀγέλης, εἰς ἱερὰ μεταπλάττεσθαι σκεύη, καὶ ἐπιτηδείως ἔχοντα πρὸς παραδοχὴν τοῦ ἁγίου βαπτίσματος, ὡς καὶ διαπρέπειν δύνασθαι τοῖς ὑπὲρ νόμον αὐχήμασιν. Τουτὶ γὰρ, οἶμαι, ἔστι τὸ ἐκ κατόπτρων Ἑλληνικῶν, ἤτοι κειμηλίων διαβολικῶν, τὸν λουτῆρα πλάττεσθαι τὸν χαλκοῦν, ἐν ᾧ δὴ καὶ τὸ ὕδωρ, τὸ καὶ αὐτὸν ἀποκαθαῖρον Μωσέα, καὶ τῇ κατὰ νόμον ἱερωσύνῃ χρήσιμον εἰς ἀπόνιψιν, δῆλον δὲ ὅτι τὴν νοητήν. Ἢ γὰρ, οὐχὶ σκεύη διαβολικὰ, τοὺς πεπλανημένους καὶ τοῖς δαιμονίοις λελατρευκότας φαίης ἂν εἶναι καὶ αὐτὸς, ὦ Παλλάδιε; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Νενηστεύκασι δὲ τὰ γύναια παρὰ τὰς θύρας τῆς σκηνῆς τῆς ἁγίας. Εἴη δ' ἂν καὶ τάδε καλὸν αἴνιγμα καὶ σοφὸν, τοῦ μὴ δι' αἱμάτων εἰστρέχειν ἐν ἐκκλησίαις τοὺς ἐν Χριστῷ δεδικαιωμένους, θυσίαις δὲ μᾶλλον πνευματικαῖς ἐκπρέποντας, καὶ δωροφορίαν ὥσπερ τινὰ προσκομίζοντας τῷ Θεῷ τὴν ἐγκράτειαν, τὴν οἱονεὶ νέκρωσιν τῆς σαρκός. «Παραστήσατε γὰρ,» φησὶ, «τὰ σώματα ὑμῶν, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.» Καὶ πάλιν· «Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν.» Οὐκοῦν αἱ νηστεύσασαι τῆς ἁγίας ἐγηγερμένης σκηνῆς, εἰς εἰκόνα τελοῦσι ψυχῶν, οὐ Μωσαϊκοῖς ἐντάλμασι παιδαγωγουμένων ἔτι, πνευματικὴν δὲ μᾶλλον καὶ εὐαγγελικὴν ἀναδεδειγμένων τὴν πολιτείαν ἤδη, καὶ πατουσῶν οὐκ ἀνιδρωτὶ τὰς ἐπιγείους ἡδονὰς, καὶ ἀναμορφουμένων εὖ μάλα πρὸς τὸ ἀκήρατον κάλλος, διὰ τὸ μὴ ἀνέχεσθαι παθεῖν τὰ μυσαρά τε καὶ βέβηλα τῆς φιλοσαρκίας ἐγκλήματα. Ἢ οὐχ οὕτως ἡμῖν ὁ τοῦ βίου τρόπος τοῖς ἐν Χριστῷ κεκλημένοις εἰς ἁγιασμὸν καὶ ἰσχνότητα τὴν πνευματικήν; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἀλλὰ ταυτὶ μὲν εἰς τὸ παρὸν σκευῶν ἱερῶν εἰρήσθω πέρι. Φέρε δὲ, εἰ δοκεῖ, καὶ αὐτὴν ἡμῖν ὅπως ἔχει θέσεώς τε καὶ κατασκευῆς κατασκεπτώμεθα τὴν σκηνήν. Καὶ βαθὺ μὲν τὸ χρῆμα, καὶ τῶν καθ' ἡμᾶς ἐπέκεινα μέτρων, βλάβος δὲ οἶμαι τὸ σύμπαν οὐδὲν, πανταχόθεν ἡμᾶς ἐρανίζεσθαι φιλεῖν τὸ τελοῦν εἰς ὄνησιν, καὶ τοῖς ἄγαν ὑπερκειμένοις ὡς ἔνι προσβάλλοντας. 68.633 {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Εἰ μὲν οὖν ἕλοιτό τις ἄγαν ἰσχνομυθεῖν, μακρὸς ἂν γένοιτο καὶ πολυσχιδὴς ὁ ἐφ' ἑκάστῳ λόγος. Ἰστέον δὲ ὅτι, τὰ μὲν σκευῶν καὶ θεωρίας ἀγχοῦ καὶ λόγων ἐστὶ μυστικῶν, τὰ δὲ εἰς κόσμον τε καὶ χρείαν ἐκμεμηχάνηται τῆς σκηνῆς· ὑποτεμὼν δὲ, ὡς ἔνι, τὸ μῆκος τοῦ λόγου, ἐν βραχέσιν ἐρῶ, καὶ συστελῶ τὸ διήγημα. Ἔφη τοίνυν, ὅτι «Καὶ τὴν σκηνὴν ποιήσεις δέκα αὐλαίας, ἐκ βύσσου κεκλωσμένης, καὶ ὑακίνθου καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου. Χερουβὶμ ἐργασίαν ὑφαντοῦ ποιήσεις αὐτά· μῆκος τῆς αὐλαίας τῆς μιᾶς, ὀκτὼ καὶ εἴκοσι πήχεις, καὶ εὖρος τεσσάρων πήχεων ἡ αὐλαία ἡ μία ἔσται· μέτρον τὸ αὐτὸ ἔσται πάσαις ταῖς αὐλαίαις. Πέντε δὲ αὐλαῖαι ἔσονται ἐξ ἀλλήλων συνεχόμεναι, ἑτέρα ἐκ τῆς ἑτέρας, καὶ πέντε αὐλαῖαι ἔσονται συνεχόμεναι, ἑτέρᾳ τῇ ἑτέρᾳ.» Δέκα μὲν οὖν αἱ αὐλαῖα· καὶ ἀλλήλων ἀπρὶξ ἡμμέναι· πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατρὶ, καὶ τῶν ἐνοικούντων αὐταῖς εἷς που πάντων καὶ ὅσιος ὁ σκοπὸς, μία δὲ καὶ ἡ περὶ Θεοῦ γνῶσις. Ἐν γὰρ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ γεγραμμένον. Ἐκδέξῃ δὲ, εἰ δοκεῖ, τὰς δέκα αὐλαίας, εἶναί τε οἰήσῃ τὸ πλήρωμα τῶν εἰς κόσμον Ἐκκλησιῶν, οὐ διεσπαρμένων εἰς διχόνοιαν, ἢ εἰς ἀσύμφωνον δόξαν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλ' ἡνωμένων ἐν πνεύματι, καὶ οἱονεί πως συνεσφιγμένων εἰς ἓν καθ' ἑνότητα τὴν ἐν Χριστῷ διὰ πίστεως. Πανταχοῦ γὰρ καὶ ἐν πάσαις εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. Πλάτος δὲ ἑκάστη τῶν αὐλαιῶν πήχεις τέσσαρες, καὶ ὀκτὼ καὶ εἴκοσι τὸ μῆκος. Καὶ περίεργον μὲν καὶ ἰσχνὸν τὸ αἴνιγμα, πλὴν οἶμαι καταδηλοῦν αὐτὸ σκοτεινῶς τε καὶ ἀμυδρῶς, ὅτι καὶ ἡ διὰ νόμου παίδευσις δεκτή πως ἐν Ἐκκλησίαις, στενοτάτη μὲν οὖσα διά γε τὸ ἀσυμφανὲς τοῦ γράμματος· προϊόντος γε μὴν εἰς μῆκος τοῦ χρόνου, τέλος ἕξει τὸ περὶ Χριστοῦ μυστήριον, τοῦτ' ἔστι, τὴν ὀγδόην, ἤτοι τὴν ἐν ὀγδόῃ γενομένην ἀνάστασιν. Τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστὸς, πρὸς ὃν καὶ ὁ θεῖος ἀνακέκραγε Δαβίδ· «Πλατεῖα ἡ ἐντολή σου σφόδρα.» Γράφει δὲ καὶ ὁ θεσπέσιος Παῦλος, τοῖς τὴν ἐν νόμῳ λατρείαν τῆς εἰς Χριστὸν πίστεως προτετιμηκόσι· «Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται· οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. Τὴν δὲ αὐτὴν ἀντιμισθίαν ὡς τέκνοις λέγω. Πλατύνθητε καὶ ὑμεῖς, μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις.» Ὁρᾷς ὅτι τὸ προσκεῖσθαι θέλειν τοῖς ἀπειθήσασιν Ἰουδαίοις καὶ λαλοῦσιν ἔτι τὰ ἐν νόμῳ μετὰ τὴν πίστιν, στενοχωρεῖσθαι ποιεῖ; {ΠΑΛΛ.} Συνίημι. {ΚΥΡ.} Ἱστία δὲ ταῖς αὐλαίαις ἐκ βύσσου κεκλωσμένης, καὶ ὑακίνθου καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου. Παμποίκιλος γὰρ τῆς Ἐκκλησίας ὁ κόσμος. Τοῦτό τοι καὶ ὁ θεσπέσιος ψάλλει Δαβὶδ, ᾠδί πη λέγων περὶ αὐτῆς· «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, 68.636 πεποικιλμένη.» Κόσμημα δὲ καὶ ὡραϊσμὸς ἐν αὐτῇ πολυειδὴς, ὁ Χριστὸς, εἷς μὲν κατὰ φύσιν ὑπάρχων, αἰνίγμασι δὲ πολλοῖς καὶ διαφόροις νοούμενος, οἷον, φέρε εἰπεῖν, καὶ βύσσος κεκλωσμένη. Ἰσχνὸς γὰρ ὢν καὶ ἀσώματος κατὰ φύσιν ὁ ἐκ Θεοῦ τοῦ Πατρὸς Λόγος, κέκλωσται τρόπον τινὰ διὰ τῆς οἱονεὶ πρὸς σάρκα συμπλοκῆς. Οὐκοῦν καὶ βύσσος κεκλωσμένη, καὶ μὴν, καὶ ὡς ὑάκινθος, ὅτι μὴ ἐκ γῆς, ἀλλ' ἄνωθεν καὶ ἐξ οὐρανοῦ· ὑακίνθῳ γάρ πως παρεικάζεται τὸ ὑψοῦ τε καὶ ἄνω καὶ αἰθέριον σῶμα, τὸ καὶ μέχρις αὐτοῦ διῆκον τοῦ στερεώματος. Οὐκοῦν ὡς ὑάκινθος διὰ τὸ ἐξ οὐρανοῦ, πορφύρα δὲ, ὅτι μὴ δοῦλος, ὡς γενητὸς, ἀλλ' ἐκ Θεοῦ βασιλεὺς, καὶ τῶν ὅλων Κύριος. Κεκλωσμένον δὲ κόκκινον· ἐν συμπλοκῇ γὰρ, ὡς ἔφην, τῇ πρὸς σάρκα νοούμενος, καὶ ὑπάρχων ἀληθῶς ὁ τοῦ Θεοῦ Λόγος, τὸ ἴδιον αἷμα δέδωκεν ὑπὲρ ἡμῶν. Αἵματος γὰρ σημεῖον, τὸ κόκκινον· Χερουβὶμ δὲ, τῶν δειρέων ἡ γραφὴ, τὸ συνῆφθαι τάχα που τοῖς ἄνω τὰ κάτω, καὶ ταῖς ἐν οὐρανῷ δυνάμεσι τὴν ἐπὶ τῆς γῆς Ἐκκλησίαν ἡνῶσθαι λοιπὸν καταδηλοῦντος τοῦ πράγματος εὖ μάλα. Ἰστέον δὲ ὅτι καὶ ὁ σοφώτατος Σολομὼν, ἐνεκόλαψε τοῖς τείχεσι τοῦ ναοῦ τὰ Χερουβίμ. Ἐκπεποίηται δὲ τὸν αὐτὸν τουτονὶ τρόπον καὶ ἡ διατύπωσις τοῦ οἴκου τοῦ σημαινομένου διὰ φωνῆς Ἰεζεκιήλ. Καλύμματα δὲ ταῖς αὐλαίαις δέῤῥεις, ἀγκύλαις τε καὶ κρίκοις συνεσφιγμέναι. Καὶ μὴν καὶ ἐπικαλύμματα, δέρματα ὑακίνθινα, καὶ δέρματα κριῶν, ἠρυθροδανωμένα, τῆς Ἐκκλησίας τὸν σκεπαστὴν Χριστὸν ὑπεμφαίνοντα, διὰ μὲν τοῦ ὑακίνθου πάλιν, ὡς ἐξ οὐρανοῦ καὶ ἄνωθεν. διὰ δέ γε τοῦ ἐρυθροῦ χρώματος, ὡς ἐν σαρκὶ γέγονεν. Τοιουτονὶ γάρ πώς ἐστι τὸ τῆς σαρκὸς χρῶμα. {ΠΑΛΛ.} Οὐκ ἔξω λόγου ταυτὶ τεθεωρῆσθαί φημι. {ΚΥΡ.} Στύλοι δὲ ταῖς αὐλαίαις, εὖρος μὲν εἰς πῆχυν ἰόντες ἕνα τε καὶ ἥμισυ. Μῆκος δέ γε μὴν εἰς δέκα, κεφαλὰς μὲν καὶ σώματα χρυσῷ διαπεπασμένοι, βάσεσι δὲ διπλαῖς καὶ ἀργυραῖς ἐπερηρεισμένοι. Νοεῖται δὲ πάλιν ὡς ἐν ἑκάστῳ στύλῳ Χριστὸς, τῆς Ἐκκλησίας τὸ ἔρεισμα, τὸ τῆς ἀληθείας ἑδραίωμα, κατὰ τὴν τοῦ Παύλου φωνήν. Ἵστησι δὲ καὶ συνέχει τὰ πάντα αὐτός. Διὰ μὲν γὰρ τοῦ ἑνός τε καὶ ἡμίσους πήχεως, ὡς τέλειος κατὰ φύσιν θεότητος, μείων δὲ αὖ, ὡς ἐν ἀνθρωπότητος μέτροις, πλαγίως ὑποσημαίνεται. Οὐκ εὔηθες δὲ εἰπεῖν, ὅτι παντέλειος μὲν, ὡς ἐν ὁλοκλήρῳ πήχει Χριστὸς, ἐπεί τοι Θεός ἐστι κατὰ φύσιν. Ὡς δὲ ἐν ἡμίσει πήχεως, ὑφειμένος διὰ τὸ ἀνθρώπινον. Τέλειον γὰρ ἐν γενητοῖς οὐδέν. Πλούσιος δὲ ὢν, ἐπτώχευσεν ἐν ἡμῖν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ καθῆκεν ἑαυτὸν εἰς κένωσιν ὁ Μονογενής. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Οὐκοῦν οὐκ ἰσοστατήσει ταῖς τῆς θεότητος ὑπεροχαῖς τὸ ἀνθρώπινον· πολλοῦ γε καὶ δεῖ. Τοιγάρτοι καὶ ἔφασκεν, ὡς καθ' ἡμᾶς γεγονὼς καὶ νοού 68.637 μενος· «Ὁ Πατήρ μου μείζων μου ἐστὶ,» καίτοι κατὰ φύσιν θεότητος, ἰσομέτρως ἔχων, καὶ τῆς τοῦ τεκόντος ὑπεροχῆς οὐχ ἡττώμενος. Μῆκος δὲ τῷ ξύλῳ, δεκάπηχυ. Παντέλειος γὰρ ὡς ἐν ὑψώμασι τῆς θεότητος, ὁ Χριστός. Τελειότητος δὲ σημεῖον, ὁ εἰς δέκα τρέχων ἀριθμὸς παρά γε τῇ θείᾳ λαμβάνεται Γραφῇ. Χρυσῆ δὲ τῷ ξύλῳ κεφαλὴ, καὶ μὴν καὶ σῶμα χρυσοῦν. Φύσεώς γε μὴν τῆς ἀνωτάτω καταπλουτεῖ τὸν ἐναυλισμὸν ὁ ἐκ Παρθένου ναός. Σύμβολον δὲ θεότητος, ὁ χρυσὸς, ὑπεροχὴν ἔχων τὴν κατὰ πάντων, ὡς ἐν ὕλης τυχὸν τῆς τοιᾶσδε λόγῳ. Ἐξ ἀργύρου δὲ καὶ ἐκ δυοῖν ἡ βάσις. Λαμπρὸς δὲ καὶ διαφανὴς ἐν γῇ ὁ Χριστὸς, κατά γε τὸ, «Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν·» καὶ οἱονεὶ διφυᾶ τὴν γνῶσιν ἔχει· νοεῖται γὰρ ἐν αὐτῷ Θεός τε καὶ ἄνθρωπος. Τουτὶ γὰρ, οἶμαι, ἔστι, τὸ διπλῆν ὥσπερ ἔχειν καὶ ἐξ ἀργύρου τὴν βάσιν. {ΠΑΛΛ.} Εἰκάζεις ὀρθῶς. {ΚΥΡ.} Θέα γε μὴν ἐκεῖνο, ὦ τᾶν. {ΠΑΛΛ.} Ὅ τι δή; {ΚΥΡ.} Εἰς αὐλαίας γὰρ δέκα προστεταχὼς ὅλην ἐκτείνεσθαι τὴν σκηνὴν, ἐπιλέγει μεταξύ· «Καὶ ποιήσεις δέῤῥεις τριχίνας, σκέπην ἐπὶ τῆς σκηνῆς· ἕνδεκα ποιήσεις αὐτὰς δέῤῥεις, τὸ μῆκος τῆς δέῤῥεως τῆς μιᾶς ἔσται τριάκοντα πήχεων, καὶ τεσσάρων πήχεων τὸ εὖρος τῆς δέῤῥεως τῆς μιᾶς· τὸ αὐτὸ μῆκος ἐπὶ ταῖς ἕνδεκα δέῤῥεσι. Καὶ συνάψεις τὰς πέντε δέῤῥεις ἐπὶ τὸ αὐτὸ, καὶ τὰς ἓξ δέῤῥεις ἐπὶ τὸ αὐτὸ, καὶ ἐπιδιπλώσεις τὴν δέῤῥιν τὴν ἕκτην κατὰ πρόσωπον τῆς σκηνῆς· καὶ ποιήσεις ἀγκύλας πεντήκοντα ἐπὶ τοῦ χείλους τῆς δέῤῥεως τῆς μιᾶς, τῆς ἀνὰ μέσον κατὰ τὴν συμβολήν. Καὶ πεντήκοντα ἀγκύλας ποιήσεις ἐπὶ τοῦ χείλους τῆς δέῤῥεως τῆς συναπτούσης τῆς δευτέρας.» Τί τὸ χρῆμα λοιπὸν, ὦ Παλλάδιε; δέκα μὲν γὰρ ἐγείρει τὰς αὐλαίας. Εἶτα πῶς οὐκ ἰσάριθμοι ταύταις αἱ δέῤῥεις, περιττεύει δὲ μία, τοῦτ' ἔστιν ἡ ἑνδεκάτη; Συνάψεις γὰρ, φησὶν, τὰς πέντε δέῤῥεις ἐπὶ τὸ αὐτὸ, καὶ τὰς ἓξ δέῤῥεις ἐπὶ τὸ αὐτό. {ΠΑΛΛ.} Οὐκ ἔχω φράσαι. {ΚΥΡ.} Ἀλλ' ἥ γε θέσις σαφηνιεῖ τὸ ζητούμενον. {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Πέντε μὲν γὰρ αὐλαίας ἀλλήλαις συνεσφιγμένας ὅτι προσῆκε γενέσθαι φησίν· ἑτέρας δὲ πέντε, κατὰ τὸ αὐτὸ δὲ σχῆμα, καὶ ἐν ἴσῳ τρόπῳ ἀντιτεταγμένας. Τοιγαροῦν ἀλλήλαιν καὶ ἀντιπροσώπως ἀντεγηγερμέναιν, ὡς ἐκ βοῤῥέου τυχὸν καὶ νότου, ἤγουν ἐξ ἠοῦς καὶ μέντοι καὶ δυσμῶν, ἑνδεκάτη τις ἡ διὰ μέσου λοιπὸν ἐσχεδιάζετο πλευρὰ, ἀνὰ μέρος ποιουμένη τὰς δέκα, διῃρημένας εἰς δύο, ἐφ' ᾗ τάχα που καὶ δέῤῥις ἡ ἑνδεκάτη περιτετά[ν]νυσται, κρίκοις τε καὶ ἀγκύλαις ἄμφω συνέχοντα τὰς πλευράς· καθ' ὁμοιότητα δὲ τῶν ἄλλων, καὶ οἱ ταύτης στύλοι, πλὴν ἥττους ἐν ἀριθμῷ. Αἱ μὲν γὰρ δέκα αὐλαῖαι, καθάπερ ἤδη προεῖπον, εἰς μῆκος ἐξετείνοντο πήχεων ὀκτὼ καὶ εἴκοσιν, ἥ γε μὴν ἑνδεκάτη καὶ μεσαιτάτη τῶν ἄλλων, τὸ εὖρος τῶν πέντε (τετραπήχεις 68.640 δὲ αὗται), πρὸς τὸ εἰκοσάπηχύ[ν] που διατετάν[ν]υσται μέτρον. Διὰ τοῦτό φησι· Καὶ ἐπιδιπλώσεις τὴν δέῤῥιν τὴν ἕκτην κατὰ πρόσωπον τῆς σκηνῆς, ἵνα μὴ τὸ περιττῶς ἐκτεταμένον τῷ τῆς αὐλῆς κάλλει διαλυμαίνοιτο. Ἐν ταύτῃ δὴ οὖν τῇ μεταξὺ τῶν ἄλλων καὶ ὡς ἑνδεκάτῃ τὰ ἱερά τε καὶ θεῖα τετάχατο σκεύη, διαμορφοῦντα ποικίλως ἕν γε δὴ σφίσιν αὐτοῖς τὸν Ἐμμανουήλ· τάχα που τοῦ ἀριθμοῦ καὶ τόδε κατασημαίνοντος, ὡς ἐν τελευταίοις τοῦ αἰῶνος καιροῖς, καὶ ὡς ἐν ὥρᾳ τῇ ἑνδεκάτῃ τυχὸν ἀναφαίνεται Χριστὸς, καὶ ἡ Χριστὸν ἔχουσα σκηνὴ, τοῦτ' ἔστιν, ἡ Ἐκκλησία. {ΠΑΛΛ.} Οὐδὲν, ὡς ἔοικεν, ἀπεικὸς ἐννοεῖν εὖ ἔχειν καὶ τὸν ἐπὶ τῷδε λόγον. {ΚΥΡ.} Μετὰ δέ γε τοὺς ἐπὶ τῇ σκηνῇ λόγους τε καὶ τύπους, «Καὶ ποιήσεις, φησὶν, αὐλὴν τῇ σκηνῇ, εἰς τὸ κλίτος τὸ πρὸς λίβα, καὶ ἱστία τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης· μῆκος ἑκατὸν πήχεων τῷ ἑνὶ κλίτει· καὶ οἱ στύλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ· καὶ οἱ κρίκοι αὐτῶν, καὶ αἱ ψαλίδες ἀργυραῖ. Οὕτως τῷ κλίτει τῷ πρὸς ἀπηλιώτην ἱστία ἑκατὸν πήχεων μῆκος· καὶ οἱ στύλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ· καὶ οἱ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κρίκοι καὶ αἱ ψαλίδες τῶν στύλων, καὶ αἱ βάσεις αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ. Τὸ δὲ εὖρος τῆς αὐλῆς τὸ κατὰ θάλασσαν, ἱστία πεντήκοντα πήχεων, στύλοι αὐτῶν δέκα, καὶ βάσεις αὐτῶν δέκα.» Ἄθρει δὴ οὖν, ὅτι στεναὶ μὲν αἱ πρῶται γεγόνασιν αὐλαὶ, καὶ εἰς τρίτην διήκουσαι δεκάδα πήχεων. Εὖρος μὲν γὰρ αὐταῖς τέσσαρες, μῆκος δὲ ὀκτὼ καὶ εἴκοσι· αἱ δὲ μετ' ἐκείνας, εὐρεῖαί τε οὕτω καὶ μακραί· ἑκατὸν γὰρ ἐφ' ἑκατὸν, καὶ πεντήκοντα ἐπὶ πεντήκοντα, τρέχουσαί τε ἡ μὲν εἰς ἠῶ, ἡ δὲ εἰς ἑσπέραν τε καὶ λίβα. {ΠΑΛΛ.} Εἶτα τί τὸ αἴνιγμα; {ΚΥΡ.} Οὐχὶ δὴ τοῦτό ἐστιν ἐναργῶς, τὸ πάλαι διεπηγγελμένον διὰ φωνῆς Ἡσαΐου πρὸς τὴν ἐν ἐσχάτοις καιροῖς ἀναδεδειγμένην Ἐκκλησίαν· «Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τὰς δέῤῥεις τῶν αὐλαιῶν σου. Πῆξον, μὴ φείσῃ ἔτι εἰς τὰ δεξιὰ, καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον.» Στενουμένη γὰρ ἐν ἀρχαῖς ἡ Ἐκκλησία Χριστοῦ, λοιπὸν εἰς ἠῶ τε καὶ δύσιν, καὶ βοῤῥᾶν τε καὶ νότον ἐξευρύνεται, καὶ διὰ παντὸς ἥκει τόπου. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἐπιτήρει δὲ ὅτι τοὺς μὲν ἄλλους ἅπαντας στύλους τῶν δέκα αὐλαιῶν, καὶ τῆς ἀνὰ μέσον, χρυσῷ μὲν ἔφη διαπάττεσθαι δεῖν, βάσεσί γε μὴν ἐπερηρεῖσθαι διπλαῖς, ἀργύρου πεποιημέναις. Καὶ τίς ὁ τοῦδε λόγος, εἴρηται, καθάπερ ἐγῷμαι· τῶν δὲ μακρῶν καὶ πλατειῶν αὐλαιῶν τοὺς στύλους, ἑτέρῳ διαποικίλλει λόγῳ. Ἀργύρῳ μὲν ἐκ κεφαλῆς εἰς πόδας καταγλαΐζεσθαι δεῖν εὖ μάλα φησὶ, βάσεσι δὲ αὖ ἐπερηρεῖσθαι χαλκαῖς καὶ περιαργύροις. Τύπος 68.641 δ' ἂν εἴη καὶ τοῦδε Χριστὸς, φωτὸς μὲν ὅτι διέλαμψε δίκην, αὐγαῖς δηλονότι ταῖς νοηταῖς ἀστράπτων ὡς Θεὸς, τοῦ ἀργύρου σημαίνοντος. Ὅτι δὲ λαμπρὸς καὶ εὐηχὴς ὁ περὶ γῆν αὐτῷ πεποίηται λόγος, τοῦτ' ἔστι, τὸ κήρυγμα τὸ εὐαγγελικὸν, τοῦ περιαργύρου χαλκοῦ πλαγίως ἡμῖν ὑπεμφαίνοντος. Εὐηχὴς μὲν γὰρ καὶ ὁ χαλκὸς, λαμπρὸν δὲ δὴ λίαν καὶ διαφανὲς τοῦ ἀργύρου τὸ χρῆμα. Ἔνεστι δὲ τοῦτο τοῖς εὐαγγελικοῖς κηρύγμασι, καὶ κατίδοι τις ἂν, τοῦ Σωτῆρος τὸν λόγον, ἔχοντα μὲν τῆς εἰς ἄκρον εὐσεβείας τὸ διειδές τε καὶ καθαρὸν, ὅλην δὲ ὥσπερ περιβομβοῦντα τὴν οἰκουμένην. Εἰ δὲ δή τις ἕλοιτο τοὺς ἁγίους ἀποστόλους καὶ εὐαγγελιστὰς ὡς ἐν τοῖς τοιοῖσδε τυχὸν ἀνατυποῦσθαι στύλοις, λογιεῖται τὰ εἰκότα. Καὶ γάρ εἰσιν ἀληθῶς ὥσπερ ἠργυρωμένοι, διὰ τὸ ἐν μεθέξει γενέσθαι Χριστοῦ τοῦ φωτίζοντος. Τοιγάρτοι φησί· «Καὶ ἔσται ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς.» Ὀνομάζονται δὲ καὶ «Τοῦ κόσμου φῶς,» χαλκῷ δὲ περιαργύρῳ μονονουχὶ καὶ ἐμβεβηκότες. Ἔρεισμα γὰρ αὐτοῖς, ὥσπερ τῷ λαμπρῷ καὶ εὐηχεστάτῳ κεχρῆσθαι λόγῳ. «Κύριος γὰρ,» φησὶ, «δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.» Ὡραῖοι δὲ καὶ οἱ πόδες τῶν εὐαγγελιζομένων τὰ ἀγαθὰ, γέγραπται. {ΠΑΛΛ.} Βαθὺς μὲν ὁ λόγος, πλὴν, ἀληθείας ἐγγύς. {ΚΥΡ.} Συμπεπερασμένων δὴ οὖν καὶ τῶν ἐπὶ ταῖς αὐλαῖς τεθεσπισμένων, εἰς ἐλαίου τε καὶ μύρου καὶ μὴν καὶ θυμιαμάτων μετατρέπει κατασκευὴν, οὕτω λέγων· «Καὶ σὺ, σύνταξον τοῖς υἱοῖς Ἰσραήλ· καὶ λαβέτωσάν σοι ἔλαιον ἐξ ἐλαιῶν ἄτρυγον, καθαρὸν, κεκομμένον εἰς φῶς καῦσαι, ἵνα καίηται λύχνος διαπαντὸς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἔξωθεν τοῦ καταπετάσματος τοῦ ἐπὶ τῆς διαθήκης, καὶ καύσει αὐτὸ ὁ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀφ' ἑσπέρας ἕως πρωῒ, ἐναντίον Κυρίου, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν, παρὰ τῶν υἱῶν Ἰσραήλ.» {ΠΑΛΛ.} Καὶ τί δὴ τοῦτό ἐστιν; {ΚΥΡ.} Ἀναγκαιοτάτην ἔχει τὴν δήλωσιν, καὶ σοφὸν εἶναί φημι τὸ αἴνιγμα· ἑπτὰ μὲν γὰρ λύχνοις, καιομένοις. τε ἀεὶ καὶ φαίνουσιν ἐν τῇ ἁγίᾳ σκηνῇ, τὸν διὰ Χριστοῦ φωτισμὸν παρεικαστέον εὖ μάλα, διαρκῶς ἔχοντα πρὸς τὸ ἐλλάμπειν δύνασθαι καὶ ἀνακαίειν, ἤτοι ἀναμεστοῦν, τῶν πιστευόντων τὸν νοῦν. Ἀριθμὸς γάρ πως ὁ εἰς ἑπτὰ τὴν τῆς τελειώσεως δήλωσιν ὑπεμφαίνει πανταχῇ. Ὡς ἔν γε τῷ φάναι τυχὸν, «Στεῖρα δὲ ἔτεκεν ἑπτὰ» τοῦτ' ἔστι, πλεῖστά τε καὶ ὅσα ἐχρῆν εἶναι πρὸς αὐτάρκειαν. Ἀνακαίουσι δὲ τοὺς λύχνους Ἀαρών τε καὶ οἱ λοιποὶ, οἱ καὶ μετ' αὐτὸν ἱερεῖς. Ἄσβεστος γὰρ ὥσπερ ὁ παρὰ Χριστοῦ φωτισμὸς ἐν Ἐκκλησίαις σώζεται ταῖς τῶν ἱερᾶσθαι κεκληρωκότων ἐπιεικείαις, οἳ ταῖς εἰς ὀρθότητα μυσταγωγίαις τὸν τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πιστευόντων καταλαμπρύνουσι νοῦν. Τουτὶ γὰρ, οἶμαι, ἔστι τὸ ἀνακαίεσθαι τοὺς λύχνους ἀπὸ ἑσπέρας ἕως πρωΐ. Σκοτίαν δὲ οἶμαι τὴν ἐκ διαβόλου πλάνησιν, καὶ νοητὴν ὥσπερ τινὰ νύκτα κατὰ νοῦν ἀνθρώποις συμβαίνουσαν, τὰ τῶν 68.644 ἀνοσίων αἱρετικῶν ἀφεγγῆ τε καὶ ἀμυδρὰ μυθάρια. Διηνεκὲς οὖν ἄρα καὶ ἀκατάληκτον τοῦ Σωτῆρος τὸ φῶς ὁρῷτο ἂν ἐν Ἐκκλησίαις, διερμηνευόντων ὀρθῶς τὰ θεῖά τε καὶ εὐαγγελικὰ κηρύγματα τῶν ἐν αὐταῖς διδασκάλων. Καθαρὸν δὲ τὸ ἔλαιον· τρυγὸς γὰρ ὥσπερ καὶ ῥύπου παντὸς ἀπήλλακται παντελῶς ὁ περί γε τῶν θείων δογμάτων ὀρθός τε καὶ ἀληθὴς καὶ ἀμιγὴς τοῦ χείρονος λόγος, ὃς ἀεὶ τοῦ Σωτῆρος ἐγείρει τὸν φωτισμὸν, οὐκ αὐτὸς οἴκοθέν τι προστιθεὶς εἰς λαμπρότητα τῷ Χριστῷ (κομιδῇ γὰρ εὔηθες τὸ ἀνθρώπου δεῖσθαι νομίζειν αὐτὸν), ἀλλ' ὅτι φῶς τὸ ἀληθινὸν καὶ ἀπαύγασμα τοῦ Πατρὸς ὑπάρχων ὁ Χριστὸς, τοῖς εἰς ὀρθότητα τῶν διδασκάλων λόγοις, τοῦθ' ὅπερ ἐστὶν ἀληθῶς, ταῖς τῶν πιστευόντων διανοίαις φαίνεται. {ΠΑΛΛ.} Καὶ διατί τὸ ἔλαιον ἐξ ἐλαιῶν εἶναί φησι; τοιγάρτοι λίαν ἀκριβὲς τοῦ λόγου, τάχα τι τῶν ἀναγκαίων ὠδίνει θεωρημάτων. {ΚΥΡ.} Ἄριστα διανοῇ, καὶ τόγε εἰς νοῦν ἧκον ἐρῶ. Οὐκ ἐκ μόνων ἡμῖν ἐλαιῶν, ὦ Παλλάδιε, τὴν τοῦ ἐλαίου χρείαν ἐπιτηδεύειν ἔθος τοῖς ταῦτα σοφοῖς, ἀλλὰ καὶ ἐξ ἑτέρων ὅσων νόθων τε καὶ γεωδεστέρων σπερμάτων. Καὶ τὸ μὲν γνήσιον ἀληθῶς ἐξ ἐλαιῶν ἔσται τῶν δοκιμωτάτων, κίβδηλον δέ πως τὸ ὡς ἐκ μοχλείας καὶ τέχνης, καὶ οἱονεί πως οὐκ ἀληθὲς, τὸ ἐκ σπερμάτων τῶν γεωδεστέρων, φημί. Οὐκοῦν λόγῳ τε τῷ ἀκιβδήλῳ καὶ ἀληθεῖ, καὶ διὰ σοφίας τῆς ἄνωθεν τοῖς ἀξίοις χορηγουμένῳ, τὸ ἐξ ἐλαιῶν ἔλαιον εὖ μάλα παρεικαστέον. Τόγε μὴν ἐξ ἀνθρωπίνων ἐννοιῶν καὶ δαιμονιώδους ἐμπνοίας ἐξευρημένον, τὸ ἐκ τῆς τινων τέχνης καὶ καπηλείας, καὶ νόθην ἔχον τὴν χρῆσιν. Ἀχρεῖος δὲ καὶ ἀπόβλητος ὁ τοιόσδε λόγος, καὶ ἀσυντελὴς παντελῶς πρὸς φωτισμὸν τῆς γνώσεως τοῦ Χριστοῦ. Τοιγάρτοι καὶ ἀπαράδεκτος ἐν Ἐκκλησίαις, οὔτε τὸ εὐῶδες ἔχων τοῦ ἁγίου Πνεύματος («Οὐδεὶς γὰρ λέγει, Κύριος Ἰησοῦς, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ»), οὔτε μὴν τὸ γνήσιον καὶ ἀθόλωτον τῆς ἀληθείας, καὶ εἰς χρησίμην τὴν ὄνησιν ἀναγκαῖον. Ἐπιτήρει δὲ ὅτι παρὰ τῶν υἱῶν Ἰσραὴλ προσκομί-ζεσθαι δεῖν τὸ ἐξ ἐλαιῶν ἔλαιον ὁ νόμος φησίν. Ὡς γὰρ ἔφην φθάσας, καρπὸς ἔσται παρ' ἡμῶν καὶ δωροφορία πνευματικὴ τῷ Θεῷ, λόγος ἀληθὴς, τὸν παρὰ Χριστοῦ φωτισμὸν οὐκ ἀφιεὶς ἀσθενεῖν ἐν τοῖς μυσταγωγουμένοις. Ἔξωθεν δὲ τοῦ καταπετάσματος, ἥ τε τῶν λύχνων θέσις, καὶ μὴν καὶ ἡ καῦσις. Φῶς γὰρ ὑπάρχων κατὰ φύσιν ὁ Χριστὸς, οὐ δεῖται φωτὸς, ἀλλ' ἡμῖν αὐτοῖς τοῖς ἔξω θεότητος, καθὸ γενητοῖς, τὸ ἴδιον ἐνίησι φῶς. Ὡς ἐσωτέρω δὲ τοῦ καταπετάσματος ἡ κιβωτὸς ἦν, εἰς ὑποτύπωσιν καὶ εἰκόνα κειμένη Χριστοῦ. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Εἶτά φησι· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν· Καὶ σὺ λάβε ἡδύσματα, ἄνθος σμύρνης ἐκλεκτῆς πεντακοσίους σίκλους, καὶ κινναμώμου εὐώδους τὸ ἥμισυ τούτου, διακοσίους πεντήκοντα, καὶ καλά 68.645 μου εὐώδους διακοσίους πεντήκοντα, καὶ ἴρεως πεντακοσίους σίκλους τοῦ ἁγίου, καὶ ἔλαιον ἐξ ἐλαιῶν ἔσται, καὶ ποιήσεις αὐτὸ ἔλαιον χρίσμα ἅγιον μύρον μυρεψικὸν τέχνῃ μυρεψοῦ. Ἔλαιον χρίσμα ἅγιον ἔσται. Καὶ χρίσεις ἐξ αὐτοῦ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὴν κιβωτὸν τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὴν λυχνίαν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος, καὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων, καὶ πάντα αὐτοῦ τὰ σκεύη, καὶ τὴν τράπεζαν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸν λουτῆρα, καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἁγιάσεις αὐτά· καὶ ἔσται Ἅγια τῶν ἁγίων. Πᾶς ὁ ἁπτόμενος αὐτῶν, ἁγιασθήσεται. Καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ χρίσεις, καὶ ἁγιάσεις αὐτοὺς ἱερατεύειν μοι. Καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις, λέγων· Ἔλαιον ἄλειμμα χρίσεως ἅγιον ἔσται τοῦτο ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν· ἐπὶ σάρκα ἀνθρώπου οὐ χρισθήσεται, καὶ κατὰ τὴν σύνθεσιν ταύτην οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς ὡσαύτως. Ἅγιόν ἐστι, καὶ ἁγίασμα ἔσται ὑμῖν. Ὃς ἂν ποιήσῃ ὡσαύτως, καὶ ὃς ἂν δῷ ἀπ' αὐτοῦ ἀλλογενεῖ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ.»


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ποιότητος μὲν οὖνπερ, καὶ μὴν καὶ συνθήκης, ἀνισότητός τε αὖ, τῆς εἰς ὁλκὴν δὴ, λέγω, τῶν ὠνομασμένων εἰδῶν, οὐδὲν ἂν ἔχοιμι φράσαι· φίλη γὰρ ἡ ἀλήθεια τοῖς εὖ φρονεῖν εἰωθόσιν. Ἔλαιον δὲ μύροις ἀνακραθὲν, κατασημήνειεν ἂν, ὥσπερ οὖν ἐγῷμαι, τὸν ἐν Χριστῷ διὰ Πνεύματος ἁγιασμὸν τοῖς ἠλεημένοις χορηγούμενον. Κατά γε τὸ, «Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου.» Καταχρίεται δὲ ἡ σκηνὴ, καὶ πάντα τὰ ἐν αὐτῇ, μετάσχοι γὰρ ἂν ἁγιασμοῦ καὶ τόπος διὰ τοῦ ἐνοικοῦντος ἐν αὐτῷ. Ἁγιάζεται δὲ καὶ τὰ σκεύη, κατά γε τὸν αὐτοῖς πρέποντα τρόπον, ὅτι ταῖς Θεοῦ λειτουργίαις χρήσιμα, καὶ ὁ ἁπτόμενος αὐτῶν ἁγιασθήσεται. Ἀνέπαφα δὴ οὖν τοῖς ἔτι βεβήλοις τὰ ἅγιά τε καὶ ἱερά· «Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος;» κατὰ τὸ γεγραμμένον. Ἀποφάσκει δὲ παντελῶς τὸ δεῖν ἑαυτοῖς τὴν ὁμοίαν ἐλαίου ποιεῖσθαι κατασκευήν. Ἴδιον γὰρ μόνου τὸ ἁγιάζειν ἐστὶ τοῦ Θεοῦ, καὶ ὡς ἐξαίρετον ἀληθῶς ἀνακείσεται τὸ χρῆμα αὐτῷ, γενητῇ δὲ καὶ πεποιημένῃ φύσει τὸ ἁγιάζειν ἑτέρους δύνασθαι, πῶς ἂν ἔχοι ποτέ; Πλουτεῖ γὰρ μόλις ἐκ μετοχῆς τῆς ἄνωθεν τὸν ἁγιασμόν. Πρέποι δ' ἂν αὐτῇ διὰ τῆς τῶν ἁγίων ἐπιβοᾶσθαι φωνῆς. «Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;» Καὶ γὰρ Ἰωάννης φησὶ περὶ τοῦ Μονογενοῦς, ὅτι «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.» Καὶ, «Οὐκ ἐκ μέτρου δίδωσι τὸ Πνεῦμα,» πηγὴ δὲ μᾶλλον ὑπάρχων αὐτὸς ἁγιασμοῦ, ἐπιμετρεῖ τοῖς ἀξίοις τὸ Πνεῦμα, καὶ τὴν λογικὴν ἁγιάζει κτίσιν· «Ἐπὶ σάρκα δὲ ἀνθρώπου, φησὶν, οὐ χρισθήσεται,» καίτοι προστεταχὼς καταχρίεσθαι δεῖν ἀπ' αὐτοῦ, τόν τε Ἀαρὼν καὶ τοὺς συνιερατεύοντας. Οὐκοῦν ὑπὲρ ἀνθρώπινον τὸ γένος ἤδη τὸ ἱερὸν, ἅτε δὴ καὶ Χριστοῦ μέτοχον τοῦ ὑπὲρ τὴν κτίσιν. Τοιγάρτοι καὶ πρὸς τὸ ὑπὲρ φύσιν ἡμᾶς ἀνακομίζων ἀξίωμα, καὶ οἱονεὶ τῶν ἐπιγείων ἀποτεμὼν, τοῖς ἄνω προσνέμει· «Πατέρα» γὰρ, φησὶ, 68.648
«μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε.» Ὄλεθρος δὲ ἡ δίκη τοῖς ἀπ' αὐτοῦ παρέχουσιν ἀλλογενεῖ· «Μὴ δῶτε γὰρ,» φησὶ, «τὰ ἅγια τοῖς κυσὶ, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων.» Τὸ γάρ τοι προσάγειν ἀτημελῶς τοῖς ἀπίστοις ἔτι τὰ κεκρυμμένα, καὶ τὰ μόνοις ἁγίοις πρέποντα, κινδύνου μεστόν· ἁγιάζεται γὰρ οὐ τὸ βέβηλον ἔτι καὶ νοσοῦν ἐκτόπως τὴν ἀκαθαρσίαν, ἀλλὰ τὸ ἤδη κεκαθαρμένον διὰ τοῦ ἁγίου βαπτίσματος. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Κατὰ τὸν ἴσον τουτονὶ τρόπον καὶ λόγον, τὴν τοῦ θυμιάματος ποιεῖσθαι κατασκευὴν διετύπου, λέγων· «Καὶ σὺ λάβε σεαυτῷ ἡδύσματα, στακτὴν καὶ ὄνυχα, καὶ χαλβάνην ἡδυσμοῦ, καὶ λίβανον διαφανῆ, ἴσον ἴσῳ ἐστὶν, καὶ ποιήσουσιν αὐτῷ θυμίαμα μυρεψικόν· ἔργον μυρεψοῦ μεμιγμένον, καθαρὸν, ἔργον ἅγιον. Καὶ συγκόψεις ἐκ τούτων λεπτῶς, καὶ θήσεις ἀπέναντι τοῦ μαρτυρίου ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν. Ἅγιον τῶν ἁγίων ἔσται ὑμῖν θυμίαμα. Κατὰ τὴν σύνθεσιν ταύτην οὐ ποιηθήσεται ὑμῖν ἑαυτοῖς. Ἁγίασμα ἔσται ὑμῖν Κυρίῳ. Ὃς ἂν ποιήσῃ ὡσαύτως, ὥστε ὀσφραίνεσθαι ἐν αὐτῷ, ἀπολεῖται ἐκ τοῦ λαοῦ αὐτοῦ.» Ὑποφαίνει δὲ πάλιν ἡμῖν ὁ ἐπὶ τῷδε λόγος, ὅτι τὰ ἰδικῶς ἐξαίρετα τῆς ἁπασῶν ἐπέκεινα φύσεως. Μέτεστι μὲν τῶν πεποιημένων οὐδενὶ οὐσιωδῶς, κοινὸν δὲ τῇ κτίσει παντελῶς οὐδὲν, πρὸς τὸν ποιητὴν καὶ δεσπότην, τόγε ἧκον εἰς ἀξίας λόγον καὶ γερῶν ὑπεροχήν. Μεμνησόμεθα δὲ καὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν, καὶ αὐτὸ δὲ τὸ σύνθετον καὶ λεπτὸν θυμίαμα Χριστὸν εἰρηκότες, καὶ αὐτὸν ἡμῖν τὸν Ἐμμανουὴλ δι' ἀμφοῖν σημαίνεσθαι. Οὐκοῦν εἰς Χριστὸν ἀναφερομένου τοῦ θυμιάματος (εὐῶδες γὰρ ἀσυγκρίτως), οὐ ποιήσομεν ἑαυτοῖς κατ' αὐτὸ δὴ τὸ θυμίαμα. Ἕτερον γὰρ ἐπ' αὐτῷ παντελῶς οὐδένα παραδεξόμεθα, καθάπερ ἀμέλει καὶ οἱ τάλανες Ἰουδαῖοι, τὸν τῆς ἀνομίας υἱόν. Ἑαυτοῖς γὰρ οἱ τοιοίδε συνθέντες ἁλώσονται, καὶ κατ' ἐκεῖνο δὴ τὸ εὐῶδες καὶ ἐξαίρετον ἀληθῶς θυμίαμα, τοῦ Θεοῦ καὶ Πατρὸς, τοῦ τὴν μὲν ὀσμὴν τῆς γνώσεως αὐτοῦ πεφανερωκότος ἡμῖν ἐν τῷ Υἱῷ, δι' οὗ καὶ ἡμεῖς εὐωδιάζομεν, οὐχ ἑαυτοῖς συνθέντες τὸ θυμίαμα τὸ λεπτὸν, ἀλλ' ὡς μέτοχοι τοῦ θυμιάματος, καὶ τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ Πνεύματος χάριτι κατακεχρισμένοι, καὶ διὰ τῆς ἐν Χριστῷ πολιτείας εὐδοκιμεῖν σπουδάζοντες. {ΠΑΛΛ.} Διὰ παντὸς οὖν, ὡς ἔοικεν, τοῦ γεγονότος ἐν, τῇ ἁγίᾳ σκηνῇ, τὸ τοῦ Σωτῆρος ἡμῖν διαμορφοῦται μυστήριον. {ΚΥΡ.} Καὶ πρός γε δὴ τούτῳ καταθαυμάσειας ἂν, εἰ μάθοις ὅτι καὶ αὐτοὶ τῆς ἁγίας σκηνῆς οἱ τεχνουργοὶ Χριστὸν διαπλάττουσιν, ὡς ἔν γε σφίσιν αὐτοῖς. {ΠΑΛΛ.} Τίνα φὴς τρόπον; ἐννοεῖν γὰρ οὐκ ἔχω. {ΚΥΡ.} Γέγραπται γὰρ αὖ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Ἰδοὺ ἀνακέκλημαι ἐξ ὀνόματος τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρίου υἱὸν, υἱοῦ Ὢρ τῆς φυ68.649 λῆς Ἰούδα, καὶ ἐνέπλησα αὐτὸν Πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπιστήμης. Καὶ ἐν παντὶ ἔργῳ διανοεῖσθαι τὸ χρυσίον, καὶ τὸ ἀργύριον, καὶ τὸν χαλκὸν, καὶ τὴν ὑάκινθον, καὶ τὴν πορφύραν, καὶ τὸ κόκκινον τὸ νηστὸν, καὶ τὴν βύσσον τὴν κεκλωσμένην, καὶ τὰ λιθουργικὰ, καὶ εἰς τὰ ἔργα τὰ τεκτονικὰ τῶν ξύλων ἐργάζεσθαι κατὰ πάντα τὰ ἔργα. Καὶ ἐγὼ δέδωκα αὐτὸν, καὶ τὸν Ἐλιὰβ τοῦ Ἀχισαμὰ, ἐκ φυλῆς Δὰν, καὶ παντὶ συνετῷ καρδίᾳ δέδωκα σύνεσιν, καὶ ποιήσουσιν πάντα ὅσα συνέταξα.» Ἄθρει δὴ οὖν ὅπως καθηγεῖται μὲν τῶν τεχνουργημάτων ὁ Βεσελεὴλ, Ἐλιὰβ δὲ ἐργάζεται. {ΠΑΛΛ.} Τί οὖν τουτό γε; {ΚΥΡ.} Πεύσῃ δὴ οὖν· Ἰούδας τε καὶ Δὰν, ἄμφω μὲν ἐξ Ἰακὼβ, ἀλλ' ὁ μὲν ἐξ ἐλευθέρας τῆς Λείας, ὁ δὲ ἐκ θεραπαίνης τῆς Βάλης. Τύπος οὖν ἄρα καὶ ἐναργὴς ὁ Βεσελεὴλ τοῦ πεφηνότος ἡμῖν ἐκ φυλῆς Ἰούδα τὸ κατὰ σάρκα Χριστοῦ, καὶ ἐκ φύσεως ἀληθῶς τῆς ἐλευθέρας, δῆλον δὲ ὅτι τῆς θείας καὶ ὑπερτάτης. Ἐμφήνειε δ' ἂν εὖ μάλα καὶ Ἐλιὰβ τοὺς, ὡς ἐκ δούλης τῆς Ἰερουσαλὴμ, Χριστῷ συνεργασαμένους ἀποστόλους καὶ εὐαγγελιστάς· Θεοῦ γὰρ γεγόνασι συνεργοὶ τὰ εἰς σύστασιν τῶν ἁγίων Ἐκκλησιῶν μονονουχὶ πονοῦντι καὶ τεχνωμένῳ Συνεκόμιζον δὲ τὰ ἐξ οἰκείας σπουδῆς καὶ ἐπιεικείας εἰς τὰ τῆς σκηνῆς ἔργα πάντες οἱ συνετοὶ τῇ καρδίᾳ, τῶν κατὰ καιροὺς διδασκάλων ἀποπληροῦντες εἰκόνας, οἷς ἐν σπουδῇ καὶ φροντίδι τὸ ἐργάζεσθαι τὰ τοῦ Θεοῦ, καὶ ὅσαπερ ἂν τελοίη πρὸς ὄνησιν τῆς Ἐκκλησίας Χριστοῦ.

# ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ

## Περὶ τῶν αὐτῶν ἔτι, καὶ περὶ τῶν ἐν ἁγίᾳ σκηνῇ

Ἀρά σοι σαφὴς, ὦ Παλλάδιε, καὶ ἀποχρῶν ὁ λόγος, ὃν ἐπὶ τῇ ἁγίᾳ σκηνῇ καὶ τῶν ἐν αὐτῇ πεποιήμεθα; 68.652 {ΠΑΛΛ.} Σαφὴς μὲν εὖ μάλα, πλὴν ἀποχρῶν ἥκιστά γε. {ΚΥΡ.} Βούλει δὴ οὖν ἐπ' ἐκεῖνο πάλιν προθυμότατα διαστείχωμεν, ὃ τοῖς ἐπ' αὐτῇ διηγήμασιν ἐλλελοιπέναι δοκεῖ; οἴει γάρ που, κατὰ τὸ εἰκὸς, προσεπάγεσθαι δεῖν τὸν σαφηνιοῦντα λόγον, τίνα μὲν ἡμῖν ἐγήγερται τρόπον, πηνίκα δὲ καὶ ὅπως τὰ ἐν αὐτῇ συντέθειται δικαιώματά τε καὶ νόμοι, καὶ ἐγκαινισμὸς καὶ ἁγιασμὸς καὶ κρίσις. {ΠΑΛΛ.} Φράζε δὴ οὖν τὰ ἐφ' ἑκάστῳ πάλιν· διανοῇ γὰρ ὀρθῶς. {ΚΥΡ.} Οὐκοῦν ἐρῶ μὲν ἐγώ. Σὺ δὲ αὖ συγγνώμων ἔσο, τὴν εἰσάπαν δυσχέρειαν τῶν θεωρημάτων ἐννενοηκὼς, κἂν εἴπου τι λέγοιμι τυχὸν τῶν ἀκριβείας ἡμαρτηκότων, καὶ λόγου τοῦ δέοντος ἐκπεφοιτηκότων, μετάπλαττε καὶ μεθάρμοζε. Συλλήπτορα γάρ σε καὶ ἀρωγὸν τῶν ἐμαυτοῦ ποιήσομαι λόγων. {ΠΑΛΛ.} Ἴθι Θεῷ πίσυνος. {ΚΥΡ.} Συμπεπερασμένων δὴ οὖν εὖ μάλα τῶν ἔργων τῆς ἁγίας σκηνῆς, καὶ μὴν καὶ ἑκάστου τῶν ἐν αὐτῇ σοφῶς καὶ εὐτέχνως ἐκπεποιημένων πρός γε τὸ παραδειχθὲν ἐν τῷ ὄρει κάλλος, ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων, «Ἐν ἡμέρᾳ μιᾷ μη-νὸς τοῦ πρώτου, νεομηνίᾳ, στήσεις τὴν σκηνὴν τοῦ μαρτυρίου.» Καὶ μεθ' ἕτερα πάλιν· «Καὶ ἐγένετο, φησὶν, ἐν τῷ μηνὶ τῷ πρώτῳ, τῷ δευτέρῳ ἔτει ἐκπορευομένων αὐτῶν ἐξ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Αἰγύπτου νεομηνίας, ἐστάθη ἡ σκηνὴ, καὶ ἔστησε Μωσῆς τὴν σκηνήν.» Ἐγήγερται μὲν οὖν, κατὰ τὸ Θεῷ δοκοῦν, ἡ ἀρχαία σκηνὴ τῆς ἐν Χριστῷ νοουμένης Ἐκκλησίας, ἐφ' ἑαυτῇ τοὺς τύπους εὖ μάλα προσαναφαίνουσα. Πολυπραγμονῶμεν δὲ, εἰ δοκεῖ, τὰς αἰτίας τοῦ διὰ Μωσέως ἐγηγέρθαι μᾶλλον αὐτὴν, σεσιγημένου πρὸς τὸ παρὸν Ἰησοῦ τοῦ Ναυῆ, καίτοι παρεστηκότος ἀεὶ τῷ παναρίστῳ Μωσῇ, καὶ συναναθρώσκοντος μὲν ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, πολεμοῦντος δὲ καὶ ἀντεξάγοντος τῷ Ἀμαλὴκ διὰ φωνῆς Μωσέως. Ἔφη γάρ που πρὸς αὐτὸν, «Ἐπίλεξαι σεαυτῷ ἄνδρας δυνατοὺς, καὶ ἐξελθὼν παράταξαι τῷ Ἀμαλὴκ αὔριον.» Καὶ παρετάξατο, καὶ νενίκηκε. Τίς οὖν ἄρα ἐστὶν ὁ τοῦδε λόγος, οὐ δοκιμάζειν ἄξιον; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Οὐκοῦν ἐφ' ἑκάστῳ τῶν δρωμένων τὸν τοῦ μυστηρίου λόγον εἴπερ ἕλοιτό τις ἐξακριβοῦν ὡς ἔνι, κατατεθηπὼς ἐρεῖ τὸ, «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ!» Ἄθρει γὰρ ὅπως λεπτός τε καὶ ἀναγκαῖος ὁ ἐφ' ἑκάστῳ νοῦς· ἀναθέοντι μὲν γὰρ εἰς τὸ ὄρος τῷ θεσπεσίῳ Μωσῇ, συνάνεισιν Ἰησοῦς· οὐ γὰρ προσιτὸς ἑτέρως ὁ Πατὴρ, εἰ μὴ δι' Υἱοῦ. Καὶ γάρ ἐστιν ἀληθὲς, εἰ λέγοιτο· «Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ.» Ἐν Χριστῷ τοιγαροῦν καὶ αὐτοῖς τοῖς ἁγίοις ἡ πρόσοδος· καὶ οὐκ ἄν τις δύναιτο, καθάπερ εἰς ὄρος, ἀναπηδᾷν εἰς ὑψηλήν τινα καὶ ὑπερφερῆ θεωρίαν, ἀλλ' οὐδ' ἂν, οἶμαι, τὶς ἀγχοῦ γένοιτο Θεοῦ, κατὰ τρόπον δὲ δηλονότι συν 68.653 αφείας, τῆς ἐν πνεύματι καὶ ἁγιασμῷ πολιτείας, μὴ οὐχὶ συνόντος τε αὐτῷ τοῦ Ἐμμανουὴλ, καὶ τὰ ἀνθρώποις ἀνέφικτα βάσιμα τιθέντος καὶ ἱππήλατα. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ διὰ φωνῆς Ἡσαΐου εἰρη-μένον, «Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ πάντα τὰ σκολιὰ ἔσται εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας.» Ἐν Χριστῷ γὰρ ἡμῖν καὶ τὰ ἀνάντη λεῖα, καὶ βάσιμον τὸ τραχύ· ψιλὰ δὲ καὶ ὕπτια, τὰ δυσπόρευτα. Καὶ γὰρ, ὡς αὐτός που πάλιν φησὶν ὁ προφήτης, «Ὁδὸς εὐσεβῶν. εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν.» Οὐκοῦν ἀναγκαίως συνάνεισιν Ἰησοῦς τῷ θεσπεσίῳ Μωσῇ. Προσιτὸς γὰρ, ὡς ἔφην, ὁ Πατὴρ δι' Υἱοῦ, καὶ αὐτός ἐστιν ὁ μεσίτης, συνάπτων ἡμᾶς δι' ἑαυτοῦ, καὶ ἐν τοῖς ὑπὲρ φύσιν ὑψώμασιν ἀνακομίζων. Παρετέτακτο δὲ σὺν ἀπολέκτοις ἀνδράσι, καὶ ἐνίκα τὸν Ἀμαλήκ. Ἐπιλεξάμενος γὰρ τοὺς ἁγίους ὁ Χριστὸς, ὧν ἀπαρχὴ γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, νενίκηκε τὸν ἀρχηγὸν τοῦ αἰῶνος τούτου· Μωσῆς δὲ ὁ κελεύων ἦν· γέγονε γὰρ ὑπὸ νόμον ὁ Υἱὸς, καίτοι νομοθέτης ὑπάρχων ὡς Θεός. Καὶ τῆς παρατάξεως ὁ καιρὸς οὐ κατ' αὐτὴν ἐκείνην ἐπράττετο τὴν ἡμέραν, καθ' ἣν οἱ Μωσέως γεγόνασι λόγοι, ἀλλ' εἰς τὴν αὔριον, τοῦτ' ἔστιν, εἰς ὑπέρθεσιν ἑτέρου καιροῦ. Προηγόρευσε γὰρ ὁ νόμος τὰ ἐσόμενα, καὶ τῶν τοῦ Σωτῆρος κατορθωμάτων λαμπρὰν ἔχει τὴν ἀφήγησιν, εἰ νοοῖτο πνευματικῶς. Ταύτητοι, καθάπερ ἐγῷμαι, καὶ τὴν ἁγίαν σκηνὴν ἀνέστησεν ὁ Μωσῆς. Ἔστι γὰρ οὐκ ἀσυντελὴς ἡ διὰ νόμου παί-δευσις εἰς τὴν τῆς Ἐκκλησίας σύστασιν. Παιδαγωγεῖ γὰρ εἰς Χριστὸν, ὅς ἐστιν ἡ κεφαλὴ τῆς Ἐκκλησίας, καὶ ἡ πᾶσα σύστασις, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας, κατὰ τὸ γεγραμμένον. Καὶ γοῦν Ἰουδαίοις προσπεφώνηκεν ὁ Χριστός· «Εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν καὶ ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν.» Οἰκοδομεῖ τοιγαροῦν καὶ ὁ Μωσῆς, τοῦτ' ἔστιν, ἡ διὰ νόμου παίδευσις, τὴν Ἐκκλησίαν Χριστοῦ, τὸ ἐπ' αὐτῇ μυστήριον ὡς ἐν σκιαῖς ἔτι προαναφαίνουσα. Πρόσωπον δὲ τὸ Μωσέως ἔσθ' ὅτε τὸν δι' αὐτοῦ παρίστησι νόμον, κατά γε τὸ ἐν εὐαγγελικαῖς παραβολαῖς ὀρθῶς εἰρημένον, «Ἔχουσι Μωσέα καὶ τοὺς προφήτας.» {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Τί δ' ἂν βούλοιτο κατασημῆναι πάλιν τὸ, ἐν ἡμέρᾳ χρῆναι μιᾷ, καὶ μὴν καὶ τὸ, νουμηνίᾳ τοῦ μηνὸς τοῦ πρώτου, καὶ τὸ, ἐν δευτέρῳ ἔτει τὴν ἁγίαν διαπήγνυσθαι σκηνὴν, φέρε δὴ λέγωμεν ἰχνηλατοῦντες τὸ ἀληθὲς, καὶ τὸ ὡς ἄριστα ἔχειν τοῖς ἐντευξομένοις δοκοῦν. Ἡμέρα μὲν γὰρ ἡ μία τὸν πολύευκτον ἡμῖν καὶ σωτήριον ὑποφαίνει καιρὸν, καθ' ὃν ἄνθρωπος γεγονὼς ὁ Μονογενὴς, τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς κατεκτήσατο τοὺς ἐπὶ τῆς γῆς τῷ Θεῷ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πατρί. Εἷς δὲ δὴ πάντων ὁ τοῦδε καιρός· ἅπαξ γὰρ ἀποθανὼν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτῷ οὐκέτι κυριεύσει, κατὰ τὰς Γραφάς· οὐ γὰρ ἔτι προσδοκήσομεν ὑπέρ τε ἡμῶν αὐτῶν καὶ τῶν ἐν ᾅδου πνευμάτων τεθνήξεσθαι τὸν Υἱὸν, ἀλλ' οὐδὲ 68.656 ἀπαρχὴν ἔσεσθαι τῶν κεκοιμημένων δευτέραν. Οὐ γὰρ ἐσομένου θανάτου, πῶς ἂν γένοιτο καὶ ἀνάστασις; Ἔστι τοίνυν οὐ ψευδοεπῆσαι λέγοντας, ὡς εἷς ὁ τοῦδε καιρὸς, καθάπερ ἔφην ἀρτίως, καὶ ἡμέρα μία, ἧς καὶ ὁ προφήτης ἐμνήσθη λέγων ὡς ἐκ προσώπου Θεοῦ, «Καιρῷ δεκτῷ ἐπηκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι.» Γράφει δὲ καὶ ὁ θεσπέσιος Παῦλος, «Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας,» καθ' ἣν ἐκ νεκρῶν ἀνεβίω Χριστὸς, τὸ ἀμειδὲς τοῦ θανάτου καταλύσας κράτος, ὅτε καὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας οἰκοδόμους ὥσπερ τινὰς καὶ τεχνίτας πνευματικοὺς τοὺς ἁγίους ἀποστόλους καθίστη, λέγων, «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.» Ἢ γὰρ οὐχὶ τοῦτο εἶναι φὴς τῆς Ἐκκλησίας τὴν σύστασιν; {ΠΑΛΛ.} Τὸ τί δὴ φής; {ΚΥΡ.} Τὴν διὰ τῶν ἁγίων μυσταγωγῶν παραδοθεῖσαν πίστιν, καὶ κεκηρυγμένην πολιτείαν, φημὶ δὴ τὴν ἐν Χριστῷ, καὶ τὴν διὰ τοῦ ἁγίου βαπτίσματος πρὸς Θεὸν ἕνωσιν, διὰ μετοχῆς τοῦ ἁγίου Πνεύματος. Οὕτω γὰρ ἡμῖν προσεφώνει λέγων ὁ Παῦλος, «Καὶ ὑμεῖς ὡς λίθοι ζῶντες ἐποικοδομεῖσθε οἶκος πνευματικὸς, εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι.» Πάλαι μὲν γὰρ ὡς ἐν διαφόροις σκεύεσιν ἐν τῇ ἁγίᾳ σκηνῇ προεμορφοῦτο Χριστὸς, ὡς χρυσοῦν θυμιατήριον, ὡς κιβωτὸς, ὡς λυχνία, καὶ μὴν καὶ ὡς τράπεζα, καὶ τὰ ἐν αὐτῇ· ἕκαστος δὲ, οἶμαι, τῶν πεπιστευκότων, κατά γε τὸν ἐνεστηκότα καιρὸν, οἶκος καὶ ναὸς χρηματίζει Θεοῦ, Χριστὸν ἔχων ἐνηυλισμένον. Κατοικεῖ γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ τῆς πίστεως, καθὰ γέγραπται, εἷς μὲν καὶ ὁ αὐτὸς κατὰ φύσιν ὑπάρχων, εἰ καὶ νοοῖτο μετὰ σαρκός. «Εἷς γὰρ Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα,» τοῖς δὲ τῆς θεότητος διαφόροις ἰδιώμασιν τὸ οἱονεὶ πολυειδὲς ἔχων ἐφ' ἑαυτῷ, καὶ διαφόρως νοούμενος. Ἔστι γὰρ ἐν ἡμῖν ὡς Λόγος Θεοῦ, καὶ σοφία, καὶ φῶς, καὶ ζωὴ, καὶ ἄρτος ὁ ζῶν καὶ ἐξ οὐρανοῦ. {ΠΑΛΛ.} Συνῆκα ὃ φής. {ΚΥΡ.} Οὐκοῦν ὁ τῆς ἐνανθρωπήσεως καιρὸς ἡμῖν, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἡ τριπόθητος ἡμέρα, προανετυποῦτο πάλαι διὰ τὸ φάναι Θεὸν, Ἐν ἡμέρᾳ μιᾷ στήσεις τὴν σκηνήν. Τὸ δὲ, Καὶ ἐν νουμηνίᾳ τοῦ μηνὸς τοῦ πρώτου, χρησίμως τε καὶ ἀναγκαίως προσενηνεγμένον κατίδοι τις ἂν, ὦ Παλλάδιε. Ὥσπερ γὰρ ἀρχὴ μηνὸς, ἡμερῶν ἡ ἐν αὐτῷ πρώτη, τοῦτ' ἔστιν, ἡ νουμηνία· οὕτως καὶ ἀρχή τις ὥσπερ αἰῶνος νέου, καὶ προεισβολὴ καινότητος χρόνων, ὁ τῆς ἐπιδημίας καιρός. «Καινὴ γὰρ κτίσις ἐν Χριστῷ· τὰ ἀρχαῖα παρῆλθεν.» Ἀναλάμπει δὲ ὥσπερ ἡμῖν ὁ μετὰ τοῦτον αἰὼν, νῦν μὲν ὡς ἐν ἐλπίσιν ἔτι βλεπόμενος, τότε δὲ καὶ παρεσόμενος 68.657 ἀληθῶς, ὅταν ἡμῖν ὁ Χριστὸς ἐπιλάμψῃ πάλιν μετὰ τῶν ἁγίων ἀγγέλων ἐν τῇ δόξῃ τοῦ Πατρὸς, τοὺς ἐν καινότητι ζωῆς περιπατεῖν ἑλομένους, καὶ τὸ ἐκπρεπέστατον κάλλος τῆς εὐαγγελικῆς πολιτείας ἐν ὑπομονῇ πλουτήσαντας, παραληψόμενος μεθ' ἑαυτοῦ, καὶ εἰς τὴν πάλαι προσδοκωμένην δόξαν καὶ βασιλείαν εἰσκομιῶν. Ὅτι δὲ καινὴ κτίσις καὶ οἱονεὶ καιρῶν καὶ πραγμάτων βλάστη νέα τῶν ἐν Χριστῷ, καταδείξειεν ἂν εὖ μάλα τὸ αἴνιγμα τοῦ πρώτου μηνὸς, καθ' ὃν πόαι μὲν καὶ ἁπαλαὶ καὶ ἀρτιφανεῖς ἐν γῇ, φυτῶν δὲ ἀναθήλησις, καὶ τῶν ἐν λειμῶσιν ἀνθέων τὸ πολυειδὲς ἐμφαίνεται κάλλος, ἐαρινῆς γελώσης εὐωδίας· οἱονεὶ γάρ πως ἐν τοιῷδε καιρῷ κέκληκεν ὁ Χριστὸς τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, οὕτω λέγων, «Ἀνάστα, ἐλθὲ, ἡ πλησίον μου, καλή μου, περιστερά μου, ὅτι ἰδοὺ ὁ χειμὼν ἀπῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἐν αὐτῷ· τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ· καιρὸς τῆς τομῆς ἔφθασεν.» Ἀνεθάλη γὰρ ἡ ἀνθρώπου φύσις αὖ, ὥσπερ τι φυτὸν, καταμαρανθεῖσα θανάτῳ, διά τε τὴν ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀδὰμ παράβασιν, καὶ τὴν κατὰ πάντων ἡμῶν τυραννήσασαν ἁμαρτίαν. Ἀκούω δὲ λέγοντος τοῦ Χριστοῦ καὶ δι' ἑνὸς τῶν ἁγίων προφητῶν, «Αὐτὸς ὁ λαλῶν πάρειμι, ὡς ὥρα ἐπὶ τῶν ὀρέων.» Ὅπερ γὰρ ἐν ὄρεσι καὶ δρυμοῖς τὸ ἔαρ ἐργάζεται, βλάστῃ νέᾳ στεφανοῦν τὰ φυτὰ, τοῦτο καὶ ἐφ' ἡμῶν ἡ τοῦ Σωτῆρος ἡμῶν ἀποπεπλήρωκε παρουσία, γενομένη κατὰ καιροὺς, ὡς ἐν ἔτει δευτέρῳ, καὶ οὐκ ἔν γε τῷ πρώτῳ καιρῷ, καθ' ὃν ἦν ὁ νόμος, καὶ τῶν προφητῶν ὁ χορὸς, καὶ καθ' ὃν ἐκράτει θάνατος. Βεβασίλευκε γὰρ ἀπὸ Ἀδὰμ καὶ μέχρι Μωσέως. Οὐκοῦν ὡς ἐν δευτέρῳ ἔτει, τοῦτ' ἔστιν, ὡς ἐν χρόνῳ τῷ μετὰ τὸν πρῶτον, καθ' ὃν ἦν ὁ νόμος, ἡ ἐξ ἐθνῶν ἀνέλαμψεν Ἐκκλησία, Χριστὸν ἔναυλον ἔχουσα, τὸ τῶν προφητῶν καὶ τοῦ νόμου τέλος. Ἆρά σοι δοκεῖ πρὸς τὸ εὐθύ τε καὶ ἀληθὲς διάττειν ἡμῶν ὁ λόγος; {ΠΑΛΛ.} Παντάπασι μὲν οὖν. {ΚΥΡ.} Οἶμαι δὲ ἔγωγε τὴν ἀληθεστέραν ἡμῖν προκατηγγέλθαι σκηνὴν διὰ φωνῆς Ἡσαΐου, λέγοντος ὡς πρὸς ἕκαστον τῶν ἐν πίστει κεκλημένων εἰς δικαιοσύνην, «Οἱ ὀφθαλμοί σου ὄψονται Ἱερουσαλὴμ, πόλεις πλουσίας, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, οὐδὲ μὴ κινηθῶσιν οἱ πάσσαλοι τῆς σκηνῆς αὐτῆς· οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαῤῥαγῶσιν εἰς τὸν αἰῶνα χρόνον.» Θεοῦ γὰρ πόλις ἡ Ἐκκλησία, ἧς καὶ ὁ θεσπέσιος Δαβὶδ ἐπεμνήσθη λέγων, «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.» Πλουσία γὰρ αὕτη, καὶ τοῖς ἄνωθεν καὶ ἐξ οὐρανοῦ χαρίσμασι κατηγλαϊσμένη, καὶ ἄῤῥηκτον ἔχουσα τὴν ἐν βεβαίῳ στάσιν, ἵδρυσίν τε καὶ διαμονήν. «Πύλαι γὰρ ᾅδου οὐ κατισχύσουσιν αὐτῆς,» κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. {ΠΑΛΛ.} Ὀρθότατα καὶ εἰκότα διανοῇ. {ΚΥΡ.} Ἐγηγερμένης δὲ τῆς σκηνῆς, ὅτι προσῆκεν ἐν κόσμῳ κεῖσθαι τὰ ἐν αὐτῇ, καὶ μὴ χύδην καὶ ἀτημελῶς, διδάσκει λέγων ὁ πάντων δεσπότης Θεός· 68.660 «Καὶ θήσεις τὴν κιβωτὸν τοῦ μαρτυρίου, καὶ σκεπάσεις τὴν κιβωτὸν τῷ καταπετάσματι. Καὶ εἰσοίσεις τὴν τράπεζαν, καὶ προθήσεις τὴν πρόθεσιν αὐτῆς. Καὶ εἰσοίσεις τὴν λυχνίαν, καὶ ἐπιθήσεις τοὺς λύχνους αὐτῆς. Καὶ θήσεις τὸ θυσιαστήριον τὸ χρυσοῦν, εἰς τὸ θυμιᾶν ἐναντίον τῆς κιβωτοῦ. Καὶ ἐπιθήσεις κάλυμμα καταπετάσματος ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὸ θυσιαστήριον τῶν καρπωμάτων θήσεις παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ περιθήσεις τὴν σκηνὴν, καὶ πάντα τὰ αὐτῆς περιθήσεις κύκλῳ.» Ἀλλ' ἔνεστι μὲν ἐν τούτοις εἰσκεκομισμένα ἰδεῖν ἐν τῇ ἁγίᾳ σκηνῇ τὰ σκεύη τὰ ἱερά· οὐ μὴν ἔτι καὶ σαφῶς τὸν ἑκάστῳ πρέποντά τε καὶ ἐκνεμηθέντα τόπον. Βούλει δὴ οὖν τῶν ἐπὶ τῇ σκηνῇ προσταγμάτων λεπτήν τε καὶ ἀκριβῆ τῶν τοιῶνδε τὴν γνῶσιν ἐρανιζώμεθα; {ΠΑΛΛ.} Ὡς ἥδιστά γε. {ΚΥΡ.} Ἔφη τοίνυν πρὸς τὸν ἱερὸν Μωσέα Θεός· «Καὶ ποιήσεις καταπέτασμα ἐξ ὑακίνθου καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου, καὶ βύσσου νενησμένης· ἔργον ὑφαντὸν ποιήσεις αὐτὸ Χερουβίμ. Καὶ ἐπιθήσεις αὐτὸ ἐπὶ τεσσάρων στύλων ἀσήπτων κεχρυσωμένων χρυσίῳ. Καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες ἀργυραῖ. Καὶ θήσεις τὸ καταπέτασμα ἐπὶ τῶν στύλων, καὶ εἰσοίσεις ἐκεῖ ἐσώτερον τοῦ καταπετάσματος τὴν κιβωτὸν τοῦ μαρτυρίου. Καὶ διοριεῖ τὸ καταπέτασμα ὑμῖν ἀναμέσον τοῦ Ἁγίου, καὶ ἀναμέσον τοῦ Ἁγίου τῶν ἁγίων. Κατακαλύψεις τῷ καταπετάσματι τὴν κιβωτὸν τοῦ μαρτυρίου ἐν τῷ Ἁγίῳ τῶν ἁγίων. Καὶ ἐπιθήσεις τὴν τράπεζαν ἔξωθεν τοῦ καταπετάσματος, καὶ τὴν λυχνίαν ἀπέναντι τῆς τραπέζης ἐπὶ μέρους τῆς σκηνῆς τὸ πρὸς νότον. Καὶ τὴν τράπεζαν θήσεις ἐπὶ μέρους τῆς σκηνῆς τὸ πρὸς βοῤῥᾶν. Καὶ ποιήσεις ἐπίσπαστρον τῇ θύρᾳ τῆς σκηνῆς ἐξ ὑακίνθου καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου, καὶ βύσσου κεκλωσμένης, ἔργον ποικιλτοῦ. Καὶ ποιήσεις τῷ καταπετάσματι πέντε στύλους, καὶ χρυσώσεις αὐτοὺς χρυσίῳ· καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ χωνεύσεις αὐτοῖς πέντε βάσεις χαλκᾶς.» Καὶ ταυτὶ μὲν περὶ τούτων. Περὶ δέ γε τοῦ λουτῆρος ὧδέ πή φησι· «Ποίησον λουτῆρα χαλκοῦν, καὶ βάσιν αὐτῷ χαλκῆν ὥστε νίπτεσθαι, καὶ θήσεις αὐτὸν ἀνὰ μέσον τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἀνὰ μέσον τοῦ θυσιαστηρίου.» Ἆρά σοι σαφὴς ὁ ἐφ' ἑκάστῳ λόγος; {ΠΑΛΛ.} Οὐ μὲν οὖν· διηπόρηκα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ, ἴσθι· καὶ τί τὸ χρῆμα, εἰπεῖν οὐκ ἔχω. {ΚΥΡ.} Οὐκοῦν ἐφ' ἑκάστῳ τῶν προκειμένων ῥητῶν, εἰς θεωρίαν τὴν ἐπ' αὐτοῖς τὸ τελοῦν ἁρπάσας, σαφῆ καὶ εὐκρινεστάτην, ὡς ἂν οἷός τε ὦ, ποιήσομαι τὴν ἀφήγησιν. Ἐγήγερται μὲν γὰρ, ὦ Παλλάδιε, κατὰ τὴν ἔρημον ἡ ἁγία σκηνὴ, ὡς ἐν θέσει τε καὶ ἐν εἴδει διπλῷ. Καὶ μία μὲν ἦν ἡ ἐσωτάτη· ὄνομα δὲ αὐτῇ, τὰ Ἅγια τῶν ἁγίων. Προεισβολὴ δὲ ὥσπερ τις καὶ περὶ αὐτὴν ἡ πρώτη, τὰ ἐπίκλην Ἅγια. Καὶ εἰς μὲν τὴν ἐσωτάτω σκηνὴν, ἡ κιβωτὸς ἀπετέθειτο, ἐπὶ τεσσάρων στύλων χρυσῶν ἔχουσα περιπέτασμα πεποιημένον ἐντέχνως ἐξ ὑακίνθου καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου, καὶ βύσσου νενησμένης. Εἰ 68.661 ρηκότες δὲ ἤδη, καὶ, καθάπερ ἐγῷμαι, διαρκῶς τὰ ἐπί τε τῇ βύσσῳ καὶ τῇ πορφύρᾳ, καὶ τῷ κεκλωσμένῳ κοκκίνῳ, καὶ μέν τοι καὶ ὑακίνθῳ, παρωσόμεθα μὲν τὸ ταυτοεπές· ἐκεῖνό γε μὴν ἐροῦμεν εἰς τὸ παρόν· Τὸ καταπέτασμα τὸ ἐπὶ τεσσάρων στύλων χρυσῶν, ὧν αἱ βάσεις ἀργυραῖ, τὸ Χριστοῦ μυστήριον ὑπεδήλου τότε. Τί γάρ; οὐχὶ καταπέτασμα τὸ σῶμα Χριστοῦ καὶ σοφὸς ἡμῖν ὠνόμασε Παῦλος, οὕτω λέγων, «Ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ;» {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἄθρει δὴ οὖν ὡς ἐν σκιαῖς καὶ αἰνίγμασιν, ὅτι Θεὸς ὢν καὶ ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν ὁ Λόγος, ὡς ἐν χρυσῇ καὶ ἀσήπτῳ γέγονε κιβωτῷ, τῷ ἐκ Παρθένου ναῷ· ἄσηπτον γὰρ καὶ τίμιον τὸ σῶμα Χριστοῦ· μονονουχὶ δὲ καὶ ἐκρύπτετο καθάπερ ἐν τάξει καταπετάσματος, τὴν σάρκα λαβών· κρύπτεσθαι δέ φαμεν τὸν ἐκ Θεοῦ Λόγον, οὐχ ὡς ἐν βραχεῖ περιορισθέντα σώματι· πανταχῇ γὰρ καὶ ἐν πᾶσιν ὁ Υἱός· ἀλλὰ τῷ λανθάνειν οἰκονομικῶς, καὶ τὸν τῆς ἀναδείξεως ὑπομένειν καιρόν. Ἀναδείξεως δὲ τῆς εἰς ἅπαντας ὁ καιρὸς, ἡ ἐκ νεκρῶν ἀναβίωσις. Πρὸ μὲν γὰρ τοῦ τιμίου σταυροῦ, τοῖς ἁγίοις ἐπέταττε μαθηταῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιῶσι. Γέγραπται γὰρ ὡδί. Μετὰ δέ γε τὸ ἀναβιῶναι παθόντα τὸν θάνατον, «Πορευθέντες, φησὶ, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.» Οὐκοῦν ἐπεκρέματο μὲν τοῖς στύλοις τὸ καταπέτασμα, κατακαλύπτον ἔσω τὴν κιβωτὸν, τύπος δ' ἂν εἴη Χριστοῦ, τοῖς τῶν ἁγίων εὐαγγελιστῶν κηρύγμασιν αἰρομένου τε ὑψοῦ, καὶ ἐν δόξῃ θεότητος ὁρωμένου τοῖς ἐν τῇ ἁγίᾳ σκηνῇ, τουτέστι, τῇ Ἐκκλησίᾳ. Τέσσαρες δὲ οἱ στύλοι, χρυσοῖ καὶ περιάργυροι· ἰσάριθμοι δὲ αὐτοῖς οἱ εὐαγγελισταὶ, λαμπροί τε καὶ τίμιοι. Οὐκοῦν ἔκειτο μὲν ἡ κιβωτὸς, ἄνωθεν δὲ κάτω διῆκον τὸ καταπέτασμα, τὸ ἐκ βύσσου καὶ πορφύρας καὶ τῶν ἄλλων, οὐχ ὁρατὴν ἐτίθει. Ἄνωθεν δὲ τοῦ καταπετάσματος καὶ τῶν εἰς δεξιά τε καὶ εὐώνυμα Χερουβὶμ, ἐχρημάτιζε Θεὸς, δεικνὺς ὅτι καὶ ὑπὲρ πᾶσαν κτίσιν ἐστί· καὶ αὐτὰ δὲ πάντα τὰ τῶν λογικῶν ἀνωτάτω, τουτέστι τὰ Σεραφὶμ, τὴν θείαν τε καὶ ἄῤῥητον ὑποκάθηται δόξαν, καὶ αὐτὸν δορυφοροῦντα τὸν Υἱὸν, εἰ καὶ γέγονε σὰρξ, καὶ ὡς ἐν ὑφέσει τυχὸν τῆς πρὸς τὸν Πατέρα ἰσότητος, καθὸ πέφυκεν ἄνθρωπος. Τοιγάρτοι καὶ ἔφασκεν αὐτός· «Ὁ Πατήρ μου μείζων μού ἐστιν.» Ἶσος δὲ ὢν κατὰ φύσιν τῷ γεγεννηκότι, τὸ ἐν μείοσι γενέσθαι φησὶ διὰ μόνον τὸ ἀνθρώπινον. Διὰ τοῦτο καὶ ἐν τῇ ἁγίᾳ σκηνῇ, κύκλῳ μὲν τοῦ καταπετάσματος, τὰ Χερουβὶμ, καὶ αὐτὰ ὡς Θεὸν δορυφοροῦντα τὸν Υἱόν. Καὶ μὴν καὶ αὐτοῦ τοῦ καταπετάσματος ἄνωθεν, ὃ ἦν εἰς τύπον Χριστοῦ, νοεῖται Θεός. «Καὶ γνωσθήσομαι» γὰρ, φησὶν, «ἐκεῖθεν, καὶ λαλήσω σοι.» Ἐπέκεινα γὰρ πάσης κτίσεως ὁ Πατὴρ, καὶ αὐτοῦ τοῦ Ἐμμανουὴλ, οὐ καθ' ὃ νοεῖται καὶ ἔστι Θεός· ἶσος γάρ ἐστι κατὰ πάντα Θεῷ· ἀλλ' ὅσον 68.664 ἧκεν εἰς δούλου μορφὴν, καὶ εἰς ἀνθρωπότητος μέτρον. {ΠΑΛΛ.} Ὡς λεπτὸς ὁ λόγος καὶ βαθύς. {ΚΥΡ.} Ἔρχεται δὲ ὅμως οὐκ ἀπὸ σκοποῦ. {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Ἐχούσης δὲ ὧδε τῆς κιβωτοῦ, «Καὶ θήσεις, φησὶ, τὸ θυσιαστήριον τὸ χρυσοῦν εἰς τὸ θυμιᾶν ἐναντίον τῆς κιβωτοῦ.» Καὶ Χριστὸς μὲν ὅτι τὸ θυσιαστήριόν ἐστι τὸ χρυσοῦν, διαρκῶς ἡμῖν εἰρῆσθαι δοκῶ. Τέθειταί γε μὴν ἀπέναντι τῆς κιβωτοῦ, ἐφ' ᾗ τὸ καταπέτασμα, καὶ κύκλῳ τὰ Σεραφὶμ, καὶ ἀνωτέρω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεὸς, οἱονεὶ δεχόμενος τὴν ἀπαράβλητον εὐωδίαν τοῦ Ἐμμανουήλ. Οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, καθὰ γέγραπται· τοιγάρτοι καὶ ἔφασκεν αὐτὸς, «Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν.» Δεκτοὶ δὲ τῷ Θεῷ καὶ ἡμεῖς αὐτοὶ, τὸ Χριστοῦ μύρον εὐωδιάζοντες. Πιστώσεται δὲ καὶ ὁ Παῦλος γράφων· «Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμᾶς, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ.» {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἐννοῶμεν δὴ οὖν ἀκριβῶς, τοῖς γεγραμμένοις ἐνιέντες τὸν ὀφθαλμὸν, ἱδρύσθαι μὲν τὴν κιβωτὸν ἐν τῷ πρὸς λίβα καὶ δυσμὰς κλίτει τῆς ἁγίας σκηνῆς· ἀπέναντι δὲ αὐτῆς τὸ χρυσοῦν θυσιαστήριον, ἐν τῷ πρὸς ἀκτῖνα τόπῳ. Ἠὼς γὰρ καὶ δύσις μεμέστωται τοῦ Χριστοῦ, βοῤῥᾶς τε καὶ νότος. Καὶ γοῦν τόπος μὲν τῇ λυχνίᾳ, τὰ νότια τῆς σκηνῆς. τῇ δὲ τραπέζῃ, τὰ πρὸς βοῤῥᾶν. Καὶ ὅτι δι' ἀμφοῖν ὁ Χριστὸς σημαίνεται, πολὺς ἡμῖν ἤδη προαπέδειξε λόγος· ὅτι μὲν γὰρ φῶς ὁ Χριστὸς, ἡ λυχνία δηλοῖ· ὅτι δὲ ζωὴ καὶ ἄρτος ὁ ζῶν, ἡ τράπεζα μὲν καὶ τὰ ἐν αὐτῇ. Πλὴν ἐκεῖνο διανοοῦ, καὶ ἄθρει τὸ μυστήριον· Νοτιωτάτη μὲν γὰρ τῶν Ἰουδαίων ἡ χώρα, βορειοτέρα δὲ πάλιν ἡ τῶν ἐθνῶν. Οὐκοῦν ἀπό γε τῆς θέσεως τῆς ἀμφοῖν, τῆς τε λυχνίας καὶ τῆς τραπέζης, φημὶ, περιέσται δήπου τοῖς ἐθέλουσιν εὖ μάλα νοεῖν, ὅτι τοῖς μὲν Ἰουδαίοις φῶς ἐπέλαμψεν ὁ Χριστὸς, καὶ παρ' αὐτοῖς ἐκήρυττεν, «Ἐγώ εἰμι τὸ φῶς.» Ἀπέσταλται γὰρ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Καὶ, «Αὐτῶν εἰσιν αἱ ἐπαγγελίαι,» κατὰ τὰς Γραφάς. Ἐπεὶ δὲ οὐ προσήκαντο τῆς ἀληθείας τὸ φῶς, γέγονε τοῖς ἔθνεσιν ζωὴ καὶ ἄρτος ἐξ οὐρανοῦ· καὶ οὐ δίχα φωτὸς τὰ ἔθνη· καὶ τοῦτο δ' ἂν μάθοις, διήκοντος τοῦ φωτὸς τῆς λυχνίας καὶ εἰς τὰ βόρεια τῆς σκηνῆς. Στενοτάτης δὲ οὔσης τῆς σκηνῆς τῆς ἁγίας, τὸ ἀπεικὸς οὐδὲν, μονονουχὶ καὶ παρατεθεῖσθαι δοκεῖν τῇ τραπέζῃ τὴν λυχνίαν, κἂν εἰ τὸν νότιον ἔχῃ τόπον. Ἐμφανίζει δὲ ἡμῖν καὶ ἑτέρως ὁ τύπος, ὡς θείου φωτὸς ἐκλάμποντος γένοιτ' ἂν τοῖς ἀξίοις τὸ μεταλαχεῖν δύνασθαι τοῦ Χριστοῦ, ὡς ἄρτου ζῶντος καὶ ἀληθινοῦ. Σύσσωμα δὲ καὶ συμμέτοχα γέγονε τὰ ἔθνη Χριστοῦ. Γράφει δὲ πάλιν ὁ θεσπέσιος Παῦλος· Σύσσωμα δὲ καὶ συμμέτοχα γέ 68.665 γονε τὰ ἔθνη φωτὸς, δηλονότι τοῦ νοητοῦ, προσαναπιμπλάμενα «διαυγαζούσης ἡμέρας, καὶ Φωσφόρου κατὰ νοῦν ἀνατέλλοντος,» ἔφη γάρ τις τῶν τοῦ Σωτῆρος μαθητῶν. Ἐχόντων δὲ ὧδε θέσεώς τε καὶ κατασκευῆς τῶν ἐν τοῖς Ἁγίοις τῶν ἁγίων, ἐπίσπαστρον, ἤτοι καταπέτασμα, γενέσθαι προστέταχεν ἐξ ὑακίνθου καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου, καὶ βύσσου νενησμένης· τοῦτο δὲ ταῖς σκηνῆς εἰσβολαῖς περιτείνεσθαι δεῖν ἔφασκεν ἀναγκαίως, πέντε χρυσοῖς ἐπαιωρούμενον στύλοις, ὧν αἱ βάσεις χαλκαῖ. Καὶ ἐπίσπαστρον μὲν ὀνομάζει, τῆς θύρας τὸ περιτάνυσμα, διὰ τὸ, οἶμαι, λεπτοῖς κρίκοις ἀνόπιν ἕλκεσθαι δικνουμένης τῆς εἰσβολῆς· ἀντεπισπᾶσθαι δὲ αὖ καὶ κατευρύνεσθαι τῶν θυρῶν, κρύπτειν τὰ Ἅγια. Πέντε δὲ οἱ στύλοι, χρυσοῖ καὶ περίχαλκοι, τοὺς ὡς πέμπτῳ καιρῷ, καθ' ὃν ἡ Χριστοῦ γέγονε παρουσία, προανατυποῦντες διδασκάλους καὶ τῶν Ἐκκλησιῶν ἡγουμένους· οἳ τὸν τῆς ἀληθείας ὀρθοτομοῦντες λόγον, τίμιοι μὲν ὡς χρυσός εἰσιν, εὐηχεῖς δὲ οὕτως ὡς χαλκός. «Εἰς πᾶσαν γὰρ δὴ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν·» οἳ καὶ διὰ τῆς ἐντέχνου καὶ θεοπνεύστου μυσταγωγίας τοῖς εἰς τὰ Ἅγια τῶν ἁγίων εἰστρέχειν ἐθέλουσιν ἀνευρύνουσιν ὥσπερ τὰς εἰσβολάς. Τὰ μὲν οὖν Ἅγια τῶν ἁγίων, τοῦτ' ἔστιν, ἡ ἐσωτέρα σκηνὴ κατεκαλύπτετο τῷ καταπετάσματι. Παρερήρειστο δὲ εὐθὺς καὶ συνήρμοστο τῇ δευτέρᾳ καὶ ἡ πρώτη σκηνὴ, τὸ θυσιαστήριον ἔχουσα τῶν καρπωμάτων, ἐν ᾧ πᾶσα ἡ δι' αἱμάτων ἐτελεῖτο προσαγωγὴ, πόπανά τε καὶ οἱ λιβανωτοὶ, καὶ πᾶσα θυσία καὶ σπονδὴ, καὶ πρός γε τῷ θυσιαστηρίῳ καὶ τὸν λουτῆρα τὸν χαλκοῦν. Τόπος δὲ αὖ τῷ μὲν θυσιαστηρίῳ παρὰ τὰς θύρας τῆς σκηνῆς, δῆλον δὲ ὅτι τῆς ἐξωτέρας· τῷ δέ γε λουτῆρι, τὸ μεσαίτατον τῆς σκηνῆς. {ΠΑΛΛ.} Καὶ τίς ἂν νοοῖτο πάλιν ἡ ἐπιτήρησις; {ΚΥΡ.} Ἀκριβές, ὦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Παλλάδιε, τὸ Γράμμα τὸ ἱερὸν, καὶ εἰκαῖον ἐν αὐτῷ παντελῶς οὐδέν. Θέα γὰρ ὅπως ἡμῖν τὸ αἴνιγμα παιδαγωγοῦντα δέδειχεν ἐπὶ Χριστὸν τὸν νόμον. Τέθειται γὰρ παρ' αὐταῖς ταῖς εἰσόδοις ταῖς εἰς τὰ Ἅγια τῶν ἁγίων τῆς κατὰ νόμον λατρείας τὸ θυσιαστήριον. Ἀποφέρει γὰρ ὁ νόμος μόλις ἡμᾶς εἰς ἀρχὰς τῶν τοῦ Χριστοῦ μυστηρίων, καὶ οἱονεί πως παρὰ τὰς πρώτας εἰσβολὰς τῆς ἐπ' αὐτῷ γνώσεως ἀκριβοῦς· εἰσκομίζει δὲ οὐδαμῶς εἰς τὰ Ἅγια τῶν ἁγίων, τοῦτ' ἔστιν, εἰς τὴν ἐσωτέραν σκηνὴν, ἐν ᾗ πολυειδὴς ὁ Χριστὸς, ὡς Θεοῦ Λόγος, ὡς φῶς, ὡς ἄρτος ζῶν, ὡς εὐωδίας ὀσμὴ τῷ Θεῷ καὶ Πατρί. Ἦ γὰρ οὐχὶ φαίης ἂν ὅτι στοιχεῖά τε καὶ ἀρχαὶ τῶν λογίων τοῦ Θεοῦ, τῆς κατὰ νόμον λατρείας ἡ προμελέτησις ἦν; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ὅτι δὲ τετελείωκεν ὁ νόμος οὐδὲν, «Ἀμή-χανον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρ 68.668 τίας,» ἀναμάθοις ἂν εὐθὺς, καὶ λίαν ἀμογητὶ, καὶ τὴν τοῦ λουτῆρος χρείαν ἐννενοηκώς. Ἔκειτο γὰρ ἐν μέσῃ τῇ πρώτῃ σκηνῇ λαμπρὸς καὶ περίοπτος, προαπονίζων ὕδατι τοὺς εἰς τὰ Ἅγια τῶν ἁγίων εἰστρέχοντας. Τέθειτο γὰρ τοῖς ἱερεῦσιν ὁ ἐπὶ τῷδε νόμος. Οὐκοῦν καὶ ἡ ἐν νόμῳ δοκοῦσα πλήρωσις, ἀτελὴς, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος κάθαρσιν ὑποδηλοῦσα, ἣ τὸ ἱερὸν ἐκπλύνει γένος, φημὶ δὴ τὸ τῶν ἐν πίστει δεδικαιωμένων, οἷς καὶ ὁ θεσπέσιος μαθητὴς προσπεφώνηκε λέγων, «Ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ἡμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς.» Ἰστέον δὲ ὅτι καὶ τῇ θύρᾳ τῆς ἔξω σκηνῆς περιτετάννυστο καταπέτασμα, ὡς ἂν μὴ γυμνά τε καὶ ἐμφανῆ τοῖς ἔξωθεν εἴη τὰ Ἅγια, τοῦτ' ἔστιν, ἡ πρώτη σκηνὴ, ἐν ᾗ τὸ ἐν νόμῳ θυσιαστήριον· καταδηλοῦντος, οἶμαι, τοῦ τύπου πάλιν, ὅτι μηδὲ αὐτὸς τοῖς τυχοῦσιν ἐμφανὴς ὁ νόμος. Κατακάλυμμα γὰρ ἔχει τὸ γράμμα, καὶ κατακεκάλυπταί τε καὶ κατημφίασταί πως τὴν ὡς ἐν σκιαῖς ἀσάφειαν. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Οὐκοῦν ἐν μὲν τῇ πρώτῃ σκηνῇ λουτὴρ ἔκειτο καὶ θυσιαστήριον· ἐν δὲ τῇ δευτέρᾳ καὶ ἐσωτάτω, ἡ κιβωτὸς καὶ ἡ λυχνία· καὶ μέντοι καὶ τὸ χρυσοῦν θυμιατήριον, ἐφ' ᾧ τὸ λεπτὸν θυμίαμα, τράπεζά τε καὶ ἄρτοι. Διαμέμνηται δὲ ὁ θεσπέσιος Παῦλος καὶ στάμνου χρυσῆς ἐχούσης τὸ μάννα. Καὶ μὴν καὶ ῥάβδον ἡμῖν ὀνομάζει τὴν Ἀαρὼν, ἣν καὶ ἐν τοῖς Ἁγίοις τῶν ἁγίων ἀποτεθεῖσθαί φησιν, ἅτε δὴ καὶ τῶν ἱερῶν Γραμμάτων ἐντριβὴς, καὶ ἐγνωκὼς ὅτι μάλιστά γε τὰ τεθεσπισμένα κατὰ καιροὺς, καὶ τῷ μακαρίῳ Μωσῇ προστεταγμένα θεόθεν. Οἶδε δὲ οὖσαν καὶ τράπεζαν καὶ λυχνίαν ἐν τῇ πρώτῃ σκηνῇ. Γράφει δὲ οὕτω περὶ ταῖν δυοῖν διαθήκαιν, «Ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὴν πρώτην. Τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ. Εἶχε μὲν οὖν καὶ ἡ πρώτη δικαιώματα λατρείας, τό τε ἅγιον κοσμικόν· σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἁγία. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ, ἡ λεγομένη Ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον,» περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. {ΠΑΛΛ.} Ἆρ' οὖν εἴ τις ἕλοιτο φιλοπευστεῖν, χρῆναί τε λέγοι τὰς αἰτίας εἰπεῖν τῆς ὅλης κατασκευῆς, τίς ἂν γένοιτο πρὸς ἡμῶν ὁ λόγος; {ΚΥΡ.} Ὅτι, ὦ Παλλάδιε, τὰ μὲν πρὸ τῆς κατασκευῆς τῆς ἁγίας σκηνῆς, τὰ δὲ μετὰ τοῦτο γενέσθαι προστέταχεν. Ἐν μὲν γὰρ τῇ Ἐξόδῳ καί τοι 68.669 πρὶν ὅλως τοὺς περὶ τῆς ἁγίας σκηνῆς ὀφθῆναι τύπους, καὶ τὰ ἐπ' αὐτῆς γενέσθαι προστάγματα, τὸν ἐπὶ τῇ χρυσῇ στάμνῳ κατεχρησμῴδησε λόγον, εἰδὼς τὸ ἐσόμενον. Μετὰ δέ γε τὴν πῆξιν τῆς ὅλης σκηνῆς ἐν τοῖς Ἀριθμοῖς εὑρήσομεν τὴν ῥάβδον τὴν Ἀαρὼν εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσκεκομισμένην. Ἐν δὲ τῷ Λευϊτικῷ προσεπενομοθέτει Θεὸς περί τε λυχνίας, καὶ μὴν καὶ τραπέζης τῆς ἐν τῇ πρώτῃ σκηνῇ. Νομομαθὴς δὲ ὑπάρχων ὁ σοφώτατος Παῦλος, παρίησι μὲν ὅλως τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γεγονότων οὐδὲν, διαμέμνηται δὲ πρώτων τε καὶ μέσων καὶ τελευταίων. {ΠΑΛΛ.} Ἄριστα ἔφης. Φράζε δὴ οὖν ἕκαστα σαφῶς καὶ διεσταλμένως· βαθὺς γάρ που πάντως ὁ ἐπ' αὐτοῖς ἐστι λόγος. {ΚΥΡ.} Ναὶ, λέγεις ὀρθῶς. Ἔχει γὰρ ὧδε τὸ χρῆμα κατὰ ἀλήθειαν. Ποιήσομαι δὲ τῶν διηγημάτων καὶ τὴν στάμνον ἀρχήν. Ὑετοῦ μὲν γοῦν δίκην καθίει Θεὸς τοῖς ἐξ Ἰσραὴλ τὸ μάννα κατὰ τὴν ἔρημον· τροφὴ γὰρ τοῦτο καὶ ἄρτος αὐτοῖς ἄνωθεν καὶ ἐξ οὐρανοῦ. Ἀλλ' ὅτι μὴ μέχρι τῶν αἰσθητῶν τὸ δρώμενον ἦν· ἀναφέρει γάρ τε ὥσπερ διὰ τύπου καὶ σκιᾶς ἐπὶ τὸ χρῆναι νοεῖν, ὅτι παρέσται κατὰ καιροὺς ὁ ἄνωθεν ἡμῖν καὶ ἐκ Πατρὸς Λόγος, ὡς ἄρτος ἐξ οὐρανοῦ, ὡς καὶ ὁ θεῖος ἡμῖν Δαβὶδ ὑποφαίνει λέγων· «Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος.» Καὶ οὔτι πού φαμεν τὸ μάννα τὸ αἰσθητὸν ἄρτον εἶναι τὸν ἐξ οὐρανοῦ καὶ ἀγγέλων. Τρέφεται μὲν γὰρ τὸ πνεῦμα πνευματικῶς, σῶμα δὲ αὖ κατ' ἰδίαν φύσιν, τοῦτ' ἔστι, σωματικῶς. Τροφὴ δὲ ἀγγέλων καὶ ἄρτος ὁ πρέπων οὐρανοῖς καὶ τοῖς ἄνω πνεύμασιν, ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος. Τὸ μάννα δὴ οὖν ἐδήλου Χριστόν. Οὐδὲν δὲ ὁ τύπος τὸ ὠφελοῦν ἔχει, μὴ τῆς ἀληθείας εἰσδεδεγμένης. Σκιὰ γὰρ τοῦτο ἐκείνης, οὐ δι' ἑαυτὸ κυρίως γεγονὸς, ἀλλ' ἵνα τι τῶν ἀμεινόνων ἐφ' ἑαυτῷ ζωγραφῇ. Διὰ τοῦτο Χριστὸς τοῖς Ἰουδαίων δήμοις σοφὴν ἐποιεῖτο τὴν ἐπίπληξιν, ὅτι μὴ μᾶλλον αὐτὸν ὡς ἀλήθειαν, ἀλλὰ Μωσέα θαυμάζουσι, τῶν τύπων τὸν ὑπουργόν. Ἔφη γὰρ οὕτως, «Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, Μωσῆς ὑμῖν δέδωκε τὸ μάννα· ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν.» Εἰκόνα δὴ οὖν τὸ μάννα τιθεὶς τοῦ ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταφοιτήσαντος Λόγου, τὰ ἐπί γε τῇ στάμνῳ κεχρησμῴδηκε Θεός. Γέγραπται δὲ οὕτως· «Εἶπε δὲ Μωσῆς· Τοῦτο τὸ ῥῆμα, ὃ συνέταξε Κύριος, Πλήσατε τὸ γομὸρ τοῦ μάννα, εἰς ἀποθήκην εἰς τὰς γενεὰς ὑμῶν, ἵνα ἴδωσι τὸν ἄρτον, ὃν ἐφάγετε ὑμεῖς ἐν τῇ ἐρήμῳ, ὡς ἐξήγαγεν ὑμᾶς Κύριος ἐκ γῆς Αἰγύπτου. Καὶ εἶπε Μωσῆς πρὸς Ἀαρών· Λάβε στάμνον χρυσοῦν ἕνα, καὶ ἔμβαλε εἰς αὐτὸν πλῆρες τὸ γομὸρ τοῦ μάννα, καὶ ἀποθήσεις αὐτὸ ἐναντίον τοῦ Θεοῦ, εἰς διατήρησιν εἰς τὰς γενεὰς ὑμῶν, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωσῇ. Καὶ ἀπέθετο Ἀαρὼν ἔναντι τοῦ μαρτυρίου, εἰς διατήρησιν.» Ὥσπερ γὰρ ἐλέγομεν ὅτι τὸν θεῖον ἔχουσα λόγον ἡ κιβωτὸς ὑπεδήλου τὸν Ἐμμανουήλ· Θεοῦ γὰρ ἦν Λόγος ὡς ἐν 68.672 ἁγίῳ ναῷ, τῷ ἐκ Παρθένου φημί· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ στάμνος ἡμῖν ἡ χρυσῆ, τὸ μάννα τὸ αἰσθητὸν ὠδίνουσα, τὸν ἄνωθεν καὶ ζωοποιὸν ἐμφαίνει Λόγον, δῆλον δὲ ὅτι τὸν ἐκ Πατρὸς, ὡς ἐν ἱερῷ καὶ ἀχράντῳ σώματι. Ἐπίμεστος δὲ καὶ ἡ στάμνος τοῦ μάννα. «Ἐνῴκησε γὰρ ἐν αὐτῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς,» κατά γε τὴν τοῦ μακαρίου Παύλου φωνήν. «Καὶ οὐκ ἐκ μέτρου δίδωσι τὸ Πνεῦμα.» Παντέλειος γὰρ ὁ Χριστός. Ἀπέκειτο δὲ ἡ στάμνος, εἰς διατήρησιν εἰς τὰς γενεὰς τῶν υἱῶν Ἰσραήλ. Ἄφθαρτος γὰρ καὶ μένων ἀεὶ, καὶ ἐν παντὶ καιρῷ τε καὶ χρόνῳ γνωριμώτατος ὁ Χριστός. Καὶ ἔστιν ἔναντι Κυρίου, τοῦτ' ἔστιν, ἐν ὀφθαλμοῖς τοῦ Πατρός. Ὅτε γὰρ γέγονε καθ' ἡμᾶς ὁ Μονογενὴς, τότε καὶ εἰσῆλθεν εἰς τὰ Ἅγια τῶν ἁγίων, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, τοῦτ' ἔστιν, εἰς τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν, καθὰ γέγραπται. Οὐ γὰρ ἑαυτὸν ἐν ὄψει καθίστησι τοῦ Πατρὸς, ἀλλὰ ἡμᾶς ὡς ἐν ἑαυτῷ, καίτοι γεγονότας ἐκ προσώπου καὶ οἱονεί πως ἐξ ὀφθαλμῶν, διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ τὴν κατὰ πάντων τυραννήσασαν ἁμαρτίαν. Ἐν Χριστῷ τοιγαροῦν ἐσχήκαμεν τὴν προσαγωγὴν, καὶ τὴν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν Ἁγίων, καθάπερ ἡμῖν ὁ σοφὸς ἔφη Παῦλος. Ὥσπερ γὰρ καὶ συνεγηγέρμεθα καὶ συν-εκαθίσαμεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ, οὕτω πάλιν ἐν αὐτῷ καὶ ἐν προσώπῳ γεγόναμεν τοῦ Πατρός. Καὶ στάμνου μὲν πέρι τῆς ἱερᾶς εἰρήσθω τάδε· σημαίνει δὲ ὅτι καὶ αὐτὴ τὸν Χριστὸν ἡ ῥάβδος Ἀαρὼν, φέρε δὴ λέγωμεν, εἰ δοκεῖ. {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Κορὲ τοίνυν καὶ μέντοι καὶ Ἀβειρὼν, καὶ πρός γε τούτῳ Δαθὰν, φυλῆς τε καὶ αἵματος ἐξέφυσαν τῆς Λευΐ· συντεταγμένην


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ, φησὶ, ταῖς ἄνωθεν ψήφοις ἐν τῇ ἁγίᾳ σκηνῇ λειτουργίαν ἐγκεχειρισμένοι, τὴν Μωσέως τε καὶ Ἀαρὼν δεδιψήκασι δόξαν, ἑαυτοῖς ἁρπάζοντες τὴν τιμὴν, κεκλημένοι δὲ οὐχὶ πρὸς τοῦτο παρὰ Θεοῦ. Καὶ μὴν καὶ εἰς ἀπηνὲς ἀπογαυρούμενοι θράσος, ἐξοφρυώμενοί τε ἄγαν, φορητὴν μὲν οὐκέτι, δύσοιστον δὲ κομιδῇ κατ' ἀμφοῖν ἐποιοῦντο τὴν κατάῤῥησιν· ἀτιμαγέλαι δὲ ὥσπερ ἀπενοσφίζοντο ταῦροι, καὶ τὴν ὑπὸ Θεῷ δουλείαν ἀποσειόμενοι, συναποθρώσκειν αὐτοῖς ἑτέρους δυσσεβοῦντας ἀνέπειθον. Ἀλλ' οἱ μὲν τῶν σφίσι τετολμημένων εἰσεπράττοντο δίκας. Διοιγνῦσα γὰρ ἡ γῆ τὸ στόμα αὐτῆς, αὐτοῖς ὁμογενέσι, σκηναῖς καὶ περιουσίαις, εἰς ᾅδου καθίει τὸν ἀλαζόνα λαόν· ὅτι δὲ ψήφῳ τῇ ἄνωθεν, καὶ οὐχὶ θελήμασι τοῖς Μωσέως, τὴν προὔχουσαν ἐν ἱερωσύνῃ τάξιν Ἀαρὼν διεκληρώσατο, διατρανοῦν ἐθέλων ὁ νομοθέτης, εἰς τὸν πανάριστον ἔφη Μωσέα· «Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λάβε παρ' αὐτῶν ῥάβδον, κατ' οἴκους πατριῶν, παρὰ πάντων τῶν ἀρχόντων αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, δώδεκα ῥάβδους, καὶ ἑκάστου τὸ ὄνομα αὐτοῦ ἐπίγραψον ἐπὶ τῆς ῥάβδου. Καὶ τὸ ὄνομα Ἀαρὼν ἐπίγραψον ἐπὶ τῆς ῥάβδου Λευΐ. Ἔστι γὰρ ῥάβδος μία. Κατὰ φυλὴν οἴκου πατριῶν αὐτῶν δώ 68.673 σουσι. Καὶ θήσεις αὐτὰς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, κατέναντι τοῦ μαρτυρίου, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ. Καὶ ἔσται, ὁ ἄνθρωπος ὃν ἂν ἐκλέξωμαι αὐτὸν, ἡ ῥάβδος αὐτοῦ ἐκβλαστήσει. Καὶ περιελῶ ἀπ' ἐμοῦ τὸν γογγυσμὸν υἱῶν Ἰσραὴλ, ἃ αὐτοὶ γογγύζουσιν ἐφ' ὑμῖν. Καὶ ἐλάλησε Μωσῆς τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἔδωκαν αὐτῷ πάντες οἱ ἄρχοντες αὐτῶν ῥάβδον, τῷ ἄρχοντι τῷ ἑνὶ ῥάβδον κατ' ἄρχοντα, κατ' οἴκους πατριῶν αὐτῶν, δώδεκα ῥάβδους. Καὶ ἡ ῥάβδος Ἀαρὼν ἀναμέσον τῶν ῥάβδων αὐτῶν, καὶ ἀπέθηκε Μωσῆς τὰς ῥάβδους ἔναντι Κυρίου ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. Καὶ ἐγένετο τῇ ἐπαύριον, καὶ εἰσῆλθε Μωσῆς καὶ Ἀαρὼν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. Καὶ ἰδοὺ ἐβλάστησεν ἡ ῥάβδος Ἀαρὼν εἰς οἶκον Λευῒ, καὶ ἐξήνεγκε βλαστὸν, καὶ ἐξήνθησεν ἄνθη, καὶ ἐβλάστησε κάρυα. Καὶ ἐξήνεγκε Μωσῆς πάσας τὰς ῥάβδους ἀπὸ προσώπου Κυρίου πρὸς πάντας υἱοὺς Ἰσραήλ. Καὶ εἶδον, καὶ ἔλαβον ἕκαστος τῆν ῥάβδον αὐτοῦ. Καὶ εἶπε Κύριος πρὸς Μωσῆν· Ἀπόθες τὴν ῥάβδον Ἀαρὼν ἐνώπιον τῶν μαρτυρίων εἰς διατήρησιν, σημεῖον τοῖς υἱοῖς τῶν ἀνηκόων. Καὶ παυσάσθω ὁ γογγυσμὸς αὐτῶν ἀπ' ἐμοῦ, καὶ οὐ μὴ ἀποθάνωσι.» Σημεῖον οὖν οὐκ ἀσυμφανὲς τοῦ ἐξῃρῆσθαι λαμπρῶς καὶ ἐκκεκριμένως εἰς ἱερουργίαν, ὡς ἐξ αἵματος Λευῒ, τὸν θεσπέσιον Ἀαρὼν, τὸ ἐξανθῆσαι τὴν ῥάβδον. Περιτρεπομένης δὲ αὖθις εἰς θεωρίαν πνευματικὴν, ὡς ἐν τύποις ἔτι παχυτάτοις, τὸ Χριστοῦ μυστήριον ἀναλάμψει πάλιν. {ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Κεχειροτόνηται μὲν γὰρ νομοθέτης ἅμα καὶ ἀρχιερεὺς ἐφ' ἡμᾶς παρὰ Θεοῦ καὶ Πατρὸς ὁ Ἐμμανουὴλ, ἑαυτὸν ὑπὲρ ἡμῶν προσκομιῶν τὸ θῦμα. Ὡς γὰρ ὁ μακάριος ἔφη Παῦλος, «Ὁ μὲν νόμος διὰ Μωσέως, ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, Υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.» Οὐκοῦν καθίκετο μὲν ἐξ οὐρανοῦ ὁ Λόγος, καὶ γέγονε καθ' ἡμᾶς, τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. Ἀλλ' οὐκ ἐδόκει φρονεῖν ὀρθὰ τοῖς ἐξ αἵματος Ἰσραήλ· ἀντεξάγοντες δὲ ὥσπερ αὐτῷ τὸ ἴδιον θέλημα τοῖς ἐκ φθόνου βέλεσι πολυτρόπως ἔβαλλον, οὐ γλώττης, οὐ θράσους, οὐκ ἐκτόπων ἐπιχειρημάτων ἔτι φειδόμενοι, διολλύντες δὲ σφᾶς αὐτοὺς οἱ δείλαιοι, καὶ τελευταῖον ἐσταύρωσαν. Πλὴν ἀνέθαλλεν ἡ ῥάβδος ἡ ἐκ ῥίζης Ἰεσσαί· ἀνέφυ γὰρ δὴ καὶ ἀνεβίω Χριστὸς, λύσας τὰς ὀδύνας τοῦ θανάτου, καθὰ γέγραπται· ζωὴν γὰρ ὄντα κατὰ φύσιν, ὡς Θεὸν, πῶς ἦν εἰκὸς κρατεῖσθαι θανάτῳ, καὶ οὐχὶ δὴ μᾶλλον καταθλῆσαι φθορᾶς; Ὥσπερ δὲ τὸ ἀναφῦναι τὴν ῥάβδον, καὶ ἀναβλαστεῖν ἀδοκήτως τὸ ἀνανθὲς ἤδη ξύλον, διαρκὲς τοῖς ἀρχαιοτέροις σημεῖον ἦν τοῦ διὰ ψήφου τῆς ἄνωθεν εἰς ἀρχιερέα κεχειροτονῆσθαι τὸν Ἀαρών· οὕτω φαμὲν, ὅτι λαμπρά τε καὶ ἐναργὴς καὶ ἀποχρῶσα λίαν ἀπόδειξις τοῦ καὶ Θεὸν εἶναι κατὰ φύσιν τὸν Ἐμμανουὴλ, τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πατῆσαι θάνατον, καὶ ἀναβιῶναι θεοπρεπῶς. Καὶ γοῦν αὐτὸς ὁ Χριστὸς, καίτοι 68.676 πᾶν ὁτιοῦν τῶν ὑπέρ γε τὸ εἰκὸς καὶ λόγον ἀποπεραίνειν ἀμογητὶ καὶ εὐκόλως δυνάμενος, τοῖς τὸ σημεῖον αἰτοῦσιν ἔφασκεν· «Ἡ γενεὰ αὕτη πονηρά ἐστι· σημεῖον αἰτεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.» Οὐκοῦν διαβόητον ἀληθῶς καὶ περιφανὲς σημεῖον, καὶ ἀρκοῦν εἰς πίστιν τοῖς γε ὡς ἀληθῶς εὐγνώμοσι, τοῦ κατὰ φύσιν εἶναι Θεὸν καὶ ἐκ Θεοῦ Πατρὸς πεφυκέναι τὸν Υἱὸν, τὸ καταργῆσαι τὸν θάνατον καὶ φθορὰν, καὶ ἀναθάλαι πρὸς ζωήν. «Γέγονε γὰρ αὐτὸς ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν.» Καὶ δέδοται τὸ σημεῖον τοῖς υἱοῖς τῶν ἀνηκόων, ὡς ἂν εἰδεῖεν ὅτι ψήφῳ τοῦ Θεοῦ καὶ Πατρὸς ἀρχιερεὺς γέγονεν ἐφ' ἡμᾶς ὁ Χριστὸς, «ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος,» κατὰ τὸ γεγραμμένον. {ΠΑΛΛ.} Ἀλλ' ἐξήνθησε μὲν ἡμῖν ἡ ῥάβδος ἡ Ἀαρών· τουτὶ γὰρ ἡμῖν ἀρτίως ὁ ἱερὸς ὑπέδειξε λόγος· ἐξήνθησε δὲ κάρυα· καὶ τί δὴ τὸ αἴνιγμα, νοεῖν οὐκ ἔχω. {ΚΥΡ.} Μάλιστα μὲν, ὦ Παλλάδιε, τὸ ἀπεικὸς οὐδὲν, ἐκ καρύας εἰλῆφθαι τὴν ῥάβδον ὑπονοεῖν. Καὶ ἦν ἐν ἔθει τοῖς πάλαι τὸ καὶ τοιοῖσδέ τισιν ἀποκεχρῆσθαι σκήπτροις. Εἰ δὲ δὴ καὶ λόγον ἡμᾶς ἐφαρμόσαι δεῖ τὸν τοῖς θεωρήμασι πρέποντα, φράσαιμ' ἂν ἐκεῖνο πάλιν, ὃ ἐκτεθρύλληταί πως, δοκεῖ δὲ εἶναί τισι καὶ ὡς ἐν πίστει δεκτὸν, τὸ μὴ ἀνικάνως ἔχειν τὴν ῥάβδον τὴν καρυΐνην ἀϋπνίαν ἐμποιεῖν, εἰ πρός γε τὸ κάρα κέοιτό τινων, τάχα που δυνάμεσι φυσικαῖς ἐνεργοῦσαν τὸ χρῆμα κατὰ θέλησιν Θεοῦ. Πιστώσεται δέ πως εἰς τοῦτο ἡμᾶς καὶ αὐτὸς λέγων πρὸς Ἱερεμίαν ὁ πάντα εἰδὼς, καὶ τῶν ὅλων Δημιουργός· «Τί σὺ ὁρᾷς, Ἱερεμία; «Ὁ δὲ, Βακτηρίαν» λέγων «καρυΐνην· καὶ δὴ πρὸς τοῦτο Θεός; «Ὀρθῶς ἑώρακας,» φησὶν «ὅτι ἐγὼ ἐγρήγορα ἐπὶ τοὺς λόγους μου, τοῦ ποιῆσαι αὐτούς.» Ἀϋπνίας οὖν ἄρα σύμβολον νοοῖτ' ἂν εἰκότως ἡ ῥάβδος ἡ καρυΐνη. Γρηγόρησις δὲ ὥσπερ ἐξ ὕπνου γέγονεν ἡ ἐκ νεκρῶν ἀναβίωσις τοῦ Χριστοῦ. Τοιγάρτοι καὶ διὰ τῆς τοῦ Ψάλλοντος λύρας φησίν· «Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι Κύριος ἀντελάβετό μου.» {ΠΑΛΛ.} Ἀληθὴς ὁ λόγος. {ΚΥΡ.} Λύχνου δὲ καὶ τραπέζης πέρι, τῆς ἔν γε τῇ πρώτῃ σκηνῇ, γέγραπται πάλιν ὡδί· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λαβέτωσαν ἔλαιον καθαρὸν, κεκομμένον εἰς φῶς, καῦσαι λύχνον διαπαντὸς, ἔξωθεν τοῦ καταπετάσματος ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· καὶ καύσουσιν αὐτὸ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀπὸ ἑσπέρας ἕως πρωῒ ἐνώπιον Κυρίου ἐνδελεχῶς, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. Ἐπὶ τῆς λυχνίας τῆς καθαρᾶς καύσετε τοὺς λύχνους ἐναντίον Κυρίου ἕως εἰς τὸ πρωΐ. Καὶ λήψεσθε σεμίδαλιν, καὶ ποιήσετε αὐτὴν δώδεκα 68.677 ἄρτους. Δύο δεκάτων ἔσται ὁ ἄρτος ὁ εἷς, καὶ ἐπιθήσετε αὐτοὺς δύο θέματα, ἓξ ἄρτους τὸ ἓν θέμα ἐπὶ τὴν τράπεζαν τὴν καθαρὰν ἔναντι Κυρίου, καὶ ἐπιθήσετε ἐπὶ τὸ θέμα λίβανον καθαρὸν καὶ ἅλα, καὶ ἔσονται εἰς ἄρτους εἰς ἀνάμνησιν προκείμενα τῷ Κυρίῳ. Τῇ ἡμέρᾳ τῶν σαββάτων προθήσετε ἔναντι Κυρίου διαπαντὸς ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ, δια-θήκην αἰώνιον· καὶ ἔσται Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ φάγονται αὐτὰ ἐν τόπῳ ἁγίῳ· ἔστι γὰρ Ἅγια τῶν ἁγίων. Τοῦτο αὐτῷ ἀπὸ τῶν θυσιαζομένων τῷ Κυρίῳ, νόμιμον αἰώνιον.» Καθαρὸν οὖν τὸ ἔλαιον, καὶ μὴν καὶ ἐλάϊνον, τοῦτ' ἔστιν, ἐξ ἐλαιῶν, οὐκ ἐξ ἑτεροειδῶν σπερμάτων καὶ γεωδεστέρων, ἐξ ὧν ἔλαιον μὲν ἐθλίβετο, νόθον δὲ ὥσπερ καὶ οἱονεὶ κεκαπηλευμένον· ἀεὶ γάρ ἐστι καθαρὸν καὶ γνήσιον ἀληθῶς ἐν Ἐκκλησίαις τὸ φῶς, δῆλον δὲ ὅτι τὸ διὰ Χριστοῦ, Πνεύματι, κἂν εἰ διὰ τῆς τῶν ἁγίων διακονοῖτο φωνῆς, πρὸς οὓς ἔφη Χριστός· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.» Καὶ θαυμαστὸν οὐδέν· οὓς γὰρ ἀδελφοὺς ὠνόμασε, καὶ μετόχους ἑαυτοῦ κατεστήσατο, τούτοις ἂν εἰκότως καὶ τῶν ἰδίων ἀξιωμάτων ἐπιμερίζοι τὴν δόξαν. Καίεται δὴ οὖν ὁ λύχνος καὶ ἐν τῇ πρώτῃ σκηνῇ, καὶ διττὸν ἂν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχοι τὸ χρῆμα τὸν νοῦν· ἐν μὲν γὰρ τῇ ἐσωτέρᾳ σκηνῇ λύχνοι φαίνουσιν ἑπτὰ, ἐξαπτόμενοι τὸ πρωΐ, καὶ πλούσιον τοῖς εἰστρέχουσιν ἐνιέντες τὸ φῶς. Καὶ ἦν ἡ λυχνία Χριστὸς, ὡς ἐν τύπῳ πάλιν τοὺς εἰς τὰ Ἅγια τῶν ἁγίων εἰστρέχειν ἐθέλοντας πολλῷ καὶ ἀμφιλαφεῖ καταυγάζων φωτί· «Προσέλθετε γὰρ, φησὶ, πρὸς αὐτὸν καὶ φωτίσθητε.» Καὶ μὴν καὶ τὸ ἀνακαίεσθαι τὸ πρωῒ τοὺς λύχνους κατασημήνειεν ἂν τῆς ἐνανθρωπήσεως τὸν καιρόν. Διηύγασε γὰρ, οἷά τις ἡμέρα, καὶ φῶς ἀνέλαμψε νοητὸν, τῆς ἀρχαίας ἡμῶν ἀμαθίας ἐλαύνων τὸν σκότον, καὶ ὡς ἐν τάξει νυκτὸς, τὴν ἐπισκήψασαν ταῖς ἁπάντων καρδίαις κατασκεδαννύων ἀχλύν. Οὕτω γὰρ ἡμῖν τῆς τοῦ Σωτῆρος ἐπιδημίας τὸν καιρὸν καὶ ὁ προφήτης παρεκάλει λέγων· «Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου, τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψομαι.» Πότε γὰρ ἂν δεκταὶ γεγόνασιν αἱ ἁπάντων εὐχαὶ, καὶ οἱ πάλαι πλανώμενοι παρέστημεν οἱονεὶ τῷ Θεῷ, δι' οἰκειότητος, δηλονότι τῆς πνευματικῆς, καὶ ὑπακοῆς καὶ πίστεως, εἰ μὴ τὸ φῶς ἡμῖν ἐπέλαμψε τὸ ἐξ οὐρανοῦ, τοῦτ' ἔστι, Χριστός; Οὐκοῦν ἐν μὲν τῇ ἐσωτέρᾳ σκηνῇ πλούσιόν τε καὶ λεπτὸν τῶν ἑπτὰ λύχνων τὸ φῶς, ἐν δὲ τῇ πρώτῃ σκηνῇ λύχνος ἦν ὁ φαίνων, ἐμφαίνων τε, οἶμαι, μὴ δίχα τοῦ θείου φωτὸς, μηδὲ αὐτοὺς εἶναι τοὺς ἐν νόμῳ παιδαγωγουμένους καταδηλοῦντος τοῦ πράγματος. Ἐκάλει γὰρ ἐκ πολυθεΐας εἰς ἐπίγνωσιν τοῦ φύσει τε καὶ ἀληθῶς Θεοῦ καὶ ὁ διὰ Μωσέως νόμος, καὶ ἀφίστα μὲν τοὺς ἀρχαιοτέρους τοῦ λατρεύειν ἔτι τῇ κτίσει παρὰ τὸν Κτίσαντα, προσκεῖσθαι δὲ δεῖν ἀνέπειθε τῷ πάντων Δημιουργῷ· φωτὸς δὲ οὐ δίχα τοῦ νοητοῦ ταυτὶ ταῖς τῶν παιδαγωγουμένων κατωρθοῦτο ψυχαῖς. Οὐκοῦν, ἐρῶ γὰρ εἰσαῦθις, πλούσιος μὲν καὶ πολὺς τοῖς εἰς τὰ Ἅγια τῶν ἁγίων ὁ παρὰ Χριστοῦ φωτισμὸς, μείων δὲ τοῖς ἐν νόμῳ· καὶ ἀληθὴς ὁ λόγος 68.680 Ἰσοστατεῖ γὰρ οὐδαμῶς, εἰς λαμπρότητα τὴν πνευματικὴν, τοῖς εὐαγγελικοῖς θεσπίσμασιν, ἡ ἐν νόμῳ σκιά· τὰ μὲν γὰρ ὅλην περιαστράπτει τὴν οἰκουμένην, ἡ δὲ ἦν μόνοις γνώρισμα τοῖς ἐξ Ἰσραήλ. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἔοικε δὲ, ὦ Παλλάδιε, καὶ ἕτερόν τι παραδηλοῦν ἡ τράπεζα καὶ ὁ λύχνος, ὁ ἔν γε τῇ πρώτῃ σκηνῇ. {ΠΑΛΛ.} Τὸ τί δὴ φής; {ΚΥΡ.} Ἰωάννην τάχα που τὸν θεσπέσιον Βαπτιστὴν ὁ λύχνος, ἄρτοι δὲ οἱ δύο καὶ δέκα, τὸν τῶν ἁγίων ἡμῖν ἀποστόλων προανατυποῦσι χορόν. {ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Ἢ οὐκ οἶσθα ὅτι τοῖς ἐν νόμῳ καὶ κατὰ τὴν Ἰουδαίαν λύχνος ἦν οἷά τις, Χριστοῦ προβαδίζων ὁ θεσπέσιος Βαπτιστὴς, καὶ περὶ αὐτοῦ προαναπεφώνηκεν ὁ Θεὸς καὶ Πατήρ· «Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.» Μεμαρτύρηκε δὲ τοῦτο καὶ αὐτὸς ὁ Σωτὴρ, τοῖς τῶν Ἰουδαίων καθηγηταῖς περὶ αὐτοῦ λέγων. «Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ.» Θέα γὰρ ὅπως ὡς νομομαθὴς ὢν ὁ μακάριος Παῦλος, μονονουχὶ πρὸς ἀνάμνησιν ἀναφέρει λύχνου, τοῦ κατὰ τὴν πρώτην σκηνήν. Ἄσβεστον μὲν γὰρ ὁ νομοθέτης διατηρεῖσθαι δεῖν κεκέλευκεν οὕτω λέγων· «Καὶ καύσουσιν αὐτὸν Ἀαρὼν, καὶ οἱ υἱοὶ αὐτοῦ ἀπὸ ἑσπέρας ἕως πρωῒ ἐνώπιον Κυρίου ἐνδελεχῶς.» Χρόνον γε μὴν ἐπ' αὐτῷ κομιδῇ βραχὺν ἡσθέντες Ἰουδαῖοι, διά γε τὸ προσδραμεῖν τῷ δι' αὐτοῦ βαπτίσματι, καὶ θαῦμα ἑλεῖν ἐπ' αὐτῷ πολὺ, κατεκοίμισαν τῷ θανάτῳ μονονουχὶ τὸν ἀειφανῆ λύχνον κατασβεννύοντες. Εἰ γὰρ καὶ Ἡρώδου τὸ τόλμημα λέγοιτο τυχὸν, ἀλλ' οὖν ὄντος ἐξ αἵματος Ἰσραήλ· διὰ τοῦτο Χριστὸς τοῖς Ἰουδαίων λαοῖς τὸ κατὰ παντὸς ἁγίου θράσος ἐγκαλῶν, «Οὐκ ἐνδέχεται,» φησὶ, «προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ.» {ΠΑΛΛ.} Φῶς οὖν ἄρα καὶ λύχνος, καθ' ὁμοιότητα καὶ κατὰ μέθεξιν τοῦ Χριστοῦ, καὶ ὁ θεσπέσιος Βαπτιστὴς τοῖς ἐν νόμῳ κατὰ τὴν Ἰουδαίαν. {ΚΥΡ.} Οὕτω φημί. Κατὰ τὸν ἴσον δὲ τρόπον ἄρτους νοεῖσθαί φαμεν τοὺς ἁγίους ἀποστόλους. Εἷς μὲν γὰρ ὁ φύσει τε καὶ ἀληθῶς ἄρτος ὁ ἐξ οὐρανοῦ καὶ ζωοποιός· κατὰ μίμησιν δὲ τοῦ φύσει καὶ κατὰ μέθεξιν ἄρτοι τρέφοντες εἰς εὐσέβειαν οἱ θεῖοι μυσταγωγοὶ, λόγους ἡμῖν ἐνιέντες ζωῆς, καὶ τὸν ἐκ τῆς ἀμαθίας λιμὸν, τῆς τῶν πιστευόντων ἐξιστάντες ψυχῆς. Ἰσάριθμοι δὲ τοῖς μαθηταῖς, οἱ ἄρτοι·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυοκαίδεκα γὰρ, καὶ εἰς δύο κείμενοι θέματα, ἓξ ἔνθεν, φησὶ, καὶ ἓξ ἔνθεν, μονονουχὶ καὶ ἐν κύκλῳ περιεστῶτες, καὶ ἐν μέσῳ τόπῳ κείμενον ἔχοντες ἕνα τε καὶ ἐξ οὐρανοῦ, τοῦτ' ἔστι, Χριστόν· καὶ δύο δεκάτων ἕκαστος, τοῦτ' ἔστιν, ἐκ δύο μέτρων τελείων. Τέλειοι γὰρ κατ' ἄμφω γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, πρὸς πᾶν ὁτιοῦν ἀρτίως ἔχοντες ἀγαθὸν, ἔργῳ τε διαπρεπεῖς καὶ λόγῳ. 68.681 Λίβανος δὲ καὶ ἅλας αὐτοῖς τὰ ἐπιπαττόμενα, τοῦ μὲν λιβάνου τὸ εὐῶδες ἐν ἁγιασμῷ, καὶ εὐωδίᾳ Χριστοῦ, τοῦ γε μὴν ἁλὸς, τὴν φρόνησιν ὑπεμφαίνοντος. Οὐ γὰρ ἀσύνετος ἢ μωρὸς τῶν ἁγίων ὁ λόγος, ἀλλ' ἐν χάριτί τε καὶ ἅλατι ἠρτυμένος, κατὰ τὸ γεγραμμένον, καὶ χάριν διδοὺς τοῖς ἀκούουσιν. Εἴρηται δὲ πρὸς αὐτοὺς καὶ παρὰ Χριστοῦ· «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς.» Προτίθενται δὲ καὶ ἐν ἡμέρᾳ Σαββάτων. Ἡμέρα γὰρ ἀναδείξεως τῶν ἁγίων ἀποστόλων, ὁ τοῦ νοητοῦ Σαββάτου καιρὸς, τοῦτ' ἔστιν, ἡ Χριστοῦ παρουσία, ἣν ἐπείπερ οὐκ ἔγνωσαν οἱ ἐξ Ἰσραὴλ, ὁ Παῦλός φησι περὶ αὐτῶν, «Ἄρα ἀπο-λείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ.» Οὐ γὰρ εἰσῆλθον εἰς τὴν κατάπαυσιν αὐτοῦ, τὴν πίστιν οὐ προσηκάμενοι. Σαββατισμὸς οὖν νοητὸς καὶ ἀληθὴς, ὁ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας καιρός. Ἐν ὀφθαλμοῖς δὲ Θεοῦ τῶν ἄρτων ἡ πρόθεσις, καὶ μὴν καὶ ἐν ὀφθαλμοῖς Ἰσραήλ. «Προθήσετε γὰρ, φησὶ, τῇ ἡμέρᾳ τῶν Σαββάτων ἔναντι Κυρίου διὰ παντὸς, παρὰ τῶν υἱῶν Ἰσραήλ·» θεωμένου καὶ διηνεκῶς ἀξιοῦντος τοὺς ἁγίους ἐπισκοπῆς. «Ὀφθαλμοὶ γὰρ Κυρίου ἐπὶ δικαίους,» φησί. Τοῦ δὲ Ἰσραὴλ, ὡς προσέχειν αὐτοῖς ὀφείλοντος, καὶ οἱονεί πως ἐφιστῶντος τῆς διανοίας τὸν ὀφθαλμὸν, οὗ καὶ εἰς τύπον ἂν εἴη ὁ σωματικός. «Ἀλλ' ἔσται, φησὶν, Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ φάγονται αὐτά.» Πρόκειται γὰρ ἡμῖν εἰς τροφὴν τὰ τῶν ἁγίων ἀποστόλων συγγράμματα, τοῖς ἐν πίστει δεδικαιωμένοις, ἁγίῳ τε καὶ ἱερῷ γένει, λαοῖς τοῖς εἰς περιποίησιν, καὶ ἐξειλεγμένοις, καὶ τῇ τοῦ ἁγίου Πνεύματος χάριτι κατακεχρισμένοις. {ΠΑΛΛ.} Εὖ ἔφης· συναινέσαιμι γὰρ ἄν. Ἀλλὰ τοῦ δὴ χάριν, οὐκ ἐν τοῖς Ἁγίοις τῶν ἁγίων, ἀλλ' ἐν τῇ πρώτῃ σκηνῇ τοῦ ἁγίου Βαπτιστοῦ, καὶ τῶν ἁγίων ἀποστόλων οἱ τύποι; {ΚΥΡ.} Πρῶτον μὲν ὅτι πολὺ τὸ μεσολαβοῦν, καὶ οὐκ ἐν οἷς ὁ Χριστὸς, καὶ τὰ τῶν ἁγίων κείσεται, ἀλλ' οἱονεί πως ἔξω καὶ ἐν μείοσιν. Ἐξῄρηται γὰρ καὶ ἀνὰ μέρος ἐστὶ τὰ τοῦ Θεοῦ, καὶ πολὺς τὰ ἀνθρώπινα διατειχίζει λόγος, ἀσύγκριτον ἐπιδεικνὺς τὴν τῶν φύσεων ἰδιότητα, καὶ τὴν τῆς εὐκλείας διαφοράν. Εἶτα ὅτι γεγόνασιν ἐξ Ἰουδαίων καὶ τῆς κατὰ νόμον λατρείας. Ταύτῃ τοι τόπος ὥσπερ αὐτοῖς ὁ πρέπων ἡ πρώτη σκηνὴ, ἐν ᾗ τὸ ἐν τύποις ἔκειτο τῶν καρπωμάτων θυσιαστήριον· ἢ οὐκ ἐξ αἵματος Ἰσραὴλ καὶ ἀπὸ σκηνῆς ὥσπερ τῆς πρώτης, ἡ τῶν ἁγίων μαθητῶν γέγονε κλῆσις; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Ἔχοντος δὴ οὖν ἀποχρώντως ἡμῖν εὖ μάλα τοῦ περὶ τούτων λόγου, παροιστέον, εἰ δοκεῖ, τὴν τοῦ θεσπεσίου Παύλου φωνὴν, διατρανοῦσαν ἀστείως, τὸ ἐπί γε τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ σκηνῇ μαρτύριον. Γράφει δὲ ὧδε· «Τούτων δὲ οὕτω κατεσκευασμένων 68.684 εἰς μὲν τὴν πρώτην σκηνὴν, διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες. Εἰς δὲ τὴν δευτέραν, ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, τοῦτο δηλοῦντος τοῦ ἁγίου Πνεύματος, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν. Ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα, μόνον ἐπὶ βρώμασι καὶ πόμασι καὶ διαφόροις βαπτισμοῖς δικαιώματα σαρκὸς μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, τοῦτ' ἔστιν, οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς Ἅγια τῶν ἁγίων αἰωνίαν λύτρωσιν εὑράμενος.» Συνίης οὖν ὅτι τὰς μὲν ἐν τῇ πρώτῃ σκηνῇ λατρείας ἐπετέλουν οἱ ἱερεῖς, τὴν εἰς Ἅγια τῶν ἁγίων εἰσδρομὴν οὐκ ἔχοντες. Τοιάδε γάρ πώς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστιν ἡ κατὰ νόμον λατρεία, στάσιν ἔχουσα τὴν ἐν σκιαῖς. Εἰκαῖα δὲ ταῦτα πρὸς κάθαρσιν καὶ ἀπόπλυσιν ἁμαρτίας. Διεπύθου γὰρ ἀρτίως βοῶντος τοῦ Παύλου, ὡς ἀνικάνως ἔχουσι κατὰ συνείδησιν, τελειῶσαι τὸν λατρεύοντα. Διετηρεῖτο δὲ μᾶλλον μέχρι καιροῦ διορθώσεως, δῆλον δὲ ὅτι τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς, ὅτε τῶν τύπων τὸ ἀκαλλὲς μετακεχώρηκεν εἰς ἀλήθειαν. «Ἅπαξ δὲ τοῦ ἐνιαυτοῦ καὶ μόνος ὁ ἀρχιερεὺς εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσέθει. Καὶ οὐ χωρὶς αἵματος, ὃ προσῆγεν ὑπέρ τε ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.» Σαφηνιεῖ δὲ ἡμῖν καὶ τοῦτο πάλιν ὁ σοφώτατος Παῦλος ὡδὶ λέγων περὶ Χριστοῦ, «Ἀνώτερον λέγων, ὅτι θυσίας καὶ προσφορὰς καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὔτε ηὐδόκησας, αἵτινες κατὰ νόμον προσφέρονται. Τότε εἶπον, Ἰδοὺ ἥκω τοῦ ποιῆσαι τὸ θέλημά σου·» ἀναιρεῖ τὸ πρῶτον ἵνα τὸ δεύτερον στήσῃ· «Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν, διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ· καὶ πᾶς μὲν ἀρχιερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας, οὐδεμίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ· τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.» Ἅπαξ γὰρ ἀποθανὼν, οὐκέτι ἀποθνήσκει, κατὰ τὸ γεγραμμένον· πολλῶν δὲ ἀνενεγκὼν ἁμαρτίας, εἰσῆλθεν εἰς τὰ Ἅγια τῶν ἁγίων, τοῦτ' ἔστιν, εἰς τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. {ΠΑΛΛ.} Σαφὴς ὁ λόγος· ἱδρῶτα δὴ οὖν τὸν ἐπὶ τῷδε μέθες, αἷμα δὲ ποῖον ἂν εἴη πάλιν ὃ καὶ προσκομίζειν ἔθος, τὸν τῶν ἱερῶν ἡγούμενον ὑπέρ τε ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἐρομένῳ φράσον. 68.685 {ΚΥΡ.} Νομομαθὴς ὢν ὁ Παῦλος καὶ ἠκριβωκὼς ὅτι μάλιστά γε τὴν διὰ Μωσέως ἐντολήν, ὡς σοφοῖς τὰ τοιαῦτα τοῖς Ἑβραίων λαοῖς, καὶ ἀνεγνωκόσι τὸν νόμον, περὶ τῶν οὕτω σεπτῶν τε καὶ ἀποῤῥήτων ἄγαν, οὐκ ἐν πλάτει διηγημάτων, ἐν παραδρομῇ δὲ μᾶλλον καὶ ἀναμνήσει τῶν ἤδη προεγνωσμένων, τὰ τοιάδε προσλαλεῖ. Παροίσω δὲ, εἰ δοκεῖ, καὶ τὸν ἐπὶ τῷδε νόμον χρηστομαθεῖν ᾑρημένῳ, καὶ τὸ ἀκριβὲς δὴ λίαν καὶ ἀπεξεσμένον εἰς διασάφησιν τῶν θεωρημάτων εὖ μάλα δεδιψηκότι. Γέγραπται τοίνυν ἐν τῷ Λευιτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Λάλησον πρὸς τοὺς υἱοὺς Ἰσραήλ· Ψυχὴ, ἐὰν ἁμάρτῃ ἐναντίον Κυρίου ἀκουσίως ἀπὸ πάντων τῶν προσταγμάτων Κυρίου, ὧν οὐ δεῖ ποιεῖν, καὶ ποιήσῃ ἕν τι ἀπ' αὐτῶν, ἐὰν μὲν ὁ ἀρχιερεὺς ὁ κεχρισμένος ἁμάρτῃ, τοῦ τὸν λαὸν ἁμαρτεῖν, προσάξει περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, μόσχον ἐκ βοῶν ἄμωμον τῷ Κυρίῳ περὶ τῆς ἁμαρτίας, καὶ προσάξει τὸν μόσχον παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυρίου, καὶ σφάξει τὸν μόσχον ἐνώπιον Κυρίου. Καὶ λαβὼν ὁ ἱερεὺς ὁ χριστὸς ὁ τετελειωμένος τὰς χεῖρας ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, εἰσοίσει αὐτὸ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον εἰς τὸ αἷμα, καὶ προσρανεῖ ἀπὸ τοῦ αἵματος ἑπτάκις ἔναντι Κυρίου, κατὰ τὸ καταπέτασμα τὸ ἅγιον. Καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τοῦ θυμιάματος τῆς συνθέσεως τοῦ ἐναντίον Κυρίου, ὅ ἐστὶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ πᾶν τὸ αἷμα τοῦ μόσχου ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, ὅς ἐστὶ παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ πᾶν τὸ στέαρ τοῦ μόσχου τοῦ τῆς ἁμαρτίας περιελεῖ ἀπ' αὐτοῦ, τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐνδόσθια, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐνδοσθίων, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, ὅ ἐστιν ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ αὐτὸ, ὃν τρόπον ἀφαιρεῖται αὐτὸ ἀπὸ τοῦ μόσχου τοῦ τῆς θυσίας τοῦ σωτηρίου, καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον τῆς καρπώσεως καὶ τὸ δέρμα τοῦ μόσχου, καὶ πᾶσαν αὐτοῦ τὴν σάρκα σὺν τῇ κεφαλῇ καὶ τοῖς ἀκρωτηρίοις, καὶ τῇ κοιλίᾳ, καὶ τῇ κόπρῳ· καὶ ἐξοίσουσιν ὅλον τὸν μόσχον ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρὸν, οὗ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκχεοῦσι τὴν σποδιάν. Καὶ κατακαύσουσιν αὐτὸν ἐπὶ ξύλων ἐν πυρί· ἐπὶ τῆς ἐκχύσεως τῆς σποδιᾶς καυθήσεται.» Ταυτὶ μὲν ὁ νόμος γενέσθαι προστέταχεν, εἰ τῶν ἐξ ἀγνοίας πταισμάτων καταγράφοιτό τι τοῦ προΰχοντος ἐν ἱερωσύνῃ. Χρῆναι δέ φησι καὶ ὑπὲρ τῶν τοῦ λαοῦ ἀγνοημάτων ἐπιτελεῖσθαι θυσίαν μόσχου προσκομιζομένου σφαζομένου τε οὕτως παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυρίου, καὶ τῶν πρεσβυτέρων τῆς Συναγωγῆς ἐπιθέντων αὐτῷ τὰς χεῖρας, εἰσφερομένου τε τοῦ αἵματος εἰς τὰ Ἅγια τῶν ἁγίων, καὶ ἁπαξαπλῶς εἰπεῖν πάντων ἐπιτελουμένων ἐπ' αὐτῷ καθ' ὁμοιότητα τῆς θυσίας ὑπὲρ Ἀαρών. Ἀλλ' ὅτι μὲν δὴ καὶ ἱερέων καὶ λαοῦ κάθαρσις ὁ Χριστὸς, δεδικαιώμεθα γὰρ ἐν αὐτῷ τὸν ἐκ τῆς ἁμαρτίας ἀπο 68.688 τριβόμενοι μολυσμὸν, καὶ διὰ τούτων ἂν γένοιτο παντί τῳ σαφές. Λέγωμεν δὲ ἀνὰ μέρος τὰ ἐφ' ἑκάστῳ τῶν γεγραμμένων· προήκοι γὰρ ἂν εὐκρινῶς ὁ λόγος καὶ διαπτύσσων, ὡς ἔνι, τὰ κεκρυμμένα. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Λαμβάνεται τοίνυν ὁ μόσχος ἀμώμητός τε καὶ ἀπλὴξ εἰς τύπον Χριστοῦ τοῦ ἀληθῶς ἀμώμου, καὶ τὸν ἐκ τῆς ἁμαρτίας τραυματισμὸν οὐκ ἀνασχομένου παθεῖν. «Ἔρχεται γὰρ, φησὶν, ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν·» οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, κατὰ τὰς Γραφάς. Προσάγεται δὲ πρὸς αὐταῖς τῆς ἁγίας σκηνῆς ταῖς θύραις ἔναντι Κυρίου, τὸ παθεῖν ὥσπερ οὐ παραιτούμενος, ὑπέρ γε τῆς ἁγίας σκηνῆς, τοῦτ' ἔστι, τῆς Ἐκκλησίας, ἀνατεθειμένος τε ὑπὲρ αὐτῆς εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί. Τοιγάρτοι καὶ ἔφασκεν, «Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν.» Τὸ, ἁγιάζω, λέγων, ἀντὶ τοῦ, προσάγω, καὶ ἀνατίθημι προσφορὰν ἀμώμητον τῷ Θεῷ καὶ Πατρί. Ἁγιάζεσθαι γὰρ λέγεται τὸ ἀνατιθέ-μενον τῷ Θεῷ, κατ' ἐκεῖνό που τὸ γεγραμμένον· «Παγὶς ἀνδρὶ, ταχύ τι τῶν ἰδίων ἁγιάσαι· μετὰ γὰρ τὸ εὔξασθαι, μετανοεῖν γίνεται.» Ὅτι δὲ ἡ προσφορὰ δεκτὴ καὶ εὐάρεστος, δηλοῖ τὸ, «Ἔναντι Κυρίου.» Νοοῦμεν γὰρ ἤδη τὸ γεγραμμένον ἐπὶ τῆς τῶν ἀδελφῶν ξυνωρίδος, Καΐν τέ φημι καὶ Ἀβέλ. «Ἐπεῖδε μὲν γὰρ, φησὶν, ὁ Θεὸς ἐπὶ Ἀβέλ τε καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Καΐν καὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν·» ἐφορᾷ γὰρ ὅτι τὸ ἁνδάνον αὐτῷ, καὶ ἀποστρέφεται μισῶν τὸ μὴ οὕτως ἔχον, οὐκ ἀσυμφανές. Ἐπιτιθεμένων δὲ τῷ μόσχῳ τῶν χειρῶν τοῦ διημαρτηκότος, ἡ σφαγὴ πράττεται· καὶ ἐνώπιον Κυρίου. «Αὐτὸς γὰρ ἡμῶν αἴρει τὰς ἁμαρτίας, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται» σφαζόμενος. Ἔργου γὰρ δὴ καὶ πράξεων, ἡ χεὶρ, εἰς τύπον. Πλὴν, ἐνώπιον Κυρίου σφάζεται, μονονουχὶ καὶ συγκαταβαίνοντος τοῦ Πατρὸς εἰς τὸ δεῖν ὑπὲρ ἡμῶν ἐκτεθνάναι τὸν Υἱόν· οὐ γὰρ ἀποστρέφεται σφαζόμενον βλέπων, καὶ οὐ δή που πάντως τὸ παθεῖν ἐπαινῶν, οὐκ ἠγνοηκὼς δὲ ὅτι σωτήριόν ἐστι τῷ κόσμῳ τὸ παθεῖν ὑπὲρ ἡμῶν τὸν Ἐμμανουήλ. Οὐκοῦν αὐτὸς ἡμῶν αἴρει τὰς ἁμαρτίας, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται, τὴν ἐπὶ τῷ τιμίῳ σταυρῷ δι' ἡμᾶς ὑπομένων σφαγήν. Εἶτα λαβὼν ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τῷ δακτύλῳ, ῥανεῖ μὲν ἑπτάκις ἐπὶ τὸ καταπέτασμα τὸ ἅγιον, ὃ ἦν ἐπὶ τῆς κιβωτοῦ. Ὄνομα δὲ αὐτῷ, τὸ ἱλαστήριον. Καταχρίει δὲ καὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. Γέγονε γὰρ ἡμῖν ἱλασμός τε καὶ ἱλαστήριον, ὁ Χριστός. Πλὴν, ἐν αἵματι διαθήκης αἰωνίου, τελεωτάτην ἡμῖν δωρεῖται τὴν ἀποκάθαρσιν. Τοῦτο γὰρ, οἶμαι, ἐστὶ, τὸ ἑπτάκις ῥαίνεσθαι τῷ αἵματι τὸ ἱλαστήριον· σύμβολον δὲ τελειότητος, ὁ ἑπτὰ ἀριθμός. Εὐωδιάζει γὰρ αὐτοῦ καὶ ὁ θάνατος τὴν τοῦ κόσμου σωτηρίαν καὶ ζωὴν καὶ τὴν ἐν πίστει προσαγωγήν· «Εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι,» κατὰ τὰς Γραφάς. Οὐκοῦν τοῦ θανάτου τὴν εὐωδίαν δηλοῖ τὸ καταχρίεσθαι τῷ αἵματι τὸ χρυσοῦν θυμιατήριον. Ἐκχεῖται δὲ καὶ τὸ αἷμα τὸ λοιπὸν παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν καρπω 68.689 μάτων ἐν τῇ πρώτῃ σκηνῇ· καὶ ψυχῆς μὲν εἰς τύπον τὸ αἷμα. Τέθεικε δὲ τὴν ψυχὴν ὁ Ἐμμανουὴλ, οὐχ ὑπέρ γε μόνης τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐν νόμῳ, τουτέστι, τοῦ Ἰσραήλ, ἐκλελυτρώμεθα γὰρ τῷ αἵματι τοῦ Χριστοῦ συλλήβδην ἅπαντες, Ἕλληνές τε καὶ Ἰουδαῖοι, καὶ μαρτυρήσει λέγων ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Παῦλος· «Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν· εἴπερ εἷς ὁ Θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ πίστεως.» Ὑφαιρομένων δὲ ἀπ' αὐτῶν τῶν ἐντοσθίων τοῦ μόσχου καὶ ἀναφερομένων εἰς τὸ θυσιαστήριον, ἔξω τῆς παρεμβολῆς τὸ ἐπίλοιπον καταπίμπραται σῶμα. Ἔστι γὰρ αὐτὸς τὸ θῦμα τὸ ἱερὸν, εὐωδιάζων ἐν ἀρεταῖς, ὧν εἶεν ἂν τύποι τὰ ἐντόσθια, καὶ κεκρυμμέναι οἱονεί πως ἐν ἡμῖν αἱ ἀρεταὶ, καὶ εἰς νοῦν ἔσω κείμεναι· αὐτὸς καὶ ὁ πάσχων ἔξω τῆς πύλης, καὶ τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς ἐκκαθαίρων τοὺς μεμολυσμένους· «Δαμάλεως γὰρ σποδὸς ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει, φησὶ, πρὸς τὴν τῆς σαρκὸς καθαρότητα.» Οὐκοῦν εἷς καὶ ὁ αὐτὸς ὑπάρχων ὁ Ἐμμανουὴλ, καὶ ἐν ταῖς ἁγίαις εὐωδιάζει σκηναῖς, φημὶ δὴ ταῖς Ἐκκλησίαις· πέπονθε δὲ καὶ ἔξω τῆς πύλης· ἔνθα καὶ ἡμᾶς ἐξιέναι δεῖν τὸν ὀνειδισμὸν αὐτοῦ φέροντας, ὁ θεσπέσιος ἔφη Παῦλος. Προσάγεται δὲ ὁ μόσχος καὶ ὑπὲρ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἐν ἴσῳ τε καὶ ἀπαραλλάκτως· καὶ λόγος ἦν τῆς θυσίας ἐν ἅπασιν ὁ αὐτός. Ἐν ἴσῳ γὰρ τρόπῳ προσκεκόμικεν ἑαυτὸν ὑπέρ τε μικρῶν καὶ μεγάλων, λαοῦ τε καὶ ἱερέων ὁ Ἐμμανουήλ. Ἦ οὐκ ἀληθὲς ὅ φημι; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Βούλει δὴ οὖν ὥσπερ ἀνόπιν τὸν λόγον ἀνασειράζοντες, πρὸς τὰ ἐπὶ τῇ σκηνῇ διηγήματα μετατρεπώμεθα. {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Συμπεπερασμένων τοιγαροῦν τῶν ἔργων ἁπάντων, καὶ ἐν τόπῳ τῷ ἑκάστῳ πρεπωδεστάτῳ τῶν ἱερῶν σκευῶν εὖ μάλα συντεθειμένων, ἁγιάζεσθαι δεῖν αὐτά τε καὶ τὴν σκηνὴν διετύπου Θεὸς, οὕτω λέγων τῷ θεσπεσίῳ Μωσῇ· «Καὶ λήψῃ τὸ ἔλαιον τοῦ χρίσματος, καὶ χρίσεις τὴν σκηνὴν, καὶ πάντα τὰ ἐν αὐτῇ, καὶ ἁγιάσεις αὐτὴν, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ ἔσται ἅγια. Καὶ χρίσεις τὸ θυσιαστήριον τῶν καρπωμάτων, καὶ πάντα τὰ ἐν αὐτῷ σκεύη, καὶ ἁγιάσεις τὸ θυσιαστήριον, καὶ ἔσται τὸ θυσιαστήριον Ἅγιον ἁγίων.» Ἐλαίῳ δὴ οὖν τῷ ἁγίῳ κα-ταχριουμένην ὁρᾷς τήν τε κιβωτὸν, καὶ μέντοι τὴν τράπεζαν, καὶ τὴν λυχνίαν ἐπ' αὐτῇ, καὶ τὸ χρυσοῦν ἔτι θυμιατήριον· καί τοι γὰρ πάντων μακρὸς ἡμῖν διεσάφησεν ἤδη λόγος ἀνατυπούμενον τὸν Ἐμμανουήλ. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Σύνες δὴ οὖν ἄρα τὸ διὰ φωνῆς τοῦ Δαβὶδ, ὡς πρὸς αὐτὸν ὑμνούμενον· «Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν. Διὰ τοῦτο ἔχρισέ σε Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.» Γράφει δὲ καὶ ὁ Παῦλος, «ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες.» Ἰστέον δὲ, ὅτι κατὰ τὸν ἀμωμήτως ἔχοντα λόγον, αὐτὸς ὑπάρχων ὁ 68.692 τοῖς ἄλλοις ἅπασιν ἁγιασμοῦ χορηγὸς καὶ συνδοτὴρ, ὡς Θεὸς, τῷ Θεῷ καὶ Πατρὶ, μεθ' ἡμῶν ἁγιάζεται κατὰ τὸ ἀνθρώπινον· καὶ τοῦτό ἐστιν ἡ λεγομένη κένωσις. Ὁ γὰρ ἅγιος κατὰ φύσιν ὡς Θεὸς, δεδεῆσθαι λέγεται τοῦ ἁγιάζοντος Θεοῦ· καὶ τοῦτό φησιν ὁ μακάριος Πέτρος· «Ἵνα τὸν ἀπὸ Ναζαρὲτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ.» Οὐκοῦν περὶ τὸ ἀνθρώπινον ἡ χρίσις, καὶ τῆς σαρκὸς ὁ ἁγιασμὸς, τῆς οὐ κατὰ φύσιν ἁγίας, ἀλλ' ὡς ἐν μεθέξει τῇ παρὰ Θεοῦ· θύραθεν γὰρ τοῖς κτίσμασιν ὁ ἁγιασμὸς, καὶ εἰσποιητῶς παρὰ Θεοῦ καταπλουτοῦσι τὴν χάριν. Χρίεται δὲ τοῖς ἄλλοις ὁμοῦ, καὶ τῆς κατὰ νόμον λατρείας τὸ θυσιαστήριον. Ἅγιος γὰρ καὶ ὁ νόμος, καλῶν εἰς ἐπίγνωσιν τοῦ κατὰ φύσιν Θεοῦ, καὶ δικαιοσύνης εἴδησιν τοῖς ἀκροωμένοις ἐντιθεὶς, καὶ εἰς ἀρχὰς ἀγαθότητος ἀποφέρων τοὺς παιδευομένους· «Ἀρχὴ γὰρ, φησὶν, ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια.» Γράφει δέ που καὶ ὁ θεσπέσιος Παῦλος, «Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία καὶ ἀγαθή.» Ἅγιος δὲ ἁγίων ὁ νόμος, οὐ κατά γε τὴν σκιὰν, ἀλλ' ὅτι πρὸς θεωρίαν εἰ μετατρέποιτο τὴν πνευματικὴν, αὐτὸν ἡμῖν οἱ τύποι διακεκράγασι τὸν Χριστὸν, τὸν Ἅγιον ἁγίων ἀληθῶς· ἁγιάζει γὰρ ὡς Θεὸς τῷ ἰδίῳ καταχρίων πνεύματι τοὺς ἐν μεθέξει γεγονότας αὐτοῦ διὰ τῆς πίστεως. Ἐγηγερμένης δὲ δὴ, καὶ μὴν καὶ ἐλαίῳ τῷ ἁγίῳ κατακεχρισμένης τῆς ἁγίας σκηνῆς, τὸ μετὰ τοῦτο λέγωμεν, εἰ δοκεῖ. {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Γέγραπται τοίνυν ὡδί· «Καὶ συνετέλεσε Μωσῆς πάντα τὰ ἔργα, καὶ συνεκάλυψεν ἡ νεφέλη τὴν σκηνὴν τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μαρτυρίου, καὶ δόξης Κυρίου ἐπληρώθη ἡ σκηνή. Καὶ οὐκ ἠδυνήθη Μωσῆς εἰσελθεῖν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ὅτι ἐπεσκίαζεν ἐπ' αὐτὴν ἡ νεφέλη, καὶ δόξης Κυρίου ἐπλήσθη ἡ σκηνή. Ἡνίκα δὲ ἀνέβη ἀπὸ τῆς σκηνῆς, ἀνεζεύγνυσαν οἱ υἱοὶ Ἰσραὴλ σὺν τῇ ἀπαρτίᾳ αὐτῶν· εἰ δὲ μὴ ἀνέβη ἡ νεφέλη, οὐκ ἀνεζεύγνυσαν ἕως τῆς ἡμέρας, ἧς ἀνέβη ἡ νεφέλη· νεφέλη γὰρ ἦν ἐπὶ τῆς σκηνῆς ἡμέρας, καὶ πῦρ ἦν ἐπ' αὐτῆς νυκτὸς, ἐναντίον παντὸς Ἰσραὴλ, ἐν πάσαις ταῖς ἀναζυγαῖς αὐτῶν.» Ἀναδεδειγμένης γὰρ ἐν κόσμῳ τῆς ἁγίας καὶ ἀληθεστέρας σκηνῆς, τοῦτ' ἔστι, τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, φῶς περιελάμπετο Χριστοῦ, καὶ ἡ νεφέλη ὥσπερ τις πνευματικὴ δρόσος ἡμᾶς τοῖς ἄνωθεν πλουσίως καταπιαίνουσα, τὸν θεῖον ναὸν ἀναπίμπλησι. Πλὴν, οὐκ ἠδυνήθη, φησὶν, εἰσελθεῖν ὁ Μωσῆς, οὐ γὰρ εἰσβέβηκεν ὁ Ἰσραὴλ, τὴν τοῦ θείου φωτὸς προσβολὴν ἐνεγκεῖν οὐ δυνάμενος, ἐπείτοι οὐδὲ συνῆκε τὸ Χριστοῦ μυστήριον, ἀλλ' οὐδὲ προσήκατο τὸν ἐν πνεύματι φωτισμὸν, οὐδὲ τεθέαται τοῖς τῆς διανοίας ὄμμασι τὴν δόξαν Κυρίου, ᾧ καὶ ὡς ἐν τύπῳ νεφέλης, ἀπαίροντι μὲν τοῦ κόσμου καὶ πρὸς τὰ ἄνω βαδίζοντι, συναπαίρομεν κατ' ἴχνος ἰόντες τὸ δεσποτικὸν ἐνεκαίνισε γὰρ ἡμῖν τὴν πρόσφατόν τε καὶ ζῶσαν ὁδὸν, τὴν εἰς τὰ ἄνω φημὶ καὶ ἐν οὐρανῷ, ἀναπαυομένῳ δὲ ὥσπερ 68.693 καὶ καταλύοντι, συναναπαυόμεθα καὶ συγκαταλύσομεν. Ἀπαιρούσῃ δὲ τῇ νεφέλῃ, συναπῆρεν ὁ λαός· καὶ καταλυούσης, συγκατηυλίζετο· «Νεφέλη γὰρ ἦν, φησὶν, ἐπὶ τῆς σκηνῆς τὴν ἡμέραν, καὶ πῦρ τὴν νύκτα.» Καταπιαίνει μὲν γὰρ ὁ Χριστὸς χαρίσμασι τοῖς πνευματικοῖς, τοὺς ὥσπερ ἐν ἡμέρᾳ καὶ φωτὶ γεγονότας, διά γε τοῦ τὴν ἐπ' αὐτῷ γνῶσιν λεπτῶς τε καὶ ἐξητασμένως ἑλεῖν, καὶ ἐκλελαμπρύνθαι τὸν νοῦν· καταφωτίζει δὲ τοὺς ἀμαθεστέρους ἔτι. Σκότος δὲ ὅλως κοσμικῆς ἀπάτης οὐκ ἔστιν ἐν Ἐκ-κλησίαις, περιαστράπτοντος αὐτὰς τοῦ Χριστοῦ, καὶ νοητῷ φωτὶ τὰ σύμπαντα καταυγάζοντος· οὐ γάρ ἐσμεν νυκτὸς, οὐδὲ σκότους, ἀλλ' υἱοὶ φωτὸς καὶ ἡμέρας, κατὰ τὸ γεγραμμένον. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Προσθέντες δὲ τούτοις, καὶ οὐκ ἐν μήκει λόγων, τοὺς ἐπί γε τῇ σκηνῇ νόμους, τάς τε τῶν λαῶν δωροφορίας, καὶ μὴν καὶ ἀπάρσεις καὶ συναυλισμοὺς, ἀφηγησόμεθα· ἴοι γὰρ ἂν οὕτω πρὸς οἶμον ὀρθὴν ὁ λόγος. {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Δεδικαίωκε τοίνυν ὁ νομοθέτης καὶ κριτὴς ἐν μόνῃ δὴ χρῆναι τῇ ἁγίᾳ σκηνῇ τὰς θυσίας ἐπιτελεῖν, τοὺς εἴπερ ἂν ἕλοιντο τοῦτο δρᾷν, ἀφιστὰς, οἶμαί που, τῆς ἑώλου ψευδολατρείας, τῆς ἐν Αἰγύπτῳ φημὶ, ἔνθα πολὺς μὲν ὁ τῶν εἰδώλων ἐμπαιγμὸς, θεῶν τε τῶν ψευδωνύμων ἡ ἀκαλλεστάτη πληθὺς, οὐδὲ αὐτοῖς τάχα που τοῖς προσκυνεῖν ᾑρημένοις γνωρίζεσθαι δυναμένη· ἀνεῖται δὲ καὶ τὸ θύειν, ὥσπερ ἂν ἕλοιτό τις, κατά γε τὸ ὑπό του τῶν παρ' Ἕλλησι σοφῶν ἀτημελῶς εἰρημένον, ἄλλος δ' ἄλλῳ ἔρεζε θεῶν. Ἀφιστὰς οὖν τῆς οὕτω ψυχρᾶς τε καὶ βεβήλου τριβῆς καὶ συνηθείας ἀλογωτάτης, ἔφη πάλιν ἐν τῷ Λευιτικῷ· «Λάλησον πρὸς Ἀαρὼν καὶ πρὸς τοὺς υἱοὺς αὐτοῦ, καὶ πρὸς πάντας τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Τοῦτο τὸ ῥῆμα ὃ ἐνετείλατο Κύριος λέγων· Ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ, ἢ τῶν προσ-κειμένων ἐν ὑμῖν, ὃς ἂν, σφάξῃ μόσχον ἢ πρόβατον, ἢ αἶγα ἐν τῇ παρεμβολῇ, καὶ ὃς ἐὰν σφάξῃ ἔξω τῆς παρεμβολῆς, καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ, ὥστε ποιῆσαι αὐτὸ εἰς ὁλοκαύτωμα, ἢ σωτήριον τῷ Κυρίῳ, δεκτὸν εἰς ὀσμὴν εὐωδίας· καὶ ὃς ἂν σφάξῃ ἔξω ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ μὴ ἐνέγκῃ αὐτὸ, ὥστε μὴ προσενέγκῃ δῶρον Κυρίῳ ἀπέναντι τῆς σκηνῆς Κυρίου, καὶ λογισθήσεται τῷ ἀνθρώπῳ ἐκείνῳ, αἷμα ἐξέχεεν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.» Αἷμα μὲν οὖν ἐκχεῖν, καὶ τοῖς εἰς μιαιφωνίαν ἐγκλήμασιν ἔνοχον ἔσεσθαι τὸν ἔξω θύοντα τῆς σκηνῆς. Ἑαυτὸν γὰρ ὥσπερ διεχρήσατό τις, καὶ τὴν οἰκείαν ὠλόθρευσε ψυχὴν, ὁ Θεοῦ μὲν τοῦ κατὰ φύσιν ἀφιστὰς αὐτὴν, προσνέμων δὲ λίθοις καὶ ξύλοις καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ἀνατιθείς. Ὅτι δὲ οὐ πᾶν ἁπλῶς θῦμα παρὰ τὰς θύρας ἄγεσθαι προστέταχε τῆς σκηνῆς, ἀλλ' ὅπερ ἕλοιτό τις εἰς θυσίαν ἀναθεῖναι Θεῷ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δέδειχεν ἐναργῶς προσεπάγων εὐθύς· «Καὶ οὐ θύσουσιν ἐπὶ τὰς θυσίας 68.696 αὐτῶν τοῖς ματαίοις, οἷς αὐτοὶ ἐκπορνεύσωσιν ὀπίσω αὐτῶν.» Οὐκοῦν ἀποφάσκει παντελῶς τὸ θύειν ἀδιακρίτως, ᾧπερ ἂν βούλοιτό τις, δεῖν δὲ δὴ μόνῳ τῷ κατὰ φύσιν Θεῷ τὰς λατρείας ἐπιτελεῖν, εὖ μάλα φησί. {ΠΑΛΛ.} Ὡς ἄριστά γε ἡμῖν ὁ λόγος ἔχει. {ΚΥΡ.} Ὀνήσειε δ' ἂν καὶ οὐ μετρίως ἡμᾶς καθ' ἕτερον οἶμαι τρόπον τὸ χρῆναι νοεῖν ὡς ἔστι λυσιτελὲς καὶ ἀναγκαῖον ἤδη πως τὸ, ἐν μόνῃ δεῖν τῇ ἁγίᾳ σκηνῇ πράττεσθαι τὰς θυσίας, καὶ τὰ ἱερὰ προσφέρεσθαι θύματα. {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Ἦ οὐκ εἰκόνα καὶ τύπον ἐλέγομεν εἶναι τοῦ Ἐμμανουὴλ, τὸν ἱερέως τε πέρι καὶ ἀγνοημάτων λαοῦ πρὸς τῇ ἁγίᾳ σκηνῇ σφαζόμενον μόσχον; {ΠΑΛΛ.} Ἐλέγομεν. {ΚΥΡ.} Χρῆναι δὴ οὖν ταύτῃ τοι φαμὲν, ὡς ἐν σκηναῖς ἁγίαις ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ, τοῦ Χριστοῦ τελεῖσθαι μυστήριον. Τουτὶ γὰρ ἡμῖν καὶ ἑτέρωθί που διετύπου πάλιν. Θεσμοθετήσας γὰρ ἐν ἀρχαῖς τίνα δὴ τρόπον προσήκει σφάζεσθαι τὸν ἀμνὸν εἰς τύπον Χριστοῦ τῆς Αἰγυπτίων ἀπαίρουσι γῆς τοῖς ἐξ Ἰσραήλ· «Ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, φησὶ, καὶ οὐκ ἐξοίσετε ἀπὸ τῶν κρεῶν αὐτοῦ ἔξω.» Οὐκοῦν παραλύουσι τὸ Θεῷ δοκοῦν, οἱ ἑτερόφρονες αἱρετικοὶ παρὰ τὴν οὖσαν ἀληθῶς ἁγίαν σκηνὴν, ἑαυτοῖς ἑτέραν διαπηγνύντες, καὶ ἔξω θύοντες τὸν ἀμνὸν, καὶ ἀπωτάτω που τῆς μιᾶς ἀποφέροντες οἰκίας, καὶ μερίζοντες τὸν ἀμέριστον· εἷς γὰρ καὶ τέλειος ἐν πᾶσι Χριστός. Ἀλλ' ὅγε σοφός τε ἡμῖν καὶ ἱεροφάντης Μωσῆς παρεγγυᾷ λέγων ἐν τῷ Δευτερονομίῳ, «Πρόσεχε σεαυτῷ μὴ ἀνενέγκῃς τὸ ὁλοκαύτωμά σου ἐν παντὶ τόπῳ ᾧ ἐὰν ἴδῃς, ἀλλ' ἢ εἰς τόπον ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν, ἐν μιᾷ τῶν πόλεών σου, ἐκεῖ ἀνοίσεις τὰ ὁλοκαυτώματά σου, καὶ ἐκεῖ ποιήσεις πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον· ἀλλ' ἢ ἐν πάσῃ ἐπιθυμίᾳ σου θύσεις, καὶ φάγῃ κρέα κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς σου· κατὰ τὴν εὐλογίαν Κυρίου τοῦ Θεοῦ σου, ἣν ἔδωκέ σοι ἐν πάσῃ πόλει. Ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ καθαρὸς ἐπὶ τὸ αὐτὸ φάγεται αὐτὸ, ὡς δορκάδα ἢ ἔλαφον, πλὴν τὸ αἷμα οὐ φάγεσθε, ἐπὶ τὴν γῆν ἐκχεεῖτε αὐτὸ, ὡς ὕδωρ.» Διανοίας οὖν ἄρα τῆς βδελυρωτάτης ἀμπλάκημα καὶ γραφὴ, τὸ ἐν παντὶ τόπῳ θύειν ἀποτολμᾷν, καὶ μὴ ἐν οἴκῳ Θεοῦ πληροῦν τὸ Χριστοῦ μυστήριον. {ΠΑΛΛ.} Εὖ λέγεις· πλὴν ἐκεῖνο φράσον. Τὴν αἵματος βρῶσιν κεκιβδήλευκεν ὁ νόμος, καὶ μάλα εἰκότως. Τί δ' ἂν εἴη πάλιν ὁ ἔν γε τῷ γράμματι νοῦς; {ΚΥΡ.} Οὐκοῦν, εἰ δοκεῖ, τὰ ἐπὶ τῷδε τεθεσπισμένα, καὶ ἐν τῷ Λευιτικῷ φέρε δὴ λέγωμεν. Ἔχει γὰρ ὧδε· «Καὶ ὁ ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ, ἢ τῶν προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἂν φάγῃ πᾶν αἷμα, ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὴν ψυχὴν τὴν ἔσθουσαν τὸ αἷμα, καὶ ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ αὐτῆς. Ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ 68.697 ἐστι. Καὶ ἐγὼ δέδωκα αὐτὸ ὑμῖν ἐπὶ τοῦ θυσιαστηρίου ἐξιλάσκεσθαι περὶ τῶν ψυχῶν ὑμῶν· τὸ γὰρ αἷμα αὐτοῦ ἀντὶ ψυχῆς ἐξιλάσεται. Διὰ τοῦτο εἴρηκα τοῖς υἱοῖς Ἰσραήλ· Πᾶσα ψυχὴ ἐξ ὑμῶν οὐ φάγεται αἷμα. Καὶ ὁ προσήλυτος ὁ προσκείμενος ἐν ὑμῖν οὐ φάγεται αἷμα· καὶ ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ, ἢ τῶν προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἂν θηρεύσῃ θήρευμα θηρίον ἢ πετεινὸν, ὃ ἐσθίεται, καὶ ἐκχεεῖ τὸ αἷμα, καὶ καλύψει αὐτὸ τῇ γῇ· ἡ γὰρ ψυχὴ πάσης σαρκὸς, αἷμα αὐτοῦ ἐστι. Καὶ εἶπα τοῖς υἱοῖς Ἰσραήλ· Αἷμα πάσης σαρκὸς οὐ φάγεσθε, ὅτι ἡ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι· πᾶς ὁ ἐσθίων αὐτὸ, ἐξολοθρευθήσεται.» Ἄθρει δὴ οὖν σαφῶς καὶ ἀναφανδὸν ὡς εἰς ψυχῆς τύπον τὸ αἷμα λαμβάνεται. {ΠΑΛΛ.} Συνίημι, {ΚΥΡ.} Ἀλλοτριοῖ τοιγαροῦν ὁ νόμος, καὶ ὑπεξάγει σωμάτων τῶν σφαζομένων τὸ αἷμα, δόγμα διδάσκων ἀληθὲς, καὶ πρός γε ἡμῶν αὐτῶν ἐν πίστει δεκτὸν, καὶ ἐν Ἐκκλησίαις τίμιον, τὸ, ἀθάνατον εἶναί φημι, διακεῖσθαι καὶ φρονεῖν τὴν λογικὴν τοῦ ἀνθρώπου ψυχὴν, ἣν τοῖς γηΐνοις σώμασιν, οὐ συγκαταφθείρει θάνατος, ἀπολύει δὲ μᾶλλον καὶ ἀνίησιν ὁ Δημιουργὸς, καὶ ὑπεξάγει τοῦ παθεῖν, ζωῆς ἀποφήνας μέτοχον. Πεποίηται γὰρ ὁ ἄνθρωπος ἐν ἀρχαῖς εἰς ψυχὴν ζῶσαν, ἐνιέντος αὐτῷ τοῦ Θεοῦ πνοὴν ζωῆς· γέγραπται γὰρ ὡδί. Καταγράψομεν γὰρ, καθάπερ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγῷμαι, τὸ ἄναλκι τῆς τὰ πάντα ζωογονούσης ζωῆς, εἰ τὸ πρὸς αὐτῆς γεγονὸς εἰς ζωὴν, συνδιόλλυσθαί φαμεν τοῖς προσκαίροις σώμασι. Συνέσει δὲ τῇ παγκάλῳ στέψομεν, ἀθάνατον εἶναι πιστεύοντες, δοκοῦν ὧδε ἔχειν αὐτὴν τῷ πάντων Δημιουργῷ, ἐν ᾧ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. Καὶ οὗτος, οἶμαί που, τῆς νομοθεσίας τῆς ἐπὶ τῷδε λόγος. Ἴωμεν δὲ καὶ ἐφ' ἕτερα δικαιώματα τῆς σκηνῆς. Ἔφη τοίνυν ὁ Θεὸς ἐν τῇ Ἐξόδῳ, «Οὐ σφάξεις ἐπὶ ζύμῃ αἷμα θυσιάσματός μου.» Ἄζυμον ἔστω, φησὶ, τὸ προχεόμενον αἷμα, καὶ ὑπὲρ τοῦ προσκεκομισμένου εἰς θυσίαν τῷ Θεῷ, ζύμης αὐτῷ δηλονότι ἤτοι σεμιδάλεως ἐζυμωμένης, οὐκ ἐπενηνεγμένης· χρὴ γὰρ ἡμᾶς ἐκκεκαθαρμένους καὶ ἀζύμους ὥσπερ ὑπάρχοντας, τοῦτ' ἔστι, τὴν ἐκ φαυλότητος καὶ πονηρίας οἱονεί πως ἐπιπλοκὴν, εἰς νοῦν οὐκ ἔχοντας, καθιεροῦν τῷ Θεῷ τὰς ἑαυτῶν ψυχὰς, ὧν εἰς τύπον τὸ αἷμα· νέον δὲ φύραμα καὶ ἀζύμους ἐκάλει καὶ ὁ θεσπέσιος Παῦλος, τοὺς εἰλικρινῆ καὶ ἀθόλωτον, καὶ ἀσυμμιγῆ φαυλότητος τὴν οἰκείαν τηροῦντας ψυχὴν, διὰ πίστεως δὲ δηλονότι τῆς εἰς Χριστὸν, καὶ ἀγάπης ὁλοτελοῦς. Ἀλλ' «Οὐδὲ μὴ κοιμηθῇ, φησὶ, στέαρ τῆς ἑορτῆς μου, ἕως πρωΐ,» τοῦτ' ἔστι, χθιζὸν οὐκ ἀνοίσεις στέαρ εἰς ὀσμὴν εὐωδίας. Ἐν δὲ τῷ Λευιτικῷ σαφεστέραν ποιεῖται τοῦ νόμου τὴν δήλωσιν, καὶ τὸ χρῆμα ἐναργὲς καθίστησι λέγων περὶ τοῦ προσάγοντος θῦμα· «Κἂν εὐχὴν, ἢ ἑκούσιον θυσιάσῃ τὸ δῶρον αὐτοῦ, ᾗ ἂν ἡμέρᾳ προσενέγκῃ τὴν θυσίαν, βρωθήσεται, καὶ τῇ αὔριον· τὸ δὲ καταλειφθὲν ἀπὸ τῶν κρεῶν τῆς θυσίας, ἕως ἡμέρας τρίτης, ἐν πυρὶ καυθήσεται. 68.700 Ἐὰν δὲ φαγὼν φάγῃ ἀπὸ τῶν κρεῶν τῇ ἡμέρᾳ τῇ τρίτῃ, οὐ δεχθήσεται αὐτῷ τῷ προσφέροντι αὐτὸ, οὐ λογισθήσεται αὐτῷ, μίασμά ἐστιν· ἡ δὲ ψυχὴ ἥτις ἂν φάγῃ ἀπ' αὐτοῦ, μιανθήσεται, καὶ τὴν ἁμαρτίαν λήψεται.» Τριταῖον μὲν οὖν ἀποπέμπεται θῦμα, παραιτεῖται δὲ ὅτι καὶ τὸ χθιζὸν, διεσάφει λέγων. «Ἐὰν δὲ θύσῃς θυσίαν εὐχὴν χαρμοσύνης τῷ Κυρίῳ, εἰς δεκτὸν ὑμῖν θύσετε αὐτό. Αὐτῇ τῇ ἡμέρᾳ ἐκείνῃ βρωθήσεται, οὐ καταλείψεται ἀπὸ τῶν κρεῶν εἰς τὸ πρωΐ· ἐγώ εἰμι Κύριος· τὴν ἁμαρτίαν λήψεται.» {ΠΑΛΛ.} Εἶτα τίς ἂν γένοιτο καὶ τῶνδε ὁ νοῦς; {ΚΥΡ.} Προαποδέδειχεν ἡμῖν ὁ νόμος ἐν τοῖς ἀνωτέρω πλειστάκις, ὅτι τὸν ἅπαντα χρόνον κατατέμνειν ἔθος τῇ θείᾳ Γραφῇ, ποτὲ μὲν εἰς δύο, καθ' ὃν ἦν ὁ νόμος, καὶ καθ' ὃν ἐπέλαμψεν ὁ Χριστός· ποτὲ δὲ αὖ, εἰς τρεῖς παρεισκρινομένου τε καὶ τὰ τάττοντος μεταξὺ, καὶ καθ' ὃν ὁ τῶν ἁγίων προφητῶν ἀνέλαμψε χορὸς, πλὴν ὅτι καὶ ἐν χρόνῳ τῷ κατὰ Μωσέα, καὶ ἐν τῷ τῶν ἁγίων προφητῶν λατρείας ἦν τρόπος ὁ αὐτὸς, ὡς ἐν σκιαῖς ἔτι ταῖς κατὰ νόμον. Πρωΐας δὲ γενομένης, ἤτοι τοῦ τρίτου λοιπὸν πάλιν ἀναδειχθέντος καιροῦ, καὶ τοῦ νοητοῦ φωτὸς, τοῦτ' ἔστι, Χριστοῦ, τὴν ὑφ' ἥλιον περιαστράπτοντος, λελυμένης δὲ λοιπὸν τῆς παλαιᾶς ἀχλύος, οὐκέτι δεκτὸς τῆς τὸ τηνικάδε λατρείας ὁ τρόπος, ἀλλ' εἴτε χθιζὸν, εἴτ' οὖν εἴη τὸ τριταῖον στέαρ, ἢ θῦμα, δεκτὸν μὲν οὐκέτι, βδελυρὸν δὲ καὶ ἀπόβλητον παρὰ Θεῷ, καὶ ἐν μιάσματος τάξει λελογισμένον τοῖς οὐκ ἐν καιρῷ προσκομίζειν ᾑρημένοις. Ἢ οὐκ εἶναι φὴς ἀληθὲς, ὅτι Χριστοῦ καταλάμποντος τοῖς εὐαγγελικοῖς παιδεύμασι τὰς τῶν ἁγίων ψυχὰς καὶ εἰς λατρείαν τὴν πνευματικὴν μυσταγωγοῦντος εὖ μάλα, περιττά πως ἤδη καὶ ἀνωφελῆ τὰ ἐν νόμῳ; {ΠΑΛΛ.} Φημί. Μεμνήσομαι γὰρ τοῦ θεσπεσίου Παύλου, σκύβαλα καὶ ζημίαν ἀποκεκληκότος τὰ κατὰ νόμον αὐχήματα, διὰ τὸ ὑπερέχον τῆς γνώσεως τοῦ Χριστοῦ. Ἀκούω δὲ γεγραφότος τισί· «Λέγω δὲ ὑμῖν ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς οὐδὲν ἡμᾶς ὠφελήσει.» {ΚΥΡ.} Ὀρθῶς ἔφης. Οὐκοῦν ἁμαρτία καὶ μολυσμὸς, ἀναδειχθέντος Χριστοῦ, καὶ παρελάσαντος τοῦ καιροῦ, καθ' ὃν ἦν ὁ νόμος καὶ οἱ προφῆται, τῆς ὡς ἐν σκιαῖς λατρείας ἀντέχεσθαι· καὶ Θεῷ προσάγειν ἐπιχειρεῖν ὄϊν, ἢ στέαρ, ἢ λιβανωτόν· καίτοι λέγοντος ἐναργῶς τοῦ Υἱοῦ τῷ Θεῷ καὶ Πατρί· «Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας, τότε εἶπον, Ἰδοὺ ἥκω· ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου.»


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἄμωμον γὰρ ὥσπερ ἱερεῖον ἑαυτὸν ὑπὲρ ἡμῶν ἀναθεὶς ὁ Υἱὸς, ἔστησε τὰ ἐν νόμῳ, περιελεῖν ἁμαρτίας οὐ δυνάμενα· τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός. {ΠΑΛΛ.} Εὖ ἔφης. 68.701 {ΚΥΡ.} Διὰ νομικῆς οὖν ἄρα λατρείας ἀπρόσιτος ὁ Πατὴρ, μετὰ τὴν ἐν Χριστῷ τελείωσιν, προσιτὸς δέ ἐστι διὰ μόνου τοῦ Υἱοῦ. Τοιγάρτοι καὶ ἔφασκεν, «Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ.» Ὅτι δὲ ἄθυτόν τε καὶ ἀτελὲς πᾶν εἴτι μὴ ἐν Χριστῷ, δεκτὸν δὲ καὶ ἱερώτατον τὸ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ, σαφὲς ἂν γένοιτο καὶ δι' ὧν ὁ νόμος ἐν μὲν τῇ Ἐξόδῳ φησίν· «Οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ·» ἐν δὲ τῷ Λευιτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Μόσχον ἢ πρόβατον ἢ αἶγα ᾧ ἂν τεχθῇ, καὶ ἔσται ἑπτὰ ἡμέρας ὑπὸ τὴν μητέρα αὐτοῦ. Τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ καὶ ἐπέκεινα, δεχθήσεται εἰς δῶρα κάρπωμα τῷ Κυρίῳ, καὶ μόσχον καὶ πρόβατον, αὐτὴν καὶ τὸ παιδίον αὐτῆς οὐ σφάξετε ἐν ἡμέρᾳ μιᾷ.» Ἄρνα μὲν οὖν τὸ ἀρτιγενὲς καὶ ὑπότιτθον ἔτι σφράττειν οὐκ ἐᾷ, δεικνὺς ὅτι, τὸ ἀτελὲς ἔτι καὶ ὡς ἐν συνέσει βραχύ τε καὶ ἀσθενὲς, οὔπω μὲν ἱερόν· ἔτι δὲ ἀπαράδεκτον διὰ τοῦτο Θεῷ. Τοιοῦτοί τινες ἦσαν ἄσοφοί τε καὶ ὀλιγογνώμονες, πρὸς οὓς ὁ θεσπέσιος γράφει Παῦλος· «Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκοντος ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, οὐ στερεᾶς τροφῆς· τελείων δέ ἐστιν ἡ στερεὰ τροφή.» Οὐκοῦν ἀτελὲς ἔτι, τὸ ἐν γάλακτί τε καὶ ὑπὸ μαστὸν, κατά γε τὸ ἐν συνέσει φημὶ καὶ εὐρωστίᾳ πνευματικῇ· ἴτω δὲ αὖ ἡμῖν ὁ περὶ τῶνδε λόγος, ὡς ἐκ τύπου τῶν ἐν αἰσθήσει καὶ ἐναργῶν πραγμάτων, ἐπὶ τὰ ὑπὲρ αἴσθησίν τε καὶ νοητὰ, πλὴν ὅτι τὰ πάντα γέγονεν ἐν Χριστῷ καὶ ἐν τελειότητι καὶ παραδοχῇ, συνήσεις εὖ μάλα. Τὰ γάρ τοι προσκομιζόμενα ζῶα καὶ ἀνατιθέμενα τῷ Θεῷ, δεῖν μὲν εἶναί φησιν ἑπτὰ ἡμέρας ὑπὸ τὴν μητέρα, τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ καὶ ἐπέκεινα, δῶρον ἔσεσθαι, καὶ εἰς κάρπωμα τῷ Θεῷ. {ΠΑΛΛ.} Οὐ σφόδρα σαφὴς ὁ λόγος. {ΚΥΡ.} Ἦ γὰρ οὐχὶ τὴν ὀγδόην τὴν ἀναστάσιμον τοῦ Σωτῆρος ἡμέραν εἶναι φὴς, καὶ ἀρχὴν ὥσπερ αἰῶνος νέου, παριππεύσαντος τοῦ κατὰ νόμον ὡς ἐν ἡμέραις ἑπτὰ ταῖς πρώταις; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Οὐκοῦν ἀνίερόν τε καὶ ἀπροσκόμιστον ἔτι τὸ ὡς ἐν χρόνῳ τῷ κατὰ τὸν νόμον δηλονότι τὸ ἐν λατρείᾳ σαρκικῇ· δῶρον δὲ ἤδη καὶ εὐπρόσδεκτον τῷ Θεῷ πᾶν εἴτι λοιπὸν ἐν Χριστῷ κατὰ τὴν ὀγδόην καὶ ἐπέκεινα. Ἀκατάληκτος γὰρ ἡ ἐν Χριστῷ κλῆσις, ἀρχὴν ἔχουσα τὴν ἀνάστασιν. Καὶ τοῦτο εἰδὼς αὐτὸς ἔφασκεν ὁ Υἱὸς, ὁτὲ μὲν, «Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτὸν,» ὁτὲ δὲ, «Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, καρπὸν πλείονα φέρει.» {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. Τὸ δέ γε μὴ συνδιόλλυσθαι 68.704 δεῖν μητέρα τοῖς τέκνοις ἐν ἡμέρᾳ μιᾷ, τί ἂν εἴη πάλιν; {ΚΥΡ.} Νομοθετήσας εὖ μάλα τὰ ἐπὶ Χριστῷ, καὶ τὴν δι' αὐτοῦ τελείωσιν προαναφωνήσας ἀστείως, οὐκ ἠγνόησεν, ὡς Θεὸς, τῶν Ἰουδαίων τὸ ἀπειθὲς, καὶ τῆς Ἱερουσαλὴμ τὸ δυσήνιον, καὶ ὅτι ταύτης ἕνεκα τῆς αἰτίας, ὀλοθρευθήσονται μὲν ὡς κυριοκτόνοι, καὶ ἀγρίως πεπαρῳνηκότες εἰς τὸν Υἱὸν οἱ ἐξ Ἰσραὴλ, πλὴν οὐκ εἰσάπαν ὀλόριζος Ἱερουσαλὴμ οἰχήσεται, μενεῖ δὲ ὥσπερ ἔρημος τέκνων, τὸν τελευταῖον καὶ ἐν ἐσχάτοις περιμένουσα καιρὸν, καθ' ὃν καὶ αὐτὴ σωθήσεται κατόπιν τρέχουσα τῶν ἐθνῶν· τέθειται γὰρ εἰς νῶτον, τοῦτ' ἔστιν, ὀπίσω, κατὰ τὴν τοῦ Ψάλλοντος φωνὴν, «Ὅτι θήσει αὐτοὺς νῶτον·» πᾶς γὰρ Ἰσραὴλ σωθήσεται, τῆς ἐξ ἐθνῶν ἀγέλης τοῖς θείοις σηκοῖς προενηυλισμένης. Οὐκ ἐᾷ τοιγαροῦν ὁ νόμος τὴν ὡς ἐν ἐσχάτῃ πανωλεθρίᾳ γενέσθαι φθορὰν, ἡμερότητι συγκεκραμένην τὴν ἐπὶ τοῖς ἀπειθήσασι προαναφαίνων ὀργὴν, ἐν ταὐτῷ δὲ, οἶμαι τύπων ὥσπερ τινὰ τὸ χρῆμα τιθεὶς εἰδήσεως ἀναγκαίας. Ἥκιστα μὲν γὰρ οἰχήσεται τὰ ὄντα πρὸς τὸ μηδὲν ἀκράτῳ φθορᾷ τυραννούμενα, διαμενεῖ δὲ ὥσπερ ταῖς διαδοχαῖς τοῦτο ἐν ἐκείνῳ, κἀκεῖνο τυχὸν ἐν τούτῳ σωζόμενα, κατά γε τὸ συγγενὲς ἢ ὁμοειδὲς, τὸν εἰσάπαν ὄλεθρον τῶν ἰδίων κτισμάτων ἀποσοβοῦντος τοῦ Θεοῦ.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«Ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου,» κατὰ τὸ γεγραμμένον. Ἔπρεπε δὲ καὶ τῶν τοιούτων ἡ προαγόρευσις, καὶ μὴν καὶ ἡ δήλωσις, τῶν περὶ Χριστοῦ λόγων, δι' ὃν καὶ ἐν ᾧ τὰ ἐφθαρμένα σώζεται, καὶ τὸ θανάτῳ τυραννούμενον ἀνατέθηλεν εἰς ζωὴν, τετελεύτηκε μὲν γὰρ ἡ ῥίζα τοῦ ἀνθρωπείου γένους οἷά τις μήτηρ, ὡς ἐν Ἀδὰμ, πλὴν οἱ ἐξ αὐτῆς, τοῦτ' ἔστιν, ἡμεῖς, ἀνεθάλλομεν ἐν Χριστῷ καὶ ἐσμὲν καὶ σωζόμεθα, ζωὴν ἔχοντες αὐτὸν καὶ ῥίζαν ὥσπερ τοῦ γένους δευτέραν. {ΠΑΛΛ.} Ὡς εὖ γε δὴ καὶ μάλα ἀπεζεσμένως ὁ λόγος ἔχει. {ΚΥΡ.} Ἄξιον δὲ, ὦ Παλλάδιε, τοῖς εἰρημένοις ἐπενεγκεῖν, τό· «Οὐ φυτεύσεις σεαυτῷ ἄλσος· πᾶν ξύλον παρὰ τὸ θυσιαστήριον Κυρίου τοῦ Θεοῦ σου, οὐ ποιήσεις σεαυτῷ, οὐ στήσεις σεαυτῷ στήλην, ἃ ἐμίσησε Κύριος ὁ Θεός σου.» Θέα γὰρ ὅπως εἰδωλοπρεποῦς ἀπάτης ἐξοικίζει παντελῶς τὸν τῆς ἀληθείας προσκυνητὴν, ἥκιστα μὲν ἐφιεὶς, τοῖς Ἑλλήνων ἀποκεχρῆσθαι νόμοις, ἀποσείεσθαι δὲ δεῖν τὰ παρ' ἐκείνοις ἔθη παρεγγυῶν, κἂν εἰ μηδὲν ἔχοιεν τὸ λυποῦν, καὶ εἰ γένοιντο τυχόν. {ΠΑΛΛ.} Οἷόν τι φής; {ΚΥΡ.} Τὰ εὐερνέστατα τῶν φυτῶν πάντα τε ἀμφιλαφῶς κομῶντα δρυμὸν καταλαμβάνοντες Ἕλληνες. βωμοὺς καὶ θυσίας τοῖς δαιμονίοις ἵστασαν. Ἔδει γὰρ, ἔδει τοῖς τῶν δαιμονίων βωμοῖς ἀποφορὰν ὥσπερ νοῦ, καὶ μὴν καὶ τέρψεις παραπεπῆχθαι κοσμικάς. Νοσεῖ γὰρ τὸ ψεῦδος οἴκοθεν μὲν τὸ ἄναλκι, κατακαλλύνεται δὲ πολλάκις τοῖς εἰσποιητοῖς ὡραϊσμοῖς, 68.705 καθάπερ ἀμέλει καὶ τῶν γυναίων τὰ ἄσεμνα. Τῷ δὲ θείῳ θυσιαστηρίῳ τῷ τῆς ἀληθείας ἀπαστράπτοντι κάλλει, ποίων ἔδει τῶν ἔξωθεν ἐπικουρημάτων, ἤγουν εἰκαίων ὡραϊσμῶν; οὐ γὰρ διὰ τέρψεως κοσμικῆς προσιτὸν τὸ θεῖον, οὐδὲ ἀνειμένῳ τρόπον τινὰ νῷ καὶ ἀνάπτοντι πρὸς τὰ σαρκικὰ, ἀλλ' ὡς ἐν νηφούσῃ διανοίᾳ καὶ πολὺ πρὸς τὸ ἄνω βλεπούσῃ καὶ ἐν οὐρανοῖς. Εἴπερ ἦν ὅλως καὶ ὑπὸ πρέμνα τυχὸν, ὡς ἐκ ταυτομάτου γεγονὸς θεῖόν που θυσιαστήριον, ἠδίκησεν ἂν τὸ χρῆμα οὐδὲν τὸν ἀσφαλῆ καὶ γνήσιον τοῦ Σωτῆρος προσκυνητήν· ἐπειδὴ δέ ἐστιν ὅλως Ἑλληνικὸν τὸ ἐπιτήδευμα, παραιτητέον τὴν μίμησιν, καὶ τῆς συνηθείας τὸ ἐμφερὲς, καθάπερ ἀμέλει, τῷ μὲν πιστῷ καὶ βεβηκότι νῷ πρὸς ἀληθῆ εἴδησιν, εἴδωλον μὲν οὐδὲν ἐν κόσμῳ, ἀλλ' οὐδὲ εἰδωλόθυτόν ἐστιν, ἐσθίειν γε μὴν οὐκ ἐφίεται παρεγγυῶντος ἑτέρου διὰ τὴν τῶν ἀσθενεστέρων συνείδησιν· «Ἵνα τί γὰρ ἐγὼ κρίνομαι ὑπὸ ἄλλης συνειδήσεως; Εἰ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι, ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ;» εὐδοκιμεῖ τοιγαροῦν τὸ χρῆμα παρὰ Θεῷ τὸ παραιτεῖσθαί φημι τὴν πρὸς Ἕλληνας ἰσουργίαν, ὡς ἔν τε τῇ τῶν θυσιαστηρίων θέσει, καὶ ἐν τοῖς περὶ θρησκείας ἔθεσί τε καὶ τρόποις. {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Τὸ δὲ δὴ χρῆναι καρποφορεῖν εἰς δόξαν Θεοῦ, καὶ μὴ κενὰς χεῖρας ἔχοντας εἰς τὴν ἁγίαν ἰέναι σκηνὴν, διεσάφει πάλιν ἡμῖν τὸ Γράμμα τὸ ἱερὸν, ἐν τοῖς Ἀριθμοῖς οὕτως ἔχον· «Καὶ ἐγένετο, ᾗ ἡμέρᾳ συνετέλεσε Μωσῆς, ὥστε ἀναστῆσαι τὴν σκηνὴν, καὶ ἔχρισεν αὐτὴν, καὶ ἡγίασεν αὐτὴν, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυσιαστήριον, καὶ πάντα τὰ σκεύη αὐτοῦ, καὶ ἔχρισεν αὐτὰ, καὶ ἡγίασεν αὐτά. Καὶ προσήνεγκαν οἱ ἄρχοντες Ἰσραὴλ, δώδεκα ἄρχοντες οἴκων πατριῶν αὐτῶν. Οὗτοι οἱ ἄρχοντες φυλῶν, οὗτοι οἱ παρεστηκότες ἐπὶ τῆς ἐπισκοπῆς. Καὶ ἤνεγκαν τὸ δῶρον αὐτῶν ἔναντι Κυρίου, ἓξ ἁμάξας λαμπηνίκας, καὶ δώδεκα βόας, ἅμαξαν παρὰ δύο ἀρχόντων, καὶ μόσχον παρὰ ἑκάστου. Καὶ προσήγαγον ἐναντίον τῆς σκηνῆς. Καὶ εἶπε Κύριος πρὸς Μωσῆν, λέγων· Λάβε παρ' αὐτῶν, καὶ ἔσονται πρὸς τὰ ἔργα τὰ λειτουργικὰ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ δώσεις αὐτὰ τοῖς Λευίταις ἑκάστῳ κατὰ τὴν αὐτοῦ λειτουργίαν. Καὶ λαβὼν Μωσῆς τὰς ἁμάξας καὶ τοὺς βόας, ἔδωκεν αὐτὰ τοῖς Λευίταις.» Καὶ οὐ μέχρι τούτων τὰ ἐκ τῶν φυλάρχων ἦν· προσεπενήνεκται δὲ καὶ ἕτερα. Γέγραπται γὰρ, «Καὶ προσήνεγκαν οἱ ἄρχοντες εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου, ἐν τῇ ἡμέρᾳ ᾗ ἔχρισεν αὐτὸ, καὶ προσήνεγκαν οἱ ἄρχοντες τὰ δῶρα αὐτῶν ἀπέναντι τοῦ θυσιαστηρίου. Καὶ εἶπε Κύριος πρὸς Μωσῆν· Ἄρχων εἷς καθ' ἡμέραν, ἄρχων καθ' ἡμέραν προσοίσουσι τὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δῶρα αὐτῶν εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου. Καὶ ἦν ὁ προσφέρων ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ τὸ δῶρον αὐτοῦ, Ναασσὼν υἱὸς Ἀμιναδὰβ, ἄρχων τῆς φυλῆς Ἰούδα. Καὶ προσήνεγκε τὸ δῶρον αὐτοῦ, τρυβλίον ἀργυροῦν ἓν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον. 68.708 ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν, θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. Τοῦτο δῶρον Ναασσὼν υἱοῦ Ἀμιναδάβ.» Προσεκόμιζον δὲ καὶ καθεξῆς ἄχρι τοῦ δυοκαιδεκάτου, κατά γε τὸν ἴσον τρόπον καὶ ἐν ἀπαραλλάκτοις φιλοτιμίαις, ἐκνεμηθείσης ἑκάστῳ τῆς αὐτῷ συντεταγμένης ἡμέρας ἰδικῶς· διετύπου γὰρ ὧδε Θεός. {ΠΑΛΛ.} Καὶ τίς δὴ ἄρα ἐστὶ τῆς οὕτω πολυειδοῦς προσαγωγῆς ὁ λόγος; {ΚΥΡ.} Καρποφορία μὲν οὖν τὸ χρῆμά ἐστιν, ὦ Παλλάδιε, πέπλεκται δὲ, οἶμαι, καὶ λόγος αὐτῇ μυστικὸς εἰς τὸν Ἐμμανουὴλ, καὶ εἰς ἡμᾶς αὐτοὺς ἀνακομίζων τὸ αἴνιγμα· φράσω δὲ ὡς ἂν οἷός τε ὦ πάλιν. Ἀναδεδειγμένης γὰρ ἐν τῷδε τῷ κόσμῳ τῆς ἁγίας, καὶ ἀληθοῦς σκηνῆς, τοῦτ' ἔστι, τῆς Ἐκκλησίας, πολυειδῶς ἐν αὐτῇ διαπρέπων Χριστὸς καὶ μονονουχὶ παρ' ἡμῶν καὶ ὑπὲρ ἡμῶν ὡς ἱερὸν προσάγεται θύμα τῷ Θεῷ καὶ Πατρὶ, λύτρον καὶ ἀντάλλαγμα τῆς ἁπάντων ζωῆς, εἷς ὁ πάντων ἀντάξιος. Ἐπειδὴ γὰρ γέγονεν ἄνθρωπος ὁ Μονογενὴς ὡς εἷς ἐξ ἡμῶν, ἑαυτὸν προσκεκόμικε τῷ Θεῷ καὶ Πατρὶ, πρωτόλειον ὥσπερ τι καὶ ἀπαρχὴ τῆς ἀνθρώπου φύσεως εὐωδιαζούσης ἐν ἁγιασμῷ, φυσικῶς μὲν καὶ οὐσιωδῶς ἐνυπάρχοντι, καθ' ὃ νοεῖται καὶ ἔστι Θεὸς, εἰσκεκριμένως δὲ αὖ διὰ τὸ ἀνθρώπινον. Εἷς δὲ ὑπάρχων καὶ αὐτὸς, κατὰ πολλοὺς ἐγράφετο τρόπους, ὡς ἔν γε τῇ τῶν ἀρχόντων προσκομιδῇ, ἱερουργεῖται δὲ ὥσπερ καὶ νῦν ὁ Χριστὸς, διὰ τῶν κατὰ καιροὺς ἡγουμένων πολυτρόπως νοούμενος, καὶ διαφόροις ὀνόμασιν ἐκτετιμημένος· καὶ καθ' ἡμέραν προσφορὰ, τὸ ἀνεκλειπὲς οἱονεί πως καὶ ἀκατάληκτον τῆς Χριστοῦ θυσίας ἐν ἡμέρᾳ πάσῃ καὶ τὸ ἐν αὐτῇ καρποφόρον τῶν ἐν πίστει δεδικαιωμένων ὑποδηλοῦντος τοῦ πράγματος. Οὐ γὰρ ἐπιλείψουσιν οἱ προσκυνηταὶ, ἀλλ' οὐδὲ σπάνις ἔσται δωροφορίας· προσκομισθήσεται δὲ πρὸς ἡμῶν καὶ ὑπὲρ ἡμῶν ὁ Χριστὸς, μυστικῶς ἱερουργούμενος ἐν ταῖς ἁγίαις σκηναῖς. Αὐτὸς δὲ ἡμῶν καρποφορία πρώτη καὶ ἐξαίρετος· προσκεκόμικε γὰρ ἑαυτὸν εἰς θυσίαν τῷ Πατρὶ, καὶ οὐχ ὑπέρ γε μᾶλλον ἑαυτοῦ, κατὰ τὸν ἀμωμήτως ἔχοντα λόγον, ἀλλ' ὑπὲρ ἡμῶν τῶν ὑπὸ ζυγὸν καὶ γραφὴν ἁμαρτίας. Καθ' ὁμοιότητα δὲ τὴν πρὸς αὐτὸν, ἱερὰ θύματα καὶ ἡμεῖς, κόσμῳ μὲν ἀποθνήσκοντες, ὡς νενεκρωμένης τῆς ἁμαρτίας ἐν ἡμῖν, ζῶντες δὲ τῷ Θεῷ, τὴν ἐν ἁγιασμῷ καὶ ὁσιότητι ζωήν. Ταυτὶ γὰρ ἡμῖν ὑπεμφαίνειν ἔοικεν ἡ τῶν ἀρχόντων προσαγωγὴ, ἣν καὶ ἀνὰ μέρος ἐκβασανίζοντες τοῖς καθήκουσι λογισμοῖς, ὅπως ἂν ἡμῖν εὖ ἔχοι, βούλει λέγωμεν κατὰ τὸ ἐγχωροῦν; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Προσκεκόμισται μὲν οὖν παρὰ ἑκάστου μόσχος· ἐκνενέμηνται δὲ τοῖς ἱεροῖς ἔργοις τῆς ἁγίας σκηνῆς, ἓξ οὖσαι τὸν ἀριθμὸν αἱ ἅμαξαι. Εἶτα παρ' 68.709 ἑκάστου τρυβλίον ἓν ἀργυροῦν, καὶ φιάλη μία, καὶ ἀμφότερα, φησὶ, πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ, θυΐσκη μία θυμιάματος ἔμπλεως, κριὸς εἷς, ἀμνὸς εἷς ἐνιαύσιος εἰς ὁλοκαύτωμα, χίμαρος ἐξ αἰγῶν περὶ ἁμαρτίας· καὶ ταυτὶ μὲν τὰ ὁλοκαυτώματα. Προσεκόμιζον δὲ καὶ εἰς θυσίαν σωτηρίου, φησὶ, δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίους πέντε. {ΠΑΛΛ.} Φράζε δὴ οὖν καὶ πρό γε τῶν ἄλλων, τί τὸ μεταξὺ, καὶ ποίαν ἄν τις εἴποι τὴν διαφορὰν τῆς τοῦ σωτηρίου θυσίας, καὶ ὁλοκαυτώματος. {ΚΥΡ.} Ἄκουε δή. Τὰ μὲν γὰρ ὁλοκαυτώματα τῶν ζώων ὅλα δι' ὅλων, ἱερῷ καὶ ἀσβέστῳ κατεφλέγετο πυρὶ, οὐδενὸς τὸ σύμπαν ἐξῃρημένου, ἀλλ' οἱονεί πως παντὸς μορίου καὶ μέλους εἰς ὀσμὴν εὐωδίας ἀναβαίνοντος τῷ. θεῷ, τὰ δέ γε ὑπὲρ τῆς τοῦ σωτηρίου θυσίας σφαζόμενα, μερικὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐδέχετο τὴν καθιέρωσιν, ὡς ἐν ὤμῳ δεξιῷ, κεφαλῇ τε καὶ ποσὶ, νεφροῖς καὶ ἥπατι, καὶ ἑτέροις τισὶ τοῖς εἰς τὸ εἴσω καὶ ἐνδοσθίοις. Πρέπει δὴ οὖν τὸ ὁλοκαυτοῦσθαι Χριστῷ· καὶ γάρ ἐστιν ἀληθῶς ὅλος ἅγιος, εὐώδης ἅπας καὶ ἱερός. Ἡμῖν δὲ οἰκεῖον, τὸ οὐκ εἰσάπαν ἅγιον, καὶ οὐχ ὁλοκλήρως ἱερὸν, οἷς ἔνεστί τι καὶ μολυσμοῦ διὰ τὴν ἐν ἡμῖν ἁμαρτίαν. «Καθαρὸς γὰρ οὐδεὶς ἀπὸ ῥύπου,» καὶ «Παραπτώματα τίς συνήσει;» κατὰ τὸ γεγραμμένον. Διὰ τοῦτο τὴν ὑπὲρ τοῦ σωτηρίου θυσίαν, οὐχ ὁλόκαυτον ὁ νόμος, μερικῶς δὲ μᾶλλον καθιεροῦσθαι δεῖν εὖ μάλα προστέταχεν. Ἆρ' οὖν, ὦ Παλλάδιε, σαφής σοι καὶ ἀποχρῶν εἰς εὐμαθίαν ὁ λόγος; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Φέρε δὴ οὖν, ἐπ' ἐκεῖνο ἴωμεν εἴς γε τὸ, ἑκάστῳ φημὶ τῶν προσενηνεγμένων, φάναι τι, καὶ μὴν καὶ συνιέναι τῶν ἀναγκαίων εἰς ὄνησιν. {ΠΑΛΛ.} Ἴθι δὴ οὖν. {ΚΥΡ.} Ἔστι τοίνυν τὰ παρ' ἑκάστου τῶν φυλάρχων, τρυβλίον ἀργυροῦν ἓν καὶ φιάλη μία, καὶ ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐλαίῳ. Τὸ μὲν οὖν τρυβλίον ἐστὶ τοῖς ἐδωδίμοις ὑπηρετοῦν, καὶ εἰς ὀψοφαγίαν χρήσιμον, καθὸ καὶ αὐτὸς ἐδίδαξεν ὁ Σωτὴρ φιλοπνευστοῦντι Ἰωάννῃ τῷ γνησίῳ μαθητῇ τίς ὁ παραδώσων αὐτὸν, «Ὁ ἐμβάψας, φησὶ, μετ' ἐμοῦ τὴν χεῖρα ἐν τῷ τρυβλίῳ.» Φιάλης δὲ τί ἂν λέγοιμι τὴν χρείαν, διακεκραγότος ὡδὶ τοῦ πράγματος; Καὶ σημεῖον ἄρτου σεμίδαλις, ὅτι καὶ ἐξ αὐτῆς ἄρτος, ἄρτος δὲ ζωῆς, ὁ Χριστός. Οὐκοῦν ὡς ἐν τῷ τρυβλίῳ καὶ ἐν τῇ φιάλῃ, καὶ ὡς ἐν ἄρτῳ τῷ ἐν ἀμφοῖν, πλήρη γὰρ ἦν σεμιδάλεως, ὡς ἐν βρώσει τε καὶ πόσει, ζωὴ καὶ ζωοποιὸς ὁ Χριστὸς σημαίνεται. «Ἀμὴν γὰρ, φησὶ, λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.» Ἐλαίῳ δὲ τὴν σεμίδαλιν καταδεδεῦσθαί φησιν, αὐτό που τὸ ἐν Ψαλμοῖς ἀναμελῳδοῦντος οἱονεί που τοῦ τύπου· «Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον 68.712 ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.» Θυΐσκη δὲ αὖ, σχῆμά τε καὶ εἶδος θυμιατηρίου, θυΐας ἐν ἴσῳ πεποιημένου, ἐπίμεστον δὲ καὶ αὐτὸ θυμιάματος· εὐωδία γὰρ καὶ θυμιατήριον ὁ Χριστὸς, οὐκ ἔξωθεν δὲ τὸ εὐῶδες ἔχων, καθάπερ ἀμέλει καὶ ἡμεῖς αὐτοὶ κατὰ μέθεξιν ἀρετῆς, καὶ τοῦ κατ' εὐσέβειαν ἁγιασμοῦ τὸ ἐν τούτοις εἶναι κερδαίνοντες, ἀλλ' οἴκοθεν ὡς Θεὸς καὶ ἐν ἰδίᾳ φύσει πλουτῶν τὰ δι' ὧν θαυμάζεται, καὶ ὅλην ἐμπίπλησι τὴν οἰκουμένην τῆς ὑπερκοσμίου καὶ ὑπὲρ κτίσιν ὀσμῆς. Θεὸς γὰρ ὢν φύσει καὶ ἀληθῶς, καὶ τὴν ὀσμὴν τῆς γνώσεως τοῦ Πατρὸς ἐν ἰδίᾳ φύσει λαχὼν, εὖ μάλα διαγινώσκεται, ἔμπλεως οὖν ἡ θυΐσκη θυμιάματος. Ταύτῃ τοι προσάγεται μόσχος τε καὶ κριὸς, καὶ μὴν καὶ ἀμνὸς, καὶ χίμαρος ἐξ αἰγῶν, τὰ πρὸς τούτοις ἔτι προσκεκομισμένα, καὶ διὰ πάντων αὐτὸς ὁ γραφόμενος· ἐν μὲν τῷ μόσχῳ, διὰ τὸ ἄγαν εὐσθενὲς, καὶ ὅτι τῶν ἐν ἡμερότητι καὶ καθαρότητι ζώων, τὸ προὔχον, ὁ μόσχος, καὶ ὡς ἐν μεγέθει σώματος, τὸ ὑπερτεροῦν· ἐν ὑπεροχῇ δὲ τῇ νοητῇ, πάντα ἐστὶ τὰ Χριστοῦ, καὶ αὐτὸς ὁ προὔχων καὶ ὑπερκείμενος τῇ κατὰ πᾶν ὁτιοῦν ἀσυγκρίτῳ διαφορᾷ· ἐν δὲ τῷ κριῷ, διὰ τὸ τέλειον, καὶ μέντοι διὰ τὸ ἄκακον, ἐν τῷ ἀμνῷ· «Ἐγὼ γὰρ, φησὶν, ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων·» ἐν δὲ τῷ χιμάρῳ, διὰ τὴν ὑπέρ γε τῶν ἡμαρτηκότων σφαγήν. Χίμαρος γὰρ ὑπὲρ ἁμαρτίας τὸ θῦμα, κατὰ τὸν νόμον· εἰσέδυ δὲ δι' ἡμᾶς τὸν θάνατον ὁ Ἐμμανουὴλ, καὶ τῶν ἀρχαίων πλημμελημάτων ἐκλελυτρώμεθα, δι' ἣν ὑπέμεινεν ὑπὲρ ἡμῶν σφαγήν. Ἢ οὐκ εἶναι φὴς καὶ τοῦτο ἀληθές; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Ἐπιτήρει δὲ ὅτι προσεκομίσθησαν μὲν οἱ μόσχοι, δέδονταί γε μὴν εἰς τὰ ἔργα τῆς σκηνῆς, ἵν' ἐν ταῖς ἀναζεύξεσιν αὐτοὶ φέροντες ἐφ' ἁμαξῶν, πόνου καὶ ἀνίας ἀπαλλάτοιεν τοὺς ἱερουργούς. Ἐπαναπαύεται γὰρ ἡ Ἐκκλησία Χριστῷ, καὶ αὐτὸς ἡμᾶς φέρει, τοῖς ὑπὲρ δύναμιν πόνοις περιπίπτειν οὐκ ἐφιεὶς τὸ ἱερὸν καὶ τίμιον γένος, καὶ τὸν τῶν ἁγίων ἔργων ἐπιστήμονα λαόν. Οὕτω μὲν οὖν ἀνοιστέον ἐπὶ Χριστὸν τὰ ὠνομασμένα. Τὰ δέ γε εἰς θυσίαν σωτηρίου προσεκόμιζον οἱονεί πως αὖ ἀνθ' ἑαυτῶν οἱ ἡγούμενοι, καθιεροῦντες τρόπον τινὰ τῇ ἁγίᾳ σκηνῇ, καὶ εἰς ὀσμὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐωδίας ἀναφέροντες τῷ Θεῷ. Δαμάλεις δὲ ἦσαν δύο, κριοὶ πέντε, τράγοι πέντε, ἀμνάδες πέντε. Καὶ μόσχος μὲν, ὁ Χριστὸς, δαμάλεις δὲ αὖ ἡμεῖς, καὶ λόγος ὁ ἐπ' ἀμφοῖν, οὐκ ἀσύμφυλος, ἀληθὴς δὲ μᾶλλον καὶ ἐναργής· ἡγεμονικώτατον γὰρ ἀεί πως τὸ ἄρσεν ἐστὶ, καὶ ἐν τιμῇ καὶ δόξῃ τῇ παναρίστῳ παρὰ Θεῷ, καὶ μάρτυς ἡ φύσις, ὁμολογοῦσα τὸ χρῆμα. Μεῖον δὲ καὶ ὑπεστρωμένον τὸ θῆλυ, καὶ οἱονεὶ κατόπιν ἰὸν τῆς ἀρσένων ἀλκῆς τε καὶ δόξης. Ἔστι δὴ οὖν ἐν ἄρσενι μόσχῳ, καθηγητὴς μὲν ἡμῶν ὁ Χριστὸς, ὑπεζεύγμεθα δὲ ὥσπερ ἡμεῖς καὶ ἐν πολλῷ μείονι παρ' αὐτὸν ἀλκῇ τε καὶ δόξῃ, καὶ, ἀσύγκριτον τὸ μεσολαβοῦν. Εἰ γὰρ καὶ γέγονε καθ' ἡμᾶς, 68.713 ὁμοειδὴς γὰρ τῷ μόσχῳ δάμαλις, ἀλλ' ἐν πολλῇ λίαν 68.713 ὑπεροχῇ τὰ αὐτοῦ. «Τίς γὰρ ὁμοιωθήσεται τῷ Θεῷ ἐν υἱοῖς Θεοῦ;» καθ' ἡμᾶς γὰρ ὁμοῦ καὶ ὑπὲρ ἡμᾶς ὁ Χριστὸς ἐν ὑπεροχῇ θεότητος, εἰ καὶ γέγονε σάρξ. Δύο γε μὴν αἱ δαμάλεις, εἰς τύπον, οἶμαί που, τῶν δύο λαῶν, συνδεδραμηκότων εἰς ἕνα τὸν ἀπ' ἀμφοῖν, συνείροντος εἰς ἑνότητα τὴν πνευματικὴν διὰ πίστεως τοῦ δι' ἡμᾶς τε καὶ μεθ' ἡμῶν. Κριοὶ δὲ πάλιν καὶ ἀμνοὶ ἰσάριθμοι, χίμαροί τε οὐχ ἥττους, τῶν πιστευόντων πληθὺν ὑπεμφαίνοντες, τὴν ὡς ἐν πέμπτῳ, φημὶ, συνενηνεγμένην καιρῷ, καθ' ὃν ἡ ἐπιδημία τοῦ λέγοντος, «Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.» Σημαίνεται δὲ τῶν πεπιστευκότων διὰ μὲν τῶν κριῶν τὸ ὡς ἐν φρονήσει τέλειον, καὶ τῆς νοητῆς ἡλικίας, δῆλον δὲ ὅτι τῆς ἐν Χριστῷ, τὸ ἀρτίως ἔχον, διὰ δὲ τῶν ἀμνῶν τὸ ὡς ἐν ἁπλότητί τε καὶ ἀκακίᾳ· «Μὴ» γὰρ δὴ, φησὶν, «ἀδελφοὶ, παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε·» διὰ δὲ τῶν ὑπὲρ ἁμαρτίας χιμάρων, τὸ ἀεὶ δεῖσθαι καθαρισμοῦ καὶ πλημμελημάτων ἀφέσεως. Τοιγάρτοι καὶ δεδιδάγμεθα λέγειν ἐν προσευχαῖς· «Ἄφες ἡμῖν τὰ παραπτώματα.» Οὐ γάρ ἐστι καιρὸς, ὅτε μὴ βοᾷν ἀναγκαῖον τοῖς ὡς ἀληθῶς ἀρτίφροσι, καὶ τῆς ἀνθρωπείας φύσεως εἰδόσι τὸ ἄναλκι, καὶ, «Παραπτώματα τίς συνήσει;» καὶ, «Ἐκ τῶν κρυφίων μου καθάρισον με.» Τοῦτο θυσία πνευματικὴ, σωτηρίας τε πέρι τῶν ἡμετέρων ψυχῶν εὐωδιάζουσα τῷ Θεῷ. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Χριστὸν οὖν ἔφην, ὡς ἔν γε τῷ μόσχῳ καὶ τοῖς κριοῖς, ἀμνοῖς τε καὶ τράγοις, καὶ τοῖς ἑτέροις κατασημαίνεσθαι, καὶ ἀφαμαρτεῖν τοῦ πρέποντος οἰηθείην ἂν οὔτι που τὸν ἐπὶ τῷδε λόγον. Εἰ δὲ δή τις ἕλοιτο καὶ ἐφ' ἡμᾶς αὐτοὺς τὴν τῶν ἐννοιῶν μετακομίσαι δύναμιν, τὸ λυποῦν οὐδὲν, τοιαύτην τινὰ θεωρίαν τοῖς προκειμένοις ἐπενεγκεῖν. {ΠΑΛΛ.} Ὁποίαν δὴ φῄς; {ΚΥΡ.} Προσεκομίζοντο κατὰ τὸν νόμον παρὰ παντὸς Ἰσραὴλ τὰ ἱερὰ θύματα. Προσεχεῖτο δὲ τῷ θείῳ θυσιαστηρίῳ τῶν σφαζομένων τὸ αἷμα, μονονουχὶ καταγράφοντος ὡς ἐν σκιᾷ τοῦ δρωμένου, καὶ πλαγίως ἡμῖν ὑπεμφαίνοντος, ὅτι Θεῷ τῷ ἁγίῳ τὰς ἑαυτῶν ἡμῶν καθιεροῦν προσήκει ψυχάς. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Οὐκοῦν ἀνθ' ἡμῶν καὶ ὑπὲρ ἡμῶν τὰ θύματα, καὶ ἡμεῖς ἐσμεν ἐν αὐτοῖς οἱ κατὰ τύπον ἱερουργούμενοι. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Φέρε δὴ οὖν πολυπραγμονοῦντες ὀρθῶς τὰ ὡς παρὰ πάντων προσκεκομισμένα διὰ τῆς τῶν ἡγουμένων χειρὸς, τῆς ἐν πνεύματι θεωρίας τὸ κάλλος περιαθρήσωμεν. Ἦν οὖν ἄρα τὰ προσενηνεγμένα ἐν ἀργυροῖς σκεύεσι, τρυβλίῳ, φημὶ, καὶ φιάλῃ, σεμίδαλις ἐλαιοβρεχής. Σύμβολον δὲ λαμπρότητος μὲν 68.716 ὁ ἄργυρος, ζωῆς δὲ ἡ σεμίδαλις, ὡς ἄρτου γένεσις τοῦ συνέχοντος εἰς ζωὴν, ἱλαρότητος δὲ τὸ ἔλαιον. Προσαγέσθω δὴ οὖν καὶ πρός γε ἡμῶν αὐτῶν τῷ ἐπὶ πάντων Θεῷ τὸ ὡς ἐν λαμπρότητι ζωῆς ἱλαρὸν, ἐλπίδι τῇ ἐν Χριστῷ. «Τῇ γὰρ ἐλπίδι χαίροντες,» φησί. Πῶς δ' ἂν εἶεν οὐχὶ τῆς ἀνωτάτω θυμηδίας ἔμπλεῳ, τὸ ἐν ζωῇ τε καὶ πολιτείᾳ περιφανὲς ἐξησκηκότες εὖ μάλα τῶν τοῦ Σωτῆρος ἡμῶν ἐνταλμάτων οἱ φύλακες; οἷς πάντη τε καὶ πάντως τὸ ἐν μεθέξει γενέσθαι τῆς δόξης αὐτοῦ τεθησαύρισται παρὰ Θεῷ. «Ἀπεθάνετε γὰρ, φησὶ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.» Οὐκοῦν ἡ σεμίδαλις ἐλαιόδευτος. Ἔνεστι γὰρ τῇ τῶν ἁγίων ζωῇ καὶ τὸ ὡς ἐν ἐλπίδι δόξης ἱλαρὸν, μετὰ λαμπρότητος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δηλονότι τῆς ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Χρυσῆ δὲ θυΐσκη θυμιάματος πλήρης, τὸ τῶν ἁγίων γράφουσα κάλλος, καὶ ὡς ἐν σκεύεσιν ἐκλεκτοῖς τὸ εὐῶδες ἐν ἁγιασμῷ, εἶτα δῶρον ὥσπερ τι Θεῷ τὸ εὐοσμότατον ἀληθῶς. Ἤ οὐχὶ σκεύη λαμπρὰ καὶ ἀπόλεκτα τοὺς ἁγίους ὑπάρχειν οἰησαίμεθα ἄν, ὦ Παλλάδιε; {ΠΑΛΛ.} Μάλιστά γε. {ΚΥΡ.} Μόσχος δὲ ἦν παρ' ἑκάστου, καὶ δυοκαίδεκα μὲν οἱ πάντες. Ἀχθοφοροῦσί γε μὴν τὴν ἁγίαν σκηνὴν, κατὰ δύο προσενηνεγμένοι πρὸς ἅμαξαν μίαν, καὶ ὑπὸ ζυγὸν ἕνα, ἐκνενέμηνται δὲ ταῖς τῶν Λευιτῶν ὑπουργίαις· καὶ τύπος ἂν εἴη τὸ χρῆμα τῶν δύο λαῶν, οὐκέτι μεμερισμένων εἰς ἀνομοιότητα δογμάτων καὶ ζωῆς, συνενηνεγμένοιν δὲ ὥσπερ καὶ συνδεδραμηκότοιν ὑπό γε τὸν ἕνα τοῦ Σωτῆρος ζυγὸν τληπαθῶς καὶ ἀνδρείως. «Ἀνδρίζου γὰρ, φησὶ, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.» Τληπαθὲς δὲ ζῶον ὁ μόσχος καὶ κραταιότατον. Τοιοίδε πάντως οἱ θεοσεβείας ᾑρημένοι, ζυγὸν ὥσπερ ἐφ' ἑαυτοῖς ἐπέχοντες τὸν Χριστὸν, ὡς ἐν τῇ ἁγίᾳ σκηνῇ προανατυπούμενον. Σῶμα δὲ αὐτοῦ τὴν Ἐκκλησίαν καὶ ὁ θεῖος ἡμῖν ὠνόμαζε Παῦλος. Ἐλέ-γετο δὲ καὶ πρὸς Ἀνανίαν περὶ αὐτοῦ, φημὶ δὴ τοῦ Παύλου· «Πορεύου, ὅτι σκεῦος ἐκλογῆς ἐστί μοι οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐναντίον τῶν ἐθνῶν.» Κριὸς δὲ πρὸς τούτοις, καὶ μὴν καὶ ἀμνὸς τὰ προσενηνεγμένα, τοῦ τε πρεσβυτέρου προσενηνεγμένου καὶ τοῦ νέου λαοῦ τὴν πρὸς Θεὸν ἄφιξιν καὶ τὴν οἱονείπως ἀνάθεσιν, δῆλον δὲ ὅτι τὴν πνευματικὴν, ὑπεμφαίνοντες. Ὥσπερ γὰρ τὸ τληπαθὲς καὶ ἀνδρεῖον ὡς ἔν γε τοῖς μόσχοις κατεσημαίνετο, κατὰ τὸν ἴσον, οἶμαι, τουτονὶ τρόπον καὶ ἐν τοῖς προβάτοις ἡ ὡς ἐν πραότητι καρποφορία τῶν διὰ πίστεως τῆς ἐν Χριστῷ δεδικαιωμένων διαδείκνυται σαφῶς. Πρᾶον γὰρ δὴ τὸ ζῶον, καὶ μὴν ἔγκαρπον. Τοιοῦτοι δὲ πάντες οἱ τῆς εὐαγγελικῆς πολιτείας ἀκριβεῖς ἐργάται, οἷς καὶ αὐτὸς ἐπεφώνησεν ὁ Χριστός· «Παντὶ τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει, καὶ τῷ παίοντί σε εἰς τὴν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην.» Γράφει δὲ καὶ ὁ Παῦλος· «Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι 68.717 πρὸς πάντας, ἐν πραότητι διδάσκοντα τοὺς ἀντιδιατιθεμένους.» Τὸ δὲ δεῖν ἕπεσθαι τοῖς ἤδη προειρημένοις καὶ τὴν αἰγὸς προσφορὰν, ἐκδείξειεν ἂν οὐχὶ ἕτερον, οἶμαι, τὶ, πλὴν ὅπερ ἔναγχος ἔφην, τὸ δεῖσθαι δὴ πάντας, κἂν εἴ τινες εἶεν ἀγαθοὶ τὴν ἕξιν, τοῦ διὰ μεταγνώσεως καθαρισμοῦ καὶ ἀμνηστίας παραπτωμάτων. Καὶ τοῦτο εἰδὼς ὁ θεῖος ἔφη Δαβίδ «Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται;» Χίμαρος δὴ οὖν τὸ ὑπὲρ ἀφέσεως θῦμα, κατὰ τὸν πάλαι νόμον. Μετάγνωσις δὲ νυνὶ καὶ ἀμνηστίας αἴτησις τὸ καθ' ἡμᾶς ἱερεῖον, τοὺς ἐν πνεύματί τε καὶ ἀληθείᾳ προσιόντας Θεῷ. «Λέγε γὰρ, φησὶ, σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς.» Ψάλλει δέ που καὶ ὁ Δαβίδ· «Εἶπα, Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἁμαρτίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.» Ἆρά σοι λοιπὸν σαφὴς ὁ λόγος περὶ τῆς τῶν ἀρχόντων δωροφορίας; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Χρῆναι δὲ οἶμαι κἀκεῖνο εἰπεῖν, προσκεκομισμένης γὰρ ἤδη τῆς παρ' ἑκάστου καὶ ὡς ὑπὲρ πάντων θυσίας, ἀρχὴ τῶν θείων ἐγένετο λόγων ἐν τῇ ἁγίᾳ σκηνῇ πρὸς τὸν ἱεροφάντην Μωσέα. Γέγραπται δὲ οὕτω πάλιν ἐν τοῖς Ἀριθμοῖς· «Αὕτη ἡ ἐγκαίνισις τοῦ θυσιαστηρίου, μετὰ τὸ πληρῶσαι τὰς χεῖρας αὐτοῦ, καὶ μετὰ τὸ χρίσαι αὐτόν. Ἐν τῷ εἰσπορεύεσθαι Μωσῆν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, τοῦ λαλῆσαι αὐτῷ, καὶ ἤκουσε τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ λαλοῦντος πρὸς αὐτὸν ἄνωθεν τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, ἀνὰ μέσον τῶν δύο Χερουβὶμ, καὶ ἐλάλει πρὸς αὐτόν.» Τετελειωμένης γὰρ ὥσπερ τῆς ἁγίας σκηνῆς, καὶ ἀναδειχθέντος κόσμῳ τοῦ ἀληθοῦς ἁγιάσματος, ὅ ἐστιν ἡ Ἐκκλησία, τότε δὴ τότε φωνὴ γέγονε πρὸς ἡμᾶς τοῦ Θεοῦ καὶ Πατρός. «Λελάληκε γὰρ ἡμῖν ἐν Υἱῷ,» ὃν καὶ ἱλαστήριον εἶναί φαμεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφάς. Ἄνωθεν δὲ τῶν Χερουβὶμ ἡ φωνή· κτίσεως γὰρ ἀνωτάτω καὶ ἐπέκεινα Θεὸς, οὐσιώδη τε καὶ ἐνυπάρχουσαν τὴν κατὰ παντὸς τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γεγονότος ἔχων ὑπεροχήν· διαπορθμεύων δὲ εἰς ἡμᾶς τὰς ἄνωθεν καὶ παρὰ Πατρὸς φωνὰς, ἔφασκεν ὁ Υἱὸς, τὸ ἀληθὲς ἱλαστήριον, «Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ οὐκ ἔστιν ἐμὰ, ἀλλὰ τοῦ πέμψαντός με.» Οὐκοῦν ἄνωθεν τοῦ ἱλαστηρίου γέγονεν ἡ φωνή. Θαυμάσαις δ' ἂν οὐ μετρίως τὴν τῶν φυλάρχων ἀνασκοπούμενος πρόσοδον. Ἀπονεμηθείσης γὰρ ἡμέρας ἑκάστῳ καὶ ἰδικῶς, καθ' ἣν ἔδει πληροῦν τὰ συντεταγμένα καὶ προσκομίσαι τὸ δῶρον, προσίεσαν μὲν ἐν κόσμῳ κατά γε τὸ τῷ νομοθέτῃ δοκοῦν· πλὴν οὐ κατὰ τὴν τῆς γενέσεως τάξιν, ἤτοι καθ' ἡλικίαν, ἀλλ' οὐδὲ ἀναμὶξ καὶ χύδην ἁπλῶς, συντεθειμένοι δὲ μᾶλλον ὥσπερ εἰς οἰκονομίαν μυστικήν. {ΠΑΛΛ.} Καὶ μὴν ὅ τι ποτέ ἐστιν ὃ φὴς, ἐννοεῖν οὐκ ἔχω. Φράζε δὴ οὖν μοι σαφῶς. {ΚΥΡ.} Βούλει λέγωμεν ἐν τάξει καὶ καθεξῆς τοὺς ἐξ 68.720 Ἰακὼβ γεγονότας; Σαφὲς γὰρ ἂν γένοιτο καὶ λίαν ὡδὶ τὸ ἐν τῇ προσόδῳ παρηλλαγμένον. {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Ἔστι τοίνυν πρωτότοκος μὲν ὁ Ῥουβὴμ, ἐπ' αὐτῷ δὲ Συμεὼν, Λευὶ, καὶ Ἰούδας ἀπό γε μητρὸς τῆς Λείας. Βάλα δὲ αὖ τὸ θεραπαινίδιον τὸν Δάν τε καὶ Νεφθαλεὶμ, καὶ μὴν καὶ ἡ Ζελφὰ παιδίσκη Λείας, τὸν Γὰδ καὶ Ἀσὴρ, Λεία γε μὴν πρὸς τοῖς ἄλλοις τέσσαρσι, τὸν Ἰσάχαρ καὶ Ζαβουλὼν τίκτει· γενέσθην δὲ καὶ ἀπὸ Ῥαχὴλ Ἰωσὴφ καὶ Βενιαμίν. Οὐκοῦν πρῶτοι μὲν ἐκ Λείας, οἱ ἐξ ἐλευθέρας τέσσαρες, Ῥουβὴμ, καὶ Συμεὼν, Λευὶ καὶ Ἰούδας. Ἐκ δυοῖν δὲ θεραπαίναιν, Βάλας τε καὶ Ζελφᾶς, τέσσαρες, Δὰν καὶ Νεφθαλεὶμ, Γὰδ καὶ Ἀσήρ. Ἕτεροι δὲ αὖ ἐπὶ τούτοις τέσσαρες· δύο μὲν ἐκ Λείας, Ἰσάχαρ τε καὶ Ζαβουλὼν, ἀπὸ δέ γε τῆς Ῥαχὴλ, Ἰωσὴφ καὶ Βενιαμίν. Μεμνῆσθαι δὲ ἀναγκαῖον, ὡς εἰς δύο μεμέρισται φυλὰς ὁ Ἰωσὴφ κλῆρος, εἴς τε τὸν Ἐφραῒμ καὶ μέντοι τὸν Μανασ-σῆν, τοὺς ἐξ αὐτοῦ γεγονότας. {ΠΑΛΛ.} Συνίημι μὲν εὖ μάλα τῶν ὀνομάτων τὴν τάξιν· τί δ' ἂν εἴη λοιπὸν τὸ ζητούμενον ὡς ἔν γε δὴ τούτοις, σὸν ἤδη διατρανοῦν. {ΚΥΡ.} Προσιόντες, ὦ Παλλάδιε, τοῖς δώροις ἅμα, τοῦτο ἔδρων, οὐ καθ' ἡλικίαν, ἀλλὰ πρῶτος μὲν Ἰούδας, καίτοι τέταρτος ὢν κατὰ χρόνον, ἔννατος δὲ μετ' αὐτὸν Ἰσάχαρ, καὶ σὺν αὐτοῖς δέκατος Ζαβουλών. Συμμορία δὲ ὥσπερ μετὰ τούτους δευτέρα, Ῥουβὴμ ὁ πρωτότοκος, καὶ ὁ καθεξῆς καὶ δεύτερος, Συμεών. Συνῆπται δὲ καὶ ὁ Δὰν ἐκ δούλης. Καὶ πρός γε δὴ τούτοις, τάγμα τὸ τρίτον διὰ τριῶν ἐλευθέρων, Ἐφραῒμ τε καὶ Μανασσῆ καὶ Βενιαμίν. Συμμορία δὲ τετάρτη ἐν ἐσχάτοις, τῶν ἐκ θεραπαινῶν γεγονότων. Τρεῖς δὲ δὴ οὗτοι πάλιν, Δὰν καὶ Ἀσὴρ, καὶ Νεφθαλεὶμ, καίτοι προΰχοντες τῷ τῆς γενέσεως χρόνῳ, τῶν ὡς τάξει προτεταγμένων, Ἐφραῒμ τε, φημὶ, καὶ Μανασσῆ, καὶ Βενιαμίν. Ἆρ' οὐκ ἀναγκαίαν φὴς τὴν ἐπὶ τούτοις βάσανον; {ΠΑΛΛ.} Μάλιστά γε· τίς οὖν ὁ λόγος, πειρῶ μοι λέγειν. {ΚΥΡ.} Αἴνιγμά που τὸ χρῆμά ἐστι, καθάπερ ἐγῷμαι πάλιν. Ὅτι τάξιν ἔχει τὴν πρώτην παρὰ Θεῷ τὰ διὰ Χριστοῦ τῶν ἐν νόμῳ· καὶ ὅτι τέθεινται μὲν οἱ πρῶτοι ἔσχατοι, οἱ δὲ ἔσχατοι πρῶτοι. Οἱ γὰρ ὡς ἐν χρόνῳ πρεσβύτεροι διά τε τοῦτο πρωτότοκοι, τοῦτ' ἔστιν ὁ Ἰσραὴλ, κατόπιν ἔρχεται τῶν ἐθνῶν. Καὶ οἱ τὸ δοῦλον ἔχοντες πνεῦμα, καὶ τῆς δουλευούσης Ἱερουσαλὴμ υἱοὶ, τὸ προΰχειν ἐν δόξῃ παραχωρήσουσι τοῖς τῆς ἐλευθέρας, ἥτις ἐστὶ μήτηρ ἡμῶν τῶν ἐν Χριστῷ δεδικαιωμένων, καὶ εἰς ἐλεύθερον ἀξίωμα κεκλημένων δι' ἐλευθέρου πνεύματος. Ὅρα γὰρ, εἰ δοκεῖ, τῶν θεωρημάτων τὸ ἀκριβές. Πρώτη μὲν γὰρ προσάγει τὸ δῶρον ἡ Ἰούδα φυλή· ἐξ ἧς ἀνέφυ κατὰ σάρκα Χριστός. Καὶ μετὰ ταύτην εὐθὺς ἡ Ἰσάχαρ τε καὶ Ζαβουλών· ἄμφω δὲ ἤσθην ἐλεύθεροι καὶ ἐξ ἐλευθέρων. Εἶτα Ῥουβὴμ ὁ πρω 68.721 τότοκος, Συμεών τε καὶ Γὰδ, ὅς ἐστιν ἐκ δούλης. Σημαίνεται δὲ διὰ τούτων ὁ Ἰσραήλ. Καὶ φέρε τὰς ἐφ' ἑκάστῳ λέγωμεν, ἐκ τῆς ἐπ' αὐτοῖς γενομένης προφητείας ἐξ Ἰακὼβ συλλέγοντες. Ἔφη τοίνυν ὁ θεσπέσιος Ἰακώβ· «Ῥουβὴμ πρωτότοκός μου, σὺ ἰσχύς μου, καὶ ἀρχὴ τέκνων μου, σκληρὸς φέρεσθαι καὶ σκληρὸς αὐθάδης·» καὶ πάλιν· «Συμεὼν καὶ Λευὶ ἀδελφοὶ συνετέλεσαν ἀδικίαν ἐξ αἱρέσεως αὐτῶν. Εἰς βουλὴν αὐτῶν μὴ εἰσέλθῃ ἡ ψυχή μου, καὶ ἐπὶ τῇ συστάσει αὐτῶν μὴ ἐρεῖσαι τὰ ἥπατά μου· ὅτι ἐν τῷ θυμῷ αὐτῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπέκτειναν ἀνθρώπους, καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον. Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης, καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη.» Περὶ δὲ τοῦ Γὰδ ἔφη πάλιν τάδε· «Πειρατήριον πειρατεύσει, καὶ αὐτὸς πειρατεύσει αὐτὸν κατὰ πόδας.» Οὐκοῦν ἐν μὲν τῷ Ῥουβὴμ σημαίνοιτο ἂν εἰκότως ὁ Ἰσραὴλ, ὁ πρωτότοκος μὲν κατὰ χρόνον, σκληρὸς δὲ δὴ καὶ αὐθάδης καὶ ὑβριστής· ἐν δέ γε τῷ Συμεὼν, ᾧ καὶ συνῆπται Λευῒ, ὡς ἕτοιμος εἰς μιαιφονίαν, καὶ ἀπεκτονὼς μὲν ἁγίους· «Τίνα» γὰρ, φησὶ, «τῶν προφητῶν οὐκ ἀπέκτειναν οἱ πατέρες ὑμῶν;» νευροκοπήσας δὲ ὥσπερ καὶ ταῦρον, ὅς ἐστι Χριστός. Οὐ γάρτοι μόνος ὁ τῶν Ἰουδαίων καταφωρᾶται τε-τολμηκὼς τὰ κατὰ τῶν ἁγίων καὶ κατὰ Χριστοῦ τολμήματα, συνέδραμε δὲ τούτοις καὶ ὁ Λευῒ, τοῦτ' ἔστι τὸ ἱερὸν γένος, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, Γραμματεῖς τε καὶ Φαρισαῖοι. Διὰ τοῦτο, ἐν ταῖς τοῦ προπάτορος Ἰακὼβ προφητείαις, συνέζευκται τῷ Συμεὼν καὶ ὁ Λευΐ. Ἐν δέ γε τῷ Γὰδ, ὅς ἐστιν ἐκ δούλης καὶ πειρατήριον, ὡς δυσγενὴς κατὰ γνώμην, καὶ πειράζων τὸν Ἰησοῦν, καὶ παγίδας ἱστὰς, εἰς κακουργίας αὐτῷ· προσῄεσαν γὰρ λέγοντες, «Ἔξεστι δοῦναι φόρους Καίσαρι, ἢ οὔ;» Οὐκοῦν, ἀνοίσω γὰρ αὖθις εἰς τὸ ἐν ἀρχαῖς τὸν λόγον, ὁ ἐν χρόνῳ πρωτότοκος Ἰσραὴλ, ὁ σκληρὸς καὶ αὐθάδης καὶ ὑβριστὴς, ὁ πρόχειρος εἰς μιαιφονίαν, καὶ ἐπάρατον μὲν τὴν μῆνιν ἔχων, ἀπεκτονὼς δὲ ἀνθρώπους, καὶ νευροκοπήσας ταῦρον, ὁ δυσγενὴς καὶ πικρὸς εἰς δόλους, καὶ παγίδας ἱστὰς καὶ πειρατήριον, κατόπιν τέτακται τῶν ἐν Χριστῷ τε καὶ ἐλευθέρων, καὶ εἰ ἐλεύθερος μεθ' ἡμᾶς, ὡς ἐν ὄψει μόλις ἔρχεσθαι Θεοῦ. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἀναμάθοις δ' ἂν ὅ φημι, καὶ τοῖς ἐφεξῆς τὸν νοῦν ἐφιστάς. Τρεῖς γὰρ ἀλλήλων ἐχόμενοι προσεκόμιζον ἐφεξῆς, ἐξ ἐλευθέρας τῆς Ῥαχὴλ, Ἐφραῒμ τε καὶ Μανασσῆς*. Εἶτα τρεῖς ἀλλήλων ἐχόμενοί τε καὶ μετ' ἐκείνους οἱ ἐκ θεραπαινῶν, φημὶ δὲ δὴ πάλιν, Δὰν, Ἀσήρ τε καὶ Νεφθαλείμ. Συνίῃς οὖν ὅτι προεισβάλλουσι μὲν καὶ ἐκτετίμηνται λίαν οἱ ἐξ ἐλευθέρας, ἕπονταί γε μὴν οἱ ἐκ θεραπαινῶν· ἢ οὐχὶ τοῦτό ἐστιν ἐναργὲς, ὃ καὶ αὐτὸς ἡμῖν ὁ θεσπέσιος γράφει Παῦλος; «Ὅταν» γὰρ, φησὶ, «τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται.» 68.724 {ΠΑΛΛ.} Ὀρθῶς ἔφης· ἰσχνὴ γὰρ ἄγαν ἡ ἐπιτήρησις. {ΚΥΡ.} Καὶ μὴν ὅτι τὸ χρῆμα οὐκ ἐψευσμένον, εἴσῃ τοι καὶ λίαν εὐπετῶς. Ἐμπεδοῖ γὰρ ἡμᾶς καὶ ἐξ ἑτέρων εὐθὺς ἐννοιῶν ὁ λόγος· ἐν κόσμῳ γὰρ τῷ καθήκοντι πράττεσθαι δεῖν ἐτύπου Θεὸς τάς τε ἀναζεύξεις, καὶ μὴν καὶ ἱδρύσεις, ἤτοι συγκαταυλισμοὺς τῶν υἱῶν Ἰσραὴλ, κύκλῳ τε ἰέναι τῆς σκηνῆς εὖ μάλα προστέταχε, κατά γε τὸ, οἶμαι, πρὸς τοῦ μάκαρος Δαβὶδ ἀστείως ὑμνούμενον· «Καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου,» ἤγουν τὸ, «Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ.» Ὑποσημαίνεται δέ τι καὶ ἕτερον, τὸ ὡς ἐν τύπῳ δρᾶσαι κεκελευσμένον. Χρὴ γὰρ ἡμᾶς οὐκ ἀπονοσφίζεσθαι Θεοῦ, ἀλλ' οἱονείπως ἀγχοῦ καὶ ἐν κύκλῳ φαίνεσθαι περιεστηκότας, οὐ μεσολαβούσης ἁμαρτίας, οὐ διαστάσης ἡμᾶς κοσμικῆς ἡδονῆς, ἀλλ' εἰς ἑνότητα τὴν πνευματικὴν συλλέγοντος ὀρθοῦ διανοίας παραστήματος ἑτοιμότητός τε τῆς πρὸς πᾶν ὁτιοῦν τῶν τεθαυμασμένων. Πρέπει γὰρ ἂν ὅτι μάλιστά γε τοῖς οὕτως εὐδοκιμεῖν ᾑρημένοις τὸ χρῆναι καρποφορεῖν. Γέγραπται γὰρ ὅτι «Πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα.» Οὐκοῦν συναπαίρειν αὐτοὺς ἐκέλευε τῇ σκηνῇ, καὶ κύκλῳ βαδίζειν, καὶ ὡς ἐν τάξει πάλιν, οὐ ταῖς ἡλικίαις πρεπούσῃ καὶ ἀσυγχύτως ἰούσῃ πρὸς τοὺς ἐσχάτους ἀπὸ τῶν πρώτων, συνημμένους δὲ οὕτω, καὶ ἀνὰ μέρος, καθάπερ ἐν τῇ τῶν δώρων προσαγωγῇ. Γέγραπται δὲ οὕτως ἐν τοῖς Ἀριθμοῖς, «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν καὶ Ἀαρὼν λέγων· Ἄνθρωπος ἐχόμενος κατὰ τάγμα αὐτοῦ καὶ κατὰ σημασίας κατ' οἴκους πατριῶν αὐτῶν, παρεμβαλέτωσαν οἱ υἱοὶ Ἰσραὴλ ἔναντι Κυρίου, κύκλῳ τῆς σκηνῆς τοῦ μαρτυρίου παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ.» Εἶτα τὸν ἑκάστῳ τόπον ἐκνεμηθέντα δεικνύει· ὅποι τε καὶ ὅπως καὶ τίνες οἱ παρεμβάλλοντες. Ἐπιφέρει γὰρ ὡδί· «Καὶ οἱ παρεμβάλλοντες πρῶτοι, κατὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνατολὰς, τάγμα παρεμβολῆς Ἰούδα σὺν δυνάμει αὐτῶν, καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Ἰσάχαρ, καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Ζαβουλών.» Εἶτα διαμέμνηται συμμορίας δευτέρας καί φησι· «Τάγμα παρεμβολῆς Ῥουβὴμ πρὸς νότον σὺν δυνάμει αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Ῥουβὴμ, Ἐλισοὺρ, υἱὸς Σεδιοὺρ, δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι ἓξ καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. Καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ, φυλῆς Συμεὼν, καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ, φυλῆς Γάδ.» Καὶ τρίτην εὐθὺς ἐπισυνάπτει λέγων· «Τάγμα παρεμβολῆς Ἐφραΐμ παρὰ θάλασσαν σὺν δυνάμει αὐτῶν, καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Βενιαμίν.» Καὶ μὴν καὶ τετάρτης συμμορίας εὐθὺς διαμέμνηται λέγων, «Τάγμα παρεμβολῆς Δὰν πρὸς βοῤῥᾶν σὺν δυνάμει αὐτῶν· καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλῆς Ἀσὴρ, καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλῆς Νεφθαλεὶμ, πάντες οἱ ἐπεσκεμμένοι, φησὶ, τῆς παρεμβολῆς Δὰν, ἑκατὸν πεντήκοντα καὶ ἑπτὰ χιλιάδες καὶ ἑξακόσιοι, ἔσχατοι ἐξαροῦσι 68.725 κατὰ τάγματα αὐτῶν.» Ὁρᾷς ὅτι προτέτακται μὲν Ἰούδας καὶ οἱ σὺν αὐτῷ, καὶ τὸν ἀπόλεκτον ἔχει τόπον τὸν πρὸς ἠὼ καὶ νότον; ἐν φωτὶ γὰρ οἱ ἐν Χριστῷ, καὶ τῷ πνεύματι ζέοντες. Δεύτερος ὁ Ῥουβὴμ, καὶ οἱ σὺν αὐτῷ. Καὶ τρίτοι μὲν πάλιν οἱ ἐξ ἐλευθέρας. Εἶτα μετὰ τούτους ἕτεροι τρεῖς, οἱ ἐκ θεραπαινῶν, περὶ ὧν εἴρηται τὸ, «Ἔσχατοι ἐξαροῦσιν.» Ἆρ' οὐκ ἐναργὲς καὶ οὐδαμόθεν ἐνδοιαστὸν, ὅτι προτετίμηται καὶ προεισκέκληται τοῦ πρωτοτόκου τὸ δεύτερον, τοῦτ' ἔστι, τὸ ἐν Χριστῷ, καὶ τῶν ἐκ δουλείας τὸ ἐλεύθερον ἐν πίστει; Οἱ μὲν γὰρ ἡγοῦνται διὰ τὸν ἐξ Ἰούδα Χριστόν· οἱ δὲ κατόπιν ἔρχονται μόλις, καὶ ὡς ἐν δευτέρᾳ τέθεινται τάξει. {ΠΑΛΛ.} Ὀρθότατα ἔφης· καί σε τῆς οὕτω λεπτῆς ἀγχινοίας ἐπαινέσαιμι.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ.

### Περὶ ἱερωσύνης, καὶ ὅτι τύπος ἦν κατὰ νόμον τῆς ἐν Χριστῷ.

{ΚΥΡ.} Σκηνῆς μὲν δὴ πέρι καὶ τῶν ἐπ' αὐτῇ κεχρησμῳδημένων, ἀποχρῶν ἡμῖν εὖ μάλα καὶ ἀστείως ἀπεξεσμένος εἰς ἰσχνότητα τὴν πνευματικὴ ἐκπεποίηται λόγος. Πρέποι δ' ἂν, ὥς γέ μοι φαίνεται, συνερεῖς δέ που καὶ αὐτὸς, οἶδ' ὅτι, τῶν ἱερωσύνης ἅψασθαι γερῶν, τίνα τε αὖ τὸν τρόπον διὰ τῆς ἐν τύπῳ καὶ κατὰ νόμον ἡ ἀληθὴς σημαίνεται, τοῦτ' ἔστιν, ἡ ἐν Χριστῷ τε καὶ δι' αὐτοῦ τὸ ἱερὸν ἁγιάζουσα γένος, φημὶ δὲ δὴ πάλιν τοὺς ἐν πίστει λελαμπρυσμένους, καὶ τὴν εἰς Θεὸν οἰκειότητα πεπλουτηκότας, διά γε τοῦ μεταλαχεῖν ἁγίου Πνεύματος. {ΠΑΛΛ.} Πρέποι γὰρ ἂν καὶ μάλα εἰκότως. {ΚΥΡ.} Ἀποτελεσθείσης δὴ οὖν ἐν κόσμῳ τῷ πρέποντι τῆς ἁγίας σκηνῆς, καὶ εἰς εἶδος ἐνηνεγμένης τὸ ἐν τῷ ὄρει παραδειχθὲν τῷ θεσπεσίῳ Μωσῇ, τὴν τῶν ἱερέων ἀνάδειξιν ἐποιεῖτο Θεὸς, καὶ δὴ καὶ ἔφασκε, «Καὶ σὺ προσαγάγου πρὸς ἑαυτὸν τόν τε Ἀαρὼν τὸν ἀδελφόν σου καὶ τοὺς υἱοὺς αὐτοῦ ἐκ 68.728 τῶν υἱῶν Ἰσραὴλ ἱερατεύειν μοι, Ἀαρὼν καὶ Ναδὰβ καὶ Ἀβιοὺδ, καὶ Ἐλεάζαρ, καὶ Ἰθάμαρ υἱοὺς Ἀρών.» Ὀνομαστὶ μὲν οὖν οἱ ἀπόλεκτοι κέκληνται πρὸς ἱερουργίαν. «Οὐ γὰρ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ,» κατὰ τὸ γεγραμμένον. Ἴτω δὴ οὖν αὐτόμολος μὲν μηδεὶς εἰς τὸ ἱερατεύειν τῷ Θεῷ, περιμενέτω δὲ κλῆσιν, ἤγουν, ἁρπάζειν ἐπιχειρῶν, ὃ μὴ ταῖς ἄνωθεν ἔχει ψήφοις, τὴν Δαθάν τε καὶ Ἀβειρὼν ὑφέξει δίκην. Καὶ μήτοι θαυμάσῃς εἰ τὸ αὐτόμολον ἐφ' ἡμῶν ἔκτοπόν τε καὶ ἀκαλλὲς, ὅτε καὶ περὶ αὐτοῦ τοῦ Χριστοῦ γράφει Παῦλος, «Οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὸν, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.» Κλήσεως οὖν ἄρα τῆς ἐπὶ Χριστῷ λεγομένης εἰκὼν ἂν εἴη πάλιν τὸ πρὸς Μωσέα σοφῶς εἰρημένον, «Καὶ σὺ προσαγάγου πρὸς ἑαυτὸν τόν τε Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ τοὺς υἱοὺς αὐτοῦ.» Τὸ γὰρ «προσαγάγου,» τί ἕτερον ἢ τὸ, οἰκείωσαί τε καὶ προσκάλει, δηλοῖ; Κέκληται δὲ ὥσπερ εἰς ἀρχιερέα Χριστὸς διὰ βουλῆς τοῦ Πατρός. Συγκέκληνται δὲ τρόπον τινὰ αὐτῷ καὶ συνεργοὶ τέθεινται πρὸς ἱερουργίαν καὶ οἱ θεσπέσιοι μαθηταί. Τοιγάρτοι καὶ διαῤῥήδην ἔφασκον, «Θεοῦ γάρ ἐσμεν συνεργοί·» περιεφοίτων δὲ αὖ καὶ τὴν ὑφ' ἥλιον πᾶσαν, ἱερουργοῦντες εἰς τὰ ἔθνη τὸ Εὐαγγέλιον Χριστοῦ. Κέκληνται μὲν γὰρ εἰς ἀποστολὴν διὰ Χριστοῦ, καὶ ἀληθὴς ὁ λόγος. Ἀλλ' ἦν που πάντως τὸ χρῆμα καὶ αὐτὸ θελητὸν τῷ Πατρί· μία γὰρ ἐφ' ἅπασι τοῖς δρωμένοις ἡ ψῆφος, ὅτι καὶ βουλὴ καὶ σοφία καὶ θέλησις τοῦ Πατρὸς ὁ Υἱός. Οὐκοῦν ὁ Ἀαρὼν τύπος ἂν εἴη Χριστοῦ, καὶ τῆς ἐν πνεύματί τε καὶ ἀληθείᾳ νοουμένης ἱερωσύνης, οἱονεὶ προανάδειξις, ὡς ἐν σκιαῖς ἔτι ταῖς ἀμυδροτέραις. Σύνες δὲ ὅτι προστάττεται Μωσῆς προσαγαγέσθαι πρὸς ἑαυτὸν τόν τε Ἀαρών· ἀσθενὴς γάρ πως καὶ ἀτελὴς ὁ νόμος, εἰ καὶ ἀπονοσφίζοιτο τοῦ Χριστοῦ. «Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.» Χριστὸς δὲ μίαν ὑπὲρ ἁμαρτωλῶν προσενέγκας θυσίαν, τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους, Ἴστωσαν δὴ οὖν οἱ σκιᾶς ἔτι καὶ γράμματος φίλοι, καὶ Μωσαϊκῶν ἐνταλμάτων κατηξιωμένοι, ὡς εἰ μὴ προσαγάγοιντο πρὸς ἑαυτοὺς τὸν ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, εἰς οὐδὲν αὐτοῖς τῆς ἐν τύπῳ λατρείας καταλήξει τὸ σπούδασμα. Ποῖα γὰρ ἂν εἶεν παρά γε τῷ φιλαρέτῳ Θεῷ τῆς ἐν νόμῳ ζωῆς τὰ αὐχήματα; Τοιγάρτοι καὶ Παῦλος ἡμῖν ὁ σοφώτατος, διὰ τὸ ὑπερέχον τῆς γνώσεως τῆς Χριστοῦ, σκύβαλα μὲν ἡγεῖσθαι τὰ ἐν κόσμῳ φησὶν, ἀνθελέσθαι δὲ τὰ πνευματικά· καὶ τοῦτό ἐστι νοητῶς, τὸ προσάγεσθαι πρὸς ἑαυτὸν αὐτὸν τὸν Ἀαρών. {ΠΑΛΛ.} Συνίημι ὃ φῄς· σαφὴς γὰρ ὁ λόγος. {ΚΥΡ.} Προσαγάγου τοίνυν, φησὶ, πρὸς ἑαυτὸν 68.729 Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ καθ' ἕτερον, οἶμαι, τρόπον, τὸ χρῆμα εἰδὼς οὐκ ἀσυντελὲς εἰς ὄνησιν τὴν ὡς ἐν νοήσει πνευματικῇ· σύνες δὲ ὃ φημί. Ἀπεστέλλετο μὲν γὰρ Μωσῆς, τῆς ἐν Αἰγύπτῳ ταλαιπωρίας ἐκκομίζων τὸν Ἰσραήλ. Εἶτα τὴν ἀνθρώπου δύναμιν ὑπερανεστηκὸς ἄγαν, καὶ πέρα δὴ μέτρων τῆς ἐνούσης ἰσχύος τε καὶ εὐγλωττίας αὐτῷ τὸ ἐγχείρημα βλέπων, ἐλιπάρει λέγων· «Ἰδοὺ οὐκ εὔλαλός εἰμι πρὸ τῆς χθὲς, οὐδὲ πρὸ τῆς τρίτης, οὐδὲ ἀφ' οὗ ἤρξω λαλεῖν τῷ θεράποντί σου, ἰσχνόφωνος καὶ βραδύγλωσσός εἰμι ἐγώ.» Θεοῦ δὲ πρὸς ταῦτα, «Τίς ἔδωκε στόμα ἀνθρώπῳ,» λέγοντος, «τίς ἐποίησε δύσκωφον καὶ κωφὸν, βλέποντα καὶ τυφλόν; οὐκ ἐγὼ Κύριος ὁ Θεός; καὶ νῦν πορεύου, καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου.» Τῆς τῶν κατορθωμάτων ὑπεροχῆς ἡττώμενος, ἐδεδίει πάλιν, καὶ δὴ ἔφασκε, «Δέομαι, Κύριε, προχείρισαι ἄλλον, τὸν δυνάμενον, ὃν ἀποστελεῖς.» Προεχειρίζετο δὲ τὸ τηνικάδε Θεὸς παραχρῆμα τὸν Ἀαρὼν, εἰς τύπον τοῦ πάντα εὐκόλως κατορθοῦν εἰδότος Χριστοῦ· λελύτρωται δὲ οὐχ ἑτέρως ὁ Ἰσραὴλ, εἰ μὴ δέδοται συνεργὸς τῇ Μωσέως ἰσχνομυθίᾳ καὶ ἀσθενείᾳ πάλιν, ὡς ἐν εἰκόνι τῇ Ἀαρὼν ὁ Χριστός· οὕτω κἀνθάδε νοήσεις. Τὸ γὰρ ἀσθενὲς τοῦ νόμου τελειῶν ἐν Χριστῷ, παρεκόμισεν εἰς ἱερωσύνην τὸν Ἀαρὼν, καὶ συνάπτει χρησίμως τῷ μακαρίῳ Μωσῇ. Οὔτε γὰρ εἰς λύτρωσιν ἀρκέσειεν ἂν ὁ νόμος, οὔτε μὴν εἰς τὸ δύνασθαι τελειοῦν εἰς ἁγιασμὸν τοὺς ἐκλελυτρωμένους. Λύτρωσις δὲ καὶ ἁγιασμὸς ὁ Χριστὸς, συνεργαζομένων ἁγίων· καθάπερ ἀμέλει Μωσῆς μὲν τῷ Ἀαρὼν ἐν Αἰγύπτῳ τότε, αὐτῷ γε μὴν τῷ Ἀαρὼν οἱ υἱοί. Τῷ δὲ δὴ πάντων ἀρχιερεῖ καὶ ἡγουμένῳ Χριστῷ συνειργάζοντο νοητῶς καὶ οἱ θεσπέσιοι μαθηταί. Πάντα μὲν ἰσχύοντι κατορθοῦν, καὶ οὐχ ὡς ἀσθενοῦντι συντρέχοντες, ἀλλ' ὡς κεκλημένοι πρὸς ὑπουργίαν καὶ ἀριστίνδην ἐπιλελεγμένοι, καὶ τὸ ἐφ' ἅπασιν εὐσθενὲς παρ' αὐτοῦ κερδαίνοντες. Καὶ μαρτυρήσει λέγων ὁ θεσπέσιος Παῦλος· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.» {ΠΑΛΛ.} Οὐκοῦν ἀπόλεκτοι καὶ ὀνομαστὶ κέκληνται πρὸς ἱερουργίαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀαρών τε καὶ οἱ λοιποί. {ΚΥΡ.} Καὶ πρός γε δὴ τούτοις λαμπρά τε καὶ ἱεροπρεπῆ τὰ ἐσθήματα κατασκευάζεσθαι αὐτοῖς ἐνομοθέτει λέγων· «Καὶ ποιήσεις στολὴν ἁγίαν Ἀαρὼν τῷ ἀδελφῷ σου εἰς τιμὴν καὶ δόξαν, καὶ σὺ λάλησον πᾶσι τοῖς σοφοῖς τῇ διανοίᾳ, οὓς ἐνέπλησα πνεῦμα αἰσθήσεως, καὶ ποιήσουσι τὴν στολὴν τὴν ἁγίαν Ἀαρὼν εἰς τὸ ἅγιον ἐν ᾗ ἱερατεύσει μοι.» Παῦλος μὲν οὖν ὁ σοφώτατος τοῖς ἐν πίστει δεδικαιωμένοις τὴν ἁγίαν ὄντως καὶ ἐξ οὐρανοῦ στολὴν ἀνάπτεσθαι δεῖν συμβουλεύει γράφων· «Ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.» Τοῦτο γάρτοι ὁ προφήτης Ἡσαΐας προανακεκράγει λέγων ὡς ἐκ προσώπου τῆς Ἐκκλησίας, «Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης.» Ἔσθημα δὴ οὖν τὸ εἰς 68.732 τιμὴν καὶ δόξαν ἀληθῶς τῷ ἱερῷ καὶ ἁγίῳ γένει, Χριστὸς, κόσμημά τε λαμπρὸν καὶ ὑπερκόσμιον ταῖς τῶν ἁγίων ψυχαῖς. «Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε,» φησὶ, καὶ ἀληθὴς ὁ λόγος. Ὡς ἐν σκιαῖς δὲ ὁ νόμος κατακαλλύνει τὸν Ἀαρὼν, εἰς Χριστὸν ἀναφέρων τὴν ἐκ τοῦ ποικίλως ἐστάλθαι δόξαν. Μονονουχὶ γὰρ καὶ συνυφασμένος τῇ τῶν τεχνημάτων κατασκευῇ μυστικός τε καὶ ἀκριβὴς εὑρίσκεται λόγος, αἰνιγματωδῶς ὑποφαίνων τοῦ Σωτῆρος τὴν δόξαν. Θέα γὰρ ὅπως τῆς συνέσεως τῆς παρὰ Θεοῦ τῶν ἐσθημάτων τοὺς τεχνουργοὺς ἀναπεπλῆσθαί φησιν, εἰς εὐανθῆ ποικιλουργίαν ἀποκομίζοντος, καὶ τὴν Χριστοῦ τοῖς ἀμφίοις ἐγγράφοντος δόξαν. Περιστήθιον δὲ καὶ ἐπωμὶς, καὶ ποδήρης, καὶ χιτὼν ὁ κοσυμβωτὸς, κίδαρίς τε καὶ ζώνη, τὰ τεχνουργούμενα, αὐτά τε καὶ πρὸς τούτοις ἕτερα, ἃ καὶ ἀνὰ μέρος ἡμῖν, ὡς ἔνι, λελέξεται. Ἔφη τοίνυν περὶ τῶν εἰς ἔργα παρειλημμένων, «Καὶ αὐτοὶ λήψονται τὸ χρυσίον, καὶ τὴν ὑάκινθον, καὶ τὴν πορφύραν, καὶ τὸ κόκκινον, καὶ βύσσον.» Καί μοι πάλιν λεπτὸν ἐνιεὶς τοῖς προκειμένοις τὸν νοῦν, καὶ πρό γε δὴ τῶν ἄλλων ἄθρει δὴ τόδε. {ΠΑΛΛ.} Τὸ ποῖον τί φῄς; {ΚΥΡ.} Οὐ γὰρ χρυσίου καὶ βύσσου, καὶ μὴν καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένου, ὑακίνθου τε αὖ πάντα πεποίηνται τὰ ἐν τῇ σκηνῇ, καὶ ἦν εἰς τύπον Χριστοῦ; {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Θέα δὲ δὴ ὅτι διὰ τῶν αὐτῶν καὶ ἡ τοῦ προὔχοντος ἐν ἱερωσύνῃ διεσκευάσθη στολὴ, τὴν Χριστοῦ δόξαν ὡς ἐν εἰκόνι δὴ πάλιν καὶ τύποις ὠδίνουσα· λόγοι γὰρ οἱ αὐτοὶ, γνῶσις δὲ οὐχ ἑτέρα, τὸ Χριστοῦ κάλλος κατασημαίνουσι. Γινώσκεται γὰρ ὡς ἐν χρυσῷ μὲν Θεὸς, ὡς ἐν πορφύρᾳ τὸ βασίλειον ἔχων ἀξίωμα, καὶ ὡς ἐν βύσσῳ λεπτῇ λόγος ἰσχνὸς καὶ ἀσώματος, ὡς ἐν κοκκίνῳ διὰ τὴν σάρκα· ἐν ὑακίνθῳ γε μὴν ἀεροφανεῖ, τοιουτόχρως γὰρ ὑάκινθος, διὰ τὸ ἄνωθεν καὶ ἐξ οὐρανοῦ. Ἦ γὰρ οὐχὶ Θεός τε ἅμα καὶ βασιλεὺς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Οὐχὶ δὲ Λόγος ὢν τοῦ Πατρὸς λεπτὸς καὶ ἀσώματος, γέγονεν ἐν σαρκὶ καὶ ἔστιν ἄνωθεν; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Αἱ αὐταὶ τοιγαροῦν ἀπαραλλάκτως καὶ ὡς ἐν θεωρίᾳ λεπτῇ τῶν ἐσθημάτων αἱ ὕλαι, καὶ μέντοι καὶ τῶν κατεσκευασμένων ἐν τῇ ἁγίᾳ σκηνῇ. Καὶ ταυτὶ μὲν ὧδε, τὰ δὲ εἰς τιμὴν καὶ δόξαν τῷ Ἀαρὼν ποικίλως ἐξυφασμένα καιρὸς ἤδη λέγειν. Οὐκοῦν, «Καὶ ποιήσουσι, φησὶ, τὴν ἐπωμίδα ἐκ βύσσου κεκλωσμένης, ἔργον ὑφαντὸν ποικιλτοῦ, δύο ἐπωμίδες συνέχουσαι ἔσονται αὐτῷ, ἑτέρα τὴν ἑτέραν ἐπὶ τοῖς δύο μέρεσιν ἐξηρτημένα. Καὶ τὸ ὕφασμα τῶν 68.733 ἐπωμίδων, ὅ ἐστιν ἐπ' αὐτῷ κατὰ τὴν ποίησιν, ἐξ αὐτοῦ ἔσται ἐκ χρυσοῦ καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου διανενησμένου καὶ βύσσου κεκλωσμένης.» Ὕλην δὲ τοῖς ὑφάσμασι δοὺς τὴν ἤδη προειρημένην, εὐθὺς ἐπιφέρει· «Καὶ λήψῃ τοὺς δύο λίθους, λίθους σμαράγδους, καὶ γλύψεις ἐν αὐτοῖς τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ, ἓξ ὀνόματα περὶ τὸν λίθον τὸν ἕνα, καὶ τὰ ἓξ ὀνόματα τὰ λοιπὰ ἐπὶ τὸν λίθον τὸν δεύτερον, κατὰ τὰς γενέσεις αὐτῶν, ἔργον λιθουργικῆς τέχνης· γλύμμα σφραγίδος διαγλύψεις τοὺς λίθους ἐπὶ τοῖς ὀνόμασι τῶν υἱῶν Ἰσραήλ. Καὶ θήσεις τοὺς δύο λίθους ἐπὶ τῶν ὤμων τῆς ἐπωμίδος· λίθοι μνημόσυνόν εἰσι τοῖς υἱοῖς Ἰσραήλ.» {ΠΑΛΛ.} Βαθὺς μὲν, ὡς ἔοικεν, ὁ ἐν τοῖς θεωρήμασι λόγος· πειρῶ δὲ πρότερον ἐκεῖνο εἰπεῖν, τί τὸ χρῆμα τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπίκλην ἐπωμίδος, ἢ ποῖον ἂν ἔχοι τῆς κατασκευῆς τὸν τρόπον. {ΚΥΡ.} Ὕφασμά τι χιτῶνος ὡς ἐν εἴδει καὶ μέχρι στέρνου διῆκον γενέσθαι προστέταχεν, ὡς αὐτοῖς ἔσω τε καὶ ὡς ἐν χρῷ καὶ μέχρι ποδῶν ἐσθήμασιν ἐπενηνεγμένου, καὶ τὴν ἐκ χρυσοῦ καὶ πορφύρας ἀπαστράπτων αὐγὴν, τοῖς τῶν θεωμένων ὀφθαλμοῖς σεπτόν τε καὶ ἱεροπρεπὲς ἐντέκοι τὸ θαῦμα. Τοῦτο κέκληκεν ἐπωμίδα, διὰ τὸ, οἶμαι, βραχὺ τοῦ τεχνήματος, καὶ τὸ ἀμφοῖν δὴ μόλις ἐπιτάννυσθαι τοῖν ὤμοιν. Ἐν ταύτῃ δὴ οὖν τῇ ἐπωμίδι δύο λίθους, σμαράγδου δὲ αὗται, κλώσμασιν ἰσχνοῖς εὖ μάλα διεσφιγμένας ἐνερείδεσθαι δεῖν διετύπου σαφῶς, ἐνορωρυγμένων εὐτέχνως ὀνομαστὶ τῶν φυλῶν, ὡς ἓξ ἐν μιᾷ γράφεσθαι λίθῳ. Καὶ τίς ὁ τοῦδε λόγος, αὐτὸς ἡμῖν διεσάφει λέγων· «Καὶ λήψεται Ἀαρὼν τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ ἔναντι Κυρίου ἐπὶ τῶν δύο ὤμων αὐτοῦ, μνημόσυνον περὶ αὐτῶν.» {ΠΑΛΛ.} Νομιοῦμεν δὲ τί διά τε τῶν λίθων καὶ τῶν ἐν αὐτοῖς ὑποδηλοῦσθαι πάλιν; {ΚΥΡ.} Ἄκουε δή· ὠχρὰ μὲν λίθος ἡ σμάραγδος. Ἐννήχεται δὲ αὐτῇ τὸ αὐγοειδὲς ἐν βάθει, καὶ οἱονεὶ σκότῳ συγκέκραται φῶς· ἑκατέρου πρὸς ἑαυτὸ τὸ νικᾷν ἀνθέλκοντος. Ἆρ' οὖν, ὦ Παλλάδιε, πρὸς τὸ ὑψοῦ τε καὶ ἄνω βλέπων ὁ τοῦ σώματος ὀφθαλμὸς, καὶ κατατείνας εἰς τὸ βαθὺ πρὸς αἰθέρα καὶ οὐρανὸν, οὐχὶ τοιᾷδέ τινι προβαλεῖ θεωρίᾳ; ὠχρὸς γάρ που καὶ ὡς ἐν βάθει μέλας, καὶ φωτὶ μετρίῳ συμμιγὴς, ὁ ἀνωτάτω λίαν αἰθήρ. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Εἰκόνα δὴ οὖν οὐρανοῦ τὴν λίθον ποιεῖται τὸ  Γράμμα τὸ ἱερόν. Καὶ μή τοι θαυμάσῃς ὅτε καὶ σαπφείρῳ παρεικάζει πάλιν αὐτόν. Ὠχρὰ γὰρ ἡ σάπφειρος, καὶ τῆς ἐν σμαράγδῳ θέας οὐ μακράν.  Γέγραπται δὲ οὕτως ἐν τῇ Ἐξόδῳ, «Καὶ ἀνέβη Μωσῆς καὶ Ἀαρὼν, καὶ Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶἑβδομήκοντα τῆς γερουσίας Ἰσραήλ. Καὶ εἶδον τὸν τόπον οὗ εἱστήκει ὁ Θεὸς Ἰσραήλ· καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ, ὡσεὶ ἔργον λίθου σαπφείρου, καὶ ὥσπερ εἶδος στερεώματος τοῦ οὐρανοῦ, τῇ καθαρότητι.» 68.736 Ἐπειδὴ γὰρ ἐν Αἰγύπτῳ γεγονότες οἱ ἐξ Ἰσραὴλ λελατρεύκασι τῇ κτίσει, καὶ θεὸν ἐκάλουν τὸν οὐρανὸν, χρησίμως αὐτοῖς ὁ τῶν ὅλων Κύριος καὶ ἐπ' αὐτοῦ βεβηκὼς ἐφαίνετο τοῦ στερεώματος, ἵν' εἰδεῖεν ὅτι πάντα ὑπὸ πόδας ἔχει, καὶ αὐτῶν ἐστι τῶν οὐρανῶν δεσπότης, ὡς δημιουργός. Συνίης οὖν ὅτι τύπον ὥσπερ τινὰ καὶ εἰκονισμὸν οὐρανοῦ τὸ Γράμμα ποιεῖται τὸ ἱερὸν, τὴν ὡς ἐν μετρίῳ φωτὶ κατωχριῶσαν λίθον; κυαναυγὴς γὰρ φύσει. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Οὐρανοῦ δὴ οὖν σημεῖον ἡ σμάραγδος, γεγραμμένον ἔχουσα κατὰ γένος τὸν Ἰσραὴλ, καὶ τόπον λαχοῦσα τὴν ἐπωμίδα, δι' οὗ παρέσται νοεῖν, ὡς, οἵπερ ἂν εἶεν τὴν ἀπογραφὴν λαχόντες ἐν οὐρανῷ, οὗτοι πάντη τε καὶ πάντως ἐπαναπαύσονται τῷ Χριστῷ, μονονουχὶ καὶ ἐπ' ὤμων ἔχοντι, καὶ ὡς ἐν τάξει τέκνων ποιουμένῳ τοὺς ἀγαθούς. Τοιοῦτον δὲ καὶ ὁ θεῖος ἔφη Μωσῆς, φειδοῖ τῇ παρὰ Θεοῦ κατακαλλύνων τὸν Ἰσραήλ· «Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.» Ἀλλὰ δή που καὶ ὁ Δαβὶδ ἀναμελῳδεῖ ἁγίῳ παντὶ, καὶ ἐν βοηθείᾳ τοῦ Ὑψίστου κατῳκηκότι, «Ἐπὶ τῶν μετα-φρένων αὐτοῦ ἐπισκιάσει σοι,» φησί. Μετάφρενά που καθάπερ ἐγῷμαι τὰ ὑπαυχένια μέρη, καὶ τὰ ὡς ἐν ὤμοις ὑποδηλῶν, καὶ οὐχὶ δὴ πάντως τὰ νῶτα. Ἐπ' ὤμων δὴ οὖν ἀρθήσονται, κατὰ τὴν τοῦ προφήτου φωνὴν, καὶ ἐπὶ βραχίονος ἀναληφθήσονται κατὰ τὸν ἀρχαῖον Ἐφραῒμ, οἱ τὴν ἄνω λαχόντες ἀπογραφὴν, ἣν εὐκλεᾶ τε καὶ ἀξιάγαστον καὶ τῶν θείων χαρισμάτων τὸ κάλλος ὑπερκειμένην αὐτὸς ἀπέφηνεν ὁ Σωτὴρ, τοῖς ἁγίοις μαθηταῖς ὠδίπη λέγων· «Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν, χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν τοῖς οὐρανοῖς.» Μνημόσυνον δὲ τὴν ἔν γε τοῖς λίθοις ἀπογραφὴν ἔσεσθαί φησι τοῖς υἱοῖς Ἰσραὴλ ἔναντι Κυρίου, μονονουχὶ καὶ ἐνατενίζοντος, ὡς ἐν Ἀαρών· εἰσδέχεται γὰρ ἡμᾶς ὁ Θεὸς καὶ Πατὴρ εἰς ἀνάμνησιν ἐν Χριστῷ, καὶ γεγόναμεν ἐν αὐτῷ γνώριμοί τε καὶ ἐποπτείας ἄξιοι, καὶ ὡς ἐν βίβλῳ Θεοῦ. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Κόσμημα δὲ τούτῳ καὶ ἕτερον προσεπάγεσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεῖν ἐπιτάττει λέγων, «Καὶ ποιήσεις ἀσπιδίσκας ἐκ χρυσοῦ καθαροῦ καταμεμιγμένας, καὶ ποιήσεις δύο κροσσωτὰ ἐκ χρυσίου καθαροῦ καταμεμιγμένα ἐν ἄνθεσιν ἔργον πλοκῆς, καὶ ἐπιθήσεις τὰ κροσσωτὰ τὰ πεπλεγμένα ἐπὶ τὰς ἀσπιδίσκας καὶ τὰς παρωμίδας αὐτῶν ἐκ τῶν ἐμπροσθίων. Καὶ ποιήσεις λόγιον τῶν κρίσεων, ἔργον ὑφάντου κατὰ τὸν ῥυθμὸν τῆς ἐπωμίδος, ποιήσεις αὐτὸ ἐκ χρυσίου καὶ ὑακίνθου, καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένου, καὶ βύσσου κεκλωσμένης, ποιήσεις αὐτὸ τετράγωνον, ἔσται διπλοῦν σπιθαμῆς τὸ μῆκος καὶ σπιθαμῆς τὸ εὖρος, Καὶ καθυφανεῖς ἐν αὐτῷ ὕφασμα κατὰ τὸν 68.737 λίθον τετράστιχον.» Εἶτα τῶν λίθων συνθεὶς τὰ ὀνόματα αὐτῶν, προσεπάγει πάλιν, «Καὶ οἱ λίθοι ἔστωσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραὴλ δώδεκα, κατὰ τὰ ὀνόματα αὐτῶν, γλυφαὶ σφραγίδων ἑκάστου κατὰ τὰ ὀνόματα αὐτῶν ἔστωσαν εἰς τὰς δώδεκα φυλάς.» Καὶ ἑξῆς μετ' ὀλίγα· «Καὶ λήψεται,» φησὶν, «Ἀαρὼν τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τοῦ λογίου τῆς κρίσεως, ἐπὶ τοῦ στήθους εἰσιόντι εἰς τὸ Ἅγιον, μνημόσυνον ἔναντι Κυρίου τοῦ Θεοῦ.» {ΠΑΛΛ.} Ὡς βαθὺ τοῦ λογίου τὸ χρῆμα, δυσέφικτός τε κομιδῆ καὶ αὐτὸς εἶναί μοι δοκεῖ τῆς κατασκευῆς ὁ τρόπος. {ΚΥΡ.} Ἰτέον δὴ οὖν ἐπ' αὐτὰ, καὶ ὡς ἀγχοῦ δὴ μάλα τῆς ἀληθείας, εἰ καὶ μὴ εἰσάπαν αὐτῆς ἐφικέσθαι τυχὸν ἐπιτρέπει τὸ ἄναντες. Τὰ γάρτοι λίαν ἀσυμφανῆ κἂν γοῦν ἐν ἐσόπτρῳ βλέπειν, φαίην ἂν ἔγωγε θατέρου διενεγκεῖν, τοῦ μηδ' ὅλως ἐννενοῆσθαι λέγω. Ἐρῶ δὴ οὖν, ὡς οἷόν τε καὶ ὡς ἂν ἔχοιμι κατὰ νοῦν. Ἀσπιδίσκας δύο προστέταχε γενέσθαι ἐκ χρυσίου δὴ καθαροῦ, εὐρυτέρας μὲν ἢ κατὰ νομίσματος κύκλον, ἐν εἴδει γε μὴν τῷ αὐτῷ· κυκλοτερὲς γὰρ τὸ νόμισμα· εἶτα δύο κροσσωτὰ μεμιγμένα ἐν ἄνθεσιν ἐκ χρυσίου καθαροῦ. Σειρὰς δὲ εἶναί φαμεν τὰ κροσσωτὰ, ἐκπεποικιλμένην ἐχούσας τὴν ὡς ἐν χρώμασιν ὄψιν. Ἄνθη γὰρ ἔφη τὰ χρώματα. Βύσσος δὲ ἦν ἄρα καὶ πορφύρα ταυτὶ, καὶ νῆμα χρυσοῦν, καὶ μὴν καὶ ὑάκινθος, καὶ κλῶσμα τὸ κόκκινον. Καὶ πρός γε δὴ τούτῳ χρῆναι γενέσθαι φησὶ τετράγωνον ὕφασμα, καὶ ὡς ἐν εἴδει κύβου, σπιθαμιαῖον, ἰσόπλευρον πανταχῇ. Ἐνυφαίνεσθαι δὲ δεῖν αὐτῷ τὰς δυοκαίδεκα λίθους εὖ μάλα φησὶ, καὶ ἀνὰ τρεῖς κειμένας, ὡς ἐν τέσσαρσιν ὅλοις στίχοις ἐντετορευμένων αὐταῖς ὀνομαστὶ τῶν φυλῶν. Οὐκοῦν ἀπὸ μὲν τῆς ἐπωμίδος, χρυσαῖς καὶ πολυειδέσιν αἱ ἀσπιδίσκαι σειραῖς ἐκκεκρεμασμέναι ὑπεκάθηντο μέντοι ἠρέμα, τὸ ὑψοῦ τε δοκεῖν καὶ ἐπ' αὐτοῖς εἶναι τοῖς ὤμοις. Ἥπτοντο δὲ τῶν στέρνων καὶ αὐτοῖς ἤδη ἐπῃώρηντο τοῖς μαστοῖς· ἀπὸ δέ γε τῶν ἀσπιδισκῶν σειραῖς ἑτέραις τὸ τῶν κρίσεων λόγιον εὖ μάλα προσηρτημένον ἐπενήχετο τῷ στέρνῳ, κροσσωτῶν ἐκκεκρεμασμένων. Καὶ ἦν οὐκ ἀθαύμαστον τοῖς ὁρῶσι τὸ χρῆμα, λίθοις καὶ χρυσῷ διαφανὲς καὶ ταῖς τῶν ἑτέρων ὑλῶν εὐχροίαις πανδόξως ἐξειργασμένον. Ἔσεσθαι δὲ καὶ τοῦτο πάλιν εἰς ἀνάμνησιν τοῖς υἱοῖς Ἰσραὴλ, ἔναντι Κυρίου εἰσιόντος Ἀαρὼν εἰς τὸ Ἅγιον. Ἆρά σοι σαφὲς ὡς ἔνι λοιπὸν τῶν τεχνημά-των τὸ σχῆμα; {ΠΑΛΛ.} Καὶ μάλα. Ἀνθ' ὅτου δὲ δὴ τὸ λόγιον τῶν κρίσεων ὄνομα τῷ τεχνήματι; {ΚΥΡ.} Οὐ γὰρ δὴ καὶ ἐπωμίδα κεκλῆσθαι τὸ ἀνωτέρω, διὰ τὸ ἀμφοῖν ἐπιτετᾶσθαι τοῖν ὤμοιν, ἐτυμολογοῦντες εἰρήκαμεν; {ΠΑΛΛ.} Ναί. Τί οὖν τοῦτό γε; {ΚΥΡ.} Ὅτι πάλιν ἐτύμως τε καὶ ἀναλόγως τὸ ὡς 68.740 ἐν καρδίᾳ τε καὶ σπλάγχνοις ἀποτεθειμένον λόγιον τῶν κρίσεων ὠνομάσθαι φαμέν. Ἐνδιαίτημα γὰρ ὥσπερ τοῦ ἐν ἡμῖν λογικοῦ καρδία καὶ σπλάγχνα. Ἐρήρεισται δὲ ὥσπερ καὶ ἐγκαταπέπηκται φυσικῶς τῷ ἐν ἡμῖν λογικῷ καὶ ἡ ἐφ' ἑκάστῳ τῶν πρακτέων ὀρθή τε καὶ ἀδιάβλητος κρίσις, τοῦτ' ἔστιν, ἡ δικαιοκρισία, καὶ τὸ ἑκάστῳ πρέπον· ἢ γὰρ οὐχὶ λογική τις ἐν ἡμῖν τὰς τῶν πρακτέων ταλαντεύει φύσεις, καὶ ἀποκρίνει τῶν ἀμεινόνων τὸ ἄχαρί τε καὶ ἀλυσιτελές; {ΠΑΛΛ.} Καὶ πάνυ. {ΚΥΡ.} Κρίσιν δὲ ὀνομάζειν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ τὴν ὀρθότητα καὶ δικαιοκρισίαν. Καὶ γοῦν ὁ θεσπέσιος ψάλλει Δαβίδ· «Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.» Ἔφη δέ που πάλιν· «Καὶ τιμὴ βασιλέως, κρίσιν ἀγαπᾷν. Λαμπρὰ γὰρ ἡ βασιλέως τιμὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τε καὶ δόξα, φιλοῦσα δικαιοσύνην. Λόγιον οὖν ἄρα κρίσεως τὸ καρδίᾳ καὶ στέρνοις ἐπεῤῥιμμένον, διὰ τὸ ὥσπερ ἐν τόπῳ κεῖσθαι τοῦ λογικοῦ, ἐν ᾧ ἡ ὀρθότης ἐν δικαιοσύνῃ. Ἐν αὐτῷ δὲ τούτῳ λίθοι δυοκαίδεκα χρυσίῳ περισχετοὶ, γραφὴν ἔχοντες, τὰς φυλάς. Εἶεν δ' ἂν τύπος ἀνδρῶν ἁγίων, οἳ λαμπροί τέ εἰσι καὶ τίμιοι, καὶ οἷά τινες ἀπόλεκτοι λίθοι, μονονουχὶ καὶ εἰς νοῦν καὶ καρδίαν κείμενοι τοῦ Χριστοῦ· καὶ γάρ εἰσιν ἀληθῶς μνήμης ἄξιοι, διά γε τὸ ἐν ἀρετῇ διαφανὲς, καὶ τὸ ὡς ἐν ἁγιασμῷ τίμιον. Ἀποκρέμανται δὲ τοῦ λογίου τῶν κρίσεων καὶ κρωσσοὶ χρυσοῖ, παραδηλοῦντος, οἶμαι, τοῦ πράγματος, ὅτι τῆς τῶν ἁγίων πληθύος ὁ πολύς τε καὶ ἀναρίθμητος τῶν ἀνδραγαθημάτων ἐσμὸς μονονουχὶ καὶ ἀπηρτημένος ὁρᾶται. Καὶ γοῦν ὁ μακάριος Δαβὶδ καὶ τῆς Ἐκκλησίας τὸν κόσμον ἐν κροσσωτοῖς εἶναί φησιν. {ΠΑΛΛ.} Πιθανὸς ὁ λόγος. {ΚΥΡ.} Ἀπὸ δέ γε τοῦ λογίου τῶν κρίσεων χρυσοῖς δακτύλοις ἐνειλημμένη ποικίλη τε καὶ εὔχρως ἀνέρπει σειρὰ, καθάπερ ἐλέγομεν, καὶ δι' ἀμφοῖν ἰοῦσα ταῖν ἀσπιδίσκαιν, ἐπ' αὐτὸ διήκει τῆς ἐπωμίδος τὸ ἄκρον, ἐφ' ᾗ τῆς ἀπογραφῆς αἱ λίθοι. Τί δ' ἂν εἴη καὶ τόδε, πῶς οὐκ ἄξιον ἰδεῖν; Δοκεῖ δὴ οὖν μοι παραδηλοῦν τὸ αἴνιγμα τοιουτονί τι πάλιν· Ὡς γὰρ οἱ λίθοι οἱ τίμιοι καὶ ἐν γνώσει τε καὶ ἐν μνήμῃ Χριστοῦ, πρὸς τὴν ἄνω τρέχοντες ἀπογραφὴν, τὸ χρῆμα κερδαίνουσι διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν· γράφει γὰρ ὧδε σαφῶς ὁ θεσπέσιος Παῦλος. Καὶ μὴν καὶ ἑτέρωθί φησιν· «Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ.» Χρυσᾶ δὲ τὰ βασιλέως ὅπλα, χρυσαῖ δὲ ὁμοίως αἱ ἀσπιδίσκαι, καὶ τὴν τοῦ Θεοῦ πανοπλίαν αἰνιγματωδῶς ὑποφαίνουσαι. Ἐσόμεθα δὴ οὖν οὐχ ἑτέρως ἐν μνήμῃ τε καὶ ἀπογραφῇ Θεοῦ, μὴ οὐχὶ τῶν ὅπλων τῆς δικαιοσύνης ἁψάμενοι, καὶ δι' αὐτῶν ἰόντες πρακτικῶς. Τὸ δὲ δὴ τῆς ἐπωμίδος ἀνῆφθαι 68.741 τὸ λόγιον κατασημήνειεν ἂν, οἶμαι, τὸ τοῖς ἄνω συνῆφθαι τὰ κάτω, μεσιτεύοντος τοῦ Χριστοῦ. «Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν,» κατὰ τὰς Γραφὰς, καὶ τῆς τῶν ἁγίων ἀγγέλων πληθύος τῷ συνδέσμῳ τῆς ἀγάπης ἀπαρτήσας τὰ ἀνθρώπινα. Ἰστέον δὲ ὅτι καὶ ὁ μακάριος Ἰεζεκιὴλ τὸν ἄρχοντα Τύρου πάντα μὲν τίμιον λίθον ἐνδεδύσθαι φησίν· ἀπαριθμεῖται δὲ τούτους, οὓς καὶ ἐν τῷ λογίῳ τῶν κρίσεων τεθεῖσθαί φησιν ὁ θεσπέσιος Μωσῆς. Ἦσαν δὲ οὗτοι, σάρδιον, τοπάζιον, σμάραγδος, ἄνθραξ, σάπφειρος, καὶ ἴασπις, λιγύριον, ἀχάτης, ἀμέθυστος, χρυσόλιθος, βηρύλλιον, ὀνύχιον. Τετάχατο δὲ ἀνὰ τρεῖς, καὶ ἐν ὅλοις τέσσαρσι στίχοις, τὸ ἑδραῖον ἐν πίστει τῶν ἐν καρδίᾳ καὶ μνήμῃ Χριστοῦ σκιαγραφούσης ἡμῖν τῆς τοιᾶσδε θέσεως. Πίστεως μὲν γὰρ τὸ ἀνὰ τρεῖς, καὶ ὡς ἐν Τριάδι σύμβολον· ἑδραιότητος δὲ τὸ ὡς ἐν τετραγώνῳ τε καὶ ἰσοπλεύρῳ σχήματι. Πεποίητο γὰρ οὕτω τὸ λόγιον, ἐφ' ᾧ καὶ αἱ λίθοι δυοκαίδεκα. {ΠΑΛΛ.} Πείθομαι. {ΚΥΡ.} Καὶ πρός γε δὴ τούτοις συναναπλέκεσθαί τι καὶ ἕτερον ταῖς δυοκαίδεκα λίθοις προσεπιτάττει, λέγων· «Καὶ ἐπιθήσεις ἐπὶ τὸ λόγιον τῆς κρίσεως τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν, καὶ ἔσται ἐπὶ τοῦ στήθους Ἀαρὼν, ὅταν εἰσπορεύηται εἰς τὸ Ἅγιον ἔναντι Κυρίου, καὶ εἰσοίσει Ἀαρὼν τὰς κρίσεις τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τοῦ στήθους ἔναντι Κυρίου διὰ παντός.» Δήλωσιν μὲν οὖν ὀνομάζει καὶ ἀλήθειαν, οὐ μὴν ἔτι καὶ διαμεμήνυκεν ἐναργῶς πότερα δὴ λίθους, ἢ ὡς ἐν μικρῷ πινακίῳ γραφὴν γενέσθαι προστέταχεν. Μεμνήσομαι δὲ προφήτου λέγοντος, «Διότι ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ἄρχοντος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὔτε ἱερατείας, οὔτε δήλων.» Ἀλλ' εἴτ' οὖν εἶεν καὶ ταῦτα λίθοι, εἴτ' οὖν ὡς ἐν πίνακι χρυσῇ τῶν ὀνομάτων γραφῇ, πολυπραγμονήσει μὲν οὐ λίαν ὁ λόγος, γνωσόμεθα δὲ εἰς τύπον αὐτὰ τεθεῖσθαι, Χριστοῦ συνόντος ἁγίοις. «Ἰδοὺ γὰρ, φησὶ, μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, καὶ ἕως συντελείας τοῦ αἰῶνος.» Ἀλήθεια δὲ καὶ δήλωσις ὁ Χριστός. Ἔγνωμεν γὰρ ἐν αὐτῷ τὸν Πατέρα, καὶ δεδήλωκεν ἡμῖν τὸ ἀγαθὸν αὐτοῦ θέλημα τὸ τέλειον καὶ εὐάρεστον, κατὰ τὰς Γραφάς. Ἔφη γάρ που Χριστός· «Οὐκέτι λέγω ὑμᾶς δούλους, ὑμεῖς φίλοι μού ἐστε, ὅτι πάντα ἃ ἤκουσα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρὰ τοῦ Πατρός μου ἀπήγγειλα ὑμῖν.» Ἀλήθεια δὲ καὶ ἑτέρως Ἐμμα-νουὴλ, ὅτι μόνος αὐτὸς κατὰ φύσιν Υἱὸς, καὶ ὡς ἐκ Θεοῦ Θεὸς, μόνος ἅγιος, μόνος Κύριος· μεθεκτῶς δὲ ἡ κτίσις, καὶ κατὰ μίμησιν, ὅσα καὶ αὐτὸς εἶναι νοεῖται. Σύνεστι δὴ οὖν τοῖς ἁγίοις ὡς ἐν δήλῳ τε καὶ ἀληθείᾳ νοούμενος ὁ Χριστὸς, ὃς καὶ ἐν προσώπῳ τοῦ Πατρὸς εἰσφέρει τὰ καθ' ἡμᾶς, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν. Τοῦτο γὰρ, οἶμαι, ἔστι τὸ, Καὶ εἰσοίσει Ἀαρὼν τὰς κρίσεις τῶν υἱῶν Ἰσραὴλ 68.744 ἔναντι Κυρίου ἐπὶ τοῦ στήθους αὐτοῦ διὰ παντός. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἱεροπρεπὲς δέ τι καὶ ἀξιάγαστον ἄμφιον κατασκευάζεσθαι δεῖν ἐπιτάττει λέγων· «Καὶ ποιήσεις ὑποδύτην ποδήρη, ὅλον ὑακίνθινον, καὶ ἔσται τὸ περιστόμιον ἐξ αὐτοῦ μέσον, ὤαν ἔχων κύκλῳ τοῦ περιστομίου, ἔργον ὑφάντου, τὴν συμβολὴν συνυφασμένην ἐξ αὐτοῦ, ἵνα μὴ ῥαγῇ. Καὶ ποιήσεις ὑπὸ τὸ λῶμα τοῦ ὑποδύτου κάτωθεν, ὡσεὶ ἐξανθούσης ῥόας ῥοΐσκους ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου διανενησμένου, καὶ βύσσου κεκλωσμένης, ὑπὸ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ. Τὸ αὐτὸ εἶδος τοῖς ῥοΐσκοις, καὶ κώδωνας χρυσοῦς ἀναμέσον τούτων περικύκλῳ παρὰ ῥοΐσκον χρυσοῦν κώδωνα, καὶ ἄνθινον ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ. Καὶ ἔσται Ἀαρὼν ἐν τῷ λειτουργεῖν ἀκουστὴ ἡ φωνὴ αὐτοῦ, εἰσιόντι εἰς τὸ Ἅγιον ἔναντι Κυρίου, καὶ ἐξιόντι, ἵνα μὴ ἀποθάνῃ.» Ὑποδύτην μὲν οὖν καὶ ποδήρη, χιτῶνα μακρὸν, εὐφυᾶ τε πρὸς περιστολὴν, καὶ τὸν ἐκ δειρῆς αὐτῆς εἰς ἄκρους ἰόντα πόδας, ὀνομάζει σαφῶς· ἐξ ὑακίνθου δὲ, ὅτι τῆς ἄνωθεν ἀφθαρσίας σύμβολον, τουτέστι Χριστοῦ. Τοιουτονὶ γάρτοι καὶ ὁ θεσπέσιος Δαβὶδ προαναπεφώνηκε λέγων ὡς ἐκ προσώπου τοῦ Θεοῦ περὶ τῶν ἐν ταῖς ἐκκλησίαις ἱερουργούντων· «Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν.» Ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ ὁ σοφὸς ἡμῖν ἐπιστέλλει Παῦλος. Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ, ὃ ἐπιποθοῦμεν ἐνδύσασθαι, ὁ τῆς εὐφροσύνης χιτὼν, τὸ ἱμάτιον τοῦ σωτηρίου, κατὰ τὴν τοῦ προφήτου φωνήν. Οὐρανοῦ δὲ τύπος τὸ χρῶμα τὸ ὑακίνθινον εἴρηται σαφῶς. Καὶ ἀληθὴς μὲν ὁ λόγος, ὡς ἐφ' ἡμῶν αὐτῶν. Περιβεβλήμεθα γὰρ ἀφθαρσίαν τὴν ἄνωθεν. Εἰ δὲ καὶ αὐτὸς νοοῖτο Χριστὸς, ὡς ἐν Ἀαρὼν τὸν ποδήρη τὸν ὑποδύτην ἔχων, οὐδὲν ἧττον ἡμῖν ἀληθὴς ὁ λόγος Θεὸς γὰρ ὢν κατὰ φύσιν ὁ Μονογενὴς, ἄφθαρτον ἀποτελεῖ τὸ ἴδιον σῶμα, καὶ ζωῇ τῇ ἄνωθεν περιβαλὼν αὐτὸ, τῆς τοῦ θανάτου πλεονεξίας ἐτίθει που πάντως ἐν ἀμείνοσιν· ὅτι γὰρ φυσικῶς τε ἅμα καὶ ἀμεθέκτως ἐν Χριστῷ καὶ ἀφθαρσία καὶ ζωὰ, συνήσεις κἀντεῦθεν. Ἔφη μὲν γὰρ ἅτε δὴ καὶ ὑπάρχων κατὰ φύσιν Θεὸς, «Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή.» Ζωοποιούμενος δὲ κατὰ τὸ ἀνθρώπινον, «Ὥσπερ γὰρ ὁ Πατὴρ,» φησὶν, «ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ.» Οὐκοῦν κἂν εἰ αὐτὸς νοοῖτο Χριστὸς, ὁ ἀφθαρσίαν τὴν ἄνωθεν περιβεβλῆσθαι λεγόμενος, οὐχὶ τοῦ πρέποντος ἐξοίχοιτο ἂν ὁ λόγος. Πρὸς δέ γε δὴ τοῖς κάτω τυχὸν μέρεσι, ῥοΐσκοι καὶ κώδωνες παραλλάσσοντες τὰ ἐγκείμενα· καὶ ῥοΐσκοι μὲν ὡς συνυφασμένοι, χρυσοῖ δὲ οἱ κώδωνες· ὡς ἂν εὔηχοί τε εἶεν κατὰ τὸ ἀληθὲς, καὶ μὴν καὶ εἰσθέοντος Ἀαρὼν εἰς τὰ Ἅγια τῶν ἁγίων, ἐπισημοτάτην αὐτοῦ ποιῶνται τὴν εἰσδρομήν. Σύμβολον δὲ καὶ τοῦτό ἐστι τῆς σωτηρίου καὶ σοφῆς οἰκονομίας, φημὶ δὴ τοῦ θείου τε καὶ εὐαγγελικοῦ 68.745 κηρύγματος, οἱονεί πως ἅπασαν περιβομβοῦντος πόλιν, ὅτε δι' ἡμᾶς εἰσβέβηκεν εἰς τὰ Ἅγια τῶν ἁγίων, αἰωνίαν λύτρωσιν εὑράμενος, ὁ μέγας ἡμῶν ἀρχιερεὺς, τὸ ἄμωμον θῦμα. «Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.» Αἴνιγμα δὲ ὥσπερ οὐκ ἀσυμφανὲς, τοῦ μὲν σωτηρίου κηρύγματος οἱ ἐκ χρυσοῦ γεγονότες κώδωνες, πόλεων δὲ οἱ ῥοΐσκοι. {ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Ὡς γὰρ πόλις ἑνὶ μὲν ἔξωθεν περιδέδεται πύργῳ, μυρίας δὲ ὅσας ἐν ἑαυτῇ συνέχει τὰς συνοικίας· τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ τὸ χρῆμα τῆς ῥόας ἑνὶ μὲν ἔξωθεν ἐλύτρῳ διέζωσται, ἔσωθεν δὲ οἱ κόκκοι χιτῶσιν ἰσχνοῖς ἀλλήλων ἀποτειχίζονται, μόνον δὲ οὐχὶ συλλέγονται κατὰ συνοικίας. Ἢ οὐχ ὧδε ἔχει;


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

{ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Κώδων δὴ οὖν παρ' ἑκάστῃ ῥόᾳ· διδάσκαλος γὰρ παρ' ἑκάστῃ πόλει, τῇ τῶν θείων δογμάτων ἀποκτυπήσει καὶ εὐηχίᾳ, φανερὰν ἅπασι καθιστὰς τοῦ Σωτῆρος ἡμῶν τὴν εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσδρομήν. Ἐπήρτηται δὲ καὶ δεῖμα θανάτου τοῖς ἱερουργεῖν ἐπιτεταγμένοις, ἤτοι τῷ Ἀαρὼν, εἰς τὴν ἁγίαν σκηνὴν, εἰ μὴ περιβομβοῖεν εὖ μάλα τῶν κωδώνων οἱ κτύποι. Χρῆμα γὰρ ἐπισφαλὲς διδασκάλοις ἡ σιωπή. Καὶ τοῦτό ἐστιν ἐναργῶς, ὅπερ ἔφη Παῦλος, «Οὐαὶ γάρ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι.» {ΠΑΛΛ.} Ἔοικεν· διατεκμαίρῃ γὰρ δὴ καὶ λίαν ὀρθῶς. {ΚΥΡ.} Καὶ πρός γε δὴ τούτοις· «Καὶ ποιήσεις, φησὶ, πέταλον χρυσοῦν, καθαρὸν, καὶ ἐκτυπώσεις ἐν αὐτῷ ἐκτύπωμα σφραγίδος, Ἁγίασμα Κυρίῳ, καὶ ἐπιθήσεις αὐτὸ ἐπὶ ὑακίνθου κεκλωσμένης. Καὶ ἔσται ἐπὶ τῆς μίτρας, κατὰ πρόσωπον τῆς μίτρας ἔσται. Καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρών. Καὶ ἐξαρεῖ Ἀαρὼν τὰ ἁμαρτήματα τῶν ἁγίων, ὅσα ἂν ἁγιάσωσιν οἱ υἱοὶ Ἰσραὴλ, παντὸς δόματος τῶν ἁγίων αὐτῶν. Καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρὼν διαπαντὸς, δεκτὸν αὐτοῖς ἔναντι Κυρίου.» Ἐξ ὑακίνθου μὲν οὖν ἡ μίτρα, χρυσοῦν δὲ τὸ πέταλον. Ἐκτύπωμα δὲ ἐν αὐτῷ καὶ γραφὴ, τὸ Χριστοῦ μυστήριον, καὶ τῆς εἰς τόνδε τὸν κόσμον ἀποστολῆς προαναφώνησις ἐναργής. Ἁγίασμα γὰρ, φησὶ, Κυρίῳ. Ἦ οὐχὶ ἐνηγιάσθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἑαυτὸν ἔφη σαφῶς ὁ Ἐμμανουήλ; {ΠΑΛΛ.} Ναὶ, μεμνήσομαι γὰρ Ἰουδαίοις λέγοντος, «Εἰ ἐκείνους εἶπε θεοὺς, πρὸς οὓς ὁ λόγος Θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ Γραφὴ, ὃν ὁ Πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι Βλασφημεῖς, ὅτι εἶπον, Υἱὸς Θεοῦ εἰμι;» {ΚΥΡ.} Ἐνηγιᾶσθαι δὲ ὅταν λέγῃ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἑαυτὸν ὁ Υἱὸς, τὸ οἱονεὶ προκεχειρίσθαι τε καὶ ἀπεστάλθαι δηλοῖ. Ἁγίασμα δὴ οὖν Κυρίου, φησὶ, τοῦτ' ἔστιν, εἰς τόνδε τὸν κόσμον ἀνάδειξις καὶ 68.748 ἀποστολὴ, πλὴν εἰς βασιλείαν καὶ δόξαν. Τελειοῖ γὰρ οὕτως τὸν Ἀαρὼν, χρυσοῦν ἐπὶ τῷ μετώπῳ τὸ ψαλίον τιθείς. Κύριος δὲ τῶν ὅλων καὶ βασιλεὺς, ὁ Χριστὸς, φυσικῶς τε ἅμα καὶ μεθεκτῶς. Θεὸς γὰρ ὢν φύσει κεκένωκεν ἑαυτὸν, καθεὶς ἐν δούλου μορφῇ. Καὶ δέχεται βασιλείαν, κατά γε τὸ πρέπον τῷ ἀνθρωπίνῳ σχήματι, καίτοι σύνεδρος ὢν ἄνωθέν τε καὶ ἀπ' ἀρχῆς τῷ Θεῷ καὶ Πατρὶ, καὶ συγκατάρχων τῶν ὅλων καὶ συνδεσπότης. Σύνες δὲ ὅπως ἐξ ὑακίνθου γέγονεν ἡ μίτρα αὐτοῦ, τὸ λαμπρὸν τῆς βασιλείας ἔχουσα σύνθημα, φημὶ δὴ τὸ πέταλον τὸ χρυσοῦν. Ὑάκινθος δὲ οὐρανοῦ σημεῖον· καὶ διαμέμνησο λέγοντος τοῦ Χριστοῦ, «Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου.» Οὐ γὰρ ἐπίγειος βασιλεὺς, ἀλλ' οὐράνιος ὁ Χριστὸς, ὅλην ὑπὸ πόδας ἔχων τὴν κτίσιν. Προσεπενεγκὼν δὲ, ὅτι «Καὶ ἐξαρεῖ Ἀαρὼν τὰ ἁμαρτήματα τῶν ἁγίων ὅσα ἂν ἁγιάσωσι, παντὸς δόματος τῶν ἁγίων αὐτῶν,» ὅτι πᾶσά τε προσαγωγὴ καὶ τελείωσις ἐν Χριστῷ, διαμεμήνυκεν ἐναργῶς, καὶ μὴν ὅτι πᾶσα δικαίωσις ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ, καὶ ἡ τῶν πάλαι πλημμελημάτων ἀπόθεσις. Αὐτὸς γὰρ ἡμῶν αἴρει τὰς ἁμαρτίας, καὶ δι' αὐτοῦ γεγόναμεν δεκτοὶ, τὰς ἐν πνεύματι δωροφορίας προσκομίζοντες τῷ Θεῷ καὶ Πατρί. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἀναπόθετον δὲ καὶ διηνεκῆ καὶ εἰς ἀπεράντους αἰῶνας ἐκτεινομένην τὴν τοῦ Σωτῆρος ἡμῶν βασιλείαν εὖ μάλα καταδεικνὺς, περί τε τῆς μίτρας τοῦ πετάλου φησί· «Καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρὼν διὰ παντός.» Εἶτα ποῖ ποτ' ἂν ἡμῖν ὁ θρασὺς καὶ ἀπόπληκτος τῶν ἀνοσίων αἱρετικῶν οἰχήσεται λόγος, πεφλυαρηκότων ὅτι καταλήξει ποτὲ τὸ Χριστοῦ κράτος, καὶ παραδώσει τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ, τῶν τῆς θεότητος ἀποφοιτήσας θώκων ὁ Ἐμμανουήλ; Ἐπισεμνύνονται γὰρ τοῖς ὧδε δεινοῖς καὶ ἐξιτήλοις δόγμασιν, οἷς ἀκόλουθον εἰπεῖν· «Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφάς.» Ἰδοὺ γὰρ, ἰδοὺ σαφῶς τε καὶ ἐναργῶς τοῦ Θεοῦ καὶ Πατρὸς δόξῃ καὶ τιμῇ διηνεκεῖ, καὶ τοῖς τῆς βασιλείας συνθήμασι ταινιοῦντος τὸν Ἀαρὼν, ἀποστεφανοῦσιν αὐτοὶ, καὶ μονονουχὶ τοῖς μετώποις ἐμπρέπουσαν τὴν ἱερὰν ἁρπάζουσι μίτραν. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} «Κίδαρίν τε καὶ ζώνην ἐκ βύσσου ποιήσεις,» φησί. Στρατιωτικὸν δὲ τῷ Ἀαρὼν τὸ σχῆμα, ζωστήρ τε καὶ κράνος· ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἴδει γάρ πως ἡ κίδαρις τῷ τοιῷδέ ἐστι. Πεπολέμηκε γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστὸς «ἐν χειρὶ κρυφαίᾳ,» κατὰ τὸ γεγραμμένον, καὶ «Τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτὸ, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο,» καὶ καθεῖλεν ἀρχὰς, τεθριάμβευκε δυνάμεις, κατέσεισε κυριότητας, καὶ αἰχμαλώτους ὄντας ἐῤῥύσατο τοὺς ἐπὶ τῆς γῆς. Ὅτι δὲ οὐχ ὁρατὸς ἢ παχὺς ὁ πόλεμος, οὐδὲ οἷον πρὸς αἷμα καὶ σάρκα, γέγονεν αὐτῷ, ὑποφαίνειν ἔοικεν αἰνιγματωδῶς τὸ ἐκ βύσσου μόνης τῆς ἄγαν 68.749 ἰσχνῆς τὴν πολεμικὴν γενέσθαι σκευὴν, κίδαρίν τε καὶ ζώνην. Κόσμῳ μὲν οὖν ἱεροπρεπεῖ λαμπρόν τε καὶ ἀξιάγαστον ὑποφαίνει τὸν Ἀαρών. Προσεπιτάττει δὲ λέγων· «Καὶ τοῖς υἱοῖς Ἀαρὼν ποιήσεις χιτῶνας καὶ ζώνας, καὶ κιδάρεις ποιήσεις αὐτοῖς εἰς τιμὴν καὶ δόξαν. Καὶ ἐνδύσεις αὐτὰ Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ τοὺς υἱοὺς αὐτοῦ μετ' αὐτοῦ. Καὶ χρίσεις αὐτοὺς, καὶ ἐμπλήσεις αὐτῶν τὰς χεῖρας, καὶ ἁγιάσεις αὐτοὺς, ἵνα ἱερατεύωσί μοι. Καὶ ποιήσεις αὐτοῖς περισκελῆ λινᾶ καλύψαι ἀσχημοσύνην χρωτὸς αὐτῶν, ἀπὸ ὀσφύος ἕως μηρῶν ἔσται. Καὶ ἕξει Ἀαρὼν αὐτὰ καὶ οἱ υἱοὶ αὐτοῦ, ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ ὅταν προσπορεύωνται λειτουργεῖν πρὸς τὸ θυσιαστήριον τοῦ ἁγίου. Καὶ οὐκ ἐπάξονται πρὸς ἑαυτοὺς ἁμαρτίαν, ἵνα μὴ ἀποθάνωσι. Νόμιμον αἰώνιον αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν.» Ὁρᾷς ὅτι καὶ αὐτοῖς τοῖς ἐξ Ἀαρὼν ἐμπρέ-πει τὸ, ὡς ἔν γε τῷ πολεμικῷ καθορᾶσθαι σχήματι. Μάχιμον γὰρ τὸ ἱερὸν ἅπαν ἐστὶ γένος, καὶ οὐ πρὸς αἷμα καὶ σάρκα στρατεύεσθαί τε καὶ ἀντεξάγειν εἰδὸς, ἀλλὰ τῆς βεβήλου κατακωλύειν ἁμαρτίας, ἐμφανέστατά τε καὶ λογικῶς τῶν τῆς ἀληθείας δογμάτων ὑπερμαχόμενον, καὶ αἰχμαλωτίζον πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καθὰ γέγραπται. Περισκελές τε λινοῦν αὐτοῖς, τὸ ἀκαλλές τε καὶ ἄσχημον τῶν περὶ μηροὺς κατασκιάζον εὖ μάλα. Σεμνὰ γὰρ εὖ μάλα πάντα τὰ τῶν ἁγίων, καὶ ἄσχημον ἐν αὐτοῖς οὐδέν· ὑποσημαίνει δέ πως τὸ λινοῦν τοῖς περιμηροῖς τοῦ σώματος μέρεσιν ἐπενηνεγμένον, ὅτι τοῖς ἁγίοις πρεπωδεστάτη τῶν τῆς σαρκὸς ἡδονῶν ἡ ἀπόψυξις· ψυχρὸν γὰρ τὸ λινοῦν. Τὸ δὲ θερμὸν εἰς ὀρέξεις τὰς μυσαρωτάτας, ὁσίου παντὸς ἀλλότριον. Ἐκ λίνου δὲ καὶ ἑτέρως τοῖς ἱερᾶσθαι λαχοῦσιν, ἄμφιά τε καὶ περισκελῆ. Νεκρῶν γὰρ ἔργων ἀποφοιτᾷν ἀναγκαῖον αὐτούς· σύμβολον δὲ νεκρότητος ὡς ἐκ θνησειδίου ληφθὲν, φημὶ δὴ προβάτου. Νεκρῶν οὖν ἔργων ἀπόθεσις, ὡς ἐν τύπῳ πάλιν, τὸ τοῖς ἐκ λίνου ἐστάλθαι, καὶ οὐχὶ δὴ μᾶλλον τοῖς ἐξ ἐρίων ἐσθήμασι· καὶ τοῦτο νόμος ἅγιος ὁ διηνεκής. Ἕψεται δὲ ὅτι πάντη τε καὶ πάντως τὸ ἐκτεθνάναι δεῖν, ἠμεληκόσι τοῦ πρέποντος, Καὶ τῆς ὅτι μάλιστα πρεπούσης αὐτοῖς εὐκοσμίας, διαμεμήνυκεν εἰπὼν ὅ τι χρὴ φοροῦντας ἱερουργεῖν· Καὶ οὐκ ἐπάξονται, φησὶ, πρὸς ἑαυτοὺς ἁμαρτίαν, ἵνα μὴ ἀποθάνωσιν. {ΠΑΛΛ.} Ἀσφαλὴς ὁ νόμος τὸ ἑκάστῳ λυσιτελὲς εὖ μάλα καταδεικνὺς, καὶ τὰ δι' ὧν ἄριστα ἔχοι σαφῆ καθιστάς. {ΚΥΡ.} Ὧδε ἔχει· καὶ στολῇ μὲν τῇ τοιᾷδε τὸ ἱερὸν καὶ ἀπόλεκτον κατακαλλύνει γένος, ἁγιάζει δὲ καὶ ἑτέρως. ὡς ἐν σκιᾷ μὲν ἔτι, πλὴν ἐν Χριστῷ. Γέγραπται γὰρ δὲ ὡδί· «Καὶ ταῦτά ἐστιν ἃ ποιήσεις αὐτοῖς· ἁγίασαι αὐτοὺς ὥστε ἱερατεύειν μοι αὐτοὺς, λήψῃ μοσχάριον ἐκ βοῶν ἓν, καὶ κριοὺς δύο ἀμώμους, καὶ ἄρτους ἀζύμους πεφυραμένους ἐν ἐλαίῳ, καὶ λάγανα ἄζυμα κεχρισμένα ἐν ἐλαίῳ. Σεμίδαλιν ἐκ πυ 68.752 ρῶν ποιήσεις αὐτὰ, καὶ ἐπιθήσεις αὐτὰ ἐπὶ κανοῦν ἓν, καὶ προσοίσεις αὐτὰ ἐπὶ τῷ κανῷ, καὶ τὸ μοσχάριον, καὶ τοὺς δύο κριούς. Καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ λούσεις αὐτοὺς ἐν ὕδατι. Καὶ λαβὼν τὰς στολὰς, ἐνδύσεις Ἀαρὼν τὸν ἀδελφόν σου καὶ τὸν χιτῶνα τὸν ποδήρη, καὶ τὴν ἐπωμίδα, καὶ τὸ λογεῖον. Καὶ συνάψεις αὐτῷ τὸ λογεῖον πρὸς τὴν ἐπωμίδα. Καὶ ἐπιθήσεις τὴν μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπιθήσεις τὸ πέταλον τὸ ἁγίασμα ἐπὶ τὴν μίτραν, καὶ λήψῃ τοῦ ἐλαίου τοῦ χρίσματος, καὶ ἐπιχεεῖς αὐτὸ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ χρίσεις αὐτόν. Καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις, καὶ ἐνδύσεις αὐτοὺς χιτῶνας, καὶ ζώσεις αὐτοὺς ταῖς ζώναις, καὶ περιθήσεις αὐτοῖς τὰς κιδάρεις.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Καὶ ἔσται αὐτοῖς ἱερατεία μοι εἰς τὸν αἰῶνα, καὶ τελειώσεις Ἀαρὼν τὰς χεῖρας αὐτοῦ, καὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ.» Προσκομίζεσθαι μὲν οὖν εἰς θυσίαν προστέταχε μοσχάριον καὶ δύο κριοὺς, λάγανά τε καὶ ἄρτους ἐπὶ κανῷ. Προαφαγνίζει δὲ καὶ ἑτέρως, τύπον, οἶμαι, οὕτω που τὸ χρῆμα τιθεὶς τοῦ κατὰ ἀλήθειαν ἁγιασμοῦ. Ὕδατι γὰρ ἀπολούσας τὸν Ἀαρὼν, τὴν ἁγίαν αὐτὸν ἀμφιέννυσι στολήν. Ἀπολουσάμενοι δὲ καὶ ἡμεῖς διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ πᾶν εἶδος ἀκαθαρσίας ἀποτριβόμενοι, τότε δὴ, τότε τὴν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταπλουτοῦμεν χάριν, τὸν τῆς εὐφροσύνης χιτῶνα δεχόμενοι, κατά γε τὸ, «Ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.» Προαπέδειξε γὰρ ὁ λόγος, ὅτι πολυτρόπως ἦν ὁ Χριστὸς ὡς ἐν κόσμῳ τῷ περὶ τὸν Ἀαρὼν πλαττόμενος. Ἐλαίῳ δὲ καταχρίει τὴν κεφαλὴν ἁγίῳ. Ψάλλει δέ που καὶ ὁ Δαβίδ· «Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου,» τὸ ἱλαρὸν ἐν ἐλπίδι τῆς τῶν ἁγίων φωνῆς, ἤτοι τὴν ἄνωθεν ἱλαροποιὸν ἐπίσκεψιν τοῦ ἐλαίου κατασημαίνοντος. Ἠλεήμεθα γὰρ οἱ πιστεύσαντες, καί ἐσμεν εὐλογγημένοι τῷ Κυρίῳ, τῇ τοῦ Πνεύματος ἐπιχορηγίᾳ τὸν νοῦν καταπιαινόμενοι· νοῦ δὲ εἰς τύπον ἡ κεφαλή. Κατὰ τὸν ἴσον δὲ τουτονὶ τρόπον οἱ ἱερεῖς ἡγιάζοντο, ὕδατί τε ἀπονιζόμενοι καὶ ἐλαίῳ χριόμενοι, οὕτω τε χριόμενοι τὴν ἱερὰν ἀμφίασιν περικείμενοι, τελειούμενοί τε τὰς χεῖρας, ὡς ἤδη πως δοκεῖν καὶ ἐπιτηδείως ἔχειν εἴς γε τὸ χρῆναι λοιπὸν καθαρῶς τε καὶ ἀμωμήτως τὰς θυσίας ἐπιτελεῖν. Προηγιασμένοι δὲ καὶ ἡμεῖς αὐτοὶ, καὶ τῇ ἄνωθεν χάριτι κατηγλαϊσμένοι, καὶ κεχρισμένοι πρὸς τελειότητα τὴν πνευματικὴν, ὡς ἐκ παῤῥησίας λοιπὸν καθαραῖς οἱονεί πως καὶ πανάγνοις χερσὶ, προσκομίζομεν Θεῷ τὰς δωροφορίας, δῆλον δὲ ὅτι τὰς πνευματικάς. Καί τοι τοιοῦτον οἶμαι δηλοῦν τὸ τῷ μακαρίῳ Δαβὶδ ὑμνούμενον περὶ παντὸς ἀναβαίνοντος εἰς τὸ ὄρος Κυρίου· «Ἀθῶος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ.» {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Τίνα δὲ τρόπον αὖ ἐκπράττεσθαι χρὴ τὰς ὑπὲρ τῶν ἱερέων θυσίας, ἐθεσμοθέτει λέγων· «Καὶ προσάξεις τὸν μόσχον ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐπιθήσουσιν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι Κυρίου, παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ σφάξεις τὸν μόσχον ἔναντι Κυρίου, παρὰ τὰς
68.753 θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ λήψῃ ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ θήσεις ἐπὶ τῶν δύο κεράτων τοῦ θυσιαστηρίου τῷ δακτύλῳ σου. Τὸ δὲ λοιπὸν πᾶν αἷμα ἐκχεεῖς παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου, καὶ λήψῃ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ ἐπιθήσεις ἐπὶ τὸ θυσιαστήριον. Τὰ δὲ κρέατα τοῦ μόσχου, καὶ τὸ δέρμα, καὶ τὴν κόπρον κατακαύσεις πυρὶ ἔξω τῆς παρεμβολῆς· ἁμαρτίας γάρ ἐστι. Καὶ τὸν κριὸν λήψῃ τὸν ἕνα, καὶ ἐπιθήσουσιν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ, καὶ σφάξεις αὐτὸν, καὶ λαβὼν τὸ αἷμα προχεεῖς πρὸς τὸ θυσιαστήριον κύκλῳ, καὶ τὸν κριὸν διχοτομήσεις κατὰ μέλη· καὶ πλυνεῖς τὰ ἐνδόσθια καὶ τοὺς πόδας ὕδατι, καὶ ἐπιθήσεις ἐπὶ τὰ διχοτομήματα σὺν τῇ κεφαλῇ, καὶ ἀνοίσεις ὅλον τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον, ὁλοκαύτωμα τῷ Κυρίῳ εἰς ὀσμὴν εὐωδίας· θυμίαμα Κυρίῳ ἐστί. Καὶ λήψῃ τὸν κριὸν τὸν δεύτερον, καὶ ἐπιθήσει Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ, καὶ σφάξεις αὐτὸν, καὶ λήψῃ τοῦ αἵματος αὐτοῦ, καὶ ἐπιθήσεις ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς Ἀαρὼν τοῦ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τῆς δεξιᾶς χειρὸς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ, καὶ ἐπὶ τοὺς λοβοὺς τῶν ὤτων τῶν υἱῶν αὐτοῦ τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν τῶν δεξιῶν. Καὶ λήψῃ ἀπὸ τοῦ αἵματος τοῦ θυσιαστηρίου, καὶ ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως, καὶ ῥανεῖς ἐπὶ Ἀαρὼν καὶ ἐπὶ τὴν στολὴν αὐτοῦ, καὶ ἐπὶ τοὺς υἱοὺς αὐτοῦ καὶ ἐπὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ, καὶ ἁγιασθήσεται αὐτὸς καὶ ἡ στολὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ στολαὶ τῶν υἱῶν αὐτοῦ. Τὸ δὲ αἷμα τοῦ κριοῦ προχεεῖς πρὸς τὸ θυσιαστήριον κύκλῳ, καὶ λήψῃ ἀπὸ τοῦ κριοῦ τὸ στέαρ αὐτοῦ, καὶ τὸ στέαρ τὸ κατακαλύπτον τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κοιλίαν, καὶ τὸν λοβὸν τοῦ ἥπατος, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ὑπ' αὐτῶν, καὶ τὸν βραχίονα τὸν δεξιόν· ἔστι γὰρ τελείωσις αὕτη· καὶ ἄρτον ἕνα ἐξ ἐλαίου, καὶ λάγανον ἓν ἀπὸ τοῦ κανοῦ τῶν ἀζύμων τῶν προτεθειμένων ἔναντι Κυρίου. Καὶ ἐπιθήσεις τὰ πάντα ἐπὶ τὰς χεῖρας Ἀαρὼν, καὶ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ. Καὶ ἀφοριεῖς αὐτὰ ἀφόρισμα ἔναντι Κυρίου, καὶ λήψῃ αὐτὰ ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀνοίσεις ἐπὶ τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως εἰς ὀσμὴν εὐωδίας ἔναντι Κυρίου· κάρπωμά ἐστι Κυρίῳ. Καὶ λήψῃ τὸ στηθύνιον ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως, ὅ ἐστιν Ἀαρὼν, καὶ ἀφοριεῖς αὐτὸ ἀφόρισμα ἔναντι Κυρίου, καὶ ἔσται σοι ἐν μερίδι, καὶ ἁγιάσεις τὸ στηθύνιον ἀφόρισμα, καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος, ὃς ἀφώρισται, καὶ ὃς ἀφῄρηται ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως ἀπὸ τοῦ Ἀαρὼν καὶ ἀπὸ τῶν υἱῶν αὐτοῦ, καὶ ἔσται Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ νόμιμον αἰώνιον παρὰ τῶν υἱῶν Ἰσραήλ· ἔστι γὰρ ἀφόρισμα τοῦτο, καὶ ἀφαίρεμα ἔσται παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυμάτων τῶν σωτηρίων τῶν υἱῶν Ἰσραὴλ, ἀφαίρεμα Κυρίῳ.» Καὶ μετ' ὀλίγα· «Καὶ τὸν κριὸν τῆς τελειώσεως λήψῃ, καὶ ἑψήσεις τὰ κρέα ἐν τόπῳ ἁγίῳ, καὶ ἔδονται Ἀαρὼν καὶ οἱ 68.756 υἱοὶ αὐτοῦ τὰ κρέα τοῦ κριοῦ, καὶ τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ, παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου ἔδονται αὐτὰ, ἐν οἷς ἡγιάσθησαν ἐν αὐτοῖς τελειῶσαι τὰς χεῖρας αὐτῶν ἁγιάσαι αὐτοὺς, καὶ ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτῶν· ἔστι γὰρ ἅγια. Ἐὰν δὲ καταλειφθῇ ἀπὸ τῶν κρεῶν τῆς θυσίας τῆς τελειώσεως καὶ τῶν ἄρτων ἕως πρωῒ, κατακαύσεις τὰ λοιπὰ πυρί. Οὐ βρωθήσεται· ἁγίασμα γάρ ἐστι.» {ΠΑΛΛ.} Ὡς βαθὺ τὸ χρῆμα τῶν νομικῶν ἐνταλμάτων. {ΚΥΡ.} Βαθὺ μὲν οὖν λίαν· ἔφης γὰρ ὀρθῶς· πλὴν οὐκ εἰσάπαν ἀσυμφανὲς, τὸ θεῖον ἐν ἡμῖν ἐναστράπτοντος φῶς τοῦ ἁγίου Πνεύματος. Καὶ φέρε δὴ πάλιν, ὡς ἔνι, τὰ ἐφ' ἑκάστῳ λέγωμεν. Κατὰ μυρίους ὅσους ἡμᾶς ἁγιάζει τρόπους ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἱερούς τε καὶ εὐπροσδέκτους ἀποτελεῖ. Δι' αὐτοῦ γάρ τε καὶ ἐν αὐτῷ τὴν προσαγωγὴν ἐσχήκαμεν, καί ἐσμεν οὐκ ἀνεθέλητοι τῷ Θεῷ καὶ Πατρί. Χρειωδέστατά τε καὶ ἀναγκαῖα πρὸς σωτηρίαν ἡμῖν, τοῖς ὑπὸ φθοράν τε καὶ ἁμαρτίαν, ὅ τε θάνατος αὐτοῦ καὶ μέν τοι καὶ ἡ ζωὴ, καὶ πρὸς τούτοις ἔτι ἡ διὰ τοῦ σώματός τε καὶ αἵματος αὐτοῦ τελείωσις· ἐν Χριστῷ γὰρ δὴ, καὶ οὐκ ἐν νόμῳ τὸ τέλειον. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἄθρει δὴ οὖν ὡς ἐν τύποις ἔτι τὰ δι' ὧν εὖ μάλα σεσώσμεθά τε καὶ ἡγιάσμεθα, ἱεροί τε καὶ ἅγιοι γεγόναμεν ἐν Χριστῷ. Μοσχάριον ἦν ἐκ βοῶν τὸ εἰς θυσίαν ἠγμένον, καὶ σφάζεται μὲν πρὸς αὐταῖς ταῖς θύραις τῆς ἁγίας σκηνῆς, ἐπενηνεγμένων αὐτῷ τῶν χειρῶν. Προσεχεῖτο δὲ τὸ αἷμα τῷ θυσιαστηρίῳ, καταχριομένων αὐτῷ τῶν κεράτων· καὶ καπνίζονται μὲν ἐν τάξει τῶν εὐοσμοτάτων θυμιαμάτων τὰ ἐντόσθια. Τὸ δὲ λοιπὸν ἐμπίπραται σῶμα, διακομισθὲν ἐπέκεινα τῆς παρεμβολῆς. Καὶ μοσχάριον μὲν ὁ Χριστὸς, ὡς ἔξω ζυγοῦ καὶ ὑπὸ ζυγόν. Θεὸς γὰρ ὢν φύσει γέγονεν ὑπὸ νόμον διὰ τὸ ἀνθρώπινον. ἢ γὰρ οὐχὶ τὸ βραχὺ μοσχάριον ζυγοῦ μὲν ἄηθές ἐστι, φύσεώς γε μὴν τῆς ὑπὸ ζυγόν; {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Μοσχάριον δὴ οὖν ὠνόμασται πάλιν οἰκονομικῶς ὁ Χριστὸς, ἵν' ἐν ταυτῷ νοῆται πρὸς ἡμῶν καὶ τὸ ἄηθες τῆς τοῦ Λόγου θεότητος εἰς δουλείαν, καὶ τὸ ὡς ἐν φύσει γενέσθαι τῇ ὑπὸ ζυγὸν κατά γε τὸ ἀνθρώπινον. Σφάζεται δὲ ὡς ὑπέρ γε τῆς ἁγίας σκηνῆς καὶ τῶν ἐπιθέντων αὐτῷ τὰς χεῖρας· Λευῖται δὲ οὗτοι καὶ ἱερεῖς· ἀπέθανε γὰρ ὑπέρ τε τῆς Ἐκκλησίας καὶ τῶν αὐτῷ καθιερωμένων διὰ τῆς πίστεως. Ἱερὸς δὲ ὅτι καὶ ὡς ἐν τρόπῳ θυσίας εὐπρόσδεκτος τῷ Θεῷ καὶ Πατρὶ τοῦ Ἐμμανουὴλ ὁ θάνατος, πάρα σοι νοεῖν, προσχεομένου τοῦ αἵματος τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ καταχρίοντος αὐτὸ, θυμιωμένων δὲ καὶ τῶν ἐντοσθίων, ἃ καὶ εἰς τύπον εἶεν ἂν τῶν εἰς τὸ ἔσω καὶ εἰς νοῦν ἀρετῶν, αἷς ἔνεστι μὲν τὸ εὐῶδες πνευματικῶς, οὐ καθ' ἕνα δὲ τρόπον, ἐπεί τοι πολλὰ τὰ ἐντόσθια, πιμελὴ καὶ νεφροὶ, καὶ ὁ λοβὸς τοῦ ἥπατος. Ἐμπίπραται δὲ τοῦ σώματος τὸ λειπόμενον, ἔξω τῆς παρεμβολῆς. Ἔξω γὰρ τῆς πύλης ἔπαθεν ὁ Χριστός· γράφει δὲ οὕτως ὁ Παῦλος. Τὸ δέ γε πυρὶ δαπανᾶσθαι τὸ σῶμα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατασημήνειεν ἂν ἰσχνῶς, ὅτι τὸ πάθος αὐτῷ καὶ ὁ θά 68.757 νατος οὐ πρὸς ἀδοξίαν ἔσται ποθὲν, ἀλλ' εἰς λαμπρὰν καὶ ἐμφανεστάτην ἐκτελευτήσει δόξαν. Ἐν εἴδει γὰρ δὴ τῷ πυρὸς νοεῖται τὸ θεῖον· καταβέβηκε δὲ οὕτως καὶ ἐπὶ τὸ ὄρος τὸ Σινᾶ. Καταλύσων δὲ τοῦ θανάτου τὸ κράτος, ὑπέδυ τὸν θάνατον οἰκονομικῶς ὁ Χριστὸς, ἵν' ὡς Θεὸς δοξάζηται πρὸς ἡμῶν. Ἕρπει δὴ οὖν εἰς θεοπρεπῆ δόξαν ὁ θάνατος, τὸ τέλος ἔχων τὸ ἀναβιῶναι λαμπρὸν, καὶ τὸ ἔν γε τῷ παθεῖν μικροπρεπὲς, εὐκλείαις ταῖς ἀνωτάτω νικώμενον, οἴχεται πρὸς τὸ μηδέν· καὶ τοῦτο, οἶμαι ἔστιν αἰνιγματωδῶς, τὸ δαπανᾶσθαι πυρὶ τὸ νεκρὸν μοσχάριον. Ἐπειπὼν δὲ, ὅτι ἁμαρτία γάρ ἐστιν, εἰς ἀποκάθαρσιν ἁμαρτίας τὸ Χριστοῦ γενέσθαι διαμεμήνυκε πάθος, καὶ τὸ χρῆμά ἐστιν οὐκ ἀσυμφανές. {ΠΑΛΛ.} Οὐ γὰρ οὖν. {ΚΥΡ.} Εἶτα κριὸς ὁ πρῶτος λαμβάνεται καὶ σφάζεται μὲν ἐν ἴσῳ τῷ μόσχῳ· προσεχεῖτο δὲ αὖ τῷ θυσιαστηρίῳ τὸ αἷμα, καὶ μελειστὶ τεμνόμενος ἀνεφέρετο, τῶν ἐντοσθίων ἐκπεπλυσμένων ὕδατι, κεφαλῇ τε ἅμα καὶ ποσὶν, ὅτι θυμίαμά ἐστι· γράφεται δὲ πάλιν ἡμῖν καὶ διὰ τούτων ὁ Χριστὸς, ὁ ἐν κριῷ τῷ τελείῳ τέλειος, ἁγίαν ἔχων ζωήν. Δηλοῖ γὰρ, οἶμαί που ὅτι, τὸ προσχεῖσθαι τὸ αἷμα τῷ θυσιαστηρίῳ· ζωῆς γὰρ τύπος τὸ αἷμα, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνακείμενος τῷ Θεῷ καὶ Πατρὶ, ὡς ὑπὲρ πάντων τε ἅμα καὶ ὑπὲρ ἑκάστου· τύπος δὲ τοῦτο πάλιν, τὸ ἀναφέρεσθαι τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον, ὡς ἐν παντί τε καὶ κατὰ μέλος. Μέλη δὲ ἡμεῖς ἀνὰ μέρος Χριστοῦ, καὶ ἓν πάντες νοούμεθα σῶμα· ἅγιος δὲ ὅτι καὶ ἱερὸς ὅλος καὶ σπίλον ἀκαθαρσίας οὐκ ἔχων, ἡ τῶν ἐντοσθίων ἔκπλυσις εὖ μάλα παραδηλοῖ. Συναναφέρεται δὲ κεφαλὴ καὶ πόδες, τὸ ἀπ' ἀρχῆς καὶ μέχρι παντὸς εὐῶδες ἐν ἁγιασμῷ τῆς τοῦ Σωτῆρος ζωῆς ὑποφαίνοντες. Παντὸς γὰρ ζώου κεφαλὴ μὲν ἀρχὴ, κατάληξις δὲ ὥσπερ καὶ τοῦ παντὸς σώματος οἱ πόδες τὸ τέλος. Ἢ καὶ τάχα που νοεῖν ἄμεινον εἰς τύπον μὲν νοῦ κεφαλὴ, πορείας γε μὴν τῆς κατ' ἐνέργειαν πρακτικῆς τοὺς πόδας. Εὐώδη δὲ πάντα ἐν Χριστῷ, καὶ εἰς ἄκρον ἥκοντα καθαρότητος καὶ νοήματα καὶ πράξεις· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν· ταύτῃ τοι καὶ ὁλοκαυτώματα καὶ θυσίασμά φησι τὴν καθιέρωσιν τοῦ κριοῦ. οὐ γὰρ ἐκ μέρους ἅγιος ἢ ἱερός. Πρέποι γὰρ ἂν οὐκ ἐκείνῳ ποθὲν, ἡμῖν δὲ μᾶλλον, τὸ καὶ ἀσθενεῖν ἔσθ' ὅτε καὶ ἐναλῶναι πταίσμασι· καθαρὸς γὰρ οὐδεὶς ἐξ ἁμαρτιῶν, καὶ πολλὰ πταίομεν ἅπαντες, κατὰ τὸ γεγραμμένον. {ΠΑΛΛ.} Καὶ πῶς ἄν τις οἴοιτο τυχὸν, καὶ αὐτὴν γενέσθαι τὴν Χριστοῦ ζωὴν ὑπὲρ ἡμῶν; {ΚΥΡ.} Καὶ μὴν εἴσῃ τοι καὶ μάλα ῥᾳδίως, ἐννοήσας ὅτι τῆς ἐν Ἀδὰμ παραβάσεως γεγόναμεν κοινωνοὶ, μόνον δὲ οὐχὶ καὶ τῶν ἐκείνῳ πεπλημμελημένων ἐκτετίκαμεν δίκας, διαδραμούσης εἰς ἅπαντας τῆς ἀρᾶς, καὶ τὸ ἐξ ἐκείνου γένος κατανεμηθείσης τρόπον τινὰ τῆς ὀργῆς. Καθίκετο τοίνυν εἰς ἐνανθρωπότητα, καὶ ἐσκήνωσεν ἐν ἡμῖν ὁ Μονογενὴς, καὶ 68.760 ὑπέθηκεν ἑαυτὸν τῷ Θεῷ καὶ Πατρί. «Γέγονε γὰρ ὑπήκοος μέχρι θανάτου,» τῆς ἐξ Ἀδὰμ ἀποταξίας ἀφανίζων τὰ ἐγκλήματα, καὶ τῆς εὐπειθείας τὴν εὐωδίαν ὡς ὑπὲρ πάντων τε ἅμα καὶ ὑπὲρ ἑκάστου προσαγήοχε τῷ Θεῷ καὶ Πατρὶ, καὶ δι' αὐτοῦ σεσώσμεθα· καὶ μάρτυς ὁ Παῦλος ὡδὶ γεγραφώς· «Ἄρα οὖν, ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς· ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς ἀνθρώπου δίκαιοι κατασταθήσονται οἱ πολλοί.» Συνίης οὖν ὅτι σεσώσμεθα μὲν ὡς ἔν γε τῷ μόσχῳ, τεθνεῶτος ὑπὲρ ἡμῶν τοῦ Χριστοῦ, εὐωδιάζομεν δὲ τῷ Θεῷ καὶ Πατρὶ διὰ τῆς ὑποταγῆς αὐτοῦ καὶ τῆς ἐν ἁγιασμῷ ζωῆς· Προσεχεῖτο γὰρ τὸ αἷμα τοῦ κριοῦ τῷ ἁγίῳ θυσιαστηρίῳ. {ΠΑΛΛ.} Συνίημι ὃ φής. {ΚΥΡ.} Πολυτρόπως δὲ τὸν αὐτὸν ἡμῖν διαπλάττων ὡς ἐν σκιαῖς· Καὶ λήψῃ, φησὶ, κριὸν τὸν δεύτερον, καὶ πράττεται μὲν ἐπ' αὐτῷ κατὰ τὸν πρῶτον ἡ σφαγή. Καταχρίεται δὲ Ἀαρὼν, καὶ τὸ ὑπ' αὐτῷ τῶν ἱερέων ἁγιάζεται στίφος, ἐπιτιθεμένου τοῦ αἵματος ἐπ' ἄκροις χειρὸς καὶ ὠτίου, καὶ μὴν καὶ ποδὸς τῶν δεξιῶν· ἁγιάζεται δὲ καὶ τῶν ἱερέων ἡ στολὴ καταῤῥαντισθεῖσα τῷ αἵματι, εἶτα τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λείποντος ἐπιπροχεομένου τῇ βάσει τοῦ θυσιαστηρίου, κατὰ τὸ Θεῷ δοκοῦν, ἀπολαμβάνεται τά τε ἐντόσθια καὶ ἄζυμος ἄρτος καὶ λάγανον ἕν· ἄμφω δὲ ἦν ἐλαιόδευτα· καὶ προσκομίζουσι μὲν ἐν χερσὶν ἐνθέντες ἰδίαις οἱ ἀμφὶ τὸν Ἀαρὼν, ἀποδέχεται δὲ τὴν θυσίαν καὶ ἀναφέρει Μωσῆς. Δεῖν δὲ πρὸς τούτοις ἔφη βραχίονα καὶ στηθήνιον ἀποτάττεσθαι τῷ ἱερεῖ, καὶ ἐν μοίρᾳ κεῖσθαι τῶν ἀφαιρουμένων. Ὄνομα δὲ τῷ θύματι, κριὸς τελειώσεως. Τεθυμιαμένων δὲ τῶν ἐντοσθίων, τὸ λοιπὸν σὺν ἄρτοις ἐσθίεται σῶμα, πυρὶ κατακαιομένων τῶν εἰς τὸ πρωῒ καταλελειμμένων. Ἔχει γὰρ ὧδε τὸ γράμμα τὸ ἱερόν. {ΠΑΛΛ.} Ὡς βαθὺς ὁ λόγος! {ΚΥΡ.} Ἔφης ὀρθῶς· βαθὺς γὰρ δὴ λίαν, ὠδίνει δὲ μὴν τὸ Χριστοῦ μυστήριον. Γέγονε γὰρ ἡμῖν κριὸς τελειώσεως εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀρτίως ἔχοντας ἀποφαίνων, καὶ ἐκπρεπεστάτους ἐν ἀρεταῖς δι' ἁγιασμοῦ ἐν πνεύματι, καὶ πρό γε τῶν ἄλλων ἀκοὴν μὲν ἐνθεὶς, τὴν εὐλογίας πλήρη, τουτέστι, τὴν εὐπειθῆ καὶ εὐήνιον, καὶ ἐπιτηδείως μὲν ἔχουσαν εἰς παραδοχὴν τῶν περὶ αὐτοῦ δογμάτων, οὐκ ἀνεχομένην δὲ ψιθύρων τερετισμῶν, καὶ μυσαρᾶς ἀθυρογλωσσίας, ἣν ἂν ποιοῖντό τινες τῇ ἀληθείᾳ μαχόμενοι, καὶ τοῖς τῆς ὀρθότητος ἀντεξάγοντες δόγμασιν· ἀκοῆς γὰρ δὴ τοῦτο τῆς ἁγίας καρπός. Καὶ μὴν Ἰωάννης ἡμῖν ὁ θεσπέσιος ὧδέ πή φησιν· «Ἀδελφοὶ, δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστι· πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ Ἰησοῦν Χριστὸν, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι, καὶ πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν, ἐκ τοῦ Θεοῦ ἐστι.» Βάσανος δὲ ῥημάτων πράττοιτο ἂν εἰκότως οὐχ ἑτέρως τέ ποι μᾶλλον ἢ εἰς οὖς. Ἅγιον 68.761 δὴ οὖν ἔσται τὸ οὖς τοῖς τῆς ἀκριβείας καὶ δογματικῆς ὀρθότητος ἐπιμεληταῖς. Ἀλλὰ τοῦτό ἐστι Χριστοῦ τὸ δῶρον καὶ ξένιον οὐρανοῦ, καὶ κατόρθωσις αἵματος τοῦ ἁγίου· ἁπάντων γὰρ ἡμῖν τῶν ἐξαιρέτων ἡ κτῆσις ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ. Τοιγάρτοι καὶ χεὶρ ἡγιάζετο, πρακτικῆς ἐνεργείας παραδεικτικὴ, καὶ μέντοι καὶ ποῦς, τῆς ἐν τροχιαῖς ὀρθότητος σύμβολον ἐναργές. Ἁγίοις γὰρ ἡμᾶς ἔργοις ἐπισεμνύνεσθαι χρὴ, καὶ διαστείχειν εὖ μάλα τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀρεσκόντων Θεῷ διάττουσαν τρίβον, κατὰ τὸ ἐν Ψαλμοῖς ᾀδόμενον, «Καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου,» ἤγουν τὸ ἐν βίβλῳ Παροιμιῶν, «Ὀρθὰς τροχιὰς ποίει σοῖς ποσὶ, καὶ τὰς ὁδούς σου κατεύθυνε.» Κεκτήσθω δὴ οὖν τὸ ἱερὸν καὶ ἀπόλεκτον γένος ἁγίαν μὲν ἀκοὴν, χεῖρά τε ὁμοίως καὶ πόδα κατά γε τοὺς ἀρτίως ἡμῖν εἰρημένους τρόπους· δεξιά τε πάντα χριόμενα καὶ ὡς ἐν μοίρᾳ τῇ λοίσθῳ, τουτέστιν, ἐν ἄκροις. Τὸ γὰρ ἄκρον φησὶ τοῦ ὠτὸς, καὶ μὴν καὶ ποδὸς καὶ χειρός· ἅπασα γὰρ, οἶμαι, πρᾶξις ἀγαθὴ γενναία τέ ἐστι καὶ δεξιὰ, τὸ ὡς ἐν φαυλότητι σκαιὸν οὐκ ἔχουσα, καὶ μέχρι τῶν ἄκρων, ὅ ἐστι μέχρι παντὸς ἤτοι τέλους. Προσήκει γὰρ εἶναι δεξιοὺς ἐν ἁγιασμῷ τοὺς Θεῷ καθιερωμένους μέχρι παντὸς ἐν ὑπομονῇ. «Ὁ γὰρ ἀρξάμενος, φησὶν, ἔργον ἀγαθὸν ἐν ὑμῖν, ἐπιτελεσάτω.» Ἔκτοπον δὲ λίαν καὶ τὸ ἀνόπιν ἱέσθαι τρόπον τινὰ διαπεραίνειν ὀκνοῦντας τὸ ἀγαθόν. Ἐπειδὴ δὲ εἰς τύπον Θεοῦ Μωσῆς, προσκομίζουσι μὲν τὴν θυσίαν οἱ ἀμφὶ τὸν Ἀαρὼν, ὑποδέχεται δὲ αὐτὸς, οἱονεί πως Θεοῦ καὶ διὰ τοῦδε κατασημαίνοντος, ὅτι τῶν οὕτως ἡγιασμένων τὰς ἐπὶ Χριστῷ θυσίας μονονουχὶ καὶ ἀπὸ χειρὸς εἰς χεῖρα δέξεται, καὶ οὐκ ἀπαξιώσει τὸ χρῆμα· Χριστοῦ γὰρ ἔχει τὴν εὐωδίαν, καὶ τοῦτο, οἶμαι, ἔστιν ἡ τῶν ἐντοσθίων ἀναφορὰ θυμιωμένων αὐτῷ. Ἀφαίρεμα δὲ τῷ ἱερεῖ στηθύνιον, καὶ βραχίων ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως. Καὶ βραχίων μὲν ἰσχύος ἂν εἴη σύμβολον, στηθύνιον δὲ καρδίας καὶ νεφρῶν. Δέδοται δὲ τῷ ἁγίῳ τε καὶ ἱερῷ γένει Χριστὸς, δύναμις καὶ σοφία παρὰ τοῦ Θεοῦ καὶ Πατρός. Ἢ οὐκ ἐν αὐτῷ σοφοί τέ ἐσμεν καὶ ἄγαν εὐσθενεῖς; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; γέγραπται γὰρ ὅτι Χριστὸς, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, γέγονεν ἡμῖν ταῦτα παρὰ τοῦ Θεοῦ. {ΚΥΡ.} Ἱερὰ δὲ βρῶσις τοῖς εἰς λειτουργίαν ἐξειλεγμένοις τὰ κρέα. Δέδοται δὲ τοῖς ἀζύμοις ἄρτοις ὁμοῦ, συμμετέχοντος οὐδενὸς τῶν ἀλλογενῶν, ἢ, εἰ τοῦτο δρῴη τις, καὶ τεθνηξομένου. Ψυχαῖς γὰρ ἂν πρέποι ταῖς ἱεραῖς τὸ ἐν μεθέξει γίνεσθαι τροφῆς ἁγίας, τουτέστι, τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σώματος τοῦ Χριστοῦ, καὶ ἀπρόσιτος τοῖς ἀλλογενέσιν ἡ εὐλογία. Νοοῖτο δ' ἂν ἑτερογενὲς καὶ τὸ ἄπιστον ἔτι καὶ ἀβάπτιστον γένος, καὶ πρὸς τούτοις ἔτι τὸ ἐξεστραμμένον εἰς ἑτερόφρονα νοῦν, καὶ ταῖς τῶν ἁγίων ἀσύμβατον γνώμαις, καὶ ὡς ἐν φαυλότητι δογμάτων διεσχοινισμένον. Δαπανᾶται δὲ καὶ πυρὶ πᾶν ὅσον ἐστὶ τῆς θυσίας λεί 68.764 ψανον, οὐκ ἐφιέντος ἐσθίειν τοῦ νόμου καὶ εἰς τὴν αὔριον· ἁγιασμοῦ γὰρ, οἶμαι, τὶς ἕτερος ἡμῖν ἔσται τρόπος κατὰ τὸν αἰῶνα τὸν μέλλοντα πνευματικῶς ἐνεργούμενος, οὐκέτι σωματικῶς, καὶ καθ' ὃν οἶδε λόγον ὁ πάντα μετασκευάζων Θεὸς, καὶ οἶπερ ἂν βούλοιτο μετατιθείς. Ἕψεται δέ τις τοῖς λόγοις οὐκ ἀσύνετος νοῦς· λελυμένης γὰρ ἐν ἡμῖν τῆς φθορᾶς μετά γε τὸ ἀναβιῶναι τυχὸν ἐκ νεκρῶν, οὐκ ἀναγκαῖά πως ἐστὶ τὰ δι' ὧν ἂν ἦν δύνασθαι διαδράσκειν αὐτήν. Ἕτερος δὴ οὖν ἁγιασμοῦ τρόπος τῇ τοῦ καιροῦ καταστάσει πρέπων ἐπινοηθήσεται, συνόντος ἡμῖν τοῦ Χριστοῦ. Τὸ δὲ εἰς νοῦν ἧκον εἰπόντες, τοῖς τὰ ἀμείνω νοοῦσι παραχωρήσομεν. Καὶ τάχα τι τοιοῦτον ὑποσημαίνει λέγων ὁ θεσπέσιος Παῦλος· «Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται,» ἀντὶ τοῦ, πέρας ἕξει καὶ στήσεται. {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Ταυτὶ μὲν οὖν ἔφη διαπεραίνεσθαι δεῖν εἰς τὴν τῶν ἱερῶν τελείωσιν. Συνεγηγερμένων δὲ τῶν ἱερέων Ἰσραὴλ, καὶ συνειλεγμένων εἰς Ἐκκλησίαν, τὴν εἰς ἐμφανὲς ἀνάδειξιν διετύπου λέγων· «Λάβε Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὸν μόσχον τὸν περὶ ἁμαρτίας, καὶ τοὺς δύο κριοὺς, καὶ τὸ κανοῦν τῶν ἀζύμων, καὶ πᾶσαν τὴν συναγωγὴν ἐκκλησίασον ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ εἶπε Μωσῆς τῇ συναγωγῇ· [καὶ ἐποίησε ὃν τρόπον συνέταξεν αὐτῷ Κύριος καὶ ἐξεκκλησίασε τὴν συναγωγὴν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ εἶπε Μωσῆς·] Τοῦτό ἐστι τὸ ῥῆμα ὃ ἐνετείλατο Κύριος ποιῆσαι. Καὶ ἀμφιέννυσι μὲν ἐν κόσμῳ τὸν Ἀαρὼν, καὶ μέντοι τοὺς ἱερέας. Προσρανεῖ δὲ τῷ ἐλαίῳ τῆς χρίσεως τὸ θυσιαστήριον ἑπτάκις, καὶ ἐπὶ πάντα αὐτοῦ τὰ σκεύη, καὶ ἐπὶ τὸν λουτῆρα, φησὶ, καὶ τὴν σκηνὴν, καὶ πάντα τὰ ἐν αὐτῇ, καὶ ἡγίασεν αὐτά.» Ἁγία γὰρ ἡ σκηνὴ, καταπλουτεῖ δὲ τελείως τὸ θυσιαστήριον τὸν διὰ Πνεύματος ἁγιασμὸν, οὐχ ὡς ἐν τάξει μετίσχον τῶν λογικῶν· οὐ γὰρ οὕτως ἅγιον, ὡς, οἷον εἰπεῖν, ἀγγέλου φύσις, ἤγουν ἀνθρώπου ψυχή· ἀλλ' οἱονεί πως ἐξ ἐπαφῆς τῆς ἐπιτιθεμένης θυσίας αὐτῷ. Ἅγιος γὰρ καὶ τόπος ἐν ᾧπερ ἂν γένοιτο Χριστός. Καταχρίσας δὴ οὖν τὸ θυσιαστήριον ἑπτάκις, ὅ ἐστι πλουσίως, ἁγιάζει τὸν Ἀαρών· προσεπήντλησε γὰρ αὐτῷ τὸ τῆς χρίσεως ἔλαιον, καὶ πρός γε δὴ τούτῳ προσκεκόμικε τὰς θυσίας τὰς ὑπέρ τε αὐτοῦ καὶ τῶν ἐξ αὐτοῦ κατά γε τοὺς ἀρτίως ἡμῖν προαποδοθέντας τρόπους. Ἐπειδὴ δὲ εἰς πέρας ἧκτο ταυτὶ, προσεπιτάττει λέγων, «Καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς καὶ μαρτυρίου οὐκ ἐξελεύσεσθε ἑπτὰ ἡμέρας, ἕως ἡμέρα πληρωθῇ, ἡμέρα τελειώσεως ὑμῶν. Ἑπτὰ γὰρ ἡμέρας τελειώσει τὰς χεῖρας ὑμῶν, καθάπερ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ, ᾗ ἐνετείλατο Κύριος τοῦ ποιῆσαι, ὥστε ἐξιλάσασθαι περὶ ὑμῶν, καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου καθίσεσθε ἑπτὰ ἡμέρας. Ἡμέραν δὲ καὶ νύκτα φυλάξασθε τὰ φυλάγματα Κυρίου, ἵνα μὴ ἀποθάνητε· οὕτως γὰρ ἐνετείλατό μοι Κύριος ὁ Θεός.» 68.765 Ὁποῖος μὲν οὖν ἐφ' ἑκάστῃ τῶν θυσιῶν γέγονε τρόπος, ἀποχρῶν ἡμῖν εὖ μάλα διέδειξε λόγος. Τοιγάρτοι μεθέντες τὸ ἔν γε τούτοις ἰσχνομυθεῖν, ἐπὶ τοῦτο ἴωμεν. Οὐκ ἐφίησιν ὁ νόμος τοὺς ἱερὸν καὶ ἀπόλεκτον καταπλουτήσαντας κλῆρον, τετελειωμένους τε ἤδη πρὸς τὸ ἱερᾶσθαι δεῖν, ἔξω που φέρεσθαι τῆς ἁγίας σκηνῆς, ἀλλ' εἰς ἑβδόμην ἡμέραν εἴσω τε καθίζειν, καὶ μονονουχὶ προσηλοῖ ταῖς θύραις, οὐχ ὑπεραίροντας τὸν οὐδὸν, τὴν ἐν τόποις ἁγίοις κάθισιν σύμβολον, οἶμαί που, τιθεὶς ἑδραιότητος καὶ διαμονῆς τῆς ἐν ἁγιασμῷ. Διερηρεῖσθαι γὰρ δεῖ καὶ ἀκλονήτως ἔχειν εἰς ἀρετὴν ἀναγκαῖον ἡμᾶς, τοὺς οἵγε τετάγμεθα προσεδρεύειν Θεῷ, οὐκ ἔξω φοιτῶντας τοῦ καθήκοντος τρόπου καὶ γνώμης ἐκτρέχοντας ἱεροπρεποῦς· ἀγχοῦ δὲ ὥσπερ ἀεὶ καὶ οἰκοῦντας παρὰ Θεῷ, κατά γε τὸ εἰρημένον διὰ φωνῆς προφήτου· «Ζητῶν ζήτει, καὶ παρ' ἐμοὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἴκει.» Εἰς ἑπτὰ δὲ τοῦτο ἡμέρας ποιεῖν ἐκέλευσεν ὁ Μωσῆς· τὸ ἐν παντὶ δὲ χρῆναι καιρῷ Θεῷ προσεδρεύειν ἐπείγεσθαι, τοῦ ἑπτὰ σημαίνοντος, οἱονεὶ γάρ πως τὸ διόλου καὶ διὰ παντὸς φησίν. Εἴσω δὲ ὄντας σκηνῆς ἐντέλλεται τηρεῖν τὰ φυλάγματα Κυρίου, τῆς παρὰ Θεῷ προσεδρείας καρπὸν, τὸ εὐπειθὲς ὑποφαίνων, καὶ τὸ δρᾷν ἐθέλειν ἅπερ ἂν ἕλοιτο νομοθετεῖν. Προσεδρευτέον ὧδε τῷ πάντων Δεσπότῃ, πρὸς αὐτό που τὸ λοῖσθον τῶν κακῶν τῆς ἐπ' ἀγαθοῖς ῥᾳθυμίας ἐκτελευτώσης ἀεί· προσεπήνεγκε γὰρ ὁ Μωσῆς ταύτῃ τοι, καθάπερ ἐγῷμαι, τὸ, «Ἵνα μὴ ἀποθάνητε.» {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Τετελειωμένος δὲ ἤδη πρὸς ἱερουργίαν ὁ Ἀαρὼν ἄρχεται πληροῦν τὰ νενομισμένα. Καὶ τίνα δὴ τρόπον, φέρε δὴ λέγωμεν. Γέγραπται γὰρ πάλιν ἐν τῷ Λευιτικῷ· «Καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐκάλεσε Μωσῆς Ἀαρὼν, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὴν γερουσίαν Ἰσραὴλ, καὶ εἶπε Μωσῆς πρὸς Ἀαρών· Λάβε σεαυτῷ μοσχάριον ἐκ βοῶν περὶ ἁμαρτίας, καὶ κριὸν εἰς ὁλοκαύτωμα, ἄμωμα, καὶ προσένεγκε αὐτὰ ἔναντι Κυρίου. Καὶ τῇ γερουσίᾳ Ἰσραὴλ λάλησον, λέγων· Λάβετε χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, καὶ μοσχάριον, καὶ ἀμνὸν ἐνιαύσιον εἰς ὁλοκάρπωσιν, ἄμωμα, καὶ μόσχον, καὶ κριὸν εἰς θυσίαν σωτηρίου ἔναντι Κυρίου, καὶ σεμίδαλιν πεφυραμένην ἐν ἐλαίῳ, ὅτι σήμερον Κύριος ὀφθήσεται ἐν ὑμῖν. Καὶ ἔλαβον, καθὸ ἐνετείλατο Μωσῆς ἀπέναντι τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ προσῆλθεν πᾶσα συναγωγὴ, καὶ ἔστησαν ἔναντι Κυρίου, καὶ εἶπε Μωσῆς· Τοῦτο τὸ ῥῆμα, ὃ εἶπε Κύριος, ποιήσατε, καὶ ὀφθήσεται ἐν ὑμῖν ἡ δόξα Κυρίου. Καὶ εἶπε Μωσῆς τῷ Ἀαρών· Πρόσελθε πρὸς τὸ θυσιαστήριον, καὶ ποίησον τὸ περὶ τῆς ἁμαρτίας σου, καὶ τὸ ὁλοκαύτωμά σου, καὶ ἐξίλασαι περὶ σεαυτοῦ, καὶ τοῦ οἴκου σου, καὶ ποίησον τὰ δῶρα τοῦ λαοῦ, καὶ ἐξίλασαι περὶ αὐτῶν, καθάπερ ἐνετείλατο Κύριος.» Λεπτὸν, ὦ Παλλάδιε, τοῖς ἱεροῖς Γράμμασι τὸν νοῦν ἐνιεὶς περιαθρήσεις εὖ μάλα κἀν τῷδε διαφανὲς τὸ Χριστοῦ μυστήριον. {ΠΑΛΛ.} Τίνα τρόπον; {ΚΥΡ.} Ἐν ἡμέρᾳ γὰρ ὀγδόῃ καταλήγει μὲν ὥσπερ τοῦ ἱερᾶσθαι Μωσῆς. Ἄρχεταί γε μὴν ὁ Ἀαρὼν, 68.768 πλὴν οὐ σεσίγηκεν ὁ Μωσῆς, καίτοι διάττοντος ἤδη πρὸς τὰ τῆς ἱερωσύνης ἔργα τοῦ Ἀαρών. Χρόνος γὰρ δὴ τῆς ἱερωσύνης Χριστοῦ νοοῖτ' ἂν εἰκότως ὁ μετὰ τὸν νόμον, τοῦτ' ἔστιν, ἡ ὀγδόη, καθ' ἣν ἡ ἀνάστασις, καὶ ἀρχή τις ὥσπερ αἰῶνος νέου. Καινὴ γὰρ κτίσις ἐν Χριστῷ, κατὰ τὸ γεγραμμένον. Ἀναδεδειγμένου δὲ ἤδη Χριστοῦ κατὰ τὴν ὀγδόην, καταλήγει μὲν τὰ Μωσέως· οὐ γὰρ ἐν τύποις ἔτι καὶ σκιαῖς λατρεύομεν· ἥ γε μὴν ἐννόμῳ παίδευσις οὐ σεσίγηκε, πνευματικὸς γὰρ ὁ νόμος τοῖς πνευματικοῖς, καὶ ἀεὶ τὸ Χριστοῦ λαλεῖ μυστήριον. Ἐπηγγέλλετο μὲν οὖν ὁ Μωσῆς κατὰ τὴν ὀγδόην ἡμέραν ὀφθήσεσθαι τὴν δόξαν Κυρίου. Προαναπεφώνηκε γὰρ ὁ νόμος τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὸν χρόνον. Προσεπιτάττει δὲ πάλιν, πρότερον μὲν ὑπὲρ ἑαυτοῦ τὸν Ἀαρὼν θυσίας ἐπιτελεῖν· μετὰ δὲ τοῦτο, τὰς ὑπὲρ παντὸς τοῦ λαοῦ, τύπον, οἶμαι, τὸ χρῆμα τιθεὶς τοῖς καθ' ἡμᾶς ἤδη πως, καὶ ὑποφαίνων εὖ μάλα καὶ σαφῶς, ὅτι τοῖς ἐξειλεγμένοις εἰς ἱερωσύνην, καὶ τοῖς τὸν ἐν πίστει δεχομένοις ἁγιασμὸν, πρέποι ἂν εἰκότως τὸ ἁγίους τε εἶναι καὶ ἱερούς. Τίς δ' ἂν γένοιτο τῆς προσαγωγῆς ὁ τρόπος, ὡς ἔνι δηλώσομεν. Μοσχάριον οὖν ὑπὲρ ἁμαρτίας καὶ καθαρισμοῦ τῶν ἱερουργούντων ἐσφάζετο. Προχεομένου δὲ τοῦ αἵματος τῷ ἁγίῳ θυσιαστηρίῳ, τεθυμιαμένων δὲ καὶ τῶν ἐντοσθίων, πυρὶ τὸ ἐπίλοιπον κατεφλέγετο σῶμα. Κριὸς δὲ δὴ πάλιν τὸ ὁλοκαυτούμενον ἦν, κατά γε τὸν συνήθη νόμον τῆς ὁλοκαυτώσεως· χίμαρος δὲ τὸ θῦμα πρὸς ἀποκάθαρσιν ἁμαρτίας τοῦ λαοῦ· μοσχάριον δὲ καὶ ἀμνὸς, τὰ εἰς ὁλοκαύτωσιν, κριός τε καὶ μόσχος εἰς θυσίαν σωτηρίου, ἐπιτεθειμένης τῷ θυσιαστηρίῳ καὶ τῆς σεμιδάλεως, εἰ καὶ μὴ πάσης τυχὸν, ἀλλὰ δρακὸς καὶ ἐκ μέρους. Εἶτά φησιν, ὅτι «Καὶ ἐξάρας Ἀαρὼν τὰς χεῖρας ἐπὶ τὸν λαὸν, ηὐλόγησεν αὐτοὺς, καὶ κατέβη ποιήσας τὸ περὶ τῆς ἁμαρτίας, καὶ τὰ ὁλοκαυτώματα καὶ τὰ τοῦ σωτηρίου, καὶ εἰσῆλθε Μωσῆς καὶ Ἀαρὼν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἐξελθόντες



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐλόγησαν ἅπαντα τὸν λαὸν, καὶ ὤφθη ἡ δόξα Κυρίου παντὶ τῷ λαῷ, καὶ ἐξῆλθε πῦρ παρὰ Κυρίου, καὶ κατέφαγε τὰ ἐπὶ τοῦ θυσιαστηρίου, τά τε ὁλοκαυτώματα, καὶ τὰ στέατα, καὶ εἶδε πᾶς ὁ λαὸς, καὶ ἐξέστη, καὶ ἔπεσον ἐπὶ πρόσωπον.» {ΠΑΛΛ.} Τί δὴ οὖν ἄρα καὶ ἐπὶ τοῖσδε φής; {ΚΥΡ.} Ὤφθη μὲν οὖν κατά γε τὸ ἀληθὲς ἡ δόξα Κυρίου κατὰ τὴν ὀγδόην, ἤτοι γέγονεν ἐμφανὴς ὁ Υἱὸς, ἡ δόξα τοῦ Θεοῦ καὶ Πατρός· ὠνόμαζε γὰρ αὐτὸν οὕτω λέγων πρὸς Μωσέα τὸν ἱερώτατον· «Ζῶ ἐγὼ, λέγει Κύριος, ἦ μὴν ἐμπλησθήσεται τῆς δόξης Κυρίου πᾶσα ἡ γῆ.» Ἱεροὺς δὲ ἡμᾶς ἀποφαίνει αὐτὸς ὑπὲρ ἡμῶν ὡς ἕν γε τῷ μόσχῳ σφαζόμενος, καὶ ἁμαρτίας ἐλευθερῶν, καὶ παντὸς ἀνιεὶς ἐγκλήματος, καὶ τὸν ἐκ τοῦ κατεγνῶσθαι διασμήχων ῥύπον, καὶ αὐτὸς ὁμοίως εἰς ὀσμὴν εὐωδίας τῆς νοητῆς ὡς κριὸς τελειούμενος, αὐτὸς καὶ θυσία σωτηρίου γινόμενος, καὶ ἁγιάζων ἡμᾶς τῷ ἰδίῳ αἵματι, αὐτὸς καὶ σεμίδαλις ἐλαιόδευτος, ἐν ἱλαρότητι ζωῆς ἁγίας, παραδεικνὺς ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ Θεῷ καὶ Πατρί. 68.769 {ΠΑΛΛ.} Συνίημι ὃ φής. {ΚΥΡ.} Οἶμαι δὲ ἔγωγε, τὴν ὑπὲρ τοῦ Ἀαρὼν θυσίαν καὶ ὑπὲρ τοῦ λαοῦ παραδηλοῦν ἀστείως τὴν τῶν ἁγίων εἰς Θεὸν καθιέρωσιν. Ἀναδεδειγμένου δὲ λοιπὸν καὶ ἐμφανῆ τὰ καθ' ἑαυτὸν καταστήσαντος τοῦ Ἐμμανουὴλ, δι' οὗ κεκλήμεθα πρὸς ἁγιασμὸν, δεκτοί τε καὶ ἱεροὶ, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνατεθείμεθα τῷ Πατρί. Ἐπιτήρει γὰρ ὅτι, διὰ τῶν ἔναγχος εἰρημέ-νων, ἐπεραίνετο μὲν ἐννόμως ἡ τῶν ἱερέων τελείωσις, δι' αὐτοῦ δὲ δὴ πάλιν πολυτρόπως ἡγιασμένων. Κατεκαίετο μὲν γὰρ ὡς μόσχος ἔξω τῆς παρεμβολῆς ὑπὲρ ἁμαρτίας, ἐθυμιᾶτο δὲ ὡς κριὸς καθηκόντως ὁλοκαυτούμενος, μελειστὶ δὲ ὅλος ὡς ὑπὲρ ἑκάστου καὶ ὑπὲρ πάντων, ἡγίαζε τῷ αἵματι καταχρίων αὐτοὺς, ὡς κριὸς σωτηρίου. Ὀγδόης δὲ ἤδη λοιπὸν ἀναδεδειγμένης ἡμέρας, τοῦτ' ἔστι, καθ' ἣν ἐκφανεστέρα γέγονεν ἡ δόξα Χριστοῦ, κατηργημένου θανάτου, καὶ πεπατημένης φθορᾶς, λοιπὸν ἱερεῖς τε καὶ λαοὶ καρποφοροῦσι Θεῷ, οὐκ ὀθνείοις τιμῶντές τισιν, οὐδὲ τοῖς ἔξωθεν εὐφραίνοντες τὸν τῶν ὅλων Δεσπότην, καθάπερ καὶ ὁ κατὰ σάρκα Ἰσραὴλ, ἀλλὰ ἑαυτοὺς ἀποφαίνοντες εὐώδη θυσίαν. Οἱονεὶ γάρ πως ἐν εἰκόνι τοῖς θύμασι τὰς ἑαυτῶν ἱερουργοῦμεν ψυχὰς, καὶ Θεῷ προσάγομεν, ἀποθνήσκοντες μὲν τῷ κόσμῳ, καὶ τῷ φρονεῖν τὰ σαρκὸς, καὶ παθῶν νέκρωσιν ὑπομένοντες, μόνον δὲ οὐχὶ συσταυρούμενοι τῷ Χριστῷ, ἵνα πρὸς ἁγίαν καὶ ἀμώμητον μεταχωροῦντες ζωὴν, κατὰ τὸ αὐτῷ δοκοῦν πολιτευώμεθα. Τοιοῦτόν τι καὶ ὁ θεσπέσιος γράφει Παῦλος· «Πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ.» Καὶ πάλιν· «Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν·» εἰ συμμορφούμεθα τῷ θανάτῳ καὶ τοῖς παθήμασιν αὐτοῦ, κατὰ τὸ γεγραμμένον, κοινωνοὶ καὶ τῆς ἀναστάσεως καὶ τῆς δόξης ἐσόμεθα. Οὐκοῦν ἔξω μὲν τῆς πύλης ὑπὲρ ἡμῶν πέπονθεν ὁ Χριστὸς, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν, ἔξιμεν δὲ καὶ αὐτοὶ, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες, ἔξω τῆς πύλης, ὡς μοσχάριον ἐν ἴσῳ τρόπῳ σφαζόμενοι, καὶ ὡς κριὸς ὁλοκαυτούμενοι, τὴν ἐν Χριστῷ πολιτείαν εὐωδιάζομεν τῷ Θεῷ· Καὶ ταυτὶ μὲν ὑπὲρ Ἀαρὼν καὶ τῶν σὺν αὐτῷ τε καὶ ἐξ αὐτοῦ τὰ θύματα, τὰ δὲ ὑπὲρ τοῦ λαοῦ, χίμαρος τὸ ὑπὲρ ἁμαρτίας. Καὶ τίς ὁ λόγος; καίτοι μοσχαρίου προσενηνεγμένου πρὸς ἀποκάθαρσιν ἱερέων. Ἐν ὑπεροχῇ δὲ πάντα τὰ ἱερέων, καὶ θυσίας προσαγωγαὶ, καὶ τὰ εἰς ἀποκάθαρσίν τε καὶ ἁγνισμόν· μείζων δὲ ὡς ἐν μεγέθει σώματος χιμάρου μοσχάριον, τῆς ἐν πράγμασι νοητῆς ὑπεροχῆς μηνύσιον ἐμφαῖνον ἐναργές. Μοσχάριον δὲ καὶ ἀμνὸς εἰς ὁλοκάρπωσιν τὴν ἐν Χριστῷ νηπιότητα τῶν ἐν πίστει καθιερουμένων ὑπαινίττεται· μόσχος δὲ καὶ κριὸς τὸ τληπαθὲς καὶ ἀνδρεῖον, καὶ τὴν ἐν πραότητι καρποφορίαν κατασημαίνουσιν εὖ μάλα καὶ τοῦ μὲν πρώτου τύπος ὁ μόσχος· ὁ δέ γε κριὸς τοῦ δευτέρου. Διάβροχος δὲ τῷ ἐλαίῳ σεμίδαλις τῆς ἐν Χριστῷ ζωῆς τὴν ἐλπίδα λαμπρὰν εὖ μάλα καταδηλοῖ· οὐ γάρ τοι στυγνάζοντας καὶ δεδακρυμένους, 68.772 ἀλλ' εὐθύμους καὶ ἱλαροὺς τῆς ἐν Χριστῷ πολιτείας ἐξῆφθαι πρέπει. Τοῦτο γὰρ, οἶμαι, ἔστι τὸ, «Δεῦτε ἀγαλλιασώμεθα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ Κυρίῳ.» Ἐπιλάμψει γὰρ οὕτω καθαρῶς τε καὶ ἐναργῶς ἡ δόξα Χριστοῦ, ἀσμενέστατα προσιεμένη τὰς τῶν ἁγίων καρποφορίας, καθάπερ ἀμέλει καὶ τότε Θεὸς ἐν εἴδει πυρὸς καταπεφοίτηκεν ἐναργῶς, καὶ κατέφαγε τὰ θύματα. Μόνον δὲ οὐχὶ τροφὴν ἡγεῖται καὶ τρυφὴν τῶν ἡγιασμένων ἐν πίστει τὴν εὐδοκίμησιν. Ὑπεμφαίνει δέ τι καὶ μυστικὸν ὁ λόγος· τότε μὲν γὰρ ἐπὶ τὰ διχοτομήματα τὴν πυρὸς ἀκμὴν καθίει Θεὸς, οἱονεί πως τῶν προκειμένων ἁπτόμενος· ὑποπλάττεται γὰρ τὴν πυρὸς φύσιν ἀεὶ τὸ Θεῖον. Νυνὶ δὲ τῆς νοητῆς προτιθεμένης αὐτῷ θυσίας, οὐκ ἐν εἴδει πυρὸς, ἀλλ' ἐν ἁγίῳ Πνεύματι, τῶν προκειμένων νοητῶς ἐφαπτόμενος, ζωοποιὸν ἀποφαίνει τοῖς ἐφιεμένοις μεταλαχεῖν, καὶ ἀληθὲς ἐν πίστει τὸ χρῆμα δεδέγμεθα. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἐξάρας δὲ Ἀαρὼν τὰς χεῖρας ηὐλόγησε τὸν λαόν. Καὶ θέα δὴ πάλιν ὡς ἐν πρώτῃ χειρῶν ἐπιθέσει ἐπὶ λαοῖς διὰ τοῦ Ἀαρών· εὐλογεῖ γὰρ ἅπαντας ὁ ἀληθὴς Ἀαρὼν, ἱερέας καὶ λαοὺς, τοὺς μικροὺς μετὰ τῶν μεγάλων, κατὰ τὸ γεγραμμένον, μονονουχὶ καὶ χεῖρας ἐπιθεὶς, καὶ σημεῖον ἂν γένοιτο σαφὲς ἡ χειρὸς ἐπίθεσις τῆς τοῦ παναγίου Πνεύματος εἰς ἡμᾶς καταβολῆς. Πρὸ δὲ τῆς ἱερουργίας τῆς Ἀαρὼν ἡ χειρῶν ἐπίθεσις οὐκ ἦν. «Οὔπω γὰρ ἦν Πνεῦμα,» κατὰ τὴν Ἰωάννου φωνὴν, ὅτι «Ἰησοῦς οὐδέπω ἐδο-ξάσθη.» {ΠΑΛΛ.} Πιθανὸς ὁ λόγος. {ΚΥΡ.} Καὶ τόνδε τῆς ἱερέων εὐχῆς καταῤῥυθμίζει τρόπον, προαναγορεύσεις τινὰς τῶν διὰ Χριστοῦ παθημάτων εὖ μάλα τιθεὶς τοὺς ἐν αὐτῇ λόγους. Ἔφη γὰρ, ὅτι «Λάλησον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων· Οὕτως εὐλογήσετε τοὺς υἱοὺς Ἰσραὴλ, λέγοντες αὐτοῖς. Καὶ ἐπιθήσουσι τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐγὼ Κύριος εὐλογήσω αὐτοὺς, Εὐλογήσαι σε Κύριος καὶ φυλάξαι σε, ἐπιφάναι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ, καὶ δῴη σοι εἰρήνην, καὶ ἐλεησάτω σε.» Προστάττει μὲν οὖν εὐλογεῖν τὸν λαὸν τοὺς ἐν ἱερωσύνῃ κατεστεμμένους, ἀφίστησι δὲ χρησίμως εἰκαιότητος λογισμῶν, οὐκ ἀνθρώπου χεῖρα τὴν εὐλογοῦσαν δεικνὺς, ἀλλ' ἑαυτὸν ὡς Κύριον. «Πᾶσα γὰρ δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα ἀγαθὸν, καὶ πᾶσα εὐλογία ἄνωθέν ἐστι καταβαίνουσα ἀπὸ τοῦ Πατρὸς τῶν φώτων,» κατὰ τὸ γεγραμμένον. Χριστὸς δὲ τῆς εὐλογίας ἡ ὁδὸς, καὶ αὐτός ἐστιν ἡμῖν τῶν οὐρανίων ἀγαθῶν ὁ διανομεὺς, ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ τὰ πάντα παρὰ τοῦ Πατρός. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, «Χάρις ὑμῖν καὶ εἰρήνη, φησὶν, ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-στοῦ.» Εὐλογούμεθα δὴ οὖν ἐν ὀνόματι Θεοῦ, πῶς δ' ἂν γένοιτο τυχὸν καὶ ὁ τοῦδε τρόπος, κατασημαίνων ἀστείως, ἐπιφθέγγεσθαι δεῖν ἔφη τὸν ἐπευχόμενον ἱερέα· «Εὐλογήσαι σε Κύριος καὶ φυλάξαι σε, ἐπι 68.773 φάναι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ, καὶ ἐλεήσαι σε, ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ, καὶ δῴη σοι εἰρήνην.» Φυλάττει μὲν οὖν ἡ εὐλογία παραλύουσα τὴν ἀρὰν, καὶ ἀναπλάττουσα τὸ ἡμαρτηκὸς, εἰς τὸ ἐπαινεῖσθαι δεῖν ἐν Χριστῷ· καὶ τούτου μάρτυς ὁ Παῦλος ὡδὶ γεγραφώς· «Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογή-σας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ, καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατ' ἐνώπιον αὐτοῦ· ἐν ἀγάπῃ προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ τοῦ Χριστοῦ εἰς αὐτόν.» Ὁρᾷς ὅτι τὸ ἀπόβλητον διὰ τὴν ἁμαρτίαν ἔφυ, καὶ ὁ ἄνθρωπος δεκτὸς εἰς υἱοθεσίαν εὐλογούμενος ἐν Χριστῷ διὰ μετοχῆς τοῦ Πνεύματος, ὃ καὶ ἐξέχεεν εἰς ἡμᾶς πλουσίως, ὁ μὴ ἐκ μέρους αὐτὸ τοῖς ἁγίοις δωρούμενος, ἀλλ' ὡς ἐξ ἰδίου πληρώματος ἐντιθείς. Ἐπιφάνεια δὲ προσώπου Θεοῦ προξενήσειεν ἂν αὐτίκα τὸ ἐλεῖσθαι δεῖν, εἴπερ ἐστὶν ἀληθὲς, ὡς ἔν γε τῷ γνῶναι Θεὸν τὸ χρῆναι μεταλαχεῖν τῆς αἰωνίου ζωῆς εἰσβήσεται. Οὕτω γὰρ ἔφασκεν ὁ Σωτὴρ πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν· «Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.» Ὅτι δὲπρόσωπον τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱὸς, ὃς καὶ ἐπέφανεν ἡμῖν, ἐνδοιάσαι τις ἂν ἥκιστά γε, καθάπερ ἐγῷμαι· χαρακτὴρ γάρ ἐστι καὶ ὁμοίωσις καὶ εἰκὼν αὐτοῦ, γινώσκομεν δὲ δι' αὐτοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τε καὶ σὺν αὐτῷ τὸν Πατέρα, συνεισθέοντος δὲ ἀναγκαίως τῇ τοιᾷδε γνώσει καὶ τοῦ ἐλεεῖσθαι δεῖν· Δεδικαιώμεθα γὰρ ἐν πίστει, καὶ οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος, ἀπεφορτισάμεθά τε τὴν φθορὰν, καὶ εἰς καινότητα ζωῆς ἐν Χριστῷ μετεστοιχίσμεθα, κατοικτείροντος Θεοῦ. Καὶ καθ' ἕτερον δὲ τρόπον, εἰ πρὸς Ἰουδαίους τοῦ λόγου τὴν δύναμιν παρατρέποιμεν, ἠλέηνται κατὰ τὸ ἀληθὲς, ἐπιλάμψαντος αὐτοῖς τοῦ Μονογενοῦς. Ἐπέκειτο μὲν γὰρ αὐτοῖς δύσοιστον ὥσπερ τι καὶ ἀπόβλητον ἄχθος, ὁ κατακρίνων νόμος, καὶ οἰκτιρμοῦ δίχα κολάζων τοὺς ἁμαρτάνοντας. Ἠλέηνται δὲ, τὴν δικαιοῦσαν χάριν ὀψὲ καὶ μόλις διὰ Χριστοῦ κερδαίνοντες, οὗ καὶ τὴν ἄφιξιν ἰδεῖν γλιχόμενοι, πρὸς τὸν τῶν ὅλων Θεὸν ἐκεκράγεισαν, «Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.» Ἠλεήμεθα δὴ οὖν οἱ πάντες ἐν ἐπιφανείᾳ Χριστοῦ. Καὶ μέντοι καὶ ἔπαρσις τοῦ προσώπου τοῦ Θεοῦ πρόξενος εἰρήνης, ἧς ἐστι δοτὴρ καὶ βραβευτὴς ὁ Χριστὸς, ὡς ἴδιον ἀγαθὸν τοῖς πιστεύουσιν εἰς αὐτὸν καὶ προθεὶς καὶ δωρούμενος. «Εἰρήνην» γὰρ, φησὶν, «τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.» Ὅτε γὰρ οἱονεί πως ὑψοῦ τέθεικε τὸν Υἱὸν ὁ Πατὴρ, χαρισάμενος αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, «Κάθου τε ἐκ δεξιῶν μου,» λέγων, τότε δὴ, τότε τὴν διιστᾶσαν ἡμᾶς καταλύσαντες ἔχθραν, συνήφθημεν εἰς εἰρήνην, διὰ τοῦ φρονεῖν ἑλέσθαι τὰ αὐτοῦ, καὶ ἐν Πνεύματι περιπα 68.776 τεῖν, ἐν ᾧ καὶ δι' οὗ θείας φύσεως ἀναδεδείγμεθα κοινωνοὶ, συνείροντος ἡμᾶς εἰς ἑνότητα τοῦ Χριστοῦ· ἔφη γάρ που πρὸς τὸν Πατέρα· «Θέλω ἵνα ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν.» –»Ἓν γὰρ δὴ σῶμα οἱ πάντες ἐσμὲν ἐν Χριστῷ,» καί· «Ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι,» κατὰ τὴν Γραφήν. Ὅτι, δὲ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἴδιον ὥσπερ ἐπαίροντος πρόσωπον, τοῦτ' ἔστι, δοξάζοντος τὸν Υἱὸν, τὴν πρὸς αὐτὸν εἰρήνην πεπλουτήκαμεν, σαφηνιεῖ λέγων αὐτός· «Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.» {ΠΑΛΛ.} Ὀρθῶς διανοῇ. «Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ δι' αὐτοῦ τὴν προσαγωγὴν ἐσχήκαμεν ἐν πνεύματι πρὸς τὸν Πατέρα.» {ΚΥΡ.} Ἱερέων μὲν οὖν πέρι καὶ τῆς ἐπ' αὐτοῖς ἀναδείξεως ταυτὶ πρὸς ἡμᾶς ὁ νόμος. Ἁγιάζεσθαι δὲ δεῖν εὖ μάλα φησὶ τὸ Λευιτικὸν, καὶ τοῖς καθήκουσι τρόποις προηγνισμένον, τῆς ἐκνεμηθείσης αὐτοῖς λειτουργίας μεταποιεῖσθαι τότε. Λέγει δὲ οὕτως ἐν τοῖς Ἀριθμοῖς· «Λάβε τοὺς Λευίτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀφαγνιεῖς αὐτοὺς, καὶ οὕτως ποιήσεις τὸν ἀφαγνισμὸν αὐτῶν· περιῤῥανεῖς αὐτοὺς ὕδωρ ἁγνισμοῦ, καὶ ἐπελεύσεται ξυρὸν ἐπὶ πᾶν τὸ σῶμα αὐτῶν, καὶ πλυνοῦσι τὰ ἱμάτια αὐτῶν, καὶ καθαροὶ ἔσονται, καὶ λήψονται μόσχον ἕνα ἐκ βοῶν, καὶ τούτου θυσίαν σεμίδαλιν ἀναπεποιημένην ἐν ἐλαίῳ, καὶ μόσχον ἕνα ἐνιαύσιον ἐκ βοῶν λήψῃ περὶ ἁμαρτίας, καὶ προσάξεις τοὺς Λευίτας ἔνδοσθεν τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ συνάξεις πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ, καὶ προσάξεις τοὺς Λευίτας, καὶ ἀφορίσει Ἀαρὼν τοὺς Λευίτας, ἀπόδομα ἔναντι Κυρίου παρὰ τῶν υἱῶν Ἰσραὴλ, καὶ ἔσονται ὥστε ἐργάζεσθαι τὰ ἔργα Κυρίου. Οἱ δὲ Λευῖται ἐπιθήσουσι τὰς χεῖρας ἐπὶ τὰς κεφαλὰς τῶν μόσχων, καὶ ποιήσεις τὸν ἕνα περὶ ἁμαρτίας, καὶ τὸν ἕνα εἰς ὁλοκαύτωμα, καὶ ἐξιλάσασθαι περὶ αὐτῶν. Καὶ στήσεις τοὺς Λευίτας ἔναντι Κυρίου, καὶ ἐναντίον. Ἀαρὼν, καὶ ἐναντίον τῶν υἱῶν αὐτοῦ, καὶ ἀποδώσεις αὐτοὺς, ἀπόδομα ἔναντι Κυρίου, καὶ διαστελεῖς τοὺς Λευίτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ, καὶ ἔσονται ἐμοὶ, καὶ μετὰ ταῦτα εἰσελεύσονται οἱ Λευῖται ἐργάζεσθαι τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου.» {ΠΑΛΛ.} Διασάφει δὴ οὖν εὖ μάλα, τίς ἂν νοοῖτο πρὸς ἡμῶν ὁ τοῦ ἁγνισμοῦ τρόπος, τοῦ τοῖς Λευίταις ἐπενηνεγμένου. {ΚΥΡ.} Μυστικὸς μὲν οὖν, ὦ Παλλάδιε, καὶ ἐν Χριστῷ δὴ πάλιν· αὐτὸς γὰρ ἡμῶν ἡ ἀποκάθαρσις, καὶ ῥύπου παντὸς ἡ ἀπόνιψις, καὶ ἁγιασμοῦ δοτήρ. Περιῤῥανεῖς γὰρ αὐτοὺς ὕδωρ ἁγνισμοῦ, φησί. Τοῦτό τοι καὶ ὁ σοφὸς κατεδήλου Παῦλος, ὡδὶ γεγραφώς· «Εἰ γὰρ τὸ αἷμα τράγων καὶ ταύρων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα Χριστοῦ·» καὶ ἀληθὴς ὁ λόγος. Εἰ γὰρ ἔνεστι τοῖς τύποις τὸ ὠφελοῦν, καὶ ἡ σκιὰ σωτήριος, πῶς ἂν οὐχὶ μᾶλλον τὸ ἀληθὲς, τουτέστι, τὸ αἷμα Χριστοῦ· Ὕδωρ δὴ οὖν ἁγνισμοῦ τὸ ἀναμὶξ τῇ σποδῷ τῆς δαμάλεως τῆς λεγομένης νεκρώσεως τοῦ Χριστοῦ σύμ 68.777 βολον ἐναργὲς ἦν, ὡς ἔν γε τῷ ἁγίῳ βαπτίσματι καὶ ἡμεῖς αὐτοὶ πληροῦν εὐχόμεθα διὰ πίστεως. Ὡς γὰρ αὐτός που πάλιν ὁ θεσπέσιος ἔφη Παῦλος, «Συνετάφημεν γὰρ αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.» Ἔφη δὲ πάλιν· «Πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῇ θνητῇ ἡμῶν σαρκὶ φανερωθῇ.» {ΠΑΛΛ.} Καὶ τίς δὴ ἄρα ἐστὶν ἡ ἐνθάδε λεγομένη νέκρωσις τοῦ Χριστοῦ; {ΚΥΡ.} Τὸ ἐκτεθνάναι μὲν κόσμῳ καὶ ἁμαρτίαις, ἱεράν τε καὶ ἁγίαν καὶ τὴν ὅτι μάλιστα φιλαιτάτην Θεῷ διαβιῶναι ζωὴν, ἐφ' ᾧ δὴ πάλιν ἀπεσεμνύνετο λίαν ὁ Παῦλος λέγων· «Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω· Χριστῷ συνεσταύρωμαι. Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.» Τοῦτο, οἶμαι, ἐστὶ τὸ ἐκτεθνάναι μὲν ἐν κόσμῳ, καὶ τὴν Χριστοῦ νέκρωσιν ὑπενεγκεῖν, διαβιῶναι δὲ αὖ τὴν ἐν αὐτῷ ζωήν. Σποδὸς οὖν δαμάλεως ἀναμὶξ ὕδατι τὴν Ἰησοῦ νέκρωσιν ὡς ἐν ἁγίῳ βαπτίσματι τελουμένην ὑπεμφαίνοι ἄν. Ἧς ἐν μεθέξει γενέσθαι καὶ αὐτοὺς ἔφη δεῖν τοὺς ἐν τάξει τελοῦντας τῇ Λευϊτικῇ, πᾶν εἶδος ἀκαθαρσίας σαρκικῆς ὡς ἐν σκιᾷ πάλιν ἐκπεφορτισμένους. Δηλοῖ γὰρ, οἶμαι, τουτὶ καὶ μάλα σαφῶς τὸ ἀποψιλοῦσθαι ξυρῷ τὴν τοῦ σώματος τρίχα. «Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος,» καθάπερ τινὰ τριχῶν καὶ ὀνύχων ἀποκείρων ἐκ νοῦ, τῶν ἐμφύτων καὶ ἐν ἡμῖν σαρκικῶν κινημάτων τὴν ἀκαθαρσίαν, ὃν καὶ νόμον ἁμαρτίας ἐνῳκηκότα τοῖς μέλεσι τῆς σαρκὸς, ἀντιστρατευόμενόν τε τῷ νόμῳ τοῦ νοὸς, καὶ εἰς ἃ μὴ θέμις ἐξέλκοντα, Γράμμα πού φησιν ἱερὸν, ἀλλὰ τῇ τοῦ ἁγίου Πνεύματος δυνάμει τε καὶ ἐνεργείᾳ καθάπερ ξυρῷ τεμνόμενος ἀσθενεῖ, κἂν εἰ ἀναφύοιτό πως ἐν ἡμῖν, γοργότερον ἀποκείρεται. «Πνεύματι γὰρ περιπατεῖτε,» φησὶ, «καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.» Ὥσπερ δὲ τὸ ξυρὸν οὐκ ἐξ αὐτῆς τῆς εἰσάπαν ἀναβοθρεύει ῥίζης τὴν ἐν ἡμῖν τρίχα, τέμνει δὲ ἀναφυομένην εὐθέως· οὕτω καὶ ἐν ἡμῖν ὁ τοῦ Θεοῦ λόγος, πρόῤῥιζον ὥσπερ, τὴν ὡς ἔμφυτον ἐπιθυμίας οὐκ ἀναβοθρεύει κίνησιν (τετήρηται γὰρ τὸ τέλειον ἅγιον εἰς αἰῶνα τὸν μέλλοντα), κατανεκροῖ δὲ μᾶλλον ἀναφυομένην καὶ ἀνίσχουσαν ἐν ἡμῖν, καὶ τὸν ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἀγριαίνοντα τιθασσεύει νόμον. Οὐκοῦν ἡ τριχῶν ἀφαίρεσις τὴν νοῦ κάθαρσιν ὑπαινίττεται, ἣν ἂν ἐν ἡμῖν ὁ θεῖός τε καὶ τομώτερος ἐργάζεται τοῦ Θεοῦ λόγος. Ἀπόπλυσις δὲ ἱματίων, λαμπρὰν καὶ ἀκίβδηλον ἡμῖν πολιτείαν ὑποφαίνει, τὴν ἐξωφανῆ. «Προνοούμενοι γὰρ καλὰ, οὐ μόνον ἐνώπιον Κυρίου,» κατὰ τὸ γεγραμμένον, «ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων.» Καὶ αὐτὸς δέ πού φησι· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ 68.780 ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.» Εἶναι δὴ οὖν ἀναγκαῖον τοὺς ἀληθῶς ἁγίους καὶ ἱεροὺς, ἔσωθέν τε καὶ ἔξωθεν καθαρῶς τὴν νέκρωσιν τοῦ Ἰησοῦ περιφέροντας ἐν τῷ ἰδίῳ σώματι, καὶ συντεθειμένους αὐτῷ τρόπον τινὰ διὰ τοῦ ἁγίου βαπτίσματος. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Προσκομίζεσθαι δὲ δεῖν τὴν ὑπὲρ αὐτῶν ἔφη θυσίαν ἐν μόσχοις δυσὶ, τελείῳ τε καὶ ἐνιαυσίῳ, τοῦτ' ἔστιν, ἁπαλῷ τε καὶ νέῳ· καὶ τέλειος μὲν, ὁ εἰς ὁλοκαύτωμα, συνθυμιωμένης αὐτῷ σεμιδάλεως ἐλαίῳ δεδευμένης· ὅγε μὴν ἕτερος, ὑπὲρ ἁμαρτίας ἔξω τῆς παρεμβολῆς ἐμπιπρᾶται· τελειοῦται γὰρ οὕτω τὰ ὑπὲρ ἁμαρτίας θύματα. Καὶ ἔστι δὴ πάλιν ἐν ἀμφοῖν ὁ Χριστὸς, ἐν μόσχῳ μὲν τῷ εἰς ὁλοκαύτωσιν, ὅλος ἅγιος, καὶ εἰς ὀσμὴν εὐωδίας ὑπὲρ ἡμῶν τῷ Θεῷ καὶ Πατρὶ τῆς ἐν ἐλπίδι ζωῆς τὸ εὔχαρί τε καὶ ἱλαρὸν τοῖς ἁγίοις φέρων· σεμίδαλις γὰρ ἐλαιόδευτος συνανεκομίζετο τῷ μόσχῳ·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔψεται δέ που πάντως τοῖς τὴν ἐν Χριστῷ τετιμηκόσι ζωήν. Καὶ μὴν καὶ ὡς μοσχάριον ὑπὲρ ἁμαρτίας πυρὶ δαπανώμενον. «Τῷ γὰρ μώλωπι αὐτοῦ ἰάθημεν,» κατὰ τὰς Γραφάς. Ἐπιτήρει δὲ, ὅτι τέλειος μὲν ὁλοκαυτοῦται μόσχος, ἐνιαύσιος δὲ ὑπὲρ ἁμαρτίας σφάζεται· ἵνα ἐν ταὐτῷ νοῇς διὰ δυοῖν τὸν ἕνα ὡς ἐν τελειότητι μὲν ἀρετῶν, τὸν εὐοσμότατον νοητῶς, ὡς ἐν ἁπλότητι δὲ καὶ ἀκακίᾳ σφαζόμενον. «Ἐγὼ γὰρ,» φησὶν, «ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι οὐκ ἔγνων.» Ὅτι δὲ ὡς ὑπὲρ πάντων τε ἅμα καὶ παρὰ πάντων ἀνάθημα τῷ Θεῷ τὸ ἱερουργὸν προσάγεται γένος, ἐνδείξειεν ἂν ἡ χειρῶν ἐπίθεσις τῶν ἐξ Ἰσραήλ. «Ἐπιθήσουσι γὰρ,» φησὶν, «οἱ υἱοὶ Ἰσραὴλ τὰς χεῖρας ἐπὶ τὰς κεφαλὰς τῶν Λευϊτῶν.» Ὥσπερ γὰρ οἱ Λευῖται ταῖς τῶν θυμά-των κεφαλαῖς τὰς χεῖρας ἐπῆγον, καὶ τοῖς σφαζομένοις ὑπὲρ αὐτῶν εἰς τύπον Χριστοῦ (ἔδρων δὲ τοῦτο, οὐκ εὐλογοῦντές ποθεν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' οἱονεί πως τῇ τῶν χειρῶν ἐπιθέσει καταδεικνύντες τὸν τὰς ἁμαρτίας ἡμῶν φέροντα Θεὸν, καὶ ὑπὲρ ἡμῶν ἱερουργούμενον, ἵνα «Προσηλώσῃ τῷ ἰδίῳ σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον»)· οὕτω πεπρᾶχθαι νοήσεις τὴν τοῖς Λευΐταις χειροτονίαν τῶν λαῶν. Οἱονεὶ γάρ πως ἀνθ' ἑαυτῶν τῷ Θεῷ πρὸς ἱερουργίαν προκαθίσαντες αὐτοὺς, ὡς ἐξειλεγμένους, τὰς κεῖρας ἐπῆγον. Ἀλλ' ἐπράττετο μὲν ἡ χειρῶν ἐπίθεσις τότε. Μετεῤῥυηκότων δὲ τῶν πραγμάτων νυνὶ εἰς τὸ ἄμεινον, ἀσυγκρίτως τοῖς ἐπὶ ἱερουργίαν διὰ Χριστοῦ καλουμένοις ἐπιψηφίζονται λαοὶ, τὸ ὡς εἶεν ἄξιοι παραφωνοῦντες εὖ μάλα· καὶ τοῦτο ἐν Ἐκκλησίαις, καθάπερ ἀμέλει καὶ οἱ πάλαι, παρὰ τῇ ἱερᾷ τε καὶ θείᾳ σκηνῇ, τὰς ἐπὶ τοῖς Λευΐταις χειροθεσίας ἔδρων. Πρόδηλον οὖν ὅτι εἰ μήτε ἐν ἐκκλησίᾳ, μήτε μὴν ἐπὶ λαοῦ χειροτονία γένοιτο, παρὰ τὴν θείαν ἔσται βούλησιν, καὶ ἔξω νόμων τῶν ἱερῶν. Τετελειωμένοι δὲ οἱ Λευῖται, τῶν εἰς ἱερουργίαν ἅπτονται πάντων. 68.781 Οὐκοῦν ὃς μὴ ἅγιος ἐν Χριστῷ καὶ εἰ μὴ προαγνίζοιτο, καθ' ὃν ἂν πρέπει τρόπον, ἀποχωρείτω μακράν· νηποινὶ γὰρ οὐχὶ τῶν θείων ἅψεται θυσιαστηρίων.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΔΩΔΕΚΑΤΟΣ.

### Περὶ ἱερωσύνης.

Στολῆς μὲν οὖν πέρι τῆς ἱερᾶς, καὶ μέντοι καὶ θυσιῶν, ἃς δὴ καὶ ἀποπεραίνεσθαι δεῖν ἐπὶ ταῖς τῶν ἱερέων τελειώσεσιν ἐθεσμοθέτει Θεὸς, εἴρηται σαφῶς. Μυρίων δὲ ὅσων ἐπ' αὐτοῖς κεχρησμῳδημένων, λειτουργίας τε πέρι καὶ καθαρισμῶν, καὶ ἀκριβοῦς ἐμμελείας τῆς ἔν γε τῷ χρῆναι βιοῦν ἐννομώτατά τε καὶ ἀπεξεσμένως εἰς νοητὴν ἀστειότητα, οἶμαι δεῖν ἔγωγε καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο εἰπεῖν. {ΠΑΛΛ.} Τὸ ποῖόν τι φής· {ΚΥΡ.} Ἀνάθημα γὰρ τῷ Θεῷ καὶ ἀπόλεκτον ἐκ πασῶν τῶν φυλῶν, ἡ ἐξ αἵματος ἦν τοῦ Λευὶ, καὶ νόμος ἐδίδου τῷ γένει τὸ ἱερᾶσθαι δεῖν, ἔκκριτον αὐτῷ τὸ ἐπὶ τῷδε γέρας ἀπονέμοντος Θεοῦ· πλὴν οὐκ ἀβασάνιστον ὁλοτρόπως τὴν ἱερουργὸν ἠφίει πληθὺν, οὐδὲ ἀνῆκεν ἁπλῶς τοῖς τυχοῦσι τὸ χρῆμα, διά γε τὸ ἐξ αἵματος εἶναι Λευΐ· πολυπραγμονεῖν δὲ δεῖν ἐκέλευε καὶ σφόδρα λεπτῶς, μὴ ἄρα τι τῶν κατεψεγμένων ἀῤῥωστῆσαι συμβὰν, ἀνεθέλητον εἴη Θεῷ, καὶ μεμωμημένην ποιοῖτο τὴν πρόσοδον, μόνον δὲ οὐχὶ καὶ ἀνίπτοις εἰσθέων ποσὶν εἰς τὴν τοῦ μαρτυρίου σκηνὴν προσκρούοι καὶ οὐχ ἑκών. Γέγραπται δὲ οὕτω πάλιν ἐν τῷ Λευϊτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Εἶπον Ἀαρών· Ἄνθρωπος ἐκ τοῦ γένους σου εἰς τὰς γενεὰς ὑμῶν, τινὶ ἂν ᾖ ἐν αὐτῷ μῶμος, οὐ προσελεύσεται προσφέρειν τὰ δῶρα τοῦ Θεοῦ αὐτοῦ. Πᾶς ἄνθρωπος ᾧ ἂν ᾖ ἐν αὐτῷ μῶμος, οὐ προσελεύσεται, ἄνθρωπος τυφλὸς, ἢ χωλὸς, ἢ κολοβόρινος, ἢ ὠτότμητος, ἢ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄνθρωπος ᾧ ἐστιν ἐν 68.784 αὐτῷ σύντριμμα χειρὸς ἢ σύντριμμα ποδὸς, ἢ κυρτὸς, ἢ ἔφηλος, ἢ πτιλὸς τοὺς ὀφθαλμοὺς, ἢ ἄνθρωπος ᾧ ἐὰν ᾖ ἐν αὐτῷ ψώρα ἀγρία, ἢ λιχὴν, ἢ μονόρχης· πᾶς ὅστις ἐστὶν ἐν αὐτῷ μῶμος ἐκ τοῦ σπέρματος Ἀαρὼν τοῦ ἱερέως, οὐκ ἐγγιεῖ τοῦ προσενεγκεῖν τὰς θυσίας τῷ Κυρίῳ, ὅτι μῶμος ἐν αὐτῷ. Τὰ δῶρα τοῦ Θεοῦ αὐτοῦ, οὐ προσελεύσεται προσενεγκεῖν· τὰ δῶρα τοῦ Θεοῦ αὐτοῦ, τὰ Ἅγια τῶν ἁγίων, καὶ ἀπὸ τῶν ἁγίων φάγεται, πλὴν πρὸς τὸ καταπέτασμα οὐ προσελεύσεται, καὶ πρὸς τὸ θυσιαστήριον οὐκ ἐγγιεῖ, ὅτι μῶμον ἔχει· καὶ οὐ βεβηλώσει τὸ ἅγιον τοῦ Θεοῦ αὐτοῦ, ὅτι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.» {ΠΑΛΛ.} Ἆρ' οὖν, εἰπέ μοι, πρὸς ἐγκλήματός ἐστί τισιν ἀῤῥωστία σωματική; Γράφεται δὲ τὴν φύσιν ὁ Δημιουργὸς, καὶ ἀνεθελήτως παρεφθαρμένην; {ΚΥΡ.} Εὖγε, ὦ Παλλάδιε· φρονεῖς γὰρ ὀρθῶς. Αἰτία μὲν γὰρ καὶ γραφὴ γένοιτ' ἂν ἔσθ' ὅτε τισὶν, ἐθελούσιον ἔχουσι τῆς σφῶν αὐτῶν διανοίας τὴν εἰς τὰ φαῦλα παρατροπὴν, καὶ τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἀπόνευσιν ἐκτετιμηκόσιν· ἀῤῥωστήμασι δὲ τοῖς περὶ τὴν σάρκα, φυσικῶς τε καὶ ἀνεθελήτως συμβαίνουσι, τὸ ἐπιτιμᾷν, οἶμαί που σκληρὸν καὶ ἀσυμπαθὲς, καὶ τῶν εἰς σκαιότητα κατηγορημάτων οὐκ ἀμοιροῦν. Πάρεστι δὴ οὖν ἐντεῦθεν ἐκεῖνο περινοεῖν, ὡς οὐκ ἂν ὁ τῶν ὅλων δημιουργὸς ἐπ' ἀνεθελήτοις αἰτίαις τὴν ἀνθρώπου φύσιν ἐγράψατο, οὐδ' ἂν ὡς ἀνίερον τὸν ἠῤῥωστηκότα σωματικῶς τῆς αὐτῷ συντεταγμένης ἐξέπεμψε λειτουργίας· ἀλλ' ὡς ἐκ τύπου πάλιν τῶν σωματικῶν, εἰς ἀστειοτέρας ἡμᾶς καταλεπτύνει βουλὰς, καὶ τῶν ἐν ψυχῇ παθῶν τὸ πολυειδὲς ὑποφαίνει, θεομισὲς δὲ ὅτι τὸ χρῆμα δίδωσι νοεῖν. Ἢ γὰρ οὐχὶ καὶ ὁ θεσπέσιος Παῦλος, ἕπεσθαι δεῖν ἔφη τοῖς ἀπολέκτοις εἰς ἱερωσύνην, τὴν ἐφ' ἅπασι τοῖς τεθαυμασμένοις εὐκλεᾶ ψῆφον; «Ἵνα» γὰρ, φησὶν, «ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, εἰς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.» Δεῖν γε μὴν καὶ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι διισχυρίσατο, καὶ μάλα σαφῶς· καὶ πολλὴν ἐν τούτοις ἐποιεῖτο τὴν ἀκρίβειαν. {ΠΑΛΛ.} Φημί. Τίς δ' ἂν εἴη λοιπὸν καὶ ὁ ἐφ' ἑκάστῳ λόγος τῶν ἀρτίως ἡμῖν ἀπηριθμημένων ἀῤῥωστημάτων, ἐθέλοιμ' ἂν, ὡς εὖ ἴσθι τοι, μαθεῖν. {ΚΥΡ.} Φέρε δὴ οὖν ἀνὰ μέρος, ὡς ἐν εἴδει ἀναλαμβάνοντες, τὰ εἰς νοῦν ἰόντα λέγωμεν· «Ἄνθρωπος,» φησὶν, «εἰς τὰς γενεὰς ὑμῶν, ἐκ τοῦ γένους σου, ᾧ ἐὰν ᾖ ἐν αὐτῷ μῶμος, οὐ προσελεύσεται προσφέρειν τὰ δῶρα τοῦ Θεοῦ αὐτοῦ.» Ἀσφαλὴς ὁ λόγος, πικρὸν τὸ χρησμῴδημα. Τέθειται γὰρ ὁ νόμος, οὐχὶ κατὰ μόνων τῶν τηνικάδε γεγονότων ἐξ Ἀαρὼν, ἀλλ' εἰς ἅπαν διήκει τὸ γένος, καὶ κατὰ παντὸς αἵματος ἱερατικοῦ, καὶ εἰς πάντα διέρπει χρόνον. Δηλοῖ γὰρ, οἶμαι, τουτὶ, τὸ, «Ἐκ τοῦ γένους σου εἰς τὰς γενεὰς ὑμῶν.» Ἀπαράδεκτον γὰρ ἀείπως Θεῷ, τὸ μὴ ἀμωμήτως ἔχον. Καιρὸν δὲ εἰπεῖν οὐκ ἂν δύναιτό τις, καθ' ὃν αὐτῷ προσφιλὲς ἂν γένοιτο τὸ κατεγνωσμένον, ὡς ἐπ' ἀῤῥωστίαις δὲ δὴ μᾶλλον ὅτι ταῖς πνευματικαῖς· 68.785 ἐκτετίμηται δὲ μᾶλλον τὸ ἀμωμήτως ἔχον, καὶ νοσοῦν οὐδαμόθεν τὴν παραφθορὰν, ἄρτιον δὲ ὥσπερ εἰς ἀρετὴν, καὶ εὐσθενὲς εἰς ἁγιασμὸν, τὸ εὐδοκιμεῖν εὖ μάλα μεμελετηκὸς ἐν ὑπομονῇ, καὶ γοργὸν εἰς σύνεσιν διηνεκῆ. Τοιγαροῦν καὶ κατὰ παντὸς ἰόντα τοῦ γένους τὸν ἐπὶ τῷδε ποιεῖται νόμον, ἀκίβδηλον ἑαυτῷ τὸ ἱερὸν καὶ ἀπόλεκτον ἀποφαίνων γένος· τότε μὲν ὡς ἐν φυλῇ τῇ Λευῒ, καὶ ὡς ἐξ αἵματος Ἀαρὼν, νυνί γε μὴν ὡς ἔν γε τοῖς ἡγιασμένοις ἐν Χριστῷ τῷ μεγάλῳ καὶ κατ' ἀλήθειαν ἀρχιερεῖ, ᾧ προσπεφύκαμεν διὰ πνεύματος, κοινωνοὶ καὶ μέτοχοι τῆς οἰκείας αὐτοῦ φύσεως ἀναδεδειγμένοι. Τοιγάρτοι καὶ εἰς ἀδελφότητα κεκληκὼς τοὺς ἐν πίστει δεδικαιωμένους, ὥσπερ κοινωνοῖς αὐτοῖς ἐπαγάλλεται λέγων· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός.» Ἢ γὰρ οὐχὶ τῷ προσώπῳ Χριστοῦ καὶ τὸν ἐπὶ τῷδε λόγον ἀνάπτειν ἐδόκει τῷ θεσπεσίῳ Παύλῳ; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἀπείργει δὴ οὖν τοῦ ἱερᾶσθαι δεῖν τὸν ἐφ' ὅτῳ οὖν τῶν ὠνομασμένων, ὡς ἄῤῥωστον καὶ κατεσκωμμένον. Οὐ γὰρ προσελεύσεται, φησὶ, προσφέρειν τὰ δῶρα τοῦ Θεοῦ, ἄνθρωπος τυφλὸς ἢ χωλός. Ἔχει μὲν οὖν αὐτόθεν, κἂν εἰ νοοῖτο σωματικῶς, πολὺ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ χρῆμα τὸ ἀκαλλές· ἐξεῤῥυηκότοιν γὰρ ὀφθαλμοῖν, καὶ μὴν καὶ ποδὸς οὐκ ἐρηρεισμένου, ὀρθὰ βαίνειν οὐκ ἔχοντος, πῶς οὐκ ἄμεινον ἠρεμεῖν, οὐδὲ ὅποι ποτὲ ἰέναι χρὴ τὸν ἱερέα διεγνωκότα, ἤγουν ἰέναι σὺν γέλωτι, ποδί τε καὶ ὀφθαλμοῖς ἀλλοτρίοις χρώμενον; Ἀλλ' εἴη μὲν ἂν οὐ πολὺς ὁ τοῦδε λόγος. Τὰ δ' ἀναγκαῖα πρὸς γνῶσιν καὶ θεωρίαν ἡμῖν τὴν πνευματικὴν, φέρε λέγωμεν, τὸ τῆς ἱστορίας ὑποτρέχοντες παχύ. Τυφλὸν μὲν οὖν ἔοικε τὸν εὐήθη λίαν καὶ ἀνούστατον ἀποκαλεῖν. Ὃ γάρ ἐστιν ὀφθαλμὸς τῷ γηΐνῳ σώματι, τοῦτο καὶ ἐν ψυχῇ λέγοιτ' ἂν ὁ νοῦς, φωτὶ μὲν τῷ θείῳ καταλαμπόμενος, καὶ πρὸς αὐτὸ τὸ ἀκήρατον ἀναμύων κάλλος, καὶ ταῖς τῶν ἐννοιῶν ἰσχναῖς οἱονεί πως καὶ εὐστρόφοις κινήσεσιν ἀναθρώσκων εὖ μάλα πρὸς τὸ ἀκριβὲς ἐν δόξῃ, καὶ δογματικῆς ὀρθότητος οὐχ ἁμαρτάνειν εἰδώς. Τοῦτο, οἶμαι, ἐστὶ τὸ παροιμιωδῶς εἰρημένον, «Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια.» Εἴρηται δέ που καὶ πρὸς τὴν τῶν Ἰουδαίων μητέρα βλέπουσαν οὐκ ὀρθῶς· «Ἰδοὺ οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου, οὐδὲ ἡ καρδία σου καλὴ, ἀλλ' ἢ εἰς τὴν πλεονεξίαν σου καὶ εἰς τὸ αἷμα τὸ ἀθῶον ἐκχέειν αὐτὸ, καὶ εἰς τὰ ἀδικήματά σου, καὶ εἰς φόνον τοῦ ποιεῖν αὐτά.» Ἀνεπιτήδειος οὖν εἰς ἱερουργίαν ὁ τυφλὸς νοητῶς, τοῦτ' ἔστιν ὁ παντελῶς ἀσύνετος, καὶ νοῦν καὶ φρένα λελωβημένος. Ἀνεπιτήδειος δὲ πρὸς τούτῳ καὶ ὁ χωλὸς, τοῦτ' ἔστιν ἀνὴρ ὀρθοποδεῖν οὐκ εἰδὼς, καὶ πρὸς τὸ ἀρτίως βαίνειν οὐκ εὐσθενής. Ἡ μὲν γὰρ τυφλότης, καθάπερ ἔφην ἀρτίως, τῆς εἰς ἄκρον ἀσυνεσίας σύμβολον· χωλότης δὲ αὖ, τῆς οἱονεὶ κεκλασμένης καὶ ἀδρανοῦς κινήσεώς τε καὶ προθυμίας, ἣν ἂν ἐφ' ἑκάστῳ ποιοῖτό τις τυχὸν τῶν πρακτέων. Εἰ μὴ τοῖς οὕτω λελωβημένοις ἐπιφωνεῖν ἄξιον· 68.788 «Ἰσχύσατε, χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα.» Ἐπητιᾶτο δὲ καὶ αὐτὸς ὁ Χριστὸς τοὺς τῶν Ἰουδαίων δήμους, ὡς ὀρθὰς μὲν οὐκ ἀνεχομένους ποιεῖσθαι τὰς ἐπ' αὐτῷ τροχιὰς, ἐκτετραμμένας δὲ μᾶλλον εἰς τὸ χωλὸν, καὶ τῶν τῆς ὀρθότητος ἀπολισθήσαντας λογισμῶν. «Υἱοὶ γὰρ,» φησὶν, «ἀλλότριοι ἐψεύσαντό μοι· υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.» Ἐν ἴσῳ δὴ οὖν ἀλλήλαιν καὶ ἀγχοῦ λίαν, ὡς ἐν ὁμοιότητι παθῶν, χωλότης νοῦ καὶ τυφλότης· ἡ μὲν τὸ ὡς ἐν συνέσει τίμιον, ἡ δὲ τὸ ὡς ἐν ἔργοις ἀγαθοῖς εὐσθενὲς, εἰς ἀχρειότητα καταφέρουσαι. Ἀπόβλητον δὲ πρὸς τούτοις ὁ νόμος ποιεῖσθαι δεῖν ἔφη τὸν κολοβόρινον, καὶ σὺν αὐτῷ τὸν ὠτότμητον. Ἐφαρμόσειε δ' ἄν τις ἐπ' αὐτοῖς τὸν τοιόνδε λόγον. Αἰσθήσεσι μὲν γὰρ ταῖς ὀσφρητικαῖς τὰ κάκοσμά τε καὶ εὐοσμότατα δοκιμάζεται, τῶν ὅσα ἐστὶν ἐν φύσει τοιᾷδε, τῇ τὸ ὀδωδέναι λαχούσῃ, φημί· διακριτικὴ δὲ λίαν ἡ αἴσθησις, καὶ τοῦ κατευφραίνειν εἰδότος, καὶ τοῦ μὴ τοιῶσδε τυχὸν, ἀλλ' ἑτεροίως ἔχοντος, καὶ ὡς ἐν χείρονι μοίρᾳ· νοῦς γε μὴν ἔφη ὁ ἀνθρώπινος, εἰ ἀρτίως ἔχοι τυχὸν ἔν γε τοῖς καθ' ἑαυτὸν, ἵεται μὲν εὐσθενῶς εἰς τὸ διακρίνειν δύνασθαι τὴν τῶν πραγμάτων ποιότητα, ἀκριβῆ δὲ τὴν βάσανον ἐφ' ἑκάστῳ ποιήσεται, καὶ οἷά τις ἄριστος τραπεζίτης δοκιμάζων ἅπαντα, καὶ τὸ μὲν καλὸν κατέχων, καὶ ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπεχόμενος, κατὰ τὸ γεγραμμένον, εὐδοκιμήσει λίαν. Κατακιβδηλεύει γὰρ τὸ οἱονείπως αἰσχρὸν καὶ παράσημον τῶν δρωμένων, προσοῖτο δ' ἂν εὐκόλως τὸ ἐπωφελές τε καὶ ἄμεινον. Οὐκοῦν ἡ σιμότης, τὸ μὴ ἄγαν ὑγιὲς καὶ ἀρτίως ἔχον ὡς ἐν αἰσθήσει δηλοῖ, καθ' ἣν ἕκαστα τῶν πραγμάτων ἄριστα διακρίνοντες, τὴν ἀμείνω μὲν τοῖς ἀρίστοις, τὴν χείρω δὲ τοῖς αἰσχίοσιν ἀπονέμοντες ψῆφον, σοφοί τε καὶ ἀγχίνοοι, καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων ἐσμέν τε καὶ ὠνομάσμεθα. Ὀσμὴ γὰρ ὥσπερ εἰς νοῦν ἀναθρώσκουσα, τῶν ὑπ' αὐτοῦ νοουμένων οἱονεὶ ποιότης πραγματική. Τὸ δὲ δὴ παρακεκόφθαι τὸ οὖς, ὑπεμφήνειεν ἂν, ὥς γέ μοι δοκεῖ, τὸ δυσήκοον. Παρακεκομμένης γὰρ ἀκοῆς, δοίην ἂν ἔγωγε πάθος εἶναι τὸ ἐκ μέρους εὐπειθὲς, καὶ οὐχ ὁλοκλήρως εὐήνιον εἰς ὑπακοὴν, ἤγουν τὸ μὴ ἀμωμήτως ἐπαΐειν δύνασθαι τῶν ἱερῶν, μάλιστα δὲ γραμμάτων, ὃ δὴ καὶ δρῶσί τινες, ἐφ' ἃ μὴ προσῆκεν ἀβουλότατα παρατρέποντες τῆς ψυχῆς τὸ εὐήκοον. Εἶεν δ'


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἂν οὗτοι, κατὰ τὴν τοῦ σοφωτάτου Παύλου φωνὴν, οἱ κνηθόμενοι τὴν ἀκοὴν, καὶ ἀπὸ μὲν τῆς ἀληθείας αὐτὴν ἀποστρέφοντες, προσκείμενοι δὲ πνεύμασι πλάνης, καὶ εἰς βεβήλους κενοφωνίας ἐκνενευκότες. Οὐκοῦν ὁ ὠτότμητος τῆς εἰς τὸ εἴσω καὶ νοητῆς ἀκοῆς ὑπεμφήνειεν ἂν τὴν πήρωσιν, καὶ τὴν ἐξ ὀρθότητος ἐπὶ τὸ χεῖρον παραφθοράν. Ἀλλὰ καὶ εἴ τῳ τυχὸν σύντριμμα ποδὸς ἢ σύντριμμα χειρὸς ὁρῷτο προσὸν, ἀποχωρείτω, φησὶν, καὶ ἐν ἴσῳ τετάχθω τοῖς ἄλλοις, νοεῖν ἀναπείθοντος τοῦδε τοῦ τὸν πόδα τυχὸν ἢ τὴν χεῖρα συντεθραυσμένου μὲν, πλὴν οὐκ εἰσάπαν ἠῤῥωστηκότος, 68.789 τὸν οὐχ ὁλοκλήρως εἰς ἔργα χωρεῖν δυνάμενον, οὔτε μὴν ἀδιάβλητον ἔχοντα παντελῶς τὴν βάδισιν, ἤτοι τὴν ἐνέργειαν, τὴν ὡς ἐν πολιτείᾳ, φημὶ, καὶ ζωῇ τῇ ἐννομωτάτῃ. Εἶεν δ' ἂν καὶ οὗτοι πάλιν, ἢ οἱ ποιοῦντες τὸ ἔργον Κυρίου ἀμελῶς, οἷς ἐπενήνεκται τὸ οὐαὶ διὰ προφήτου φωνῆς, ἤγουν οἱ τὸ δίκαιον οὐ δικαίως διώκοντες, κατὰ τὸ γεγραμμένον. Ἐπιτήρει δὲ ὅτι τῇ νοητῇ καὶ ὁλοτελεῖ χωλότητι, καὶ ἡ μετρία τοῦ σκέλους πήρωσις ἐν ἴσῳ τέ ἐστι, καὶ ὡς ταὐτὸν λελόγισται. Τῷ γὰρ μηδ' ὅλως τι δρᾷν ἰσχύσαι τῶν ἀγαθῶν, τὸ μὴ δρᾷν ὀρθῶς ἐν ἴσῳ κείσεται λόγῳ. Φαίνοιτο δ' ἂν εἰκότως ἐν μὲν τῇ χωλότητι, τὸ μηδ' ὅλως· ἐν δὲ τῷ συντρίμματι, τὸ μὴ ὑγιῶς. {ΠΑΛΛ.} Ἔοικε. {ΚΥΡ.} Κυρτὸν δὲ, καὶ ἔφηλον, καὶ πτιλὸν τοὺς ὀφθαλμοὺς καταγράφει πάλιν ὡς ἐν τοῖς ἀδοκιμωτάτοις. Καὶ κυρτὸν μὲν εἶναί φαμεν, τὸν οἱονεὶ κεκυφότα, καὶ κάτω βλέποντα νῷ, καὶ πρὸς τὰ σαρκὸς νενευκότα πάθη, καὶ τοῖς ἐπιγείοις τὸν ὀφθαλμὸν ἐπερείδοντα, δῆλον δὲ ὅτι τὸν νοητὸν, καὶ εἰς τοῦτο γνώμης ἰόντα λοιπὸν, ὡς τὸ ἀπορθοῦσθαι μισεῖν, πρός γέ φημι τὸ χρῆναι τὰ ἄνω φρονεῖν. Εἶεν δ' ἂν ἐν τούτοις τὰ τῶν Ἰουδαίων ἐγκλήματα, περὶ ὧν γέγραπται· «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον.» Ἔφηλον δὲ, τὸν τὴν ἐφηλίδα τὴν καλουμένην ἐπ' αὐτοῖς ἔχοντα μετώποις. Ἀῤῥώστημα δὲ τουτὶ καταμελαίνειν εἶδος τὴν ἐπ' ἄκρου δέρματος ὄψιν. Παραιρεῖται δὲ τοῖς οἷς ἂν γένοιτο παθεῖν, τὸ κἂν γοῦν ἰσχύσαι λαθεῖν, αὐταῖς ἐπανθοῦν ὀφρύσιν, ὅλοις τε προσώποις ἐπηρτημένον. Ἔφηλος δὴ οὖν ὁ τοιόσδε σωματικῶς, νοητῶς γε μὴν ὑποφαίνει τὸν ἀσχήμονα, γυμνῶς τε καὶ ἀκρύπτως, καὶ οἱονεὶ πρόσωπον οὐκ ἔχοντα καθαρὸν, ἀλλ' ἐκφανὲς ἅπασι τὸ ἀκαλλὲς εἰς ζωὴν, ὡς μὴ εἰδέναι που τάχα, μηδὲ τὸ ὑπό του τῶν σοφῶν ὀρθῶς εἰρημένον, «Σοφοὶ κρύψουσι τὰς ἑαυτῶν αἰσχύνας.» {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Οὐ γὰρ, ὦ Παλλάδιε, μυρία ὅσα γε τὰ ἐν ἡμῖν ἐστι πάθη; {ΠΑΛΛ.} Ναί· τί οὖν τοῦτό γε; {ΚΥΡ.} Ὅτι, ὦ γενναῖε, φημὶ, νοσεῖ μὲν ἕκαστος, ἃ νοσεῖ, αἰδοῖ δὲ πολλάκις τῇ πρὸς ἀδελφοὺς ἡττώμενος, ἐν σπουδῇ καὶ λόγῳ ποιεῖται πολλῷ καὶ τὸ ἐῤῥῶσθαι δοκεῖν, καὶ τὸ λανθάνειν ἐν κακοῖς. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Εἰ δὲ δή τις εἴη πρὸς τοῦτο ἥκων ἀναισχυντίας, ὡς ἡγεῖσθαι παρ' οὐδὲν, τὸ καὶ ἐκφανδὸν ἑλέσθαι πλημμελεῖν, καὶ τῶν εἰς κοσμιότητα γερῶν ἀφειδῆσαι παντελῶς, οὐκ ἄν τῳ δόξειεν ὁ τοιόσδε λοιπὸν, τοῦ ἱεροῦ καὶ ἁγίου γένους οἴχεσθαι μακράν; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Ἔφηλον τοίνυν ὁ νόμος ἀποκαλεῖ τὸν τοιοῦτον, ὡς οὐδὲ κρύπτειν εἰδότα καὶ ἀνεχόμενον τὸ συμβὰν ἀῤῥώστημα καὶ πάθος αὐτῷ. Πτιλὸν δὲ τοὺς 68.792 ὀφθαλμοὺς, τὸν ἥκιστα μὲν τοῦ βλέπειν ἐστερημένον, ὑγιῶς δὲ τοῦτο ποιεῖν οὐκ ἔχοντα. ὁποῖοί τινες εἶεν, οἷς ἔνεστι μὲν ἡ φρόνησις, τό γε μὴν ἑλέσθαι φρονεῖν ὀρθῶς οὐχ ὁρᾶται προσόν. Οἱ μὲν γὰρ ὁρῶντες, φησὶ, τὸ ἀγαθὸν, ἐφ' ἃ μὴ προσῆκε τῶν ἰδίων θελημάτων παρατρέπουσι τὴν ῥοπήν· οἱ δὲ, καὶ δογματικῆς ὀρθότητος οὐκ ἀμοιρεῖν ἰσχύοντες, μονονουχὶ τὸν οἰκεῖον αὐτοὶ κατασίνονται νοῦν, εἰς ἀκαλλεστάτην ἐννοιῶν ἱέντες θήραν, καὶ ὑγιὲς οὐδὲν τῆς ἐπὶ Θεῷ δόξης εἰσδεχόμενοι· ὁποῖοί τινές εἰσιν, αἱρετικῶν μὲν μάλιστα παῖδες, Ἰουδαῖοί τε πρὸς τούτοις, οἱ Θεὸν μὲν πιστεύοντες εἶναι τὸν Πατέρα, τόν γε μὴν ἐξ αὐτοῦ πεφηνότα κατὰ φύσιν Υἱὸν ἀνοητότατα διωθούμενοι. Τοιγάρτοι καὶ ἀληθὲς ἐπ' αὐτοῖς τὸ διὰ τοῦ προφήτου φωνῆς ὑμνούμενον, «Ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν.» Ὀνίνησι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ τὸ βλέπειν οὐδὲν, εἰ μὴ προορῷτό τισι τὸ ὑγιῶς βλέπειν, καθάπερ ἀμέλει καὶ τὴν χωλότητα, καὶ τὸ σύντριμμα τοῦ ποδὸς ἐν ἴσῳ τετάχθαι λόγῳ δικαίως ἐλέγομεν· διοίσει γὰρ ὅλως οὐδὲν, τοῦ μηδ' ὅλως ἰέναι δύνασθαι, τὸ μὴ ὑγιῶς ἰέναι τυχὸν, τὴν ὡς ἐν πράγμασι δὲ δηλονότι τρίβον, καὶ τὴν ὡς ἐν ἔργοις ὁδόν. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Οὐ προσελεύσεται δὲ ἱερουργήσων ἄνθρωπος, ᾧ ἐὰν ᾖ ἐπ' αὐτῷ ψώρα ἀγρία, ἢ λειχὴν, ἢ μόνορχις, ἢ πᾶς ᾧ ἐστιν ἐν αὐτῷ μῶμος. Ψώρᾳ μὲν οὖν ἀγρίᾳ παρεικαστέον τὰ ἐκτοπώτατα τῶν παθῶν, δριμυτέροις ῥεύμασι καταχεόμενα νοῦ, καὶ πέρα παντὸς ἰόντα μέτρου, καὶ ἐξ ἡδονῆς μὲν ἔχοντα τὴν ἀρχὴν, εἰς πικρόν γε μὴν ἐξήκοντα τέλος. Ἢ οὐχὶ δὴ φὴς ἑκάστῳ τῶν πλημμελημάτων καὶ συμμετρίαν τινὰ καὶ ἀμετρίαν ὁρᾶσθαι τοῦ κακοῦ; {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Ὁ σωματικῆς ἡδονῆς ἡττώμενος, οὐκ ἂν τοῦτο πάθοι καὶ μετρίως καὶ ὑπὲρ μέτρον; Οἱ μὲν γὰρ, ἥττηνται μόνον, καὶ νοσοῦσι περιεσταλμένως· οἱ δὲ καὶ εἰς ἄκρον ἥκουσι τοῦ κακοῦ, καὶ ἀσχέτως ἀγριαίνουσαν νοσοῦσι τὴν ἡδονὴν, ὡς καὶ αὐτῶν ἐπέκεινα τῶν κατὰ φύσιν ἐξολισθῆσαι παθῶν. {ΠΑΛΛ.} Συνίημι ὃ φής. {ΚΥΡ.} Οὐκοῦν ἐφ' ἑκάστῳ τῶν κακῶν τὸ ἐκτόπως ἐκνενευκὸς εἰς τὸ πέρα λόγου, καὶ μέτρων ἐπέκεινα τῶν ἐν ἔθει καὶ παρὰ πολλοῖς, λέγοιτ' ἂν ἡ ἀγρία ψώρα λοιπόν. Λειχὴν δὲ πρὸς τούτοις, πᾶν ὁτιοῦν πάθος, ἀεὶ διέρπον εἰς τὸ εὐρὺ, καὶ ἀκατάληκτον ἔχον τὴν εἰς τὸ χεῖρον ἐπίδοσιν. Συστέλλεσθαι δὲ δεῖν, καὶ εἰς τὸ μεῖον ἄγεσθαι πρὸς ἡμῶν τὰ προσπίπτοντα τῶν παθῶν, ὁ θεῖος βούλεται νόμος. Τοιοῦτόν τι νοήσεις ἀκούων· «Ἐὰν Πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας.» Τὰ γὰρ ἀνεπίπληκτα τῶν παθῶν, ἕρπει μὲν ἀεὶ πρὸς τὸ αἰσχιόνως ἔχον· καταδράττεται δὲ καρδίας καὶ νοῦ, καὶ εἰς ὄλεθρον ἄγει παντελῆ. Δεῖ δὴ οὖν ἄρα πρὸς ἡμῶν ἐπιτιμᾶσθαι τὸ φαῦλον, ταῖς εἰς τὸ ἄμεινον ἀναδρομαῖς περιστελ 68.793 λούσης αὐτὸ τῆς ἐν ἡμῖν νήψεως, καὶ ἀναιρούσης κατὰ βραχύ. Μόνορχιν δὲ πρὸς τούτοις, φησὶ, καθάπερ ἐγᾦμαι, τὸν ἡμίανδρον, καὶ οἱονεὶ παρακεκομμένον τὸ τελείως ἀνδροπρεπές. «Οὔτε γὰρ πόρνοι,» φησὶν, «οὔτε μαλακοὶ τὴν τοῦ Θεοῦ βασιλείαν κληρονομήσουσι.» Θηλυδρίας δὲ τοὺς τοιούτους ὀνομάζει, ὅτι τὴν ἀνδρὸς λαχόντες φύσιν, ψεύδονται τὸ ἀνδροπρεπὲς, καὶ νοῦν καὶ σῶμα μαλακιζόμενοι, καὶ ἑκοντὶ κατακλώμενοι πρὸς τὸ ἄναλκι καὶ θηλυπρεπές. Εἰκὸς δὲ δὴ πάλιν, τὸν μόνορχιν καὶ ἕτερόν τι παραδηλοῦν. Ἄνδρα μὲν γὰρ ὀνομάζειν ἔθος τὸν εὐσθενῆ καὶ συνεστραμμένον, καὶ οὐκ ἀνικάνως ἔχοντα πρὸς τὸ δύνασθαι κατορθοῦν ἃ ἂν ἕλοιτο τυχόν. Νοηθείη δ' ἂν εἰκότως ἐξ ἡμισείας ἀνὴρ, ὁ μὴ ὁλοκλήρως εὐσθενὴς, μήτε εἰσάπαν εἰς τὰ αὐτῷ πρέποντα γοργός· οὐ γάρ τοι προσήκει τὸν Θεῷ προσκείμενον, διακεκομμένην αὐτῷ τὴν ἀνδρείαν καὶ λελωβημένον προσάγειν τὸ εὐσθενὲς, καὶ ὡς ἀσθενεῖν ἐκ μέρους· ἀνδρίζεσθαι δὲ καὶ κραταιοῦσθαι, κατὰ τὸ γεγραμμένον, ἀδιάβλητον ἔχοντα καὶ ἀκατάσκωπτον προθυμίαν. Οὐκοῦν ἀνίερος μὲν ὁμολογουμένως, ὁ ὑπὸ μώμου γραφήν. Εἴργεται δὲ οὐχὶ τοῦ χρῆναι μεταλαχεῖν τῆς ἁγίας τροφῆς. «Φάγεται γὰρ ἀπὸ τῶν ἁγίων,» φησὶ, «πλὴν πρὸς τὸ καταπέτασμα οὐ προσελεύσεται, καὶ πρὸς τὸ θυσιαστήριον οὐκ ἐγγιεῖ» Οἱ γὰρ ἔτι ταῖς εἰς νοῦν ἔσω κεκρυμμέναις ἀσθενείαις ἔνοχοι, μεταλάχοιεν ἂν τῆς εὐλογίας Χριστοῦ, καὶ οὐχ ὡς ἐν τάξει τῇ τῶν ἁγίων εἰς ἐπίδοσιν ἁγιασμοῦ, καὶ εἰς ἑδραιότητα νοῦ, καὶ τὴν ἐφ' ἅπασι τοῖς ἀρίστοις ἐρηρεισμένην διαμονὴν, ἀλλ' ὡς ἐν τρόπῳ τῷ πρέποντι τοῖς ἠῤῥωστηκόσιν εἰς ἀπόθεσιν τοῦ κακοῦ, καὶ εἰς κατάληξιν ἁμαρτίας, καὶ εἰς νέκρωσιν ἡδονῶν, καὶ εἰς ἀνάληψιν εὐεξίας τῆς πνευματικῆς. Ἐπειδὴ γάρ ἐστιν ὁ Χριστὸς καινὴ κτίσις, κατὰ τὰς Γραφὰς, ταύτητοι δεχόμεθα καὶ ἡμεῖς αὐτὸν ἐν ἑαυτοῖς διὰ τῆς ἁγίας αὐτοῦ σαρκός τε καὶ αἵματος, ἵνα πρὸς καινότητα ζωῆς ἀναστοιχειούμενοι δι' αὐτοῦ καὶ ἐν αὐτῷ, τὸν παλαιὸν ἄνθρωπον ἀποσκευαζώμεθα, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, κατὰ τὸ γεγραμμένον. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἀποφάσκει μὲν οὖν τῶν ἱερῶν ἔργων τὴν ἐπιτήδευσιν τοῖς οἱονείπως ἐντετηγμένην


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀναπόβλητον ἠῤῥωστηκόσι τὴν νοητὴν ἐπήρειαν· ἅγιον γὰρ ἥκιστά γε τὸ νοσοῦν ἀεὶ τὰ προσπεφυκότα τῶν παθῶν· ἀλλ' εἰ καί τινι [τῶν] ἀμωμήτως ἐχόντων ἕν γε δὴ σφίσιν αὐτοῖς, καὶ ἀδιαβλήτως εἰς λειτουργίαν, τὸ ἀῤῥωστῆσαι συμβαίνει τὰ κοινὰ δὴ ταυτὶ καὶ οὐκ ἐξίτηλα τῶν παθῶν, οὐκ ἀνεπιτίμητον ἐᾶσθαι δεῖν αὐτὸν ἐπιτάττει, λέγων· «Εἶπον πρὸς Ἀαρὼν καὶ πρὸς τοὺς υἱοὺς αὐτοῦ, καὶ προσεχέτωσαν ἀπὸ τῶν ἁγίων τῶν υἱῶν Ἰσραὴλ, καὶ οὐ βεβηλώσουσι τὸ ὄνομα τὸ ἅγιόν μου, ὅσα αὐτοὶ ἁγιάζουσί μοι· ἐγὼ Κύριος. Εἶπον αὐτοῖς· Εἰς τὰς γενεὰς ὑμῶν πᾶς ἄνθρωπος, ὃς ἂν προσέλθῃ ἀπὸ παντὸς τοῦ σπέρματος 68.796 ὑμῶν πρὸς τὰ ἅγια, ὅσα ἂν ἁγιάζωσιν οἱ υἱοὶ Ἰσραὴλ τῷ Κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ' αὐτῷ ᾖ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἀπ' ἐμοῦ. Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ ἄνθρωπος ἐκ τοῦ σπέρματος Ἀαρὼν τοῦ ἱερέως, καὶ οὗτος λεπρᾷ ἢ γονοῤῥυεῖ, τῶν ἁγίων οὐκ ἔδεται, ἕως ἂν καθαρισθῇ, καὶ ὁ ἁπτόμενος πάσης ἀκαθαρσίας ψυχῆς, ἢ ἄνθρωπος ᾧ ἂν ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος, ἢ ὅστις ἂν ἅψηται παντὸς ἑρπετοῦ ἀκαθάρτου, ὃ μιαίνει αὐτὸν, ἢ ἐπ' ἀνθρώπῳ, ἐν ᾧ μιαίνει αὐτὸν κατὰ πᾶσαν ἀκαθαρσίαν αὐτοῦ· ψυχὴ ἥτις ἐὰν ἅψηται αὐτῶν, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας, οὐκ ἔδεται ἀπὸ τῶν ἁγίων, ἐὰν μὴ λούσηται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ δύῃ ὁ ἥλιος, καὶ καθαρὸς ἔσται, καὶ τότε φάγεται τῶν ἁγίων, ὅτι ἄρτος αὐτοῦ ἐστι. Θνησιμαῖον καὶ θηριάλωτον οὐ φάγεται, μὴ μιανθῆναι αὐτὸν ἐν αὐτοῖς. Ἐγὼ Κύριος, καὶ φυλάξονται τὰ φυλάγματά μου, ἵνα μὴ λάβωσι δι' αὐτὰ ἁμαρτίαν, καὶ ἀποθάνωσι δι' αὐτὰ, ἐὰν βεβηλώσωσιν αὐτά. Ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.» Οἱ γὰρ δὴ προσάγοντες τὰ ἱερὰ, φησὶν, ἤτοι τὰ ἁγιαζόμενα παρὰ τῶν υἱῶν Ἰσραὴλ, ὅσα ἂν ἀναθεῖεν εἰς θυσίαν τῷ Θεῷ, μὴ βεβηλούντων αὐτοῦ τὸ ὄνομα, προσάγοντες οὐ προηγνισμένοι, καὶ ἀναπόνιπτον ἔχοντες ἔτι τὴν ἀκαθαρσίαν ἣν ἂν συμβαίνει παθεῖν· ἢ ἴστωσαν ὅτι, φησὶ, τὴν ἐσχάτην εὐθὺς ἀποτίσουσι δίκην. Ἐγὼ γάρ εἰμι Κύριος, τοῦτ' ἔστιν, οὐ θεὸς ψευδώνυμος, εἰς ὃν εἰ καί τις ἁμάρτοι τυχὸν, οὐδὲν ἔσται πλημμελές. Τί γὰρ ἂν καὶ γένοιτο πρὸς ἡμῶν εἰς ξύλον ἢ λίθον, ὧπερ ἂν ἕποιτο καὶ τὸ εὐθύνεσθαι δεῖν; Οὐκοῦν τοῖς ἄγαν δείμασι προσεπανορθῶν εἰς ἀσφάλειαν τῆς ἀκαθαρσίας, τοὺς τρόπους καθ' οὓς ἂν γένοιτο πρὸς ἡμῶν ἀπαριθμεῖται χρησίμως, ὡς ἂν εἰδεῖεν οἱ λειτουργοὶ τῆς αὐτοῖς ὅτι μάλιστα πρεπούσης ἐπιεικείας τὴν ὁδὸν, καὶ δι' ὧν ἂν εἶεν δεκτοί τε καὶ καθαροὶ, τὴν τῷ νομοθέτῃ θυμαρεστάτην διαστείχοντες ζωήν. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Τὸν μὲν οὖν λεπρῶντα καὶ γονοῤῥυῆ, καὶ τῆς ἱερᾶς ἐξίστησι λειτουργίας, καὶ δεῖν γενέσθαι φησὶ τῶν ἁγίων ἀμέτοχον, μέχρις ἂν αὐτῷ τὸ συμβὰν ἀποκρούσαιτο, καὶ ἀπωτάτω γένοιτο τοῦ νοσεῖν. Προσάπτει δὲ τούτοις, ὡς ὁμοφυᾶ νοσοῦντα ἀκαθαρσίαν, τὸν ἁπτόμενον πάσης ἀκαθαρσίας ψυχῆς, ἢ ᾧ ἐὰν ἐξέλθῃ κοίτη σπέρματος, καὶ μέντοι τὸν ἑρπετοῦ θιγγάνοντα, καὶ ἀνδρὸς ἡντιναοῦν ἔχοντος ἐπὶ μολυσμῷ τὴν κατάῤῥησιν· οὐ πάθεσιν, οἶμαι, σωματικοῖς ἐπιτιμῶντος τοῦ νόμου, κατά γε τὸν ἀληθῆ καὶ ἀμωμήτως ἔχοντα σκοπὸν, ἀλλ' ὡς ἐν τύποις ἔτι, τοῖς ἐν αἰσθήσει καὶ σωματικοῖς, τὰ ἐν ψυχαῖς ἀποφαίνοντος. Σύμβολον δὴ οὖν νεκρώσεως μὲν, ἡ λέπρα· δαπανᾷ γὰρ καὶ καταβόσκεται τὴν σάρκα, μεθίστησι δὲ εἰς τὸ παρὰ φύσιν, καὶ ἀλλοιοῖ τοῦ σώματος τὴν ὄψιν. Γονόῤῥοια δὲ, καρπογονίας ἐστὶν ἀπόθεσις, ῥεούσης εἰς τὸ μηδὲν τῆς φύσεως· ὁποῖος ἄν τις ὁρῷτο καὶ ἀνθρώπου νοῦς παρενεχθεὶς εἰς παραφθορὰν καὶ μονονουχὶ δαπανώμενος εἰς ἀκαρπίαν, διά γε τοῦ δύνασθαι συνιέναι μηδὲν τῶν ἀναγ 68.797 καίων εἰς σωτηρίαν· ὁποῖοί τινες γεγόνασιν Ὑμέναιός τε καὶ Ἀλέξανδρος, οἰόμενοί τε καὶ λέγοντες ἀνάστασιν ἤδη γεγονέναι. Καὶ προστεθεῖεν ἂν τούτοις, οἱ ἀπονεύοντες ἀχαλίνως πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων, καὶ τῆς ἑαυτῶν διανοίας τὸν καρπὸν παραῤῥιπτοῦντες ἁπλῶς εἰς ἑώλους καὶ ἀσελγεῖς ἡδονάς. Οὐκοῦν ὁ λεπρὸς μὲν καὶ γονοῤῥυὴς, τοῦτ' ἔστιν, ὁ τοῖς νεκρότητος ἔργοις ἐνισχημένος (εἶεν δ' ἂν ἔργα νεκρότητος, τὰ τῆς σαρκὸς πάθη), καὶ ὁ τὴν ἔσω καρποφορίαν, τὴν εἰς νοῦν δηλονότι καὶ κεκρυμμένην, οὐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπαράφθορον ἔχων, ἀποχωρείτω, φησὶ, τῶν ἁγίων, ἕως ἂν καθαρισθῇ. Ὡς γὰρ ὁ θεσπέσιος ἔφη Παῦλος, «Ὃς ἂν ἐσθίῃ τὸ σῶμα τοῦ Κυρίου καὶ πίνῃ τὸ ποτήριον αὐτοῦ ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα αὐτοῦ. Δοκιμαζέτω δὲ,» φησὶν, «ἄνθρωπος ἑαυτὸν, καὶ τότε ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω.» {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Ἄθρει δὴ οὖν, ὦ Παλλάδιε, τὸ ἀκριβὲς τοῦ νόμου· κεχώρηκε γὰρ ἥκιστά γε κατὰ μόνων τοῦ λεπροῦ καὶ γονοῤῥυοῦς, συγκαταδικάζει δὲ ὥσπερ αὐτοῖς, καὶ εἴ τις ἅψαιτο τυχὸν τῶν ἠῤῥωστηκότων, λεπροῦ δὴ λέγω καὶ γονοῤῥυοῦς. «Καὶ ὁ ἁπτόμενος,» φησὶ, «πάσης ἀκαθαρσίας ψυχῆς, ἢ ᾧ ἂν ἐξέλθῃ κοίτη σπέρματος αὐτοῦ, ἀκάθαρτος ἔσται.» {ΠΑΛΛ.} Καὶ τίς ἂν γένοιτο τοῖς ἐπαφωμένοις ἡ ἀπό γε τούτου ζημία; {ΚΥΡ.} Οὐδεμία μὲν, κατά γε τὸν ἐν προχείρῳ λόγον. Καταμιανεῖ γὰρ οὐχὶ τὴν ἀνθρώπου ψυχὴν, σώματος ἐπαφή. Πνευματικὸς δὲ ὁ νόμος, καὶ διδάσκει πάλιν ἡμᾶς αἰνιγματωδῶς, ὡς ἀκάθαρτοι μὲν ἐν ἐγκλήμασι μολυσμῶν, οἱ ψυχικοῖς ἔνοχοι πάθεσιν. Συγκαταμιαίνονται δὲ αὐτοῖς καὶ οἱ θιγγάνοντες, ἤτοι κολλώμενοι, κατὰ σχέσιν δὲ δηλονότι τῆς ταυτοβουλίας, ἤγουν ταυτοεργίας· «Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί·» καὶ, «Μερὶς μὲν οὐδεμία πιστῷ μετὰ ἀπίστου·» πολέμιον δὲ καὶ ἀσύμβατον τῷ σκότῳ τὸ φῶς. Καὶ ἀληθὲς, ὅτι «Μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ ἀνδρὸς ἀθώου ἀθῷος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις.» Ὅτι δὲ οὐχὶ τὸ ἀῤῥωστῆσαι μόνον τὰ ἐκτοπώτατα τῶν παθῶν, μόνοις ἔσται τοῖς ἠῤῥωστηκόσι παγχάλεπον, ἀλλὰ καὶ οἵπερ ἂν γένοιντο σύμφρονές τε καὶ ὁμογνώμονες, οὐ μείοσιν ἢ ἐκεῖνοι καταμιανθήσονται μολυσμοῖς, παρέδειξεν εὐθὺς ἐπειπὼν, ὅτι «Ὅστις ἐὰν ἅψηται παντὸς ἑρπετοῦ ἀκαθάρτου, μιανεῖ αὐτὸν, ἢ ἐπ' ἀνθρώπῳ ἐν ᾧ μιανεῖ κατὰ πᾶσαν ἀκαθαρσίαν αὐτοῦ, ψυχὴ ἥτις ἂν ἅψηται αὐτῶν, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.» Ἑρπετὰ δὲ πικρὰ καὶ ἰοβόλα λέγεσθαί τε καὶ εἶναί φαμεν, τοὺς οἷσπερ ἂν εἴη πρέπων ὁ λόγος, «Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει.» Εἶεν δ' ἂν οὗτοι καὶ πρό γε τῶν ἄλλων οἱ τὰ ὀρθὰ διαστρέφοντες, καὶ τοῖς ἁπλουστέροις τὸν ὀλέθρου πρόξενον ἐνηχοῦντες λόγον, ἀποφέροντές γε πρὸς ἐννοίας οὐκ ἀγαθὰς, καὶ εἰς δόξαν ἐπὶ Θεῷ τὴν δι 68.800 εστραμμένην, ἤγουν κἀκεῖνοι τυχὸν, οἱ λέγοντες· «Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν·» καὶ οἱ πρός γε τὰς ἐν κόσμῳ φιληδονίας τὰς τῶν ἀμαθεστέρων διανοίας ἐξέλκοντες. Ἀκάθαρτοι δὲ πάλιν καὶ καταμιαίνειν εἰδότες τοὺς ἐπαφωμένους, ἤτοι πλησίον ἰόντας, κατά γε, φημὶ, τὸν διαθέσεως νόμον, οἱ περὶ ὧν ἔφη που καὶ ὁ σοφώτατος Παῦλος· «Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ μέθυσος, ἢ ἅρπαξ, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.» Ἦ γὰρ οὐχὶ τῷ ἱερῷ τε καὶ ἀπολέκτῳ γένει πρεπωδέστατον εἶναι φὴς τὸ, μὴ γεγονόσι τὰ τοιάδε τῶν κακῶν, μήτε μὴν τοῖς ἠῤῥωστηκόσι συναναφύρεσθαι δεῖν; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} «Ἔσται δὴ οὖν ἐν ἀκαθαρσίᾳ,» φησὶν, «ὃς ἂν ἅψηται τούτων, ἕως ἑσπέρας. Οὐκ ἔδεται ἀπὸ τῶν ἁγίων, ἐὰν μὴ λούσηται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ δύῃ ὁ ἥλιος, καὶ καθαρὸς ἔσται, καὶ τότε φάγεται ἀπὸ τῶν ἁγίων, ὅτι ἄρτος αὐτοῦ ἐστιν.» Ἀποφάσκει γε μὴν καὶ πρὸς τούτοις ἔτι τὴν θνησιμαίου τε καὶ θηριαλώτου βρῶσιν, ὡς καταμιαίνειν ἱκανῶς δυναμένην. Θέα δὴ οὖν, ὦ Παλλάδιε, τὴν ῥύπου παντὸς ἀπόθεσιν, καὶ ἐγκλημάτων ἀπαλλαγὴν, οὐχ ἑτέρως ἂν ἐν ἡμῖν ἐσομένην, πλὴν ὅτι διὰ μόνου Χριστοῦ, καὶ ὡς ἐν καιρῷ τῆς ἐπιδημίας. {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Ὅτι γὰρ ἀπερικάθαρτον ἅπαν καὶ ἐν μολυσμοῖς ἔτι, καὶ ὅτι ζωῆς ἀμέτοχον τὸ πρὸ τῆς ἐπιδημίας τοῦ Μονογενοῦς, παρέδειξεν εἰπών· «Ἀκάθαρτος ἔσται ἕως ἑσπέρας, καὶ οὐκ ἔδεται ἀπὸ τῶν ἁγίων.» Ἢ οὐκ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἐπιδεδήμηκεν ὁ Ἐμμανουήλ; {ΠΑΛΛ.} Ναί· σαφὴς γὰρ ὁ λόγος. {ΚΥΡ.} Ἐζωοποιήμεθα δὲ κατεδηδοκότες τὸν ἄρτον, τὸν ὡς ἀληθῶς ἅγιον καὶ ἐξ οὐρανοῦ, τοῦτ' ἔστι Χριστὸν, εἰς πέρας ἥκοντος τοῦ καιροῦ, καὶ ὥσπερ ἡλίου δύνοντος, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατακλείοντος εἰς ἑσπέραν τοῦ χρόνου τὸ μέτρον. {ΠΑΛΛ.} Πάνυ. {ΚΥΡ.} Ταύτῃτοι καὶ μέχρις ἑσπέρας ἀκάθαρτος ὁ μεμολυσμένος, ἀμέτοχος δὲ καὶ τροφῆς ἁγίας καὶ ζωοποιοῦ, τὸν τῆς καθάρσεως περιμένων καιρόν. Ὕδατι δὲ λουσάμενος καὶ δῦντος ἡλίου, καθαρὸς, καὶ ἴδιον ἄρτον ἔχων τὸν ἐξ οὐρανοῦ. Ἐκνενέμηται γὰρ ὥσπερ τοῖς δι' ὕδατος ἡγιασμένοις, ὡς ἐν ἁγίῳ, φημὶ, βαπτίσματι, τὸ εὐλογεῖσθαι διὰ Χριστοῦ· καὶ δὴ αὐτός ἐστιν ὁ ἄρτος ὁ ζῶν, αὐτὸς δὲ δὴ πάλιν ὁ ἐξ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Ὅτι δὲ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας κατασημήνειεν ἂν τὸν καιρὸν ἡ ἡλίου δύσις, εἴσῃ τοι σαφῶς, Θεοῦ λέγοντος ἐπὶ τῷ ἀμνῷ πρὸς τὸν ἱεροφάντην Μωσέα· «Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λαβέτω-σαν ἑαυτοῖς πρόβατον κατ' οἴκους, καὶ ἔσται, φησὶ, διατετηρημένον ἀπὸ τῆς δεκάτης τοῦ μηνὸς, ἕως τῆς, τεσσαρεσκαιδεκάτης, καὶ σφάξουσιν αὐτὸν πᾶν τὸ 68.801 πλῆθος τῶν υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν.» Ὥρα γὰρ ἡ δεκάτη λέγεται καθ' ἣν ἐπέφανεν ἡμῖν ὁ Ἐμμανουὴλ, πρὸς αὐτῇ λοιπὸν τῇ ἑσπέρᾳ, τοῦτ' ἔστι τῷ τέλει τοῦ ἐνεστῶτος καιροῦ. Θνησιμαῖον δὲ καὶ θηριάλωτον, οὐ μεῖον ἢ λέπρα τοῖς ἐφαπτομένοις τὸν μολυσμὸν ἐνίησι νοητῶς· τοῦ μὲν θνησιμαίου τὸ τελείως νεκρὸν καὶ ἀπεψυγμένον, ὡς ἐν ἔργοις τοῖς κατὰ τὴν σάρκα, τοῦ δὲ θηριαλώτου, τὴν ὑπὸ τῷ διαβόλῳ πεσοῦσαν ψυχὴν ἀναφανδὸν σημαίνοντος. Χρῆμα δὲ ὅτι σωτήριον ἀποφοιτᾷν ἀνδρὸς, νεκρὰ φρονεῖν ἐγνωκότος καὶ ἀπεψυγμένου τὸν νοῦν, καὶ τρέφοντος ὥσπερ ἐφ' ἑαυτῷ τὸν Σατανᾶν (κατεσθίει γὰρ ἃς ἂν ἕλοιτο ψυχὰς), πῶς οὐκ ἂν εἴη σαφὲς τοῖς γε ἀληθῶς ἀρτίφροσι, καὶ ἀπωτάτω χωρεῖν παντὸς τοῦ καταμολύνειν εἰωθότος ἄριστα διεσπουδακόσιν; {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Ἐπειδὴ δὲ πρὸς τοῦτο λοιπὸν ἀκριβείας ἡμῖν ἐξέρπει τὰ διηγήματα, καὶ ὁ τοῦ νόμου σκοπὸς ἥκιστα μὲν τοῖς μεμολυσμένοις ἂν εἴη γε μὴν τοῖς ἀμωμήτως ἔχουσι τὸ χρῆναι μεταλαχεῖν τῶν ἁγίων καὶ ζωοποιῶν ἐδεσμάτων· διίστησιν εὐθὺς εὖ μάλα τὰ γένη, καὶ τίνες ἂν εἶεν οἱ τῆς εὐλογίας ἄξιοι, καὶ πρός γε τοῦτο διᾴττειν οἷοί τε, ὥρισται· τίσι δὲ αὖ τὸ ἀποσοβεῖσθαι πρέπει τῶν ἱερῶν ἐδωδίμων, διεσάφει λέγων· «Καὶ πᾶς ἀλλογενὴς οὐ φάγεται ἅγια· πάροικος ἱερέως ἢ μισθωτὸς, οὐ φάγεται ἅγια. Ἐὰν δὲ ἱερεὺς κτήσηται ψυχὴν ἔκκτητον ἀργυρίου, οὗτος φάγεται τὸν ἄρτον αὐτοῦ, καὶ οἱ οἰκογενεῖς αὐτοῦ, καὶ οὗτοι φάγονται τῶν ἄρτων αὐτοῦ.» Ἐξείργει μὲν ὡς μεμολυσμένον καὶ ἀναπόνιπτον ἔτι τὸν ἀλλογενῆ τε καὶ ἔκφυλον, τοῦτ' ἔστι τὸν οὔπω πεπιστευκότα καὶ Θεὸν οὐκ εἰδότα τὸν ἀληθινόν. Οἷς γὰρ οὐκ ἔνεστι τὸ διὰ τῆς ἐν πνεύματι καὶ νοητῆς οἰκειότητος συνδεῖσθαι Χριστῷ τῷ μεγάλῳ καὶ ἀληθῶς ἱερεῖ, πῶς ἂν οἱ τοιοίδε γένοιντο μέτοχοι τῶν ἄρτων αὐτοῦ; Δώσομεν γὰρ οὐχὶ τὰ ἅγια τοῖς κυσὶ, παραῤῥίψειε δ' ἂν οὐδεὶς τοὺς νοητοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν. Οὐκοῦν ἀμέτοχος μὲν ὁλοτρόπως ὁ ἀλλογενής. Συνάπτει δὲ τούτῳ τὸν πάροικόν τε καὶ μισθωτόν· εἶεν δ' ἂν οὗτοι πάλιν, κατά γε τὸ αὐτῷ μοι δοκοῦν, οἱ κόσμῳ μὲν ζῶντες, καὶ αὐτῷ πολιτευόμενοι, καὶ οἱονεὶ πατρίδα πεποιημένοι τὴν γῆν, διά γε τοῦ μόνα φρονεῖν τὰ σαρκὸς, ἐν ψιλῇ δὲ ὥσπερ καὶ μόνῃ παροικοῦντες τῇ πίστει, τὴν εἰς Χριστὸν ἀγάπησιν. Καὶ ὅσον μὲν ἧκεν εἰς λόγους, χρηστοὶ καὶ ἐπιεικεῖς· τὸ δ' οὖν εἰς ἔργα καὶ τρόπους τῆς ἀληθοῦς εὐλαβείας, πολὺ δὴ λίαν ἐξεστηκότες. Μισθωτοὶ δὲ αὖ, καὶ αὐτό που τάχα τὸ πιστεῦσαι μόνον, οὐκ αἰδοῖ τῇ πρὸς ἀλήθειαν ᾑρημένοι, μισθὸν δὲ ὥσπερ τινὰ τοῦ δοκεῖν εἶναι Χριστιανοὶ, τὸ ἀρέσκειν τισὶ θηρώμενοι, καὶ τὰς ἐκ τῶν ὠφελεῖν δυναμένων αὐτοὺς φροντίδας θωπευτικῶς ὑποτρέχοντες, καὶ πορισμὸν ποιούμενοι τὴν εὐσέβειαν καὶ φιλοκερδείας προκάλυμμα, τὸ χρηστοεπὲς καθάπερ προσωπεῖον ἑαυτοῖς περιπλάττοντες. Ὅσον μὲν οὖν ἧκεν εἰς νόμου δύναμιν, 68.804 εἰ συντετάξονται τοῖς ἀλλογενέσιν οἱ πάροικοί τε καὶ μισθωτοὶ καὶ τῶν ἁγίων ὡς ἀπωτάτω, σὺν ἐκείνοις ἔσονται· μόνον δὲ οὐχὶ καὶ ἀδελφὰ νοσοῦντες ἐγκλήματα, τὴν ὁμοφυᾶ δικαίως ὑποστήσονται δίκην. Ἀνεῖσθαι δὲ δεῖν τοῖς οἰκείοις ἔφη τῶν ἁγίων τὴν μέθεξιν. Φάγονται γὰρ, φησὶν, οἱ τῶν ἱερέων οἰκογενεῖς, καὶ ὃν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἂν ἐκπρίαιντο τυχὸν, ἔκκτητόν τε καὶ ἀργυρώνητον καὶ οἰκογενῆ που λέγων, τὸν ἐν πίστει γνήσιον, καὶ οἰκεῖον ἐν πνεύματι, καὶ τιμῆς ἠγορασμένον, κατὰ τὸν μακάριον Παῦλον. «Χριστὸς γὰρ ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νομοῦ, γενόμενος ὑπὲρ ἡμῶν κατάρα,» κατὰ τὸ γεγραμμένον. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Προσεπιτάττει δὲ ὅτι καὶ θυγάτηρ ἀνθρώπου ἱερέως, ἐὰν γένηται ἀνδρὶ ἀλλογενεῖ, αὕτη τῶν ἀπαρχῶν τῶν ἁγίων οὐ φάγεται. Τὸν μὲν οἰκεῖον ἐκτετίμηκεν ἐναργῶς, μεταλαχεῖν ἐφιεὶς τῶν ἁγίων, ὡς γνήσιον· πλὴν ὅτι τοῖς ἔχουσι τὴν πρὸς αὐτὸν οἰκειότητα, παραιτητέον εὖ μάλα τὸ προσκολλᾶσθαι φιλεῖν τοῖς μὴ κατὰ πίστιν ἢ τρόπον οἰκείοις, μήτε μὴν τὸ οἱονεὶ συγγενὲς πεπλουτηκόσιν ἐξ ἀρετῆς, οὐκ ἀσυμφανὲς ἂν γένοιτο τοῖς ἐθέλουσι πολυπραγμονεῖν τῶν ἱερῶν Γραμμάτων τὴν πίστιν. Ὥσπερ γὰρ ἐν τοῖς ἤδη προανεγνωσμένοις ἀκάθαρτον μὲν ἐποίει τὸν λεπρὸν, καὶ αὖ ἐπὶ τούτῳ τὸν γονοῤῥυᾶ, μολυσμοῦ δὲ καὶ ἀκαθαρσίας τῆς ἐπ' αὐτοῖς ἐτίθει μέτοχον τὸν ἀγχοῦ γεγονότα, καὶ οἱονεὶ συνημμένον ἐξ ἐπαφῆς· οὕτω κἀνθάδε τὴν ἱερέως θυγατέρα φησὶ, κἂν εἰ ἔχοι τυχὸν τὸ συγγενὲς ἅγιον, οὐδὲν ἐντεῦθεν ὠφεληθήσεσθαι, συνημμένην ἑτέρῳ, τοῦτ' ἔστιν ἀλλογενεῖ, τῷ μηδαμόθεν οἰκείῳ, μήτε μὴν ἐξ αἵματος Ἰσραήλ. Ὁ μὲν οὖν τῆς ἱστορίας ἐν τούτοις ᾗ λόγος. Παροισθέντος δὲ ἡμῖν εἰς θεωρίαν πνευματικὴν τοῦ νόμου, φαμὲν ὅτι θυγατέρα φησὶν ἱερέως, τὴν ἐξ ὕδατός τε καὶ πνεύματος ἀναγεννηθεῖσαν ψυχὴν δυνάμει Χριστοῦ, καὶ διὰ πίστεως κεκλημένην εἰς ἁγιασμόν· ἀλλ' ἔσται, φησὶ, καὶ ἡ τοιάδε τυχὸν τῶν ἁγίων ἀμέτοχος, εἰ γένοιτο ἀνθρώπῳ ἀλλογενεῖ, τοῦτ' ἔστιν, εἰ συνάπτοιτό τισι τοῖς οὐκ ἀληθῶς ἁγίοις, καὶ σχέσιν οὐκ ἔχουσιν πρὸς Θεὸν πνευματικήν· σώμασι μὲν οὖν σωματικὸς ἂν γένοιτο τῆς συναφείας ὁ τρόπος, πνεύμασι δὲ αὖ πνευματικός. {ΠΑΛΛ.} Καὶ τίνας εἰς τοῦτο παρενεχθῆναί φαμεν; {ΚΥΡ.} Οὓς ὁ σεμνὸς τῆς σοφίας διησφαλίζετο λόγος, οὕτως ἔχων· «Υἱὲ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ βουληθῇς ἐὰν παρακαλέσωσί σε λέγοντες· Ἐλθὲ μεθ' ἡμῶν· κοινώνησον αἵματος.» Προσθήσομεν δὲ κἀκείνους, οἳ τῆς ὀρθῆς πίστεως ἀμαθῶς ἀπονενευκότες, ὀπίσω τρέχουσι σαρκὸς, τοὺς μὲν διὰ τοῦ ἁγίου Πνεύματος οὐ προσιέμενοι λόγους, προσεσχηκότες δὲ πνεύμασι πλάνης, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυστηριασμένων τὸν νοῦν. Οὗτοι τὴν πρὸς Χριστὸν οἰκειότητα παρωθούμενοι, γεγόνασι κατὰ τὸ ἀληθὲς ἀνθρώποις ἀλλογενέσι, καὶ σπερμάτων ἠνέσχοντο διαβολικῶν, καρποφοροῦντες ἐν πλάνῃ τὰ πλάνης 68.805 ἔργα καὶ ἀπωλείας. Ἀπόβλητος οὖν, κἂν ἱερά τις εἴη ποτὲ καὶ ὁσία ψυχὴ, τοῖς οὕτως αἰσχροῖς ἐναλοῦσα μιάσμασιν. Ἀνίερον γὰρ κομιδῇ πᾶν ὃ ἐὰν γένηται μυσαρὸν καὶ μεμολυσμένον, διὰ τοῦ προσκεῖσθαι φαύλοις τε καὶ ἀνοσίοις ἀνδράσι. Γείτονα δὲ τούτῳ καὶ ἕτερον εὐθὺς κατεχρησμῴδησε νόμον· ἔχει δὲ οὕτως· «Καὶ θυγάτηρ ἱερέως, ἐὰν γένηται χήρα ἐκβεβλημένη, σπέρμα δὲ μὴ ᾖ αὐτῇ, ἐπαναστρέψει ἐπὶ τὸν οἶκον τὸν πατρικὸν αὐτῆς κατὰ τὴν νεότητα αὐτῆς· ἀπὸ τῶν ἄρτων τοῦ Πατρὸς αὐτῆς φάγεται.» Ὁ μὲν οὖν τῆς ἱστορίας ἐναργὴς, οἶμαι, λόγος· ἰτέον δὲ δὴ πρὸς ἐννοίας τὰς ἔσω καὶ κεκρυμμένας. Εἰ γὰρ γένοιτο, φησὶν, ἀπόβλητος ὡς κατεγνωσμένη ψυχὴ, καὶ ἀνδρὸς ἐρήμη φαίνοιτο λοιπὸν, τοῦτ' ἔστι τοῦ νοητοῦ νυμφίου, καρπὸν ἔχουσα τὸν ἐξ ἀρετῆς οὐδένα· δρομαῖον ποιείσθω πρὸς τὸ ἐν ἀρχαῖς τὸ βάδισμα, καὶ ἐπανηκέτω γοργῶς ἐπὶ τὸν οἶκον τοῦ ἰδίου πατρὸς, διὰ μεταγνώσεως δὲ δηλονότι ζητοῦσα τὴν πρὸς Θεὸν οἰκείωσιν, καὶ τότε φάγεται τῶν ἄρτων αὐτοῦ. Λυπεῖ δὲ οὐδὲν καὶ οἷς ἔφαμεν ἀρτίως τὴν τῶν εἰρημένων ἐφαρμόσαι δύναμιν. Εἰ γὰρ γένοιτο, φησὶν, ἱεράν τε καὶ ἁγίαν ψυχὴν ἀνδράσι βεβήλοις ὑπενηνεγμένην κατολισθεῖν εἰς πλάνησιν, καὶ δογμάτων ἀλλοτρίων εἰσδέξασθαι μολυσμὸν, γένοιτό τε διὰ τοῦτο ὥσπερ τις χήρα καὶ ἀπόπεμπτος ἐκ Θεοῦ, ἐκνήψασα δέ πως οἷς κατώλισθεν μάθοι, ἐπανηκέτω πρὸς τὸν Πατέρα. Δέχεται γὰρ τοὺς πεπλανημένους, εἰ φαίνοιντο καθαροὶ τῶν εἰσκεκριμένων αὐτοῖς ἀνοσίων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σπερμάτων, εἰ μηδὲν ἐπιφέροιντο τῆς τῶν πλανησάντων βδελυρίας λείψανον· συναγελάζει δὲ οὕτω τοῖς ἁγίοις προσκυνηταῖς, παρατιθεὶς ἑαυτὸν ὡς ἄρτον ἐξ οὐρανοῦ, βρῶσιν αὐτοῖς τὴν ζωοποιόν. Οἶμαι δὲ ἔγωγε καὶ ἕτερόν τι παραδηλοῦν τὸν νομοθέτην ἡμῖν διὰ τουτωνὶ τῶν νόμων. Προαναφωνεῖ γὰρ ὥσπερ τῆς Ἰουδαίων Συναγωγῆς τὴν ἀπόστασιν, καὶ τὴν ἐπὶ τούτῳ δίκην, καὶ τὴν ἐσομένην ἐπ' αὐτῇ κατὰ καιροὺς χρηστότητα, πρὸς ὑποστροφὴν ἀναφέρουσαν ἐλέῳ Θεοῦ, καὶ ἀνακομίζουσαν εἰς τὸ ἐν ἀρχῇ. «Θυγάτηρ» γὰρ, φησὶν, «ἀνθρώπου ἱερέως, ἐὰν γένηται ἀνδρὶ ἀλλογενεῖ, τῶν ἀπαρχῶν τῶν ἁγίων οὐκ ἔδεται.» Ὅσον μὲν γὰρ ἧκεν εἰς διδασκαλίαν καὶ μάθησιν, πατὴρ ὥσπερ τις τῆς Ἰουδαίων Συναγωγῆς, ὁ θεσπέσιος γέγονε Μωσῆς. Ἦν οὖν ἄρα θυγάτηρ ἱερέως· ἱερουργὸς γὰρ καὶ ὁ Μωσῆς, ἅτε δὴ καὶ ἐξ αἵματος καὶ φυλῆς ὑπάρχων Λευΐ. Ἀλλὰ γέγονεν ἡ τούτου θυγάτηρ ἀνθρώπῳ ἀλλογενεῖ. Ὀλίγου γὰρ παντελῶς ἀξιοῦσα λόγου τὰ θεόθεν διωρισμένα, καὶ σπερμάτων τρόπον τινὰ τῶν ἄνωθεν ἀλογήσασα, μεμελέτηκε διδασκαλίας, ἐντάλματα ἀνθρώπων, καὶ ταῖς ἑτέρων καρποφορεῖ γνωμοδοσίαις· ταύτῃτοι Θεὸς ἐπῃτιᾶτο λέγων αὐτῇ διὰ φωνῆς Ἱερεμίου· «Ἆρον εἰς εὐθεῖαν τοὺς ὀφθαλ-μούς σου, καὶ ἴδε, ποῦ οὐχὶ ἐξεφύρθης· ἐπὶ ταῖς ὁδοῖς ἐκάθισας αὐτοῖς ὡσεὶ κορώνη ἐρημουμένη, καὶ ἐμίανας τὴν γῆν ἐν τῇ πορνείᾳ σου καὶ ἐν ταῖς κακίαις σου, καὶ ἔσχες ποιμένας πολλοὺς, εἰς πρόσκομμα σαυτῇ.» Ἀλλὰ ταυτὶ μὲν ἀρχαῖα τῆς Ἰουδαίων Συναγωγῆς τὰ ἐγκλήματα· ἀδελφὰ δὲ τούτοις καὶ 68.808 νέα, τὰ ἐπ' αὐτοῦ τοῦ Χριστοῦ. Προσιεμένη γὰρ οὐδαμῶς τὸν ἄνωθεν καὶ ἐκ Θεοῦ Πατρὸς νυμφίον, τοῖς τῶν Γραμματέων καὶ Φαρισαίων προσέχει λόγοις. Γέγονε τοίνυν ἀνθρώπῳ ἀλλογενεῖ, καὶ τῶν ἁγίων ἀμέτοχος ταύτῃτοι μεμένηκεν· οὐ γὰρ ἔφαγε τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, τοῦτ' ἔστι Χριστόν. Ὁρᾷς τὰ ἐγκλήματα, καὶ τὴν τοῖς τὰ τοιάδε δεδυσσεβηκόσιν ἐπενηνεγμένην εὐθὺς παρὰ Χριστοῦ δίκην. Ἄθρει δὴ οὖν καὶ τίνα τρόπον ἠλέηνται, καὶ ἀνεκομίσθησαν εἰς τὸ ἐν ἀρχαῖς· «Θυγάτηρ, φησὶν, ἱερέως, ἐὰν γένηται χήρα ἐκβεβλημένη, σπέρμα δὲ μὴ ᾖ ἐν αὐτῇ, ἐπαναστρέψει ἐπὶ τὸν οἶκον τοῦ πατρὸς αὐτῆς, κατὰ τὴν νεότητα αὐτῆς, καὶ ἀπὸ τῶν ἄρτων τοῦ πατρὸς αὐτῆς φάγεται.» Χήρα μὲν γὰρ καὶ ἐκβεβλημένη διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν, ἡ τῶν Ἰουδαίων ἀνεδείχθη Συναγωγὴ, καὶ μεμένηκεν ἐν ἁμαρτίαις, καὶ ἐν τῷ κεκτῆσθαι μηδὲν τῶν πνευματικῶν ἀγαθῶν, καὶ μακροὺς ἐν τούτῳ διατετέλεκε χρόνους. Ἀλλ' ἐπαναστρέψει ἐπὶ τὸν οἶκον τὸν πατρικὸν αὐτῆς· κεκλήσεται γὰρ καὶ αὐτὴ διὰ πίστεως πρὸς Θεόν· ἐπιγράψεται δὲ σὺν ἡμῖν Πατέρα τὸν τῶν ὅλων δημιουργὸν, καὶ τῆς Χριστοῦ γένοιτ' ἂν εὐλογίας μέτοχος. Τοῦτό σοι σαφὲς τὸ μυστήριον καὶ ὁ τοῦ προφήτου καταστήσει λόγος· ἔφη γὰρ ὧδε· «Διότι ἡμέρας πολλὰς καθίσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ἄρχοντος· οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων· καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐπιζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν καὶ βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ, ἐπ' ἐσχάτων τῶν ἡμερῶν.» {ΠΑΛΛ.} Ἀληθὴς ὁ λόγος. {ΚΥΡ.} Οὐκοῦν ἐδώδιμα μὲν καὶ πρὸς μετάληψιν εὐπρεπῆ τοῖς ἀλωβήτως ἔχουσι τό γε ἐπὶ σφίσιν αὐτοῖς, τὰ ἱερὰ, τοῦτ' ἔστι τὰ ἅγια. Προκείσεται δὲ οὐκέτι τοῖς οὐκ ἔχουσιν ὑγιῶς, ἢ σχέσει τῇ πρὸς ἑτέρους ἐκμεμολυσμένοις. Γέγραπται γὰρ, ὅτι «Μετὰ στρεβλοῦ διαστρέψεις.» Ὅτι δὲ καὶ τοῖς ἀληθῶς ἱεροῖς οὐκ ἀζήμιον τὸ ὡς ἐν χρήσει κοινῇ ποιεῖσθαι τὰ ἅγια, καὶ μηδὲν οἴεσθαι διενεγκεῖν τῶν ἄλλων αὐτὰ, διετράνου λέγων εὐθύς· «Καὶ ἄνθρωπος ὃς ἐὰν φάγῃ τὰ ἅγια κατ' ἄγνοιαν, καὶ προσθήσει τὸ ἐπίπεμπτον αὐτοῦ ἐπ' αὐτὸ, καὶ δώσει τῷ ἱερεῖ τὸ ἅγιον, καὶ οὐ βεβηλώσει τὰ ἅγια τῶν υἱῶν Ἰσραὴλ, ἃ αὐτοὶ ἀφαιροῦσι τῷ Κυρίῳ, καὶ ἐπάξουσιν ἐφ' ἑαυτοῖς ἀνομίαν πλημμελείας ἐν τῷ ἐσθίειν αὐτοὺς τὰ ἅγια αὐτῶν· ὅτι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.» {ΠΑΛΛ.} Οὐ σφόδρα συνίημι ὅ τί ποτ' ἐστὶν ὃ φῄς. {ΚΥΡ.} Πεύσῃ τοι καὶ μάλα σαφῶς· ἅπαντες γὰρ οὐδέν. Τὰ εἰς ὀσμὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

εὐωδίας ἀνατεθειμένα, μόσχοι τυχὸν, ἢ ὄϊς, ἀνεκομίζοντο μὲν ἐκ μέρους ἐπὶ τὸ θυσιαστήριον, ἐξαιρουμένων τῶν ἐντοσθίων, ποδῶν, τε καὶ κεφαλῆς, καὶ πιμελῆς, ἔσθ' ὅτε καὶ νεφρῶν· ἔτρεφον δὲ τοῖς λειψάνοις τοὺς ἱερεῖς. «Οἱ γὰρ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσὶ,» καθὰ καὶ ὁ θε 68.809 σπέσιος ἔφη Παῦλος. Ἦν οὖν ἄρα ἀνάγκη καθιεροῦσθαι Θεῷ τὸ ὑπὸ τοῦ προσκομισθέντος, κατὰ τὸν ἑκάστῳ πρέποντα νόμον, παραμυθεῖσθαι δὲ τῷ λοιπῷ σώματι τῆς θυσίας τοὺς ὑπουργούς. Εἰ δὲ δή τις ὅλον ὥσπερ διόλου τὸ δῶρον ἀπονοσφίσαιτο, καὶ ταῖς ἰδίαις ἀπονενέμηκε χρείαις, τεθυμιακὼς οὐδέν· ὡς ἅγια κατεδηδοκὼς, ἐγράφετο νόμῳ. Τοῦτό τοι δεδράκασιν οἱ Ἡλὶ τοῦ ἱερέως υἱοὶ, πρὸ θυσιῶν ἁρπάζοντες καὶ βεβηλοῦντες τὰ ἱερὰ, καὶ τοῖς εἰς τὸ θύειν ἥκουσιν, ἀνοσιώτατα λέγοντες· «Δὸς κρέας ὀπτῆσαι τῷ ἱερεῖ.» Ἀλλ' ἐκεῖνα μὲν ὡς ἑκούσια καὶ γυμνὴν ἔχοντα τὴν ὕβριν, ἀναλόγως ἐκολάζετο. «Εἰ δὲ δὴ γένοιτο, φησὶν, ἢ λήθῃ συνηρπασμένον, ἢ τὸ τοῖς νόμοις δοκοῦν οὐκ ἀκριβῶς ἐγνωκότα, δράσαι τι τοιοῦτον· ζημίαν ὑπομενέτω· καὶ ἀποτιννύτω μὲν τὸ ἴσον ἀμελητί· προσεπαγέτω δὲ τούτῳ καὶ τὸ ἐπίπεμπτον,» τοῦτ' ἔστι, τὴν τοῦ τιμήματος πέμπτην μοῖραν· «καὶ ἀπολύσεται γὰρ οὕτω τὰ ἐγκλήματα, καὶ τὰ ἐκ τῆς ἀγνοίας διακρούσεται βλάβη» Ὅτε τοίνυν τὸ ἀγνοηθὲν, γραφῆς οὐκ ἐλεύθερον, τί ἂν οἴοιτό τις τὸ ἐξ ἀπονοίας καὶ θράσους; Παραιτητέον δὴ οὖν οἷς ἐν φροντίδι τὰ ἱερὰ, μηδὲν πρὸ θυσίας οἰκειοῦσθαι ζητεῖν· ἢ ἴστων, ὅτι δεινὰ πεπλημμεληκότες, ὀφλήσουσι δίκην, καὶ ὑπὸ θείαν ἔσονται κίνησιν. Ἢ οὐκ εἶναι φὴς ἀληθὲς τὸ χρῆμα, ὦ τᾶν; {ΠΑΛΛ.} Παντάπασι μὲν οὖν. {ΚΥΡ.} Ἁγίους δὲ ὅτι καὶ ἐκνενιμμένους εἶναι χρὴ τοὺς ἱερατεύοντας, ἀποσείεσθαι δὲ καὶ μάλα νεανικῶς τὸ οἱονείπως νεκρὸν καὶ ἀπεψυγμένον φρόνημα, καὶ τὸ μὴ ἔμπνουν εἰς ἀρετὴν, διεσάφει λέγων· «Εἶπον τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρὼν, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἐν ταῖς ψυχαῖς οὐ μιανθήσονται ἐν τῷ ἔθνει αὐτῶν, ἀλλ' ἢ ἐν τῷ οἰκείῳ τῷ ἔγγιστα αὐτῶν, ἐπὶ πατρὶ καὶ μητρὶ, καὶ υἱοῖς καὶ θυγατράσιν, ἐπ' ἀδελφῷ, καὶ ἐπ' ἀδελφῇ παρθένῳ τῇ ἐγγιζούσῃ αὐτῷ, τῇ μὴ ἐκδεδομένῃ ἀνδρὶ, ἐπὶ τούτοις μιανθήσεται. Οὐ μιανθήσεται ἐξάπινα ἐν τῷ λαῷ αὐτοῦ εἰς βεβήλωσιν αὐτοῦ. Καὶ φαλάκρωμα οὐ ξυρηθήσεσθε τὴν κεφαλὴν ἐπὶ νεκρῷ, καὶ τὴν ὄψιν τοῦ πώγωνος οὐ ξυρήσονται, καὶ ἐπὶ τὰς σάρκας αὐτῶν οὐ κατατεμοῦσιν ἐντομίδας. Ἅγιοι ἔσονται τῷ Θεῷ αὐτῶν, καὶ οὐ βεβηλώσουσι τὸ ὄνομα τοῦ Θεοῦ αὐτῶν· τὰς γὰρ θυσίας Κυρίου δῶρα τοῦ Θεοῦ αὐτῶν αὐτοὶ προσφέρουσι, καὶ ἔσονται ἅγιοι.» Μίασμα μὲν γὰρ ἀνδρὶ γένοιτ' ἂν παντελῶς οὐδὲν, ὁ ἑτέρου θάνατος, εἰ τόν γε τῆς ἀληθείας πολυπραγμονοίη τις λόγον. Νεκρότης γε μὴν ἡ σωματικὴ, τύπος ἂν εἴη τῆς ἔσω καὶ ἐν ψυχαῖς, ὑφ' ἧς ἀνάγκη καταμιαίνεσθαι τὸν ἀγχοῦ γεγονότα, ἢ κατὰ θέλησιν, ἢ κατὰ ταυτοεργίαν· νεκρῶν γὰρ ἔργων ἀποφοιτᾷν καὶ ὡς ἀπωτάτω φέρεσθαι, πρέποι ἂν ἁγίοις, καὶ τοῖς τὰ τοιάδε κατηῤῥωστηκόσι μὴ εἰς ταυτὸν ἰέναι, καλόν. Γέγραπται γὰρ, ὅτι «Ὁ ἁπτόμενος πίσσης, 68.812 μολυνθήσεται.» Μετάσχοι γὰρ ἂν καὶ μάλα ῥᾳδίως τῆς ἑτέρου φαυλότητος, ὁ κολλᾶσθαι μὴ παραιτούμενος. Ἐφίησι δὲ ὁ νόμος τοῖς ἡγιασμένοις, ἐπὶ πατρὶ καὶ μητρὶ, παισί τε καὶ ἀδελφοῖς, καὶ μέντοι καὶ ἀγχισπόροις ἀνεγκλήτως καταμιαίνεσθαι· διὰ τοῦ καὶ ἀψύχοις σώμασιν ἐπιφοιτᾷν, τῇ πρὸς τὴν φύσιν αἰδοῖ, καὶ τῶν εἰς τύπον ἀλογήσας ἀδικημάτων, ὡς ἂν μὴ δοκοῖεν ἄτεγκτοί τινες εἶναι καὶ ἀγέρωχοί τε καὶ ἀσυμπαθεῖς, οἱ Θεῷ γνώριμοι· καί τοι λέγοντος ἐναργῶς τοῦ νόμου· «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται.» Καὶ καθ' ἕτερον δὴ τρόπον τε καὶ λόγον, ἀπεῖρχθαί φαμεν τοῦ χρῆναι πενθεῖν τοὺς ἡγιασμένους· ζωῆς γὰρ ὄντας ἱερουργοὺς, καὶ εἰς τὴν τοῦ θανάτου λύσιν προσκομίζοντας τὰ ἱερὰ τῷ Θεῷ (θανάτου γὰρ λύσις ὁ Χριστοῦ θάνατος, διά τε προβάτων καὶ μόσχων ἀνατυπούμενος), πῶς ἦν ἀκόλουθον ταῖς ἐπὶ θανάτῳ καταβαρύνεσθαι λύπαις; Οὕτω καὶ ὁ θεσπέσιος Παῦλος, τοῖς εἰς ἐλπίδα ζωῆς καὶ ἀναστάσεως βεβαπτισμένοις εἰς Χριστὸν, ἐπιστέλλει σαφῶς· «Τοῦτο δὲ λέγω, ἵνα μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λυπεῖσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ, καὶ ἐγερεῖ σὺν ἡμῖν.» Ἐφῆκε μὲν οὖν ὁ νόμος τοῖς ἄγαν ἀγχοῦ τεθνεῶσιν ἐπιφοιτᾷν τοὺς ἡγιασμένους. Ἐπιμετρεῖ δὲ τὸ χρῆμα, καὶ τὸ αὐτοῖς ὅτι μάλιστα πρέπον παραλύειν οὐκ ἐᾷ τῷ περιττῷ καὶ ὑπὲρ τὴν χρείαν, ὡς ἂν μὴ τὸ σεπτὸν τῆς ἱερωσύνης ἀδικοῖτο γέρας. Ἐξίστησι γὰρ τοῦ καθ' ὁμοιότητα τὴν ἑτέρων ψιλοῦσθαι τὰς κεφαλὰς, καὶ ἐφ' ὕβρει προσώπου καταξύρεσθαι γενειάδα· καὶ τὰ μανίας Ἑλληνικῆς ἀνοσιουργήματα, τὰς εἰς σάρκα φημὶ κατατομὰς, οὐδ' ὅσον εἰς νοῦν ἑλεῖν ἐπιτάττει. Συνδιατίθεσθαι μὲν γὰρ τοῖς οἰκείοις εἰς λύπας, τὸ ἀπεικὸς οὐδέν· τό γε μὴν εἰς ἅπαν ἀσχημονεῖν, ἀκαλλὲς ἂν εἴη καὶ ἀπόπληκτον κομιδῇ. «Πάντα γὰρ, φησὶν, εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.» Προτετιμηκότας δὲ τὰ Θεοῦ· καὶ τῶν εἰς γονέας αὐτοὺς, κατὰ τὸν πάλαι νόμον, καὶ αὐτὸς ἡμῖν ὁ Σωτὴρ ἡγεῖσθαι προστέταχεν, οὕτω λέγων· «Ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος.» {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἥκιστα μὲν οὖν ἐπὶ νεκροῖς καταμιαίνεσθαι δεῖν ἐπιτάττει τοὺς ἱερέας. Ἀσύμβατον δὲ καὶ ἀσυμφανὲς τῷ βεβήλῳ, τὸ ἅγιον, καὶ καθ' ἑτέρους ἡμῖν ἀποφαίνων τρόπους, νόμους ἡμῖν ἐτίθει τοὺς ἐπὶ γάμοις, εὐθὺς ἐπιλέγων· «Ἐπὶ παντὸς ἱερέως, γυναῖκα πόρνην καὶ βεβηλωμένην οὐ λήψονται, καὶ γυναῖκα ἐκβεβλημένην ὑπὸ ἀνδρὸς αὐτῆς οὐ λήψονται· ὅτι ἅγιός ἐστι Κυρίῳ τῷ Θεῷ αὐτοῦ, καὶ ἁγιάσεις αὐτόν· τὰ δῶρα Κυρίου τοῦ Θεοῦ ὑμῶν, οὗτος προσφέρει· ἅγιος ἔσται, ὅτι ἅγιος ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.» Ἡ μὲν οὖν πεπορνευμένη κατὰ τὸ ἀληθὲς καὶ μεμολυσμένη γυνὴ, τὸ ἐπ' αἰσχροῖς ἐπημφιεσμένη ἔγκλημα νοσεῖ, καὶ ἀναμφίλογον 68.813 ἔχει τὴν κατάῤῥησιν. Ἀκαταιτίατος δὲ οὐδαμῶς ἡ ἐκβεβλημένη. Πάθοι γὰρ ἂν οὐκ εἰκῆ, τὸ ἀποσείεσθαι δεῖν τῆς τοῦ συνόντος ἑστίας. Χρὴ τοιγαροῦν, τοὺς εἰς τὴν οὕτω σεπτὴν λειτουργίαν ἠγμένους, οὐχὶ δήπου μόνων τῶν ἐμφανεστάτην καὶ ἀκατακάλυπτον ἐφ' ἑαυτοῖς ἐχόντων τὴν κατάγνωσιν ἀποσχέσθαι κακῶν, ἀλλὰ καὶ παντὸς, οἶμαι, πράγματος,ᾧπερ ἂν ἕποιτο φαυλότητος δόξα, καὶ ὑπόληψις οὐκ ἀγαθὴ, καὶ ἐν πολλαῖς ἄγαν ὑποψίαις τὸ ἄσεμνον. Ἔοικε δὲ ὁ λόγος, καὶ τῆς Ἰουδαίων Συναγωγῆς τὴν συμφορὰν ὑπαινίττεσθαι, ἣν ὅτι πεπόρνευκεν εἰς ποιμένας πολλοὺς, κατὰ τὸ γεγραμμένον, οὐ προσήκατο Χριστὸς εἰς πνευματικὴν κοινωνίαν, ὁ πάναγνος ἱερεὺς, ὁ δῶρον ὥσπερ τι ἐξαίρετον ἑαυτὸν ἀνατιθεὶς ὑπὲρ ἡμῶν τῷ Πατρὶ, ὁ μεθ' ἡμῶν ἅγιος κατὰ τὸ ἀνθρώπινον, καίτοι πᾶσαν αὐτὸς ἁγιάζων τὴν κτίσιν, ὡς ἐκ Θεοῦ καὶ Θεός. Σαφεστέραν δὲ τοῦ μυστηρίου τὴν δήλωσιν ἀπετέλει λέγων· «Καὶ θυγάτηρ ἀνθρώπου ἱερέως, ἐὰν βεβηλωθῇ τοῦ ἐκπορνεῦσαι, τὸ ὄνομα τοῦ πατρὸς αὐτῆς αὐτὴ βεβηλοῖ, ἐπὶ πυρὸς κατακαυθήσεται.» Δέδοται γὰρ εἰς φλόγα, ὡς ἀνοσία καὶ βέβηλος, ἡ τῶν Ἰουδαίων Συναγωγὴ, ταῖς τῶν Γραμματέων καὶ Φαρισαίων ἀκολουθοῦσα γνώμαις, καὶ τοῖς ἀνθρώπων ἐντάλμασιν ὅλον ἑαυτῆς ἀναθεῖσα τὸν νοῦν. Τοιγάρτοι καὶ σφόδρα δικαίως ἤκουε τοῦ προφήτου λέγοντος· «Πῶς ἐγένου πόρνη, πόλις πιστὴ Σιὼν, πλήρης κρίσεως;» Ἐκπεπορνευμένη τοίνυν, καὶ ἀλογήσασα παντελῶς τοῦ ἄνωθέν τε καὶ πνευματικοῦ νυμφίου, πυρὸς γέγονε τροφή. Τοιγάρτοι πικρὸν ἐπ' αὐτῇ καταστάζων δάκρυον καὶ ὁ προφήτης Ἱερεμίας φησίν· «Ἐλαίαν ὡραίαν εὔσκιον τῷ εἴδει ἐκάλεσε Κύριος τὸ ὄνομά σου· εἰς φωνὴν περιτομῆς αὐτῆς, ἀνήφθη πῦρ ἐπ' αὐτήν· μεγάλη ἡ θλίψις ἐπὶ σέ. Ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς, καὶ Κύριος τῶν δυνάμεων ὁ καταφυτεύσας σε, ἐλάλησεν ἐπὶ σὲ κακά.» Τρόπος οὖν ἄρα πορνείας τῆς νοητῆς, τὸ ἀπονεύειν ὀρθότητος, καὶ διδασκάλοις προσκεῖσθαι ζητεῖν αἰσχροῖς τε καὶ ἀνοσίοις. {ΠΑΛΛ.} Οὕτω φημί. {ΚΥΡ.} Καὶ ἀμυδρότεροι μὲν τῶν εἰρημένων οἱ τύποι, καὶ οὐκ ἄγαν εὐφανεῖς ἐπί γε τῶν ἄλλων ἱερέων, ἀναλάμπουσι δὲ ὥσπερ ἐν Ἀαρὼν εἰκόνα φοροῦντι Χριστοῦ. Ἔφη γὰρ πάλιν· «Καὶ ὁ ἱερεὺς ὁ μέγας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, τοῦ ἐπικεχυμένου ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλαίου τοῦ χριστοῦ, καὶ τετελειωμένου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνδύσασθαι τὰ ἱμάτια, τὴν κεφαλὴν οὐκ ἀποκιδαρώσει,» ἤτοι οὐκ ἀπομιτρώσει, «καὶ τὰ ἱμάτια οὐ διαῤῥήξει, καὶ ἐπὶ πάσῃ ψυχῇ τετελευτηκυίᾳ οὐκ εἰσελεύσεται, ἐπὶ πατρὶ αὐτοῦ οὐδὲ ἐπὶ μητρὶ αὐτοῦ οὐ μιανθήσεται, καὶ ἐκ τῶν ἁγίων οὐκ ἐξελεύσεται, καὶ οὐ βεβηλώσει τὸ ἡγιασμένον τοῦ Θεοῦ αὐτοῦ ὅτι τὸ ἅγιον ἔλαιον τὸ χριστὸν τοῦ Θεοῦ ἐπ' αὐτῷ. Ἐγὼ Κύριος. Οὗτος γυναῖκα παρθένον ἐκ τοῦ γένους αὐτοῦ λήψεται, χήραν δὲ καὶ ἐκβεβλημένην καὶ βεβηλωμένην καὶ πόρνην, ταύτας οὐ λήψεται, ἀλλ' ἢ παρθένον ἐκ τοῦ λαοῦ αὐτοῦ λήψεται γυναῖκα. Καὶ οὐ βεβηλώσει τὸ σπέρμα αὐτοῦ ἐν τῷ λαῷ αὐτοῦ. 68.816 Ἐγὼ Κύριος ὁ Θεὸς, ὁ ἁγιάζων αὐτούς.» Ὁρᾷς ἐναρ-γῶς ὡς ἐν τύποις ἔτι τὸν Ἐμμανουὴλ καὶ Χριστὸν, ὠνομασμένον ὡς ἐν Ἀαρών. Ἐχρίσθη γὰρ Πνεύ-ματι, κατὰ τὰς Γραφὰς, αὐτὸς ὑπάρχων ὁ παντέλειος ἱερεύς. Τοιγάρτοι καὶ ἀναπόβλητον ἔχει τῆς ἱερωσύνης τὴν δόξαν. «Οὐ γὰρ ἀποκιδαρώσει,» φησὶ, «τὴν κεφαλὴν,» τοῦτ' ἔστιν, οὐκ ἀποβαλεῖ τὸ σχῆμα τὸ ἱεροπρεπές. Εἴρηται γὰρ πρὸς τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτήν· «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. –Καὶ οἱ μὲν πλείονές εἰσιν ἱερεῖς γεγονότες, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν· οὗτος δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην. Ὅθεν καὶ εἰς τὸ παντελὲς δύναται σώζειν τοὺς προσιόντας τῷ Θεῷ δι' αὐτοῦ·» γέγραφε γὰρ ὧδε καὶ ὁ θεσπέσιος Παῦλος. Οὐκοῦν τὸ μὴ ἀφαιρεῖσθαι τῆς κεφαλῆς τὴν κίδαριν, τῆς ἱερωσύνης τὸ ἀναπόβλητον ὑπεμφήνειεν ἄν. Εἰ δὲ δὴ λέγοιτο, «Τὴν κεφαλὴν οὐκ ἀπομιτρώσει,» συνήσεις εὖ μάλα τὸ τῆς βασιλείας αὐτοῦ διηνεκές τε καὶ ἀκατάσειστον· μίτρα γὰρ ἡ ἐπὶ μετώποις ἄκροις τὸ χρυσοῦν ἔχουσα ψέλλιον, ἀρχῆς ἂν εἴη καὶ βασιλείας σύμβολον. Ἀλλ', «Οὐδὲ τὰ ἱμάτια διαῤῥήξει,» φησί. Τοῦτό τοί τισι δρᾷν ἔθος ἐπὶ νεκροῖς· Χριστοῦ δὲ τὸ χρῆμα παντελῶς ἀλλότριον. Πάθοι γὰρ ἂν ἥκιστά γε τὸν ἐπὶ θανάτῳ πόνον, ἡ ζωή. Οὐδὲν γὰρ ὅλως αὐτῇ τὸ νεκρὸν, ἀλλ' ἔστιν αὕτη καὶ θανάτου λύσις, καὶ φθορᾶς ἀνατροπή. Καὶ γοῦν καὶ ὁ Σωτὴρ ἐπετίμα ποτὲ τοῖς κατοιμώζειν ἐθέλουσι τὸ τοῦ ἀρχισυναγώγου κόριον, «Ἀποχωρεῖτε,» λέγων, «καὶ μὴ κλαίετε οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει.» Ἔκτοπον γὰρ ἀληθῶς τὸ δακρυῤῥοεῖν αὐτοὺς ὡς ἐπὶ τεθνεώσῃ τῇ κόρῃ, τῆς τῶν ὅλων παρούσης ζωῆς, τοῦτ' ἔστι, Χριστοῦ. Εἰ δὲ δεδάκρυκεν ἐπὶ Λαζάρῳ, φιλοστοργίας εἶναί φαμεν τὸ χρῆμα καρπὸν, καὶ τῆς θείας ἡμερότητος τὸ ἐφ' ἡμῖν συμπαθές· ἠλέητο γὰρ ἡ φύσις, θανάτῳ τυραννουμένη, καὶ λύσις αὐτῇ τοῦ πάθους τὸ δάκρυον ἦν. {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Ὅτι δὲ κατ' οὐδένα τρόπον τὸ βέβηλον ἐν Χριστῷ, πλαγίως ὑποσημαίνεται διά γε τοῦ νεκρότητος ἀπανίστασθαι δεῖν τὸν ἀρχιερέα λέγειν, οὐδενὶ τὸ σύμπαν ἐπιφοιτῶντα νεκρῷ, ἠμελημένης ἐν τούτῳ καὶ τῆς εἰς πατέρα τιμῆς καὶ εἰς μητέρα καὶ ἀδελφούς. Θέα γὰρ ὅπως νουνεχὴς ὁ νόμος, καὶ τὴν τοῖς νοήμασι πρέπουσαν εὐκοσμίαν οὐκ ἐν μικρῷ τιθεὶς λόγῳ. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἱερέων ἐδυσωπεῖτο τὴν φύσιν, καὶ τοῖς ἄγαν ἀγχοῦ καὶ ἐξ αἵματος νεκροῖς, τοῖς ἡγιασμένοις ἐδίδου τὸ ἀνεγκλήτως ἐξεῖναι δρᾷν τὰ νενομισμένα. Πεφρόντικε δὲ οὐ σφόδρα τῆς εἰς τὴν σκιὰν ἁμαρτίας. Γεγράφατο γὰρ ἐφ' ἡμῶν τὰ ἐγκλήματα, καὶ εἰς ἀνθρώπους ὁ τύπος, οἷς εἰ καί τι παρέποιτο μολυσμοῦ, τὸ ἀπεικὸς οὐδέν. «Πολλὰ γὰρ πταίομεν ἅπαντες·» καὶ ἠῤῥώστηκεν ἐν ἡμῖν τὸ πλημμελεῖν ἡ φύσις. Ἐπὶ δέ γε τοῦ ἀρχιερέως τοῦ μεγάλου, τοῦτ' ἔστι, Χριστοῦ, 68.817 τετήρηται καθαρῶς καὶ ἐν αὐτῷ τῷ τύπῳ τὸ σέβας, καὶ τὸ ἀκίβδηλον ἐν σκιαῖς, ἵνα μὴ τὸ τῆς ἀληθείας παρασημαίνηται κάλλος, ὡς ἐν ἐκείνοις ἠδικημένον. Ἀβέβηλος γὰρ ὁ Χριστὸς, καὶ οὐκ εἰδὼς ἁμαρτίαν, καὶ παντὸς ἐπέκεινα μολυσμοῦ, μᾶλλον δὲ λαμπρότητός τε καὶ καθαρότητος νοητῆς· εἴσω τε παντὸς ἁγιασμοῦ, κἂν εἰ ἐξίτηλον ἔχων τὸ ἕν γε τούτῳ διαφανὲς, διά τοι τὸ φυσικοῖς ἐρηρεῖσθαι νόμοις, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν. Δηλοῖ δὲ, οἶμαι, τουτὶ, τὸ, «Ἀπὸ τῶν ἁγίων οὐκ ἐξελεύσεται, καὶ οὐ βεβηλώσει τὸ ἡγιασμένον τοῦ Θεοῦ αὐτοῦ.» Γυναῖκα δὲ δεῖν παρθένον πρὸς γάμου φέρεσθαι κοινωνίαν, εὖ μάλα φησὶ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀνάρμοστον ποιεῖται τὴν ἐξωσμένην. Ἢ καὶ εἰς τύπον ἂν εἴη τῆς Ἰουδαίων Συναγωγῆς· ἐκβέβληται γὰρ τῆς πρὸς αὐτὸν ἑνότητος, καὶ περὶ αὐτῆς φησι διὰ τῆς τοῦ προφήτου φωνῆς, ὅτι «Αὐτὴ οὐχ ἡ γυνή μου, καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς.» Ἡρμόσατο δὲ ὁ Παῦλος τὴν ἐξ ἐθνῶν Ἐκκλη-σίαν, παρθένον ἁγνὴν τῷ Χριστῷ, ἄσπιλον δὲ καὶ ἀρυτίδωτον, μᾶλλον δὲ ἁγίαν καὶ ἄμωμον. Οὕτω μὲν οὖν ἐπί τε τῆς ἐξ ἐθνῶν Ἐκκλησίας καὶ τῆς Ἰουδαίων μητρὸς, ἀληθὲς ἂν εἴη τὸ αἴνιγμα, καὶ ὁ τύπος οὐκ ἀκαλλής. Εἰ δὲ δὴ βούλοιτό τις πρὸς τὸν ἐφ' ἑκάστῳ λόγον περιτρέπειν ἀξίως τῶν ἐννοιῶν τὴν δύναμιν, φαμὲν, ὅτι ψυχαῖς βεβήλοις καὶ ἀνοσίαις, ἀσυναφὴς ὁ Χριστός· ταῖς δὲ πανάγνοις καὶ καθαραῖς, οἷάπερ παρθένοις, σύνεστι πνευματικῶς, καὶ ἐγκάρπους ἀποτελεῖ, καὶ γένος αὐτὰς οἰκεῖον ἀποκαλεῖ. «Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου,» φησὶ, «τοῦ ἐν τοῖς οὐρανοῖς, οὗτος καὶ ἀδελφός μου, καὶ ἀδελφή μου, καὶ μήτηρ μού ἐστιν.» {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ὁποίους μὲν οὖν εἶναι χρὴ τοὺς ἐξειλεγμένους εἰς ἱερουργίαν, ἅττα τε ὀρθῶς ἐπείγεσθαι δρᾷν, καὶ ὧν ἂν αὐτοὺς ἀπηλλάχθαι πρέποι, διακεχρησμῴδηκεν ἐναργῶς· ἀλλ' ἦν δή που πρὸς τῷδε σοφὸν, τὸ τίνα χρὴ τρόπον ἱερουργεῖν αὐτοὺς, ἐκφάνδην εἰπεῖν, καὶ καταῤῥυθμίσαι νόμοις, τά τε τῶν θυσιῶν εἴδη καὶ πᾶν τὸ ἱερουργούμενον, ὡς ἂν ἀμωμήτως ἔχοι τὸ πρᾶγμα αὐτοῖς, θυμηρεστάτην τε οὕτω ποιοῖντο τὴν λειτουργίαν. Οὐκοῦν καὶ πρό γε τῶν ἄλλων, «Οὐκ ἀναβήσῃ,» φησὶν, «ἐν ἀναβαθμοῖς ἐπὶ τὸ θυσιαστήριόν μου, ἵνα μὴ ἀποκαλύψῃς τὴν ἀσχημοσύνην σου ἐπ' αὐτό.» Ἀλλὰ πῶς ἂν τυχὸν γένοιτο τοῦτο, ἐρεῖ τις εὐθὺς, καίτοι ἐκ λίνου κατεσκευασμένον τοῖς ἱερεῦσιν ἐδίδου τὸ περισκελὲς, «ἵνα καλύπτῃ,» φησὶν, «ἀσχημοσύνην» χρωτὸς αὐτοῦ; Εἴπερ οὖν ἄρα, καὶ ὑψοῦ διᾴττειν ἐχρῆν, οὐδὲν ἂν ἠδίκησε τὸ χρῆμα αὐτοὺς περιεσταλμένους τὸ ἄσχημον. Ποῖ δὴ οὖν ἄρα τὸν τοῦ νόμου φαμὲν εἶναι σκοπόν; Τοῖς τῶν εἰδώλων προσκυνηταῖς, εὐκλεὲς εἶναί τε καὶ ἀναγκαῖον ἐδόκει, τὸ ὑψοῦ τοῖς τεμένεσιν ἱδρύσθαι βωμούς· καὶ οὐ πολὺς ἦν αὐτοῖς ὁ ἐπί γε τῷ χρῆναι σεμνῶς περιεστάλθαι λόγος. 68.820 Εὐφυῶς οὖν ὁ νόμος, ἀπὸ τοῦ συμβαίνειν αὐτοῖς εἰωθότος, τοὺς θείους ἱερουργοὺς ἀνορθοῖ πρὸς τὸ ἄμεινον, καὶ ὡς ἐκ τύπου σωματικοῦ, πρὸς θεωρίαν ἄγει πνευματικήν. «Οὐ» γὰρ «ἀναβήσῃ,» φησὶν, «ἐν ἀναβαθμοῖς ἐπὶ τὸ θυσιαστήριόν μου, ἵνα μὴ ἀποκαλύψῃς τὴν ἀσχημοσύνην σου ἐπ' αὐτοῦ.» Τοῦτ' ἔστιν, Ὁ θεῖος ἱερουργὸς ὁ πρὸς λειτουργίαν ἡγιασμένος τὴν ἐμὴν, ζητείτω τὰ ταπεινὰ, μὴ ἀναθρωσκέτω πρὸς τὸ ὑψοῦ. Παραιτείσθω τὴν ἀλαζονείαν, ἵνα μὴ ἀσχήμων ὁρῷτο καὶ ἀκαλλής. Ἀκαλλὲς γὰρ καὶ ἄσχημον κομιδῇ καὶ παγχάλεπον ἀῤῥώστημα νοῦ, φρόνημα τὸ ὑπέρογκον. «Ὅσῳ γὰρ μέγας εἶ, φησὶ, τοσούτῳ ταπείνου σεαυτὸν, καὶ ἔναντι Κυρίου εὑρήσεις χάριν.» Γράφει δὲ καὶ ὁ τοῦ Σωτῆρος μαθητής· «Καυχάσθω ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ· ὁ δὲ πλούσιος, ἐν τῇ ταπεινώσει αὐτοῦ.» Παρελεύσεται γὰρ καὶ ἐν ἴσῳ πόαις, καὶ ἀνθέων διοίσει τῶν ἐν ἀγροῖς κατ' οὐδένα τρόπον. {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Ὄγκου δὴ οὖν καὶ ὑπεροψίας ἀπηλλάχθαι δεῖν ἔφη τὸν ἱερουργόν. Τίνα τε οὖν τρόπον ἐννομωτάτην ποιήσαιτο ἂν τὴν ἱερουργίαν καὶ ἀνεπίπληκτον, παντελῶς εἴσῃ τοι σαφῶς· γέγραπται γὰρ ἐν τῷ Λευϊτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Ἔντειλαι Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λέγων· Οὗτος ὁ νόμος τῆς ὁλοκαυτώσεως, αὕτη ἡ ὁλοκαύτωσις ἐπὶ τῆς καύσεως αὐτῆς ἐπὶ τοῦ θυσιαστηρίου ὅλην τὴν νύκτα ἕως τοπρωΐ· καὶ τὸ πῦρ τοῦ θυσιαστηρίου καυθήσεται ἐπ' αὐτοῦ, οὐ σβεσθήσεται· καὶ ἐνδύσεται ὁ ἱερεὺς χιτῶνα λινοῦν, καὶ περισκελὲς λινοῦν ἐνδύσεται περὶ τὸ σῶμα αὐτοῦ, καὶ ἀφελεῖ τὴν κατακάρπωσιν, ἣν ἂν καταναλώσῃ τὸ πῦρ, τὴν ὁλοκαύτωσιν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ παραθήσει αὐτὸ ἐχόμενον τοῦ θυσιαστηρίου, καὶ ἐκδύσεται τὴν στολὴν αὐτοῦ, καὶ ἐνδύσεται στολὴν ἄλλην, καὶ ἐξοίσει τὴν κατακάρπωσιν ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν· καὶ πῦρ ἐπὶ τὸ θυσιαστήριον καυθήσεται ἐπ' αὐτοῦ, καὶ οὐ σβεσθήσεται· καὶ καύσει ἐπ' αὐτοῦ ὁ ἱερεὺς ξύλα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοπρωῒ πρωῒ, καὶ στοιβάσει ἐπ' αὐτοῦ τὴν ὁλοκαύτωσιν, καὶ ἐπιθήσει ἐπ' αὐτὸ τὸ στέαρ τοῦ σωτηρίου καὶ πῦρ διὰ παντὸς καυθήσεται ἐπὶ τὸ θυσιαστήριον, οὐ σβεσθήσεται.» Ἐνδελεχὲς μὲν οὖν καὶ ἀκατάπαυστον κομιδῇ τοῦ θυσιαστηρίου τὸ πῦρ, καὶ οὐκ ὀθνεῖον ἢ ἔξωθεν, ἀλλὰ τὸ αὐτοῦ, τοῦτ' ἔστι, τὸ ἄνωθεν καὶ ἐξ οὐρανοῦ, Καὶ τί δὴ τοῦτό ἐστιν; Ἐπίμεστον γὰρ τῆς τοῦ Θεοῦ δόξης τὸ ἅγιον ἡμῶν θυσιαστήριον. Ἐν εἴδει δὲ τοῦ πυρὸς ἡ θεία τε καὶ ἀπόῤῥητος εἰκάζεται φύσις. Ἔοικε δὲ καὶ μυστικόν τι ὁ λόγος εὖ μάλα παραδηλοῦν. {ΠΑΛΛ.} Τὸ ποῖόν τι φής; {ΚΥΡ.} Ἦ οὐκ αὐτὸν εἶναι τὸν Ἐμμανουὴλ τὸ θεῖον ἐλέγομεν, ὡς ἐν τύπῳ, θυσιαστήριον, δι' οὗ προσίεμεν τῷ Θεῷ καὶ Πατρὶ, λατρεύοντες λογικῶς, καὶ μονονουχὶ καταθύοντες τὸ εὐῶδες ἐν ἀρεταῖς, καὶ τῆς εὐαγγελικῆς πολιτείας τὸν ἁγιασμόν; «Παραστήσατε γὰρ τὰ σώματα ὑμῶν, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.» 68.821 {ΠΑΛΛ.} Ἐλέγομεν· μεμνήσομαι γάρ. {ΚΥΡ.} Θέα δὴ οὖν ὅτι καταφοιτῆσαν ἐξ οὐρανοῦ πῦρ ἐπὶ τὸ θυσιαστήριον, καταλήγειν οὐκ ἐᾷ, οὐδὲ οἷον ἀπανίστασθαι μαρανθὲν, ἀλλ' εἶναί τε διὰ παντὸς αὐτῷ, καὶ ἀπαύστως ἐμφιλοχωρεῖν. Μεμαρτύρηκε δὲ καὶ ὁ Βαπτιστὴς Ἰωάννης περὶ Χριστοῦ· «Ὅτι τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ἐξ οὐρανοῦ ἐν εἴδει περιστερᾶς, καὶ ἔμεινεν ἐπ' αὐτόν. Καὶ ἐγὼ,» φησὶν, «οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν, αὐτός μοι εἶπεν· Ἐφ' ὃν ἂν [ε]ἴδῃς τὸ Πνεῦμα καταβαῖνον ἐξ οὐρανοῦ, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι τῷ ἁγίῳ.» Ἀνετυποῦτο δὴ οὖν ὡς ἐν σκιαῖς ἔτι τὸ Πνεῦμα τὸ ἅγιον, ἐν εἴδει πυρὸς καταβαῖνον ἐπὶ Χριστὸν, καὶ ἀεὶ μένον ἐπ' αὐτόν. Ἀκατεύναστον γὰρ καὶ ἀκατάληκτον παντελῶς τοῦ θυσιαστηρίου τὸ πῦρ. Ὅτι δὲ τῇ τοῦ πυρὸς φύσει τὸ Πνεῦμα παρεικάζεται, πληροφορεῖ σε λέγων τοῖς Ἰουδαίων δήμοις καὶ ὁ μακάριος Βαπτιστής· «Ἐγὼ βαπτίζω ἐν ὕδατι, μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε, ὁ ὀπίσω μου ἐρχόμενος, οὗ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.» Ἔφη δὲ, ὅτι «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί.» Βεβαπτίσμεθα γὰρ οὐκ εἰς πῦρ αἰσθητὸν, ἀλλ' ἐν ἁγίῳ Πνεύματι, πυρὸς δίκην ἐκτήκοντι τὸν ἐν ψυχαῖς μολυσμόν, τοιγάρ τοι καὶ γέγραπται περὶ Χριστοῦ, ὅτι «Ἰδοὺ αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων· καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων, ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον.» Ἄσβεστον οὖν ἄρα τοῦ θυσιαστηρίου τὸ πῦρ. Μεμένηκε γὰρ ἐν Χριστῷ τὸ Πνεῦμα τὸ ἅγιον, καίτοι κατὰ φύσιν ἐνυπάρχον αὐτῷ, καθὸ νοεῖται καὶ ἔστι Θεός. Ἔφη δὲ καὶ νόμος, ἴδιον τοῦ θυσιαστηρίου τὸ πῦρ. Εἰ γὰρ καὶ γέγονεν ἄνθρωπος ὁ Μονογενὴς, καὶ κατά γε τὸ πρέπον τῇ ἀνθρωπότητι σχῆμα, καὶ ἐν μεθέξει Πνεύματος γεγενῆσθαι λέγεται· ἀλλ' οὖν αὐτοῦ τε καὶ ἐν αὐτῷ, καὶ ἴδιον ἀληθῶς τὸ Πνεῦμά ἐστιν. Εἰ δὲ δή τις ἕλοιτο, τὸν ἐπὶ τῷδε λόγον καὶ ἐφ' ἕκαστον ἄγειν τῶν ἡγιασμένων διὰ πίστεως ἐν Χριστῷ, ὡς ἤδη πως αὐτὸν καὶ θεῖον νοεῖσθαι θυσιαστήριον· ἐπωφελὴς ὁ λόγος· πρέπει γὰρ, ἄνδρας τοὺς ἱεροὺς, καὶ Χριστῷ τὴν οἰκείαν ἀναθέντας ζωὴν, θερμοὺς καὶ ζέοντας ὁρᾶσθαι τῷ Πνεύματι, καὶ τοῦτο διὰ παντὸς, οὐκ εἰς ἀπόψυξιν καταφερομένους διὰ κοσμικῶν ἡδονῶν, ἀναζωπυροῦντας δὲ μᾶλλον ἐν ἁγιασμῷ τὸν νοῦν εἰς φιλοθεΐαν καὶ ἔφεσιν ἀρετῆς. Λατρείας γὰρ οὗτος τῆς λογικῆς ὁ τρόπος. Οὗτος μὲν οὖν ὁ τοῦ θυσιαστηρίου λόγος. Προσεπιτάττει δέ τι καὶ τῇ ἱστορίᾳ χρήσιμον. Τὴν γάρ τοι σποδιὰν ἐκκομίζεσθαι δεῖν, οὐ παρ' ἑτέρου, φησὶ, τῶν ἀλλογενῶν, ἤγουν ἐξ ἑτέρας ὄντος φυλῆς, δι' ὑπουργίας δὲ μᾶλλον τῶν ἡγιασμένων. Ἐπιτήρει δὲ, ὅπως οὐδὲν ἡγεῖσθαι βραχὺ τῶν εἰς θείαν ἡκόντων λειτουργίαν ἀφίησιν ὁ νόμος, οὐδὲ οἷον ἱερατικῆς αὐτουργίας ἀνάξιον, ὡς παραχωρεῖν ἑτέρῳ μὴ ἱερῷ· οὐ γάρ τοι βάσιμα τοῖς ἀνάγνοις τὰ ἅγια. Ἀνέπαφον δὲ καὶ αὐτὸ τὸ θεῖόν 68.824 ἐστι θυσιαστήριον. Καὶ ἵν' εἰδεῖεν οἱ ἀπόλεκτοι πρὸς ἱερουργίαν, τοῦ θείου θυσιαστηρίου τὸ ὑπερφυὲς ὡς ἐν ἁγιασμῷ, καὶ αὐτοῖς ἀνάπτει τὸ σέβας τοῖς ἱεροπρεπέσιν ἐσθήμασιν. Ἐσταλμένους γὰρ ἱερῶς ἔξω φαίνεσθαι τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σκηνῆς, οὐκ ἐφίησιν οἰκονομικῶς. Τὰ γάρ τοι, φησὶν, ἡγιασμένα, μὴ τοῖς ἀνάγνοις ὡμιληκότα, καὶ τὸν ἐξ ὀθνείων ἔχοντα μολυσμὸν, τὸ τῆς ἁγίας σκηνῆς ἀδικείτω σέβας. Διὰ τοῦτο τὴν σποδιὰν, συγκομίζειν μὲν ἐφίησιν ἐσταλμένους ἱεροπρεπῶς, μεταμφιέννυσθαι δὲ πρὸς τὸ ἔξω φέροντας, καὶ τῶν ἁγίων ἀποφοιτῶντας τόπων. Κεχρησμῴδηκε δὲ τῷ τοιούτῳ συγγενὲς καὶ διὰ φωνῆς Ἰεζεχιήλ· γράφει δὲ οὕτως· «Καὶ εἶπεν πρός με· Αἱ ἐξέδραι αἱ πρὸς βοῤῥᾶν, καὶ ἐξέδραι πρὸς νότον, αἱ οὖσαι κατὰ πρόσωπον τῶν διαστημάτων, αὗταί εἰσιν αἱ ἐξέδραι τοῦ ἁγίου, ἐν αἷς φάγονται ἐκεῖ οἱ ἱερεῖς, οἱ υἱοὶ Σαδδοὺχ, οἱ ἐγγίζοντες πρὸς Κύριον εἰς τὰ Ἅγια τῶν ἁγίων, καὶ ἐκεῖ θήσουσι τὰ Ἅγια τῶν ἁγίων καὶ τὰς θυσίας, καὶ τὰ ὑπὲρ ἁμαρτίας, καὶ τὰ ὑπὲρ ἀγνοίας· διότι τόπος ἅγιός ἐστιν. Οὐκ εἰσελεύσεταί τις πάρεξ τῶν ἱερέων, οὐκ ἐξελεύσονται ἐκ τῆς αὐλῆς τοῦ ἁγίου εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, ὅπως διὰ παντὸς ἅγιοι ὦσιν οἱ προσάγοντες, καὶ μὴ ἅπτωνται τοῦ στολισμοῦ αὐτῶν, ἐν οἷς λειτουργοῦσιν ἐν αὐτοῖς, διότι ἁγιά ἐστιν· καὶ ἐνδύσονται ἱμάτια ἕτερα ὅταν ἅπτωνται τοῦ λαοῦ.» Ἅγια μὲν οὖν καὶ αὐτὰ τὰ ἐσθήματα τῶν ἱερέων, καὶ ἄμικτα τοῖς πολλοῖς. Ἐν νυκτὶ δὲ καὶ ἡμέρᾳ τὸ ὁλοκαυτούμενον· ἀκατάληκτος γὰρ ἡ εὐωδία Χριστοῦ· καὶ αὐτὸς δὲ τῶν ἁγίων ὁ βίος, εἰ ὡς ἐν τρόπῳ νοοῖτο τῷ καθ' ὁλοκαύτωσιν, ἄπαυστον ἔχει τὴν εὐοσμίαν· Χριστὸν γὰρ εὐωδιάζουσιν, τῆς εὐαγγελικῆς πολιτείας ἱερουργοῦντες Θεῷ τὰ ὡς ἐξ ἔργων αὐχήματα. {ΠΑΛΛ.} Ἀληθὴς ὁ λόγος. {ΚΥΡ.} Τίνα μὲν οὖν τρόπον τὸ τῆς ὁλοκαυτώσεως ἔσται χρῆμα, δι' ὧν ἔφαμεν, οὐκ ἀσυμφανές. Πῶς δ' ἂν γένοιτο καὶ λίαν ὀρθῶς καὶ ὁ τῆς θυσίας τρόπος, ἐπιτάττει λέγων· «Οὗτος ὁ νόμος τῆς θυσίας, ἣν προσάξουσιν αὐτὴν, οἱ υἱοὶ Ἀαρὼν ἔναντι Κυρίου, ἀπέναντι τοῦ θυσιαστηρίου· καὶ ἀφελεῖ ἀπ' αὐτοῦ τῇ δρακὶ ἀπὸ τῆς σεμιδάλεως τῆς θυσίας σὺν τῷ ἐλαίῳ αὐτῆς, καὶ σὺν παντὶ τῷ λιβάνῳ αὐτῆς τὰ ὄντα ἐπὶ τῆς θυσίας. Καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον κάρπωμα ὀσμὴν εὐωδίας, τὸ μνημόσυνον αὐτῆς τῷ Κυρίῳ. Τὸ δὲ καταλειφθὲν ἀπ' αὐτῆς ἔδεται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ. Ἄζυμα βρωθήσεται ἐν τόπῳ ἁγίῳ· ἐν αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου ἔδονται αὐτήν· οὐ πεφθήσεται ἐζυμωμένη· μερίδα αὐτὴν ἔδωκα αὐτοῖς ἀπὸ τῶν καρπωμάτων Κυρίου. Ἅγια ἁγίων ἐστὶν, ὥσπερ τὸ τῆς ἁμαρτίας, καὶ ὥσπερ τὸ τῆς πλημμελείας. Πᾶν ἀρσενικὸν τῶν ἱερέων ἔδονται αὐτήν. Νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἀπὸ τῶν καρπωμάτων Κυρίου· πᾶς ὃς ἐὰν ἅψηται αὐτῶν, ἁγιασθήσεται.» Τὰ μὲν οὖν ὁλοκαυτούμενα, τὴν οἱονείπως ὁλοτελῆ καὶ εἰσάπαν ἀφιέρωσιν τῶν ἐξαιρέτως ἁγίων ὑποδηλοῖ· θυσία δὲ, αὐτὴν ὡς ἐκ 68.825 μέρους ἁγίαν καὶ ὑπὸ Θεῷ ζωήν· ἧς ὑποτύπωσις ἀκριβὴς, ἡ σεμίδαλις διὰ δρακὸς ἱερέως ἀναφερομένη σὺν τῷ ἐλαίῳ καὶ τῷ λιβάνῳ. Τὴν γάρ τοι Θεῷ καθιερουμένην ζωὴν, καὶ εἰ γένοιτο τυχὸν ἐκ μέρους, εὐώδη πάντως εἶναι χρὴ, καὶ λιπαρωτάταις ἐλπίσι πιαινομένην. Ἦ οὐκ εὐοσμότατον εἶναι φὴς πᾶν ἔργον ἡμῶν ἀγαθόν; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Τί δέ; οὐκ ἐπ' ἀγαθαῖς ἐλπίσι πράττεται πρὸς ἡμῶν; {ΠΑΛΛ.} Ναί· ἕψεται γὰρ πάντως τὰ παρὰ Θεοῦ. {ΚΥΡ.} Λίβανος δὴ οὖν, καὶ σεμίδαλις ἐλαιόδευτος, τὴν εὐώδη τε καὶ λιπαρωτάτην ἡμῖν ὑπαινίττεται ζωήν. {ΠΑΛΛ.} Εὖ ἔφης· ἀλλὰ τίς ἂν γένοιτο πρὸς ἡμῶν ἡ ὡς ἐκ μέρους ἁγία ζωή; {ΚΥΡ.} Ἡ μήτε εἰς λῆξιν πολιτείας ἥκουσα τῆς ἁγιοπρεποῦς, μήτε κατὰ τὴν ἄγαν ἀνῳκισμένην ἰοῦσα τρίβον, ὁποία τις ἦν ἡ Ἰωάννου φωνὴ τυχὸν, ἤγουν τῶν ἁγίων ἀποστόλων· μήτε μὴ ἐκπίπτουσα τοῦ εἶναι σεπτὴ, διά γε τὸ ἡττῆσθαι τυχὸν τῆς ἄγαν ὑποκειμένης που. Ἦ οὐ τῶν ἐν κόσμῳ καὶ παιδοποιῶν ὁ βίος, εἰ διαζῆν ἕλοιντο χρηστῶς, μεμέρισταί πως Θεῷ τε καὶ κόσμῳ, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν; {ΠΑΛΛ.} Μεμέρισται· πῶς γὰρ οὔ; {ΚΥΡ.} Τύπος οὖν ἄρα ζωῆς τῆς οὐκ εἰσάπαν ἀνακειμένης Θεῷ, μέσης δὲ ὥσπερ καὶ ἐπ' ἄμφω βλεπούσης, ἡ μερικὴ καθιέρωσις τῆς σεμιδάλεως ἦν, τὸ εὐῶδες ἐχούσης καὶ ἱλαρόν· ἣν καὶ εἰς μνημόσυνον ἔσεσθαί φησιν ὁ νόμος, τοῦ δι' ὑπουργίας ἱερατικῆς προσκεκομικότος. Ἀποκερδανοῦμεν δὲ ἀληθῶς τὸ ἐν μνήμῃ κεῖσθαι τῇ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρὰ Θεῷ, δι' ὧν καρποφοροῦντες εὐωδιάζομεν· μεσιτεύοντος τοῦ Χριστοῦ καὶ Θεῷ προσάγοντος, τὸ[ν] μὲν ὁλοκλήρως ἅγιον, ὡς ἐν τάξει τῶν ὁλοκαυτωμάτων· καὶ μέντοι τὸν μὴ τοιοῦτον εἰσάπαν διὰ τὸ μεμερίσθαι τῷ κόσμῳ, θυσίαν ὥσπερ τινὰ μερικήν. Ἄζυμος δὲ ἡ θυσία. Πρέποι γὰρ ἂν πράττεσθαι καθαρῶς, πᾶν ὅπερ ἂν γένοιτο πρὸς ἡμῶν, εἰς δόξαν Θεοῦ. Καὶ γοῦν ὁ Σωτὴρ, παραιτεῖσθαι προστέταχε, τὸ ἐν μέσαις ἑστῶτα ταῖς ἀγοραῖς ποιεῖσθαι τὰς προσευχὰς, καὶ τὸ ἀμειδὲς ἐν νηστείαις, καὶ τὸ σαλπίζειν ἀκόσμως, κατοικτείροντας ἀδελφούς. Ζύμη γὰρ αὕτη, βεβηλοῦσα τὰ ἱερά. Τὸ δὲ εἰς δόξαν Θεοῦ πραττόμενον, ἐγκλημάτων ἀνθρωπαρεσκείας ἀπηλλάχθαι πρέπει· εἴη γὰρ ἂν οὕτως ἄζυμον ἀληθῶς καὶ ἱερὸν τὸ θῦμα. Μερὶς δὲ καὶ βρῶσις τοῖς ἱερεῦσι, τὸ κατάλοιπον τῆς θυσίας. Ἐσθίεται πᾶν ἀρσενικὸν ἐν τόπῳ ἁγίῳ· τοῦ μὲν ἐν ἁγίῳ τόπῳ πρὸς τῶν ἱερέων δαπανᾶσθαι τὰ ἱερὰ, τοῖς μυστικωτέροις ἡμῶν λόγοις τηροῦντος τὸ σέβας· τοῦ δὲ πᾶν ἄρσεν ἐσθίειν, ὑποδηλοῦντος ἀστείως ὡς ἀκαλλές τι χρῆμα καὶ ἀνόσιον ἀληθῶς ὁ μαλακισμὸς τοῖς ἐξειλεγμένοις παρὰ Θεοῦ. Ἀνίερον γὰρ ἀποτελεῖ, καὶ εὐλογίας ἐξίστησι τῆς πνευματικῆς, καὶ ἀμέτοχον ἀποφαίνει τῶν παρὰ Θεοῦ τοῖς ἁγίοις ἐκνενεμη 68.828 μένων ἀγαθῶν. Ἐμαλακίσθη δὲ καὶ Ἰούδας, ἀπονεύ-σας εἰς αἰσχροκέρδειαν· ἐξ ἀνάνδρου δὲ τοῦτο καὶ ἀγεννοῦς λογισμοῦ· ταύτητοι καὶ ἄγευστος τῶν παρὰ Θεοῦ μεμένηκεν ἀγαθῶν, καὶ ἀμέτοχος παντελῶς τῶν τοῖς ἁγίοις δεδωρημένων. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Καὶ θυσίας μὲν τῆς ἐξ ἀγέλης, οὗτος ὁ νόμος· τρόπῳ γε μὴν ἑτέρῳ, τὴν ἐξ ἱεροῦ προσάγεσθαι γένους προστέταχε λέγων· «Τοῦτο τὸ δῶρον Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ, ὃ προσοίσουσι Κυρίῳ ἐν τῇ ἡμέρᾳ ᾗ ἂν χρίσῃς αὐτὸν, τὸ δέκατον τοῦ οἰφὶ σεμιδάλεως εἰς θυσίαν διαπαντὸς, τὸ ἥμισυ αὐτῆς τοπρωῒ, καὶ τὸ ἥμισυ αὐτῆς τὸ δειλινόν. Ἐπὶ τηγάνου ἐν ἐλαίῳ ποιηθήσεται· πεφυραμένην οἴσει αὐτὴν, ἑλικτὰ, θυσίαν ἐκ κλασμάτων, θυσίαν εἰς ὀσμὴν εὐωδίας Κυρίῳ. Ὁ ἱερεὺς ὁ χριστὸς ὁ ἀντ' αὐτοῦ ἐκ τῶν υἱῶν αὐτοῦ, ποιήσει αὐτήν· νόμος αἰώνιος, ἅπαν ἐπιτελεσθήσεται· καὶ πᾶσα θυσία ἱερέως ὁλόκαυτος ἔσται, καὶ οὐ βρωθήσεται.» Ἄθρει δὴ οὖν, ὦ Παλλάδιε, τοῦ νόμου τὸ ἀκριβὲς, καὶ τὸ ἄγαν ἰσχνὸν εἰς ἀσφάλειαν ἱεροπρεπῆ. Ἐπειδὴ γὰρ τὰς τῶν ἀγελαίων θυσίας οὐχ ὁλοκαυτοῦσθαι δεῖν προστέταχεν, ἅτε δὴ μὴ εἰσάπαν ἁγίαν ἐχόντων ζωὴν, μεμερισμένην δὲ ὥσπερ Θεῷ καὶ κόσμῳ, διιστὰς εἰκότως, καὶ ἐν μοίρᾳ τιθεὶς τῇ ὑπερκειμένῃ τοὺς ἐξειλεγμένους εἰς ἱερουργίαν, ὁλόκαυτον τὴν ὑπὲρ αὐτῶν ποιεῖσθαι δεῖν ἔφη θυσίαν, τὴν προσαγομένην σεμίδαλιν καταθυμιῶντας Θεῷ πρωῒ καὶ τὸ δειλινὸν, τοῦτ' ἔστι, διὰ πάσης ἡμέρας καὶ ἐν παντὶ καιρῷ. Ἅγιος γὰρ ἀεί πώς ἐστι καὶ ἀκατάληκτον ἔχων τὴν εὐωδίαν, δῆλον δὲ ὅτι τὴν πνευματικὴν, ὁ ἐξειλεγμένος, οὐ μεμερισμένος Θεῷ τε καὶ κόσμῳ, κατά τινας, εὐπαρέδρως δὲ καὶ ἀπερισπάστως, καὶ ὅλος ἐξ ὅλου προσκείμενος τῷ ἰδίῳ Δεσπότῃ, καὶ οἱονείπως ἀναβοῶν· «Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός.» Τὸ τοίνυν δέκατον τῆς σεμιδάλεως, ζωῆς ἂν εἴη σημεῖον, εὐωδιαζούσης Θεῷ κατὰ πάντα καιρόν. Ἀλλ' «ἐπὶ τηγάνου,» φησὶ, καὶ μὴν «καὶ ἐλαίῳ πεφυραμένην, καὶ ἐκ κλασμάτων ἀνοίσει αὐτήν·» τοῦ μὲν τηγάνου, καθάπερ ἐγῷμαι, τὸ ἐπώδυνον, τοῦ δὲ πεφυρᾶσθαι τῷ ἐλαίῳ, τὸ δαψιλὲς ἐν ἱλαρότητι, τοῦ δὲ ἐκ κλασμάτων, τὸ οἱονεὶ τρυφερόν τε καὶ εὐδιάθρυπτον τῆς τῶν ἁγίων καρδίας ὑποσημαινόντων ἡμῖν αἰνιγματωδῶς. Ἕψεται γὰρ πάντως τῇ εἰσάπαν καὶ ὁλοκλήρως ἁγίᾳ ζωῇ, τὸ ἐν πόνοις δεῖν εἶναι, καὶ τὸ ἀμφιλαφὲς ἐν ἐλπίδι τῇ παρὰ Θεῷ, καὶ τὸ εὐδιάθρυπτον κομιδῇ· πρέπει γὰρ ἂν ἥκιστά γε τὸ ἀτριβές. Γέγραπται γὰρ, ὅτι «Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.» Πέπηγε δὲ ὡς λίθος, καὶ ὥσπερ ἄκμων ἀνήλατος, ἡ τοῦ διαβόλου καρδία· λέγει γὰρ οὕτω τὸ Γράμμα τὸ ἱερόν. Ἐκτείνεται δὲ καὶ μέχρι παντὸς ὁ νόμος, ταῖς τῶν ἱερατευόντων διαδοχαῖς πληρούμενος· ἕπεσθαι γὰρ δεῖ ταῖς τῶν προλαβόν 68.829 των εὐδοκιμήσεσι, καὶ μιμητὰς ἀναφαίνεσθαι τῆς τῶν πατέρων εὐκλείας, κατ' ἴχνος ἰόντας τῆς ἐκείνων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λατρείας, καὶ τὴν φιλαιτάτην τῷ Θεῷ προσκομίζοντας εὐωδίαν, οὐ μεμερισμένως, ἀλλ' ὁλοτελῶς. Τοῦτο γὰρ, οἶμαι, ἐστὶ τὸ, «Πᾶσα θυσία ἱερέως ὁλόκαυτος ἔσται.» {ΠΑΛΛ.} Ἑαυτοὺς οὖν ἄρα προσοίσομεν, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνακεισόμεθα τῷ Θεῷ, τὴν τῶν ἁγίων ἰχνηλατοῦντες ζωὴν, καὶ ταῖς ἐκείνων ἱερουργίαις ἑπόμενοι, δῆλον δὲ ὅτι ταῖς πνευματικαῖς. {ΚΥΡ.} Πάνυ μὲν οὖν, ὦ Παλλάδιε. Πλὴν ὅτι τὸ ἀποτρίψασθαι μολυσμὸν, καὶ διαδράναι τὴν ἁμαρτίαν, οὐχ ἑτέρως ἂν γένοιτο καὶ ἐνυπάρξαι τισὶν, ἢ ὅτι διὰ μόνου Χριστοῦ, ἐν ᾧ καὶ δι' οὗ πᾶσα κάθαρσις, τὴν σωτήριον ὑπὲρ ἡμῶν ὑπομείναντος σφαγὴν, ἀναμάθοι τις ἂν, καὶ οὐκ εἰς μακρὰν, διά τε τοῦ γείτονος καὶ συνεζευγμένου θεσπίσματος· ἔχει γὰρ ὧδε· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τῷ Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λέγων· Οὗτος ὁ νόμος τῆς ἁμαρτίας· ἐν τόπῳ οὗ σφάξουσι τὸ ὁλοκαύτωμα, σφάξουσι τὰ περὶ τῆς ἁμαρτίας ἔναντι Κυρίου· Ἅγια ἁγίων ἐστίν. Ὁ ἱερεὺς ἀναφέρων αὐτὴν, ἔδεται αὐτήν· ἐν τόπῳ ἁγίῳ βρωθήσεται, ἐν αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου. Πᾶς ὁ ἁπτόμενος τῶν κρεῶν αὐτῆς, ἁγιασθήσεται· καὶ ᾧ ἐὰν ἐπιῤῥαντισθῇ ἀπὸ τοῦ αἵματος αὐτῆς ἐπὶ τὸ ἱμάτιον, ὃς ἐὰν ῥαντισθῇ ἐπ' αὐτὸ, πλυθήσεται ἐν τόπῳ ἁγίῳ· καὶ σκεῦος ὀστράκινον οὗ ἐὰν ἑψηθῇ ἐν αὐτῷ, συντριβήσεται· ἐὰν δὲ ἐν σκεύει χαλκῷ ἑψηθῇ, ἐκτρίψει αὐτὸ, καὶ ἐκκλύσει ὕδατι. Πᾶς ἄρσην ἐν τοῖς ἱερεῦσι φάγεται αὐτά· Ἅγια ἁγίων ἐστὶ Κυρίῳ.» Ἱερεῖον μὲν οὖν τὸ περὶ τῆς ἁμαρτίας εἴη ἂν ἕτερον οὐδὲν παρὰ τὸν Ἐμμανουὴλ, ὅς ἐστιν ἀμνὸς ὁ ἀληθινὸς ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου. Σφάζεται δὲ ἐν τόπῳ τοῦ ὁλοκαυτώματος· οὐ γάρ τοι μερικῶς τε καὶ καθ' ἡμᾶς ἅγιος ὁ Χριστὸς (οὐ γὰρ ἐποίησεν ἁμαρτίαν), εὐώδης δὲ ὅλος καὶ ἱερὸς, καὶ ἁγιασμοῦ τοῖς ἄλλοις ἅπασι χορηγός. Εἰ γὰρ καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη καὶ τοῖς κατακεκριμένοις ἐναρίθμιος γέγονεν οἰκονομικῶς· ἀλλ' οἶδεν ἅγιον ὄντα καὶ ἱερὸν τὸν τοῦ Υἱοῦ θάνατον ὁ Πατήρ. Ταύτητοί φησιν· «Ἐν τόπῳ οὗ σφάξουσι τὸ ὁλο-καύτωμα, σφάξουσι καὶ τὸ περὶ ἁμαρτίας· Ἅγια ἁγίων ἐστίν.» Ὥσπερ γὰρ Θεὸς θεῶν ἐστιν ὁ Υἱὸς, οὕτω καὶ ἁγίων Ἅγιος, ὅλην αὐτὸς ἁγιάζων τὴν κτίσιν τῷ ἰδίῳ πνεύματι, καθὸ πέφυκεν ἐκ Πατρὸς, καὶ ἔστι Θεὸς ἀληθῶς. Ἔδεται δὲ τὴν θυσίαν, φησὶν, ὁ προσκομίζων αὐτὴν ἱερεύς. Ἕκαστος γὰρ, οἶμαι, τῶν εἰς λειτουργίαν τὴν ἱερὰν ἡγμένων, τοὺς καρποὺς τῶν ἰδίων ἀποτρυγήσει πόνων, καὶ τῆς ἑαυτοῦ λειτουργίας ἐκθεριεῖ τὴν ἀντίδοσιν. Ἐσθίεται δὲ τῆς θυσίας τὸ λείψανον ἐν ἁγίοις τόποις, καὶ ἐν αὐλῇ τῆς ἁγίας σκηνῆς. Προσάγεται γὰρ ἐν ἐκκλησίαις τὰ μυστικὰ, καὶ τῆς ἁγίας τραπέζης Χριστοῦ τὸ ἀπόλεκτον ἐν αὐταῖς ἀξιοῦται γένος. Ἔνθα δ' ἂν ἱερατεύει νόμιμος ἱερεὺς, ἅγιος ἔσται τόπος. Ἁγιάζει δὲ τὸν ἁπτόμενον ἡ θυσία, καὶ ὁ τοῦ αἵματος ῥαντισμός. Προσ 68.832 ἵεμεν γὰρ τοῖς ἁγίοις, οὐχ ἑτέρου του χάριν, ἢ ὥστε μεταλαχεῖν τοῦ ἁγίου Χριστοῦ διά τε τῆς ἀποῤῥήτου καὶ πνευματικῆς θυσίας. Διαγνίζεται δὲ καὶ τὰ ταῖς θυσίαις ὑπηρετοῦντα σκεύη, ὡς ἂν μὴ ἑτέρῳ γένοιτό τινι, μηδὲ ταῖς τῶν ἀνθρώπων ὑποφέροιτο χρείαις τὰ τοῖς ἱεροῖς λελειτουργηκότα. Τετήρηται δὲ ὁ νόμος, καὶ ἐν ἐκκλησίαις σώζεται. Ἀνδριζομένοις δὲ ὅτι τὸ εὐλογεῖσθαι πρέπει, σαφηνιεῖ πάλιν ὁ νόμος εἰπών· «Πᾶν ἄρσεν ἐν τοῖς ἱερεῦσι φάγεται αὐτά.» {ΠΑΛΛ.} Σαφὴς ὁ λόγος. {ΚΥΡ.} Θεσμοθετεῖ δὲ πρὸς τούτοις, καὶ ὅπως ἂν γένοιτο καλῶς τῆς θυσίας ὁ τρόπος, τῆς ὑπὲρ ἁμαρτίας, φημί· καὶ τίνα μὲν ἐξ αὐτῆς, τὰ τοῖς λειτουργοῦσιν ἐδώδιμα, τίνα δὲ αὖ, τὰ εἰς ὀσμὴν εὐωδίας ἐξῃρημένα. Γέγραπται γὰρ οὕτω· «Καὶ πάντα, φησὶ, τὰ περὶ τῆς ἁμαρτίας, ὧν ἂν εἰσενεχθῇ ἀπὸ τοῦ αἵματος αὐτῶν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἐξιλάσασθαι ἐν τόπῳ ἁγίῳ, οὐ βρωθήσεται, ἐν πυρὶ κατακαυθήσεται. Καὶ οὗτος ὁ νόμος τοῦ κριοῦ τοῦ περὶ τῆς πλημμελείας, Ἅγια ἁγίων ἐστίν· ἐν τόπῳ οὗ σφάξουσι τὸ ὁλοκαύτωμα, σφάξουσι τὸν κριὸν περὶ τῆς πλημμελείας ἔναντι Κυρίου. Καὶ τὸ αἷμα προσχεεῖ ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου κύκλῳ· καὶ πᾶν τὸ στέαρ αὐτοῦ προσοίσει ἀπ' αὐτοῦ, καὶ τὴν ὀσφὺν, καὶ πᾶν τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐνδόσθια, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνδοσθίων· καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς, περιελεῖ αὐτὰ, καὶ ἀνοίσει αὐτὰ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον κάρπωμα τῷ Κυρίῳ· περὶ πλημμελείας ἐστί. Πᾶς ἄρσην ἐκ τῶν ἱερέων ἔδεται αὐτὰ, ἐν τόπῳ ἁγίῳ ἔδονται αὐτά. Ἅγια ἁγίων ἐστίν. Ὥσπερ τὸ περὶ τῆς ἁμαρτίας, οὕτω καὶ τὸ περὶ τῆς πλημμελείας· νόμος εἷς αὐτῶν ὁ ἱερεὺς ὅστις ἐξιλάσεται ἐν αὐτῷ, αὐτῷ ἔσται.» Ἀποφάσκει μὲν γὰρ δεῖν ποιεῖσθαι τροφὰς τὰ τῶν ἱερείων ἐνδόσθια. Χρὴ γὰρ μόνῳ, φησὶν, ἀνακεῖσθαι Θεῷ, καὶ αὐτῷ προσάγεσθαι· τουτὶ γὰρ οἶμαι καταδηλοῦν τὸ, «ἐν πυρὶ κατακαυθήσεται,» τοῦτ' ἔστιν, ἀνακεῖσθαι τὸ ἐν μόνῃ ἐκνενεμήσθω σαφῶς τῇ θείᾳ τε καὶ ὑπὲρ πάντα φύσει, ἧς εἰς τύπον τὸ πῦρ. Καταθυομένου δὲ τοῦ κριοῦ τῆς πλημμελείας, προσχεῖται τὸ αἷμα τῇ βάσει τοῦ θυσιαστηρίου· ἅγιος γὰρ καὶ ἱερὸς ὁ Χριστοῦ θάνατος, καὶ μὴν καὶ εὐώδης. Ἀναφέρεται γὰρ τὰ ἐνδόσθια, πιμελὴ, καὶ νεφροὶ, καὶ λοβὸς τοῦ ἥπατος. Εἶεν δ' ἂν, οἶμαι, ταυτὶ, καθὰ καὶ ἐν ἑτέροις ἔφην, εἰς ἀρετῆς τύπον τῆς οὐ μιᾶς, ἀλλ' ὡς ἐν εἴδει πολλῶν. Πλεῖστοι γὰρ ὅσοι τῆς ἀρετῆς οἱ τρόποι· δεδικαιώμεθα δὴ οὖν ἐν Χριστῷ, τὸν ὑπὲρ ἡμῶν ἀνατλάντι θάνατον, καὶ ἀναθέντι ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί· ὅτι δὲ οὐκ ἀμισθὶ λειτουργήσομεν τῷ Θεῷ, σαφηνίζει, λέγων εὐθύς τε καὶ ἐφεξῆς· «Καὶ ὁ ἱερεὺς ὁ προσάγων ὁλοκαυτώματα ἀνθρώπου, τὸ δέρμα τῆς ὁλοκαυτώσεως ἧς αὐτὸς προσφέρει, αὐτῷ ἔσται, καὶ πᾶσα θυσία ἥτις ποιηθήσεται ἐν τῷ κλιβάνῳ. Καὶ πᾶσα ἥτις ποιηθήσεται 68.833 ἐπ' ἐσχάρας, ἢ ἐπὶ τηγάνου, τοῦ ἱερέως τοῦ προσφέροντος αὐτὴν, αὐτοῦ ἔσται. Καὶ πᾶσα θυσία ἀναπεποιημένη ἐν ἐλαίῳ, καὶ μὴ ἀναπεποιημένη, πᾶσι τοῖς υἱοῖς Ἀαρὼν ἔσται· ἑκάστῳ τὸ ἴσον.» Σώζεται καὶ οὗτος ἐν ἐκκλησίαις ὁ νόμος, καὶ βραβεύει τοῖς ἱερουργοῖς τὴν ἰσότητα, διανέμων ἑκάστῳ τῆς ἀναιμάκτου θυσίας ἀπαραλλάκτως τὰ γέρα. Καὶ τοῦτο εἰδὼς ὁ Παῦλος γράφει· «Οὕτω καὶ ὁ Κύριος προσέταξε, τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἐκ τοῦ θυσιαστηρίου ζῆν.» Καὶ οἱ προσφέροντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσὶ, καθὰ πάλιν αὐτός πού φησιν. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Καταῤῥυθμίζει δὲ αὖ καὶ τῆς αἰνέσεως τὴν θυσίαν, καὶ ὅπως ἂν γένοιτο παρεγγυᾷ, λέγων· «Οὗτος ὁ νόμος θυσίας σωτηρίου, ἣν προσοίσουσι Κυρίῳ· Ἐὰν μὲν περὶ αἰνέσεως προσφέρῃ αὐτὴν, καὶ προσοίσει ἐπὶ τῆς θυσίας τῆς αἰνέσεως, ἄρτους ἓξ σεμιδάλεως ἀναπεποιημένης ἐλαίῳ, καὶ λάγανα ἄζυμα διακεχρισμένα ἐν ἐλαίῳ, καὶ σεμίδαλιν πεφυραμένην ἐν ἐλαίῳ. Ἐπ' ἄρτοις ζυμίταις προσοίσει τὰ δῶρα αὐτοῦ ἐπὶ θυσίᾳ αἰνέσεως σωτηρίου· καὶ προσάξει ἓν ἀπὸ πάντων τῶν δώρων αὐτοῦ, ἀφαίρεμα Κυρίῳ. Τῷ ἱερεῖ τῷ προσχέοντι τὸ αἷμα τοῦ σωτηρίου, αὐτῷ ἔσται· καὶ τὰ κρέα θυσίας αἰνέσεως σωτηρίου, αὐτῷ ἔσται. Καὶ ἐν ᾗ ἡμέρᾳ δωρεῖται, βρωθήσεται· οὐ καταλείψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ.» Ἐπ' ἄρτοις ζυμίταις τῆς αἰνέσεως τὴν θυσίαν ποιεῖσθαι προστέταχε· καίτοι σαφῶς καὶ ἐναργῶς ἐν ἑτέροις εἰπὼν, ὅτι «Πᾶσαν ζύμην καὶ πᾶν μέλι οὐ προσοίσετε Κυρίῳ τῷ Θεῷ ὑμῶν. Δῶρον ἀπαρχῆς προσοίσετε αὐτὰ τῷ Κυρίῳ· ἐπὶ δὲ τὸ θυσιαστήριον οὐκ ἀναθήσεται εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.» Ἆρ' οὖν, ὦ Παλλάδιε, τὸ περίεργον ἐν τούτοις, οὐκ ὀνησιφόρον εἶναι φής; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Τίς οὖν ἄρα ἔσται τῆς οἰκονομίας ὁ τρόπος, φέρε δὴ λέγωμεν, πολυπραγμονοῦντες ὡς ἔνι, καὶ τρίβον ἱέντες τὴν κεκρυμμένην. Νομικώτατα τοίνυν καὶ ὁ θεσπέσιος Δαβὶδ τὴν πνευματικὴν ἀνακρούων λύραν, «Ποτήριον,» φησὶ, «σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι·» τῆς αἰνέσεως τὴν θυσίαν, ποτήριον σωτηρίου διαῤῥήδην ἀποκαλῶν. Προσκομίζομεν δὲ καὶ ἡμεῖς τὴν αἴνεσιν κατὰ πληθὺν μὲν ἐν ἐκκλησίαις, εἰς ἑνότητα πνεύματος, καὶ ὡς εἰς ἓν σῶμα καὶ ψυχὴν μίαν συνενηνεγμένοι διὰ τῆς πίστεως· γέγραπται γὰρ, ὅτι «Τοῦ δὲ πλήθους τῶν πεπιστευκότων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία.» Ποιούμεθα δὲ τὰς δοξολογίας καὶ καθ' ἕνα πολλάκις ἠρεμοῦντες οἶκον, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν νυκτί· καὶ τὸ χρῆμά ἐστι τοῖς ἐπιεικέσιν ἐν τριβῇ. Ἦ οὐκ ἀληθὲς ὅ φημι; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Ἀλλ' εἴτ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖν ἐν ἐκκλησίαις κατὰ πληθὺν προσάγοιτο πρὸς ἡμῶν τὸ θῦμα, εἴτ' οὖν ἐν ἑτέροις πράττοιτο τόποις, καὶ καθ' ἕνα τυχὸν, ἢ καὶ κατὰ δύο που, καὶ τρεῖς, καὶ πλείονας ἔτι, ἀδιάκριτος ἡ παράστασις τῶν ὑμνολογεῖν εἰωθότων, καὶ εἰς τοῦτο συνδεδραμηκότων· ὁμοῦ γὰρ τοῖς ἤδη κεκαθαρμένοις διὰ τοῦ ἁγίου βαπτίσματος, συναναφέρει τὸ θῦμα· 68.836 καὶ ὁ κατηχούμενος ἔτι, καὶ τοῖς τελείοις συναναθεὶς τὴν αἴνεσιν, τῶν ἔτι μυστικωτέρων ἀποφοιτᾷ, καὶ θυσίας εἴργεται τῆς ἐπὶ Χριστῷ. Ταύτῃτοι καλῶς ὁ νόμος προανεφώνει τὴν οἰκονομίαν, καὶ τῆς αἰνέσεως τὴν θυσίαν, ἐπ' ἄρτοις ζυμίταις, καὶ ἐν ἀζύμοις λαγάνοις ποιεῖσθαι προστέταχεν. Ἑκάστου, καθάπερ ἐγῷμαι, τῶν ὠνομασμένων, ζωῆς εἶδος ὑποσημαίνοντος· ἄρτος μὲν γὰρ ὁ ἐζυμωμένος, βίου καὶ ζωῆς ἔσται τύπος, τῆς οὔπω κεκαθαρμένης διὰ τοῦ ἁγίου βαπτίσματος, οὔτε μὴν εἰσάπαν ἀπηλλαγμένης κοσμικῆς ἀκαθαρσίας· λάγανον δὲ ἄζυμον, τῆς ἤδη διεσμηγμένης ἐν Χριστῷ διὰ πίστεως, τῆς τῶν τελείων, φημὶ, οἷς καὶ ὁ θεσπέσιος Παῦλος προσεφώνει, λέγων· «Ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.» Καὶ πάλιν· «Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι.» {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Σεμίδαλις δὲ πρὸς τούτοις οὔπω πρὸς ἑνότητα συνενηνεγμένη, καθὰ καὶ ἐν ἄρτῳ καὶ ἐν λαγάνῳ τυχὸν, μένουσα δὲ ὥσπερ ἐν κόκκοις ἔτι, τὸ ὡς ἓν καθ' ἕκαστον καὶ καθ' ἕνα τῶν προσκομιζόντων τὴν αἴνεσιν ὑπαινίττεται· δεκτοὶ γάρ ἐσμεν τῷ Θεῷ, ποιούμενοι τὰς δοξολογίας, καὶ ἀνὰ μέρος ἕκαστος, καὶ ὡς ἓν οἱ πάντες κατὰ πληθύν. Ἐπιχεῖται δὲ τὸ ἔλαιον τῇ τῆς αἰνέσεως θυσίᾳ, τὸ ἱλαρὸν τοῦ πράγματος ὑποσημαῖνον, καὶ ὅτι πάντη τε καὶ πάντως ἕψεται παρὰ Θεῷ τὸ ἐλεεῖσθαι δεῖν τοῖς προσάγειν εἰωθόσιν αὐτήν. «Θῦσον γὰρ, φησὶ, τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου· καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.» Γράφει δέ που καὶ ὁ Χριστοῦ μαθητής· «Ἀθυμεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ; ψαλλέτω.» Οὐκοῦν ἐν ἄρτοις ἐζυμωμένοις, καὶ ἐν ἀζύμοις λαγάνοις, καὶ ἐν κεγχρεμίσιν ἔτι σεμιδάλεως ἐκπράττεσθαι δεῖν τῆς αἰνέσεως τὴν θυσίαν, διετύπου σαφῶς· ἑνὸς δὲ ἀφ' ἑκάστου προσαγομένου, καὶ ὡς ἐν δρακὶ μιᾷ τῆς σεμιδάλεως, σφαζομένου τε προβάτου, καὶ τῶν ἐντοσθίων θυομένων κατὰ τὸν νόμον, ἐδώδιμα τὰ λοιπὰ τοῖς ἱερουργεῖν ἐπιτεταγμένοις, οὐκ ἀκερδῆ τὴν ἱερωσύνην καταδεικνύντος τοῦ νόμου· προσεπιτάττει λέγων· «Ἐν ᾗ ἡμέρᾳ δωρεῖται, βρωθήσεται· οὐ καταλείψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ.» Δι' οὗ δὴ πάλιν ἔπεισι νοεῖν ἐκεῖνό που τάχα· παρελάσαντος γὰρ τοῦ καιροῦ, καὶ παρῳχηκότος τοῦ αἰῶνος τοῦ ἐνεστηκότος καθάπερ ἡμέρας, δοξολογίας ἡμῖν ἐπινοηθήσεται παρ' οὓς ἴσμεν τρόπος ἕτερος. Ὥσπερ γὰρ τῆς ἐπὶ τῷ Φαραὼ δυναστείας ἐλευθερωθέντες ἡδόμενοι ἐν νόμῳ ἔλεγον, «Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν.» Λαμπρότερα δὲ ἀσυγκρίτως καὶ ὑπερκείμενα προαναθεωροῦντες ἐν πνεύματι τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὰ κατορθώματα, διακεκράγασι τῶν ἁγίων τινές· «Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν·» τοῦτο δὲ ἦν, «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ,» σκυλεύσας τὸν ᾅδην, «καὶ εἰπὼν 68.837 τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, Ἀνακαλύφθητε·» τὸν αὐτὸν, οἶμαι, τρόπον, κατηργημένου θανάτου, καὶ τῆς ἁμαρτίας λελυμένης εἰσάπαν, αἰνέσεως ἔσται τρόπος ὁ τῷ καιρῷ πρέπων· ἐπὶ μείζοσι γὰρ ὑμνήσομεν· καὶ τὰ ὑπὲρ νοῦν καὶ λόγον πλουτήσαντες ἀγαθὰ, λαμπροτέραις εὐφημίαις τὸν ἁπάντων ἡμῖν δοτῆρα τῶν ἀγαθῶν Χριστὸν συστεφανώσομεν τῷ Θεῷ καὶ Πατρί. «Εἴτε γὰρ προφητεῖαι καταργηθήσονται,» φησὶν, «εἴτε γνῶσις παύσεται· Καὶ ἄρτι μὲν ἐκ μέρους γινώσκομεν· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται.» Καὶ μὴν καὶ αὐτὸς ἔφη που Χριστός· «Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν. Ἀλλ' ἔρχεται ὥρα ὅτε οὔτε ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ Πατρὸς ἀναγγελῶ ὑμῖν.» Ὡς οὖν ἐσομένης ἐν ἡμῖν κατὰ καιροὺς τελειοτέρας γνώσεως, ὑψηλότερον ἢ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νῦν καὶ ὑμνήσομεν. {ΠΑΛΛ.} Πιθανὸς ὁ λόγος. {ΚΥΡ.} Ἑκάστῃ δὴ οὖν θυσίᾳ τὸν αὐτῇ πρέποντα θεσμοθετήσας ὅρον, καὶ ὅπως ἂν γένοιτο, διειπὼν εὖ μάλα, κοινωνὸν εὐθὺς τοῦ θυσιαστηρίου καθίστησι τὸν ἱερουργόν. Γέγραπται γὰρ ὡδί· «Καὶ εἶπε Κύριος πρὸς Ἀαρὼν, λέγων· Σὺ καὶ οἱ υἱοί σου, καὶ ὁ οἶκος πατριᾶς σου, λήψεσθε τὰς ἀπαρχὰς τῶν ἁγίων· καὶ σὺ καὶ οἱ υἱοί σου λήψεσθε τὰς ἁμαρτίας τῆς ἱερατείας ὑμῶν.» Προσεπαγαγὼν δὲ τούτοις, ὅτι χρὴ τῶν ἱερῶν ἔχεσθαι σπουδασμάτων αὐτοὺς διεγηγερμένῳ καὶ νήφοντι νῷ, «Καὶ ἰδοὺ ἐγὼ,» φησὶ, «δέδωκα ὑμῖν τὴν διατήρησιν τῶν ἀπαρχῶν ἀπὸ πάντων τῶν ἡγιασμένων μοι παρὰ τῶν υἱῶν Ἰσραήλ· σοὶ δέδωκα αὐτὰ εἰς γέρας, καὶ τοῖς υἱοῖς σου μετὰ σὲ, νόμιμον αἰώνιον· καὶ τοῦτο ἔστω ὑμῖν ἀπὸ τῶν ἡγιασμένων ἁγίων τῶν καρπωμάτων, ἀπὸ πάντων τῶν δώρων αὐτῶν, καὶ ἀπὸ πάντων τῶν θυσιασμάτων αὐτῶν, καὶ ἀπὸ πάσης πλημμελείας αὐτῶν, καὶ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν, ὅσα ἀποδιδόασί μοι ἀπὸ πάντων τῶν ἁγίων, σοὶ ἔσται καὶ τοῖς υἱοῖς σου. Ἐν τῷ Ἁγίῳ τῶν ἁγίων φάγεσθε αὐτά· πᾶν ἀρσενικὸν φάγεσθε αὐτὰ, σὺ καὶ οἱ υἱοί σου. Ἅγια ἔσται σοι. Καὶ τοῦτο ἔσται ὑμῖν ἀπαρχῶν δομάτων αὐτῶν, ἀπὸ πάντων τῶν ἐπιθεμάτων τῶν υἱῶν Ἰσραήλ. Σοὶ δέδωκα αὐτὰ καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι σου μετὰ σοῦ, νόμιμον αἰώνιον· πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδεται αὐτά. Πᾶσα ἀπαρχὴ ἐλαίου, καὶ πᾶσα ἀπαρχὴ οἴνου, καὶ σίτου, ἀπαρχὴ αὐτῶν ὅσα ἂν δῶσι τῷ Κυρίῳ, σοὶ δέδωκα αὐτά. Τὰ πρωτογεννήματα πάντα ὅσα ἐν τῇ γῇ αὐτῶν, ὅσα ἂν ἐνέγκωσι Κυρίῳ, σοὶ ἔσται. Πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδεται αὐτά. Πᾶν ἀνατεθεματισμένον ἐν υἱοῖς Ἰσραὴλ, σοὶ ἔσται, καὶ πᾶν διανοῖγον μήτραν ἀπὸ πάσης σαρκὸς, ὅσα προσφέρουσι Κυρίῳ, ἀπὸ ἀνθρώπου ἕως κτήνους, σοὶ ἔσται. Ἀλλ' ἢ λύτροις λυτρωθήσεται τὰ πρωτότοκα τῶν ἀνθρώπων, καὶ τὰ πρωτότοκα τῶν κτηνῶν τῶν ἀκαθάρτων λυτρώσῃ· καὶ ἡ λύτρωσις αὐτοῦ, ἀπὸ μηνιαίου· ἡ συντίμησις πέντε σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, εἴκοσι ὀβολοί εἰσι· πλὴν πρωτότοκα 68.840 μόσχων καὶ πρωτότοκα προβάτων, καὶ πρωτότοκα αἰγῶν οὐ λυτρώσῃ· ἅγιά ἐστι· καὶ τὸ αἷμα αὐτῶν προσχεεῖς πρὸς τὸ θυσιαστήριον, καὶ τὸ στέαρ ἀνοίσεις κάρπωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ. Καὶ τὰ κρέα ἔσται σοὶ, καθὰ καὶ τὸ στηθύνιον τοῦ ἐπιθέματος· καὶ κατὰ τὸν βραχίονα τὸν δεξιὸν, σοὶ ἔσται. Πᾶν ἀφαίρεμα τῶν ἁγίων, ὅσα ἐὰν ἀφέλωσιν οἱ υἱοὶ Ἰσραὴλ Κυρίῳ, δέδωκα σοὶ καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι σου μετὰ σοῦ, νόμιμον αἰώνιον· διαθήκη ἁλὸς αἰωνίου ἐστὶν ἔναντι Κυρίου, σοὶ καὶ τῷ σπέρματί σου μετὰ σέ.» Συνίης οὖν ἄρα κἀντεῦθεν, οἶμαί που, καὶ μάλα σαφῶς, ὅτι πᾶν εἶδος θυσίας καὶ προσαγωγῆς ἐκνενέμηκεν ἐναργῶς τῷ ἱερῷ τε καὶ ἀπολέκτῳ γένει, καὶ τὰ ἀπὸ πάσης πλημμελείας, καὶ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν, τοῦτ' ἔστι, τὰ ὑπὲρ πάσης πλημμελείας καὶ ἁμαρτίας θύματα. Ὄνομα γὰρ τοῖς ὑπὲρ ἁμαρτίας θύμασιν, ἁμαρτία. Τοιγάρτοι καὶ Παῦλος ἡμῖν ὁ σοφὸς, νομικὴν ἐπὶ Χριστῷ τὴν λέξιν ἐπετίθει λέγων· «Δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ· τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε.» Τέθυται γὰρ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφὰς, ὡς ἀρνίον ἄκακον ὁ Υἱός. Ὅτι δὲ ἁμαρτία τοῖς ὑπὲρ ἡμῶν ἁμαρτίας θύμασιν ὄνομα τέθειται παρὰ τοῦ νόμου, σαφηνιεῖ λέγων διὰ τοῦ προφήτου Θεὸς περὶ τῶν ἱερουργῶν· «Ἁμαρτίας λαοῦ μου φάγονται·» τοῦτ' ἔστι, τὰ ὑπὲρ ἁμαρτιῶν τοῦ λαοῦ μου, βρῶσις ἔσται τοῖς ἱερεῦσιν. Ἀπονέμει τοίνυν αὐτοῖς ἁπάσης θυσίας λείψανον, ἐδώδιμά τε ποιεῖσθαι προστάττει, πλὴν ἐν ἁγίῳ τόπῳ, φησὶ, καὶ ὑπὸ παντὸς ἀρσενικοῦ. Καὶ τίς ὁ ἐπὶ τῷδε λόγος, εἴρηται πρὸς ἡμῶν. Ἐν δὴ τοῖς ἤδη παρῳχηκόσιν, ἐλαίου δὲ ἀπαρχὴ, σίτου τε καὶ οἴνου, καὶ τῶν πρωτοτόκων αἱ ἀπολυτρώσεις, καὶ μέν τοι τὰ ἀναθήματα μόνοις οὐκέτι τοῖς ἀρσενικοῖς, οὐδὲ ἐν αὐλῇ τῇ ἁγία βρώσιμα, ἀλλ' ἐν οἴκῳ λοιπὸν ἱερέως, καὶ αὐταῖς θυγατράσιν ἐγκείμενα πρὸς ἀπόλαυσιν, καὶ παντὶ γνωρίμῳ καὶ οἰκειοτάτῳ. Καὶ ἀναγκαία πρὸς ἐπιτήρησι ἡ διαστολή· τὰ μὲν γὰρ τῶν θυσιῶν λείψανα, μόνου ἂν πρέποι τοῖς ἡγιασμένοις εἰς χρῆσιν, καὶ οὐχ ὡς βρῶσις ἔσται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κοινή· καὶ τόπος ἅγιος, ὁ πρέπων αὐτοῖς. Τὰ δὲ ὅσα περίεστιν, ἐν δωροφορίας τάξει προσενηνεγμένα, παραλαβὼν, δεύτερόν πως, φησὶν, ἐν ἑαυτοῖς ἔχει λόγον· καὶ παντὶ προσκείσεται τῷ οἴκῳ τοῖς ἱερουργοῖς, εἰ μόνον εἴη καθαρὸς, τοῦτ' ἔστιν, ἀβέβηλος· κατὰ μὲν τὸν νόμον, εἰ μὴ ἀπερίτμητος, εἰ μὴ ἀλλογενὴς, εἰ μὴ λεπρὸς, εἰ μὴ γονοῤῥυής· κατὰ δέ γε τὸν τοῦ νέου Γράμματος σκοπὸν καὶ ἀσφάλειαν ἐκκλησιαστικὴν, εἰ μὴ ἀνίερός τε καὶ ἄπιστος, εἰ εὐσεβὴς καὶ φιλόθεος. Πρέποι γὰρ ἂν ὅτι μάλιστά γε τοῖς εἰς θείαν ἱερουργίαν ἡγμένοις, κολλᾶσθαι φιλεῖν τοὺς οἵπερ ἂν εἶεν ἀγαθοί τε τὴν ἕξιν, καὶ φιλοθεΐας ἔμπλεω τὴν διάνοιαν ἔχοντες. Προστιθεὶς δὲ τούτοις, ὅτι «Διαθήκη ἁλὸς αἰωνίου ἐστὶν ἔναντι Κυρίου, σοὶ καὶ τῷ σπέρματί σου μετὰ σοῦ,» τηρεῖσθαί που πάντως ἐκεῖνο προστέταχεν, ὃ καὶ ἐν ἑτέροις ἔφη· «Οὐ διαλείψει ἅλας διαθήκης Κυρίου ἀπὸ θυσιασμάτων ὑμῶν. Ἐπὶ παντὶ δώρῳ ὑμῶν προσ 68.841 οίσετε Κυρίῳ τῷ Θεῷ ὑμῶν ἅλα.» Κατεπάττετο δὲ ἁλσὶν ἡ θυσία, τοῦ τύπου σημαίνοντος τὸ ἐμφρόνως χρῆναι καθιεροῦσθαι Θεῷ, καὶ οἱονεὶ ποιεῖσθαι νοστιμωτάτην αὐτῷ τὴν πρόσοδον. Οὐ γὰρ βρωθήσεται ἄρτος ἄνευ ἅλατος, κατὰ τὸ γεγραμμένον. «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς,» τοῖς ἁγίοις ἀποστόλοις προσπεφώνηκεν ὁ Χριστός. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Νόμοι μὲν οὖν οἵδε εἰσὶ, καθ' οὓς ἱερᾶσθαι πρέπει τοὺς ἡγιασμένους. Ὅτι δὲ τοὺς ἐξειλεγμένους, ἀρίστην ἐφ' ἑαυτοῖς λαχόντας τὴν ψῆφον, ἀποφοιτᾷν ἀναγκαῖον καὶ βεβήλου συνουσίας, καὶ μερίμνης κοσμικῆς, ἐφ' ἧς ἂν γένοιτο καὶ τὸν εὖ βεβηκότα καταμεθύσκεσθαι νοῦν, καὶ μονονουχὶ κατασείεσθαι πρὸς ἐκτόπους ἡδονὰς, διασαφηνιεῖ λέγων ἐν τῷ  Λευϊτικῷ· «Οἶνον καὶ σίκερα οὐ πίεσθε, σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ, ἡνίκα ἂν εἰσπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προπορευομένων ὑμῶν εἰς τὸ θυσιαστήριον καὶ οὐ μὴ ἀποθάνητε· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν διαστεῖλαι ἀναμέσον τῶν ἁγίων καὶ τῶν βεβήλων, καὶ ἀναμέσον τῶν ἀκαθάρτων καὶ τῶν καθαρῶν. Καὶ συμβιβάσεις τοῖς υἱοῖς Ἰσραὴλ ἅπαντα τὰ νόμιμα ἃ ἐλάλησε Κύριος πρὸς αὐτοὺς διὰ χειρὸς Μωσῆ.» Ἄθρει δὴ οὖν τὸ ἐγρηγορέναι δεῖν ἀναγκαῖον αὐτοῖς, καὶ θανάτου πρόξενον, τῷ νῷ κατεσκοτισμένῳ καὶ πεφροντισμένῃ καρδίᾳ, καὶ μέθην ἐχούσῃ κοσμικήν· μεθύουσι γὰρ ἄνευ οἴνου τινὲς, τὸ λειτουργίας ἅπτεσθαι τῆς ἱερᾶς. Οἴχεται γὰρ ἔσθ' ὅτε πρὸς τὸ ἀκαλλὲς ὁ νοῦς ὀρθοποδεῖν οὐκ ἔχων, καὶ διαπίπτει τὰ ἱερὰ, καὶ ἐν κόσμῳ μὲν οὐκέτι τὰ δρώμενα, διέῤῥιπται δὲ ὥσπερ τῆς εὐθείας ὁδοῦ· ὃ δὴ πεπονθότας, ἀνάγκη προσκρούειν Θεῷ, καὶ πικρὰς τῆς ῥᾳθυμίας ἀνατλῆναι δίκας. Ἐγρηγορέναι δὴ οὖν ἀναγκαῖον, μέθνη ἀποσειομένους, τὴν ἐκ μερίμνης κοσμικῆς. Τοῦτό τοι δρᾷν καὶ αὐτὸς ὁ Σωτὴρ ἀναπείθει, λέγων· «Προσέχετε μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν φροντίδι καὶ μερίμναις βιωτικαῖς.» Τίς δ' ἂν γένοιτο πρὸς ἡμῶν ὁ τῆς νήψεως τρόπος, ἢ πῶς ἀβέβηλοί τε καὶ καθαροὶ καὶ δίκης ἔξω μενοῦμεν, ὑπεσήμανεν εὐθύς. «Διάστειλαι γὰρ, φησὶν, ἀνὰ μέσον ἁγίου καὶ βεβήλου, καὶ καθαροῦ καὶ ἀκαθάρτου· καὶ συμβιβάσεις τοὺς υἱοὺς Ἰσραὴλ ἅπαντα τὰ νόμιμα, ἃ ἐλάλησε  Κύριος ἐν χειρὶ Μωσῆ.» Τοῦτο δέ ἐστιν ἐναργῶς ἐκεῖνο εἰπεῖν, ὅτι προσήκει τοὺς ἱερέας τὸ μεθύειν ἀποσειομένους, ἀποφοιτᾷν ἀνδρῶν οὐχ ἁγίων, βεβήλων δὲ καὶ ἀκαθάρτων. Δρῴη δ' ἂν, οἶμαι, τὶς αὐτὸ καὶ μάλα ῥᾳδίως, ἀβέβηλός τε ὑπάρχων καὶ καθαρός· «Πᾶν γὰρ ζῶον, φησὶν, ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ, καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἀνήρ.» Καὶ πρός γε δὴ τούτῳ, σοφοὺς εἶναι προσήκει καὶ διδακτικούς· ὁ γάρ τοι τῆς λογικῆς ἀγέλης προσεγκείμενος, νηφάλιος ἔστω καὶ διδακτικός. Εὖ γε δὴ σφόδρα τὸ,  Συμβιβάσεις, φησὶ, τοῦτ' ἔστι, σαφηνιεῖς, ὡς ἰσχύσαι συνιδεῖν τοὺς ἀκροωμένους, ὡς ἔστι παιδαγωγὸς ὁ νόμος, καὶ λαλεῖ τὸ Χριστοῦ μυστήριον· δυσέφικτον γὰρ οὐδέν. ἢ συμβιβασμοῦ δεόμενον, εἰ μὴ νοοῖτο πνευματικῶς· κομιδῆ γὰρ ἁπλοῦς καὶ τῶν ἀσαφείας κατασκιασμάτων ὁ τῆς ἱστορίας ἀπήλλακται λόγος.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΣ

### Ἔτι περὶ ἱερωσύνης.

Ἱερέων μὲν δὴ πέρι καὶ Ἀαρὼν, ταυτὶ πρὸς ἡμῶν εἰρήσθω τέως. Χρῆναι δὲ οἶμαι προσενεγκεῖν οἷς ἔφην τὰ ἐκλελοιπέναι δοκοῦντα ἐπί γε τοῖς Λευΐταις τεθεσπισμένα. Ὧδε γὰρ ἔχοιτο ἀποχρῶν ὁ λόγος. {ΠΑΛΛ.} Οὐκοῦν ἴθι τοι, φράζε τε σαφῶς· διανοῇ γὰρ ὀρθῶς. {ΚΥΡ.} Τάξιν μὲν δὴ ταῖς ἱερουργίαις τὴν ἀρίστην ἐπιτιθεὶς, ὑποκαθίστησι τῷ ἀρχιερεῖ τὸ τάγμα τὸ Λευϊτικὸν, ἐν τοῖς Ἀριθμοῖς οὕτω λέγων· «Καὶ τοῖς Λευΐταις λαλήσεις, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἐὰν λάβητε παρὰ τῶν υἱῶν Ἰσραὴλ τὸ ἐπιδέκατον, ὃ δέδωκα ὑμῖν παρ' αὐτῶν ἐν κλήρῳ, καὶ ἀφελεῖτε ὑμεῖς ἀπ' αὐτοῦ ἀφαίρεμα Κυρίῳ, ἐπιδέκατον ἀπὸ τοῦ ἐπιδεκάτου, καὶ λογισθήσεται ὑμῖν τὰ ἀφαιρέματα ὑμῶν ὡς σῖτος ἀπὸ ἅλω, καὶ ἀφαίρεμα ἀπὸ ληνοῦ. Οὕτως ἀφελεῖτε αὐτοὺς καὶ ὑμεῖς ἀπὸ πάντων τῶν ἀφαιρεμάτων Κυρίου ἀπὸ πάντων τῶν ἐπιδεκάτων ὑμῶν, ὅσα ἐὰν λάβητε παρὰ τῶν υἱῶν Ἰσραήλ· καὶ δώσετε ἀπ' αὐτῶν ἀφαίρεμα Κυρίῳ, Ἀαρὼν τῷ ἱερεῖ ἀπὸ πάντων τῶν δομάτων ὑμῶν ἀφελεῖτε ἀφαίρεμα Κυρίῳ, ἢ ἀπὸ πάντων τῶν ἀπαρχῶν τὸ ἡγιασμένον ἀπ' αὐτοῦ. Καὶ ἐρεῖς πρὸς αὐτούς· Ὅταν ἀφαιρῆτε τὴν ἀπαρχὴν ἀπ' αὐτοῦ, καὶ λογισθήσεται τοῖς Λευΐταις ὡς γέννημα ἀπὸ ἅλω, καὶ ὡς γέννημα ἀπὸ ληνοῦ· καὶ ἔδεσθε αὐτὸ ἐν παντὶ τόπῳ, ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν, καὶ οἱ οἶκοι ὑμῶν, ὅτι μισθὸς οὗτος ὑμῖν ἐστιν ἀντὶ τῶν λειτουργιῶν ὑμῶν τῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· καὶ οὐ λήψεσθε δι' αὐτὸ ἁμαρτίαν, ὅτι ἂν ἀφαιρῆτε τὴν ἀπαρχὴν ἀπ' αὐτοῦ· καὶ τὰ ἅγια τῶν υἱῶν Ἰσραὴλ οὐ βεβηλώσετε, ἵνα μὴ 68.845 ἀποθάνητε.» Ὁρᾷς τὸ Χριστοῦ μυστήριον ὡς ἐν σκιαῖς ἔτι, καὶ προαναλάμπον ἐν τύποις; ὁ γάρ τοι δεκάτας λαμβάνων δεδεκάτωται, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Ἀλλὰ τότε μὲν ὁ τύπος ἐν Μελχισεδὲκ, ἐν δέ γε καιροῖς κατὰ Μωσέα, τετήρηται πάλιν ὡς ἐν Ἀαρὼν, τὸν τῶν ἱερέων ἱερέα Χριστὸν ἐφ' ἑαυτῷ σημαίνοντι τὸν ἡγούμενον, καὶ προεστηκότα τῆς ἁγίας σκηνῆς, τοῦτ' ἔστι τῆς Ἐκκλησίας, τὸν Ἅγιον τῶν ἁγίων, καὶ Θεὸν τῶν θεῶν, ᾧ πᾶσα καρποφορία πρὸς ἡμῶν ὀφείλεται. Γέγραπται γὰρ, ὅτι «Πάντες οἱ κύκλῳ αὐτοῦ, οἴσουσι δῶρα.» Ἀλλ' ἐν τύποις μὲν ἔτι τὰ Μωσαϊκὰ, πνευματικαῖς δὲ νυνὶ καρποφορίαις τὸν ἑαυτῶν κατευφραίνουσι Λυτρωτὴν, οἱ τῶν εὐαγγελικῶν θεσπισμάτων γνήσιοι φύλακες. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἀπόλεκτον δὲ ὅτι τὸ Λευϊτικόν ἐστι γένος, καὶ τῶν ἄλλων ἐξῃρημένον, φανερὸν ποιεῖ κατὰ τοιόνδε τινὰ τρόπον· Ἀπαριθμεῖσθαι προστέταχε τὸ δημοτικὸν, καὶ τῆς ἀγελαίου πληθύος ἀκριβῆ ποιεῖσθαι τὸν ἐκλογισμὸν, οὐκ ἠγνοηκὼς ὁ Δημιουργός. Ἠρίθμηνται γὰρ αὐτῷ σταγόνες ὑετοῦ, κατὰ τὸ γεγραμμένον, καὶ οὐκ ἄν τι διαλάθοι νοῦν τὸν ἀκήρατον, ἀλλ' ἵν' εἰδεῖεν καὶ μάλα σαφῶς οἱ τοῖς ἱεροῖς ἐντυχόντες Γράμμασιν, ὅτι τῷ Θεῷ προσκείμενοι καὶ λαὸς αὐτοῦ κεχρηματικότες, ἐν ἀπογραφαῖς ἵενται ταῖς παρὰ Θεῷ, καὶ ἐν βίβλῳ ζωῆς, καὶ ἐναρίθμιοι τοῖς γνωρίμοις, καὶ ἐν μνήμαις ἤδη τοῦ πάντων Δεσπότου. Οὐκοῦν ἀπεγράφετο μὲν τὸ δημοτικὸν, ἀνὰ μέρος δὲ ὥσπερ ἐτίθει Θεὸς τὸ ἀπόλεκτόν τε καὶ ἱερὸν γένος, καὶ οὐκ ἐν ἴσῃ τάξει τοῖς ἄλλοις ἠφίει ποθὲν, μοῖραν δὲ ὥσπερ αὐτῷ τὴν προὔχουσαν ἀπεταμιεύετο, λέγων πρὸς Μωσέα τὸν σοφώτατον· «Ὅρα τὴν φυλὴν Λευῒ, οὐ συνεπισκέψῃ τὸν ἀριθμὸν αὐτῶν, καὶ οὐ λήψῃ ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ.» Ἐξαίρετος γὰρ τῶν ἁγίων ὁ κλῆρος, καὶ ἐν ὑπεροχαῖς τὰ γέρα. Καὶ τάχα που καὶ ἐν βίβλοις ἑτέραις ἡ ἀπογραφή· τεθέαται γὰρ οὐ μίαν ὁ θεσπέσιος Δανιὴλ, ἀλλ' ᾗ φησιν αὐτός· «Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν.» Οὐκοῦν ἀναλόγοις τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑκάστου μέτροις, ἡ ἀπογραφή. Ἐξήρηται δὲ ὥσπερ τῆς ἄλλης πληθύος τὸ ταῖς θείαις ἱερουργίαις ἐκνεμηθὲν καὶ ἀνακείμενον γένος, καὶ τόν γε τῆς τῶν Λευϊτῶν ἱερουργίας τρόπον διεσάφει λέγων εὐθύς· «Λάβε τὴν φυλὴν Λευῒ, καὶ στήσεις αὐτοὺς ἐναντίον Ἀαρὼν τοῦ ἱερέως, καὶ λειτουργήσουσιν αὐτῷ, καὶ φυλάξουσι τὰς φυλακὰς αὐτοῦ, καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ ἔναντι τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐργάζεσθαι τὰ ἔργα τῆς σκηνῆς· καὶ φυλάξουσι πάντα τὰ σκεύη τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ κατὰ πάντα τὰ ἔργα τῆς σκηνῆς. Καὶ δώσεις τοὺς Λευΐτας Ἀαρὼν τῷ ἀδελφῷ σου, καὶ τοῖς υἱοῖς αὐτοῦ τοῖς ἱερεῦσι· δεδομένοι δόμα οὗτοί μοί εἰσιν ἀπὸ τῶν υἱῶν Ἰσραὴλ, καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ καταστήσεις ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ φυλάξουσι τὴν ἱερατείαν αὐτῶν, καὶ πάντα τὰ κατὰ τὸν βωμὸν, καὶ ἔσω τοῦ καταπετάσματος· καὶ ὁ ἀλλογενὴς ὁ ἁπτόμενος, ἀποθανεῖται.» Οἱ μὲν οὖν 68.848 Λευῖται, συνεργάται τρόπον τινὰ καὶ οἱονεὶ συλλήπτορες τοῖς ἱερουργοῖς ἐκνενέμηνται, φυλάξουσι γὰρ τὰς φυλακὰς αὐτοῦ, δῆλον δὲ ὅτι τοῦ Ἀαρὼν, καὶ πάντα τὰ σκεύη τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰ φυλάγματα τῶν υἱῶν. Ἰσραήλ. Καὶ μέχρι τούτων αὐτοῖς τῆς συνεργείας ὁ τρόπος. Ἐφίστησι δὲ τῇ σκηνῇ τόν τε Ἀαρὼν, καὶ τοὺς υἱοὺς σὺν αὐτῷ, καὶ «Φυλάξουσι» γὰρ, φησὶ, «τὴν ἱερατείαν ἑαυτῶν καὶ πάντα κατὰ τὸν βωμὸν, καὶ τὰ ἐσώτερα τοῦ καταπετάσματος,» τοῦτ' ἔστι τὰ ἀπόῤῥητά τε καὶ μυστικώτερα, καὶ ὅσα δρᾷν ἔθος τοὺς τῷ θείῳ προσεδρεύοντας θυσιαστηρίῳ· καὶ ἔστι μὲν ἀκραιφνῶς ὡς εἰς Χριστὸν ὁ τύπος, ὃν κατέστησεν ὁ Πατὴρ ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς. Κατασημήνειαν δ' οὐκ ἀσυμφανῶς οἱ τῷ Ἀαρὼν συνιερατεύοντες, τῶν ἁγίων ἀποστόλων τὸν ἐναγῆ τε καὶ ἀξιάγαστον χορὸν, συνεργαζομένων ὥσπερ καὶ συλλειτουργούντων τῷ Χριστῷ. Θεοῦ γὰρ γεγόνασι συνεργοὶ, ταμίαι τε καὶ οἰκονόμοι μυστηρίων Θεοῦ, καὶ μὴν καὶ διάκονοι, δι' ὧν πεπιστεύκαμεν. Εἰ δέ τις ἕλοιτο καὶ τῆς Ἐκκλησίας τὴν τάξιν πολυπραγμονεῖν, τὴν ἐν νόμῳ προανατύπωσιν, καταθαυμάσειεν ἂν εἰκότως. Ἐπισκόποις μὲν γὰρ, ἅτε δὴ τότε καθηγεῖσθαι λαχοῦσιν, καὶ μὴν τοῖς ἐπὶ τὴν μείω διέπουσι τάξιν, πρεσβυτέροις δέ φημι, πεπίστευται τὸ θυσιαστήριον, καὶ τὰ ἔσω τοῦ καταπετάσματος, οἷς ἂν πρέποι καὶ λέγεσθαι· «Καὶ φυλάξουσι τὴν ἱερατείαν αὐτῶν·» διακόνοις γε μὴν, τὸ, «Φυλάξουσι τὰς φυλακὰς τῆς σκηνῆς, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὰ φυλάγματα τοῦ λαοῦ.» Ἢ οὐκ αὐτοὶ προστάττουσι διακεκραγότες ἐν ἐκκλησίαις, ποτὲ μὲν ὑμνολογεῖν ὅτι προσήκει λαοῖς, καὶ ἐν κόσμῳ μὲν ἑστάναι, κατηρεμεῖν δὲ πολλάκις, καὶ διανιστᾶσιν εἰς προσευχὰς, καὶ τῆς ἀναιμάκτου θυσίας ἐπιτελουμένης, αὐτοὶ προσκομίζουσι τὰ τῶν σκευῶν ἱερώτερα, καὶ λεπτὴν ἐφ' ἅπασι τοῖς ἀναγκαίοις ποιοῦνται τὴν ἐπιτήρησιν; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Οὐκοῦν ἱερατεύουσι μὲν οἱ προὔχοντες, συλλαμβάνονται δὲ οἱ Λευῖται τῆς ἐκκλησιαστικῆς ἱερατείας τὴν τάξιν, τοῦ νομικοῦ προαναφωνοῦντος γράμματος. Ἐξείργεται δὲ τὸ δημοτικὸν παντὸς ἱεροῦ πράγματος, καὶ ὁ περὶ τῶν ἐσχάτων ἐπήρτηται λόγος τοῖς ἁρπάζουσι τὴν τιμήν. Τεθνήξεται γὰρ, φησὶν, ἣν αὐτόμολός τις ἐπ' αὐτὴν ἔλθῃ, τὴν θείαν ἐφ' ἑαυτῷ ψῆφον οὐκ ἔχων. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Οὐκοῦν ἀσύντακτον μὲν ταῖς τῶν ἄλλων ἀπογραφαῖς τὸ Λευϊτικόν, πλὴν ἀνάγραπτον ἰδικῶς καὶ ἐν βίβλῳ Θεοῦ· «Καὶ ἐλάλησεν» γὰρ, φησὶ, «Κύριος πρὸς Μωσῆν ἐν τῇ ἐρήμῳ Σινᾶ λέγων· Ἐπίσκεψαι τοὺς υἱοὺς Λευῒ κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ δήμους αὐτῶν, κατὰ συγγενείας αὐτῶν. Πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἐπίσκεψαι αὐτούς· καὶ ἐπεσκέψαντο αὐτοὺς Μωσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου, ὃν τρόπον συνέταξεν αὐτοῖς Κύριος. Καὶ ἦσαν οὗτοι οἱ υἱοὶ Λευῒ ἐξ ὀνομάτων αὐτῶν, Γεδσὼν, Καὰθ, καὶ Μεραρί· ταῦτα τὰ ὀνόματα τῶν 68.849 υἱῶν Γεδσὼν, κατὰ δήμους αὐτῶν, Λοβενὶ καὶ Σεμεΐ. Καὶ υἱοὶ Καὰθ κατὰ δήμους αὐτῶν, Ἀμρὰμ καὶ Ἰσσαὰρ, Χεβρὼν καὶ Ὀζιήλ· καὶ υἱοὶ Μεραρὶ κατὰ δήμους αὐτῶν, Μοολὶ καὶ Μουσί. Οὗτοί εἰσι δῆμοι τῶν Λευϊτῶν κατ' οἴκους πατριῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῶν.» Ἄθρει δὴ οὖν, ὦ Παλλάδιε, καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο. Λεπτὴ γὰρ ἡ ἐπιτήρησις. Ἀπεγράφετο μὲν οὖν τὸ δημοτικὸν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, οὐκ ἀξιούσης, οἶμαί που, τῆς νομικῆς ἀκριβείας τὸ ἄναλκί τε καὶ ἀδρανὲς ἔτι, τὸ καὶ ἐν βίβλῳ γράφεσθαι Θεοῦ. Τὸ γάρ τοι σφριγῶν καὶ ἐν ἀκμαῖς ἤδη ταῖς πνευματικαῖς, τοῖς τῶν ἁγίων καταλόγοις εἰσκρίνοιτο ἂν εἰκότως. Ποιεῖται τοίνυν ὁ νόμος ὑποτύπωσιν εὐφυᾶ τῆς πνευματικῆς ἡλικίας, τὴν σωματικὴν, καὶ τὸ ἐν ἀκμαῖς, ἀπόλεκτον ἐτίθει γένος, τὸ ἄνηβόν τε καὶ ἀσθενὲς, καὶ μειρακιῶδες ἔτι παρατρέχων, καὶ οὐκ ἐν βίβλῳ τιθεὶς ἱερᾷ. Ἐπὶ δέ γε τῶν Λευϊτῶν, ἀπὸ μηνιαίου γέγονεν ἡ ἀπογραφή· προσίεται γὰρ ὁ πάντων Δεσπότης καὶ λίαν ἀσμένως τὴν ἐν Χριστῷ νηπιότητα τῶν ἐξειλεγμένων, καθάπερ ἀμέλει τὸ ἔμφρον. Τὸ γὰρ ἐν ἀμφοῖν διαπρέπειν, ἐξαίρετον, ἐν συνέσει τε, φημὶ, καὶ ἁπλότητι τῇ κατὰ Χριστόν. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος· «Ἀδελφοὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.» Καὶ αὐτὸς δέ πού φησιν ὁ Χριστός· «Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.» Δεκτὴ τοιγαροῦν ἡ τῶν ἁγίων ἁπλότης. Κατ' ὄνομα δὲ καὶ μέντοι καὶ κατὰ δήμους καὶ πατριὰς ἡ ἐπίσκεψις. Ἐπισκοπῆς γὰρ ἰδίας ἀξιοῖ Θεὸς οὓς ἂν ἕλοιτο τιμᾷν, καὶ καθ' ἕνα, καὶ κατὰ πληθὺν, καὶ κατὰ γένος. Καὶ τὸ ἔν γε τούτοις ἀκριβὲς, σαφηνιεῖ λέγων αὐτὸς ὁ Σωτὴρ τοῖς ἁγίοις ἀποστόλοις· «Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς; Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν.» {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἀπογραφὴν δὲ πρὸς τῇδε ποιεῖσθαι δευτέραν τοῦ Λευϊτικοῦ τε δήμου, καὶ ἑκάστῳ ἐντετάχθαι δεῖν τὴν αὐτῷ πρέπουσαν λειτουργίαν προσενομοθέτει, λέγων «Λάβε τὸ κεφάλαιον τῶν υἱῶν Καὰθ ἐκ μέσου υἱῶν Λευῒ, κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν, καὶ ἐπάνω ἕως πεντήκοντα ἐτῶν, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν ποιῆσαι πάντα τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. Καὶ ταῦτα τὰ ἔργα τῶν υἱῶν Καὰθ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, Ἅγιον τῶν ἁγίων. Καὶ εἰσελεύσεται Ἀαρὼν καὶ υἱοὶ αὐτοῦ, ὅταν ἐξαίρῃ ἡ παρεμβολὴ, καὶ καθελοῦσι τὸ καταπέτασμα τὸ συσκιάζον, καὶ κατακαλύψουσιν ἐν αὐτῷ τὴν κιβωτὸν τοῦ μαρτυρίου. Καὶ ἐπιθήσουσιν ἐπ' αὐτὸ κατακάλυμμα δέρμα ὑακίνθινον, καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον ὅλον ὑακίνθινον ἄνωθεν, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς, καὶ ἐπὶ τὴν τράπεζαν τὴν προκειμένην ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον ὁλοπόρφυρον, καὶ τὰ τρυβλία, καὶ τὰς θυΐσκας, καὶ τοὺς κυάθους, καὶ τὰ σπονδεῖα ἐν οἷς σπένδουσι, καὶ οἱ ἄρτοι οἱ διαπαντὸς ἐπ' αὐτῆς ἔσον 68.852 ται, καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον κόκκινον, καὶ καλύψουσιν αὐτὴν καλύμματι δερματίνῳ ὑακινθίνῳ, καὶ διεμβαλοῦσι δι' αὐτῆς τοὺς ἀναφορεῖς. Καὶ λήψονται ἱμάτιον ὑακίνθινον, καὶ καλύψουσι τὴν λυχνίαν τὴν φωτίζουσαν, καὶ τοὺς λύχνους αὐτῆς, καὶ τὰς λαβίδας αὐτῆς, καὶ τὰς ἐπαρυστρίδας αὐτῆς, καὶ πάντα τὰ ἀγγεῖα τοῦ ἐλαίου, οἷς λειτουργοῦσιν ἐν αὐτοῖς. Καὶ ἐμβαλοῦσιν αὐτὴν, καὶ πάντα τὰ σκεύη αὐτῆς, εἰς κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ ἐπιθήσουσιν αὐτὴν ἐπ' ἀναφορέων, καὶ ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν ἐπικαλύψουσιν ἱμάτιον ὑακίνθινον, καὶ καλύψουσιν αὐτὸ καλύμματι δερματίνῳ ὑακινθίνῳ, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ, καὶ λήψονται πάντα τὰ σκεύη τὰ λειτουργικὰ ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς ἐν τοῖς ἁγίοις, καὶ ἐμβαλοῦσιν εἰς ἱμάτιον ὑακίνθινον, καὶ καλύψουσιν αὐτὰ καλύμματι δερματίνῳ ὑακινθίνῳ, καὶ ἐπιθήσουσιν ἐπὶ ἀναφορεῖς, καὶ τὸν καλυπτῆρα ἐπιθήσουσιν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐπικαλύψουσιν ἐπ' αὐτὸ ἱμάτιον ὁλοπόρφυρον, καὶ ἐπιθήσουσιν ἐπ' αὐτὸ πάντα τὰ σκεύη ὅσοις λειτουργοῦσιν ἐπ' αὐτῷ ἐν αὐτοῖς, καὶ τὰ πυρεῖα, καὶ τὰς κρεάγρας, καὶ τὰς φιάλας, καὶ τὸν καλυπτῆρα, καὶ πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου, καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὸ κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ. Καὶ λήψονται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἱμάτιον πορφυροῦν, καὶ συγκαλύψουσι τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἐμβαλοῦσιν αὐτὸ εἰς κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ ἐπιθήσουσιν ἐπὶ ἀναφορεῖς, καὶ συντελέσουσιν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ, καλύπτοντες τὰ ἅγια, καὶ πάντα τὰ σκεύη τὰ ἅγια, ἐν τῷ ἐξαίρειν τὴν παρεμβολὴν καὶ μετὰ ταῦτα εἰσελεύσονται υἱοὶ Καὰθ αἴρειν, καὶ οὐχ ἅψονται τῶν ἁγίων, ἵνα μὴ ἀποθάνωσι.» Ἡ μὲν οὖν ἐκ μηνιαίων ἀπογραφὴ, καὶ αὐτὴν τῶν ἁγίων τὴν ἀκακίαν ἁνδάνουσάν τε καὶ εὐπαράδεκτον εἶναι διδάσκει Θεῷ. Τόγε μὴν ἔργοις τοῖς ἱεροῖς ἐκνενεμῆσθαι, μόνην τὴν τῷ νόμῳ διωρισμένην ἡλικίαν, τὴν ἀπὸ πέντε καὶ εἴκοσι, καὶ μέχρι πεντήκοντα ἐτῶν, ἐκεῖνο οἶμαι δηλοῦν, ὅτι Θεῷ λειτουργίαν ἀποπεραίνει τὴν ἐξαίρετον καὶ ἀδιαβλήτως ἔχουσαν, πᾶν ὅσον ἐστὶν ἔμφρον τε καὶ εὐσθενὲς ἤδη τε καὶ ἔτι. Ἤδη μὲν γὰρ ἐν τούτοις, ὁ ἐν εἴκοσι καὶ πέντε γεγονὼς ἐνιαυτοῖς, ἔτι δὲ καὶ ὁ μέχρι πεντήκοντα προελθών. Διανένευκεν γὰρ ἤδη πως πρὸς κατάληξιν ἰσχύος, ἀνὴρ ἐξελάσας ἐπέκεινα τοῦ πεντηκοστοῦ, καὶ οὐκ ἐν ἀκμαῖς ἔτι ταῖς ἀμωμήτοις ἐστὶν, διέρπει δὲ ὥσπερ ἐπὶ τὰ ἐκ γήρως πάθη. Ἄσοφος δὲ οὐδεὶς, ἀλλ' οὐδ' ἄναλκις, λειτουργήσειεν ἂν ἀμωμήτως Θεῷ, εἴπερ ἐστὶν ἀληθὲς εἰπεῖν, ὡς ἰσχύος ἔργα καὶ φρενὸς ἂν γένοιτο παγκάλου τὰ ὅσαπερ ἂν βλέποι πρὸς ἀρετήν· καὶ τὸ ἐπαινεῖσθαι δεῖν πρὸς τοῦ νομοθέτου διεκληρώσατο. {ΠΑΛΛ.} Οὕτω φημί. {ΚΥΡ.} Λειτουργία δὲ τοῖς ἐκ δήμου Καὰθ, τὰ Ἅγια τῶν ἁγίων, προειστρεχόντων τῶν ἱερέων καὶ πυκαζόντων αὐτά. Πανταχοῦ γὰρ τιμιώτερον τὸ προὖχον ἐν τάξει, καὶ πάντα ὅσα ἐστὶν ἐν κόσμῳ παρὰ Θεῷ, ἄτακτον δὲ παντελῶς οὐδέν. Ἐν ὑπουργίαις δὲ τὸ Λευϊτικὸν, καὶ ταῖς τῶν ὑπερκειμένων ἱερουργίαις ὑπεστρωμένον. Καταπυκάζονται δὲ δέρμασί τε καὶ ἱματίοις ὑακινθίνοις, ἥ τε ἁγία κιβωτὸς, καὶ τὸ χρυ 68.853 σοῦν θυμιατήριον, λυχνία τε αὖ καὶ τὰ σκεύη τὰ λειτουργικὰ, τὸ ἄνωθεν ἡμῖν καὶ ἐξ οὐρανοῦ σημαίνοντος τοῦ ὑακινθίνου. Τοιουτόχρως γὰρ ὁ ἄνωθεν καὶ εἰς βάθος αἰθήρ. Ὅτι δὲ τύποι Χριστοῦ τοῦ ἄνωθεν καὶ ἐξ οὐρανοῦ τὰ σκεύη τὰ ἱερὰ, διὰ μακρῶν ἡμῖν ἤδη προαποδέδεικται λόγων. Ἡ δὲ τράπεζα, καὶ ἱμάτιον ὁλοπόρφυρον πρὸς τοῖς ὑακινθίνοις περιβλήμασιν ἔχει· τὸ δέ γε τῶν καρπωμάτων θυσιαστήριον, ἱμάτιον κόκκινον, καὶ μέντοι καὶ ὁ λουτὴρ, ἱμάτιον ὁλοπόρφυρον ἐπὶ πυκάσμασι τοῖς ὑακινθίνοις. Καὶ σημαίνει μὲν ἡ τράπεζα, τὴν πρόθεσιν ἔχουσα τῶν ἄρτων, τὴν ἀναίμακτον θυσίαν, δι' ἧς εὐλογούμεθα τὸν ἄρτον ἐσθίοντες τὸν ἐξ οὐρανοῦ, τοῦτ' ἔστι Χριστὸν, ὃς καὶ γέγονε καθ' ἡμᾶς, ἀλλ' ἦν τε καὶ ἔστι καὶ οὕτως Θεὸς ἄνωθέν τε καὶ ἐκ Πατρὸς ἐρχόμενος, καὶ ἐπάνω πάντων ὡς τῶν ὅλων βασιλεὺς καὶ Κύριος. Αἴνιγμα δὲ τῆς τοῦ Χριστοῦ βασιλείας εἴη ἂν, ὡς ἔμοιγε φαίνεται, τὸ ἐπιτετανύσθαι τῇ τραπέζῃ τὸ ἁλουργὲς ἱμάτιον, ἤτοι τὸ περίβλημα τὸ πορφυροῦν. Κατημφίεστο δὲ τόδε τῶν καρπωμάτων θυσιαστήριον ἱματίῳ κοκκίνῳ· ἱμάτιον δὲ τὸ κοκκινοβαφὲς, αἵματος τύπον παραδεξόμεθα. Τέθυται γὰρ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ὁ Χριστὸς, καὶ ἀμνὸς οἷά τις ἐπὶ τὸ θεῖον ἀνέβη θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί. Πρὸς δὲ τοῖς ὑακινθίνοις, ἱμάτιον ὁλοπόρφυρον τῷ λουτῆρι τὸ πέτασμα. Γράφει δὲ ὁ λουτὴρ ἐφ' ἑαυτῷ τὸν τύπον τοῦ ἁγίου βαπτίσματος, ὕδασιν ἡμᾶς ἁγίοις ἀπολούοντος εἰς ἀπόθεσιν ἁμαρτίας, καὶ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν ἀποκομίζοντος. Ἄνωθεν δὲ καὶ ἐξ οὐρανοῦ τὸ ἅγιον βάπτισμα· αἴνιγμα δὲ τούτου, τὸ χρῶμα τὸ ὑακίνθινον. Ἢ οὐκ ἄριστά σοι ταυτὶ δὴ φάναι δοκῶ, ὡς ἔν γε τοιαύτῃ δυσκαταληψίᾳ θεωρημάτων; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Λειτουργία μὲν οὖν ἡ τοιάδε τοῖς ἀπὸ Καάθ· Γεδσωνῖται δὲ αὖ καὶ μέν τοι καὶ Μεραρῖται, κατὰ τὸν ἴσον τρόπον, ἀπεγράφοντο μὲν ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν καὶ μέχρι πεντήκοντα, ὀνομαστὶ δὲ κατ' οἴκους καὶ πατριάς· καὶ λειτουργία μὲν τῷ δήμῳ Γεδσὼν, αἱ δέῤῥεις τῆς σκηνῆς, τὰ καλύμματα, τὰ περιτανύσματα τῶν θυρῶν, καὶ τὰ ἱστία τῆς αὐλῆς καὶ τὰ περισσά· γέγραπται δὲ ὡδί. Τό γε μὴν ἐκ Μεραρὶ (δῆμος δὲ καὶ οὗτος Λευϊτικὸς), οἱ στύλοι τῆς σκηνῆς, αἱ βάσεις, αἱ κεφαλίδες, πάσσαλοί τε καὶ μοχλοὶ, καὶ τὸ καταπέτασμα τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σκηνῆς τῆς ἔξω, καὶ ἅττα τινὰ πρὸς τούτοις ἕτερα. Καὶ οἱ μὲν ἀπὸ Γεδσών τε καὶ Μεραρὶ, ταῖς δι' ἁμαξῶν ὑπουργίαις τὰ σφίσιν αὐτοῖς ἐγκεχειρισμένα διεκόμιζον πανταχῇ. Κααθῖταί γε μὴν, τὰ Ἅγια τῶν ἁγίων εἰς ὤμους ἔχοντες ᾔεσαν. Γέγραπται γὰρ οὕτως ἐν τοῖς Ἀριθμοῖς· «Καὶ προσήνεγκαν οἱ ἄρχοντες Ἰσραὴλ δώδεκα ἄρχοντες οἴκων πατριῶν αὐτῶν· οὗτοι οἱ ἄρχοντες φυλῶν, οὗτοι οἱ παρεστηκότες ἐπὶ τῆς ἐπισκοπῆς, καὶ ἤνεγκαν τὰ δῶρα αὐτῶν ἔναντι Κυρίου, ἓξ ἁμάξας λαμπηνίκας καὶ δώδεκα βόας. Ἅμαξαν παρὰ δύο ἀρχόντων, 68.856 καὶ μόσχον παρ' ἑκάστου, καὶ προσήγαγον ἐναντίον τῆς σκηνῆς. Καὶ εἶπε Κύριος πρὸς Μωσῆν, λέγων· Λάβε παρ' αὐτῶν, καὶ ἔσονται πρὸς τὰ ἔργα τὰ λειτουργικὰ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ δώσεις αὐτὰ τοῖς Λευΐταις, ἑκάστῳ κατὰ τὴν αὐτοῦ λειτουργίαν. Καὶ λαβὼν Μωσῆς τὰς ἁμάξας καὶ τοὺς βόας, ἔδωκεν αὐτὰ τοῖς Λευΐταις. Καὶ τὰς δύο ἁμάξας καὶ τοὺς τέσσαρας βόας ἔδωκε τοῖς υἱοῖς Γεδσὼν κατὰ τὰς λειτουργίας αὐτῶν, καὶ τὰς τέσσαρας ἁμάξας καὶ τοὺς ὀκτὼ βόας ἔδωκε τοῖς υἱοῖς Μεραρὶ κατὰ τὰς λειτουργίας αὐτῶν, διὰ Ἰθάμαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως· καὶ τοῖς υἱοῖς Κaὰθ οὐ δέδωκεν, ὅτι τὰ λειτουργήματα τοῦ ἁγίου ἔχουσιν, ἐπ' ὤμων ἀροῦσιν.» Ἀκούεις ὅπως τοῖς μὲν τὸ ἐφ' ἁμαξῶν ἄγειν τε καὶ φέρειν ἔθος, Κααθίταις δὲ μόνοις, εἰς ὤμους τὰ ἱερά; {ΠΑΛΛ.} Τοῦ δὴ χάριν; {ΚΥΡ.} Ἀεὶ γάρ πως ἐστὶν ἐν ἱδρῶτι μείζονι τὸ προὖχόν τε καὶ ἱερώτερον, παρέπεται δὲ αὐτῷ πάντη τε καὶ πάντως· τὸ χρῆναι πονεῖν, καὶ πρός γε δὴ τούτῳ, τὸ τληπαθεῖν, καὶ οὐκ ἐν ἴσῳ τοῖς ἄλλοις, οἵπερ ἂν εἶεν καὶ ἁγιώτεροι, καὶ ἀγχοῦ δὴ μᾶλλον οἱονείπως Θεοῦ. Ἦ οὐκ ἀληθὲς ὅ φημι; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἐν κόσμῳ μὲν οὖν τοιῷδε τὸ Λευϊτικὸν ἐλειτούργει γένος. Οἶμαι δ' ἔγωγε, μυστηρίου τύπον τὸ χρῆμα πληροῦν. {ΠΑΛΛ.} Πῶς δὴ φής; {ΚΥΡ.} Ἐοίκασι γὰρ, οἱ μὲν δύο δῆμοι, Γεδσών τε καὶ Μεραρὶ, τοὺς ἐν νόμῳ λαοὺς ὑπαινίττεσθαι, φημὶ δὴ τὸν Ἰσραήλ· Κααθῖται δέ γε, τοὺς ἡγιασμένους ἐν Χριστῷ διὰ πίστεως. Οἷς μὲν γὰρ ἦν ἐν φροντίδι τὰ ἱστία τῆς αὐλῆς, αἱ δέῤῥεις τῆς σκηνῆς, τὰ καλύμματα καὶ οἱ στύλοι, κεφαλαί τε καὶ βάσεις, πάσσαλοί τε καὶ περιτανύσματα, καὶ ᾗ φησι τὸ Γράμμα τὸ ἱερὸν, «Πάντα τὰ περισσὰ,» δι' οὗ σημαίνεται τὸ τῆς λειτουργίας οὐκ ἀναγκαῖον. Οἱ δὲ, φέρειν ἐθαρσήθησαν τὰ Ἅγια τῶν ἁγίων, καὶ τὰ δι' ὧν Χριστὸς, οὐ καθ' ἕνα τρόπον, πολλαχῶς δὲ μᾶλλον καὶ πολυειδῶς σημαίνεται, ὡς κιβωτὸς, ὡς τράπεζα, καὶ ὡς χρυσῆ λυχνία, καὶ χρυσοῦν θυμιατήριον. Ἁπλοῦς γὰρ ὑπάρχων κατὰ φύσιν ὡς Θεὸς, τῇ τῆς ἐργασίας διαφορᾷ πολυτρόπως γνωρίζεται. Ἔστι μὲν γὰρ ὁμολογουμένως ζῶν τε καὶ ἐνεργὴς ὁ τοῦ Πατρὸς Λόγος, καὶ πρός γε τούτῳ ζωὴ, καὶ φῶς, καὶ νοητῆς εὐωδίας ὀσμή. Οὐκοῦν ὅσοι ταῖς διὰ Μωσέως προσεδρεύουσιν ἐντολαῖς, λειτουργίαν ἔχουσι τὰ περισσὰ τῆς σκηνῆς· ἀνωφελὴς γὰρ ὁ νόμος, εἰ μὴ νοοῖτο πνευματικῶς. Ὅσοι δὲ τεθάρσηνται τὰ Ἅγια τῶν ἁγίων, ἅγιοί που πάντως εἰσὶν ἐν Χριστῷ, περισσὸν οὐδὲν, ἀλλ' οἱονείπως αὐτὸν ἔποχον ἔχοντες τὸν Ἐμμανουήλ. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἄθρει δὲ, εἰ δοκεῖ, καὶ τόδε. {ΠΑΛΛ.} Τὸ τί δὴ φής; {ΚΥΡ.} Οἱ μὲν γὰρ τὰ περισσὰ τῆς ἁγίας σκηνῆς ἐγκεχειρισμένοι φέρουσιν ἐφ' ἁμαξῶν. Κααθῖται δὲ, τὰ Ἅγια τῶν ἁγίων οὐκ ἐφ' ἁμαξῶν, οὐκ ἐφ' ἑτέρου του παντελῶς, ἀλλ' ὤμοις αὐτοῖς ἐπιθέντες ᾔεσαν. 68.857 {ΠΑΛΛ.} Τί οὖν τοῦτό γε; {ΚΥΡ.} Ὅτι, ὦ ἑταῖρε, φαίην ἂν, φορτικὸς ὁ νόμος, καὶ δύσοιστον ἄχθος· γένοιτο δ' ἂν τοῦ τοιοῦδε μήνυσις ἐναργὴς, τὸ μὴ εἰς ὤμους φέρεσθαι τὰ περισσὰ, διά τοι τὸ ἀσθενεῖν τοὺς ὑπεζευγμένους. Τοιγάρτοι καὶ ἔφασκον οἱ θεσπέσιοι μαθηταὶ, τοῖς μετὰ τὴν πίστιν ἐπὶ νομικὴν ἰοῦσι λατρείαν· «Καὶ νῦν τί πειράζετε τὸν Θεὸν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε ὑμεῖς, οὔτε οἱ πατέρες ὑμῶν ἴσχυσαν βαστάσαι;» Κααθῖται δὲ, τὰ δι' ὧν ὁ Χριστὸς σημαίνεται, τοῖς σφῶν αὐτῶν ἐπιθέντες ὤμοις, ἐλαφρὸν καὶ εὐπαρακόμιστον ποιοῦνται φορτίον. Ἆρ' οὖν οὐχὶ τοῦτό ἐστιν ἐναργῶς, ὅπερ αὐτὸς ἔφη Χριστός· «Ὁ ζυγός μου χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν; {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Προσθείην δ' ἂν ἔτι τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰρημένοις καὶ τόδε. Εἴη γὰρ ἂν οὐκ ἀσυντελὲς εἰς πληροφορίαν· ἐν μὲν γὰρ τῇ πρώτῃ τῶν Λευϊτῶν ἀπογραφῇ, τετάχατο μὲν οἱ ἀπὸ Γεδσὼν ἐν ἀρχαῖς, εἶτα μέσος ὁ Καὰθ, καὶ τελευταῖος, ὁ Μεραρὶ (δῆμοι δὲ οὗτοι Λευιτικοί)· ἐν δὲ τῇ δευτέρᾳ, τῇ ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν, προστέθειται τῶν ἄλλων ὁ Καὰθ, καὶ πρῶτος ὠνόμασται. Τελευταῖος δὲ μετ' αὐτὸν, Γεδσών τε καὶ Μεραρὶ, λειτουργίαν ἔχοντες τὰ περισσὰ τῆς σκηνῆς. Καὶ ἑκάτερον μὲν τοῖν δυοῖν τουτωνὶ δήμοιν, ἀνὰ δύο μόνας ἔχουσι πατριὰς, ὁ δὲ προήκει μὲν καὶ μέχρι τεσσάρων. Συνίης οὖν ἄρα τὸ αἴνιγμα; {ΠΑΛΛ.} Ἥκιστά γε. {ΚΥΡ.} Κέκληται μὲν γὰρ ἐν πρώτοις ὁ Ἰσραήλ· παρεισδραμούσης δὲ μεταξὺ τῆς τῶν ἐθνῶν ἀγέλης, τέτακται μετὰ ταύτην· καὶ οἱ μὲν ἔσχατοι γεγόνασι πρῶτοι, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, οἱ δὲ πρῶτοι ἔσχατοι. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ὅτι δὲ βραχὺς ἐν ἀριθμῷ τῶν Ἰουδαίων ὁ δῆμος, ὑπερκειμένης παρὰ πολὺ τῆς ἐξ ἐθνῶν ἀμετρήτου πληθύος, δῆλον. {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Τοιγάρτοι Θεὸς πρὸς ἱεροφάντην Μωσέα φησί· «Καὶ νῦν ἔασόν με, καὶ θυμωθεὶς ἐξαναλώσω τὴν συναγωγὴν ταύτην, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ πολὺ μᾶλλον ἢ τοῦτο.» Λειτουργίαις μὲν οὖν ταῖς τοιαῖσδε τὸ Λευϊτικὸν ἅπαν ἐκτετίμηται στῖφος· καὶ ὅρος αὐτοῖς τῆς ἱερουργίας ὑπεζεῦχθαι τῷ προὔχοντι, καὶ ὑπὸ χεῖρα πράττειν τὴν Ἀαρών. Τό γε μὴν ὑπὲρ τοῦτο φρονεῖν καὶ τἀμείνω ζητεῖν, τῶν ἐκνεμηθέντων αὐτῷ καὶ διωρισμένων παρὰ Θεοῦ, ποινῆς καὶ ὀλέθρου πρόξενον, καὶ διὰ πείρας αὐτῆς ἀνεδείκνυτο. Γέγραπται δὲ πάλιν ἐν τοῖς Ἀριθμοῖς· «Καὶ ἐλάλησε Κορὲ υἱὸς Ἰσαὰρ, υἱοῦ Καὰθ, υἱοῦ Λευῒ, καὶ Δαθὰν, καὶ Ἀβειρὼν, υἱοὶ Ἐλιὰβ, καὶ Ἅϋν, υἱὸς Φαλὲθ, υἱοῦ Ῥουβὴν, καὶ ἀνέστησαν ἔναντι Μωσῆ, καὶ ἄνδρες τῶν υἱῶν Ἰσραὴλ πεντήκοντα καὶ διακόσιοι, ἀρχηγοὶ συναγωγῆς σύγκλητοι βουλῆς, καὶ ἄνδρες ὀνομαστοὶ συνέστησαν ἐπὶ Μωσῆν καὶ Ἀαρὼν, καὶ εἶπαν πρὸς αὐτούς· Ἐχέτω ὑμῖν ὅτι 68.860 πᾶσα ἡ συναγωγὴ, πάντες ἅγιοι, καὶ ἐν αὐτοῖς Κύριος· καὶ διατί κατανίστασθε ἐπὶ τὴν συναγωγὴν Κυρίου; Καὶ ἀκούσας Μωσῆς, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐλάλησε πρὸς Κορὲ καὶ πρὸς πᾶσαν αὐτοῦ τὴν συναγωγὴν, λέγων· Ἐπέσκεπται καὶ ἔγνω ὁ Θεὸς τοὺς ὄντας αὐτοῦ καὶ τοὺς ἁγίους, καὶ προσηγάγετο πρὸς ἑαυτόν· καὶ οὓς ἐξελέξατο ἑαυτῷ, προσηγάγετο πρὸς ἑαυτόν. Τοῦτο ποιήσατε, λάβετε ὑμῖν αὐτοῖς πυρεῖα, Κορὲ καὶ πᾶσα ἡ συναγωγὴ αὐτοῦ, καὶ ἐπίθετε ἐπ' αὐτὰ πῦρ, καὶ ἐπίθετε ἐπ' αὐτὰ θυμίαμα ἔναντι Κυρίου αὔριον· καὶ ἔσται ὁ ἀνὴρ ὃν ἐκλέλεκται Κύριος, οὗτος ἅγιος· ἱκανούσθω ὑμῖν, υἱοὶ Λευΐ. Καὶ εἶπε Μωσῆς πρὸς Κορέ· Εἰσακούσατέ μου, υἱοὶ Λευΐ. Μὴ μικρόν ἐστι τοῦτο ὑμῖν, ὅτι διέστειλεν ὁ Θεὸς Ἰσραὴλ ὑμᾶς ἐκ συναγωγῆς Ἰσραὴλ, καὶ προσηγά-γετο ὑμᾶς πρὸς ἑαυτὸν λειτουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς Κυρίου, καὶ παρίστασθαι ἔναντι τῆς σκηνῆς λατρεύειν αὐτῷ, καὶ προσηγάγετό σε καὶ πάντας τοὺς ἀδελφούς σου υἱοὺς Λευῒ μετὰ σοῦ, καὶ ζητεῖτε ἱερατεύειν;» Λειτουργίαν γὰρ ἔχοντες οἱ ἀπὸ Καὰθ, τὸ εἰς ὤμους αἴρειν τὰ Ἅγια τῶν ἁγίων, ἐπέθρωσκον ἀμαθῶς τοῖς ὑπερκειμένοις καὶ τοῖς τῶν ἱερέων φιλονεικοῦσι μέτροις. Ἑαυτοῖς γὰρ ἁρπάζοντες τὰς τιμὰς, κατὰ τὸ γεγραμμένον, καὶ τῆς μὲν θείας ἀλογήσαντες ἐντολῆς, νόμους δὲ τῆς ἱερουργίας ὑπερθέοντες ἀνοσίως, τὰς τῶν προεστηκότων τιμὰς ὀλίγου παντελῶς ἀξιοῦντες λόγου. Ἔφασκον γὰρ πρὸς Μωσέα καὶ Ἀαρών· «Ἐχέτω ὑμῖν ὅτι πᾶσα ἡ συναγωγὴ, πάντες ἅγιοι, καὶ ἐν αὐτοῖς Κύριος.» Ἀκούεις ὅπως τὸ σφίσιν αὐτοῖς ἐκνεμηθὲν μέτρον ἀτιμάζουσι, μόνον δὲ οὐχὶ κοινὴν εἶναί φασι, καὶ οὐχὶ δήμοις τοῖς αὐτοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι τὴν τοῦ ἀρχιερέως τιμὴν, καὶ οὐδὲν ὅλως τὸ περιττὸν, ἢ περιφανέστερον, κἂν εἰ ὑπερκεῖσθαι λέγοιντο ψήφῳ τὸ χρῆμα λαχόντες τῇ παρὰ Θεοῦ· ὅπερ ἐστὶν ἐναργῶς, ταῖς ἄνωθεν ψήφοις ἐπιτιμᾷν, καὶ οὐδὲν εἶναι λογίζεσθαι τὸ τῷ νομοθέτῃ δοκοῦν. Ἀλλ' ὁ μὲν θεσπέσιος Μωσῆς, ἠπιότητι τῇ συνήθει χρώμενος, ὡς ἠῤῥωστηκότας παρεκάλει, καὶ τὴν ὅσην οὔπω κατ' αὐτῶν ἐσομένην ὀργὴν ἐννενοηκὼς, ἐπιπλήττει λέγων· «Ἱκανούσθω ὑμῖν, οἱ υἱοὶ Λευΐ. Οὐ γὰρ μικρὸν,» φησὶν, «ὑμῖν, ὅτι ὑμᾶς ἐκ πάντων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπολέκτους ἐποιήσατο πρὸς τὴν οὕτω σεπτὴν καὶ ἀξιάγαστον λειτουργίαν ὁ τῶν ὅλων Θεός.» Οἱ δὲ ἦσαν ἔτι πικροὶ καὶ ἀτεράμονες, καὶ ἀχάλινοι πρὸς ὑπεροψίαν, ἄχρις ἂν αὐτοῖς εἰς τοῦτο κακοῦ τὰ τῆς ἀπονοίας εἰσβέβηκεν, ὡς διανοίξασαν τὴν γῆν τὸ στόμα, αὐτοῖς γένεσι καὶ σκηναῖς ἑλεῖν, καὶ ὀλέθρῳ ξένῳ περιβαλεῖν. Κατέβησαν γὰρ εἰς ᾅδου ζῶντες, κατὰ τὸ γεγραμμένον. Ἀνόσιον οὖν ἄρα καὶ θανάτου γραφὴν ἔχει παρὰ Θεῷ, τὸ κατανίστασθαι κεφαλῆς, καὶ τὸ μὴ ὑπείκειν τοῖς προτεταγμένοις, καὶ τὴν προὔχουσαν παρὰ Θεοῦ λαχοῦσι τιμήν. Συνέσεως δὲ τῆς ἀνωτάτω καρπὸς, τὸ ἐφ' ᾧ ἄν τις ἔχοι σεμνύνεσθαι καὶ εὐχαριστεῖν, καὶ μὴ τοῖς ἐπέκεινα μέτρου ῥιψοκινδύνως ἐπιπηδᾷν, μήτε μὴν ἐφίεσθαι τῶν οὔπω δεδωρημένων αὐτοῖς, οἰομένους εἶναι κοινὰ καὶ βάσιμα τοῖς πολλοῖς, ἃ μόνοις τοῖς ἄνωθεν διοικεῖται νεύμασιν. 68.861 {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἐν τάξει δὴ οὖν τῇ ἀσυγχύτῳ τὰ ἱερά· πρέποι γὰρ ἂν ὡδὶ, καὶ οὐχ ἑτεροίως ἔχειν. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Κοινὸν δὲ ὥσπερ ἀμφοῖν ἀπονέμει κλῆρον, τὰς τῶν ὑπὸ χεῖρα δωροφορίας, καὶ ἅπερ ἀνοίσειέ τις εἰς ἀνάθημα καὶ θυσίαν τῷ Θεῷ, ταῦτα δεῖν εἶναί φησιν ἱερέων τε ἅμα καὶ Λευϊτῶν. Ἔφη γὰρ οὕτω πρὸς Ἀαρὼν ὁ τῶν ὅλων Θεός· «Ἐν τῇ γῇ αὐτῶν οὐ κληρονομήσεις, καὶ μερὶς οὐκ ἔσται σοι ἐν αὐτοῖς· ὅτι ἐγὼ μερίς σου καὶ κληρονομία σου ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ. Καὶ τοῖς υἱοῖς Λευΐ· Ἰδοὺ δέδωκα πᾶν ἐπιδέκατον ἐν Ἰσραὴλ ἐν κλήρῳ ἀντὶ τῶν λειτουργιῶν αὐτῶν, ὅσα αὐτοὶ λειτουργοῦσι λειτουργίαν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ οὐ προσελεύσονται ἔτι οἱ υἱοὶ Ἰσραὴλ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου λαβεῖν ἁμαρτίαν θανατηφόρον, καὶ λειτουργήσει ὁ Λευΐτης αὐτὸς τὴν λειτουργίαν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ αὐτοὶ λήψονται τὰ ἁμαρτήματα αὐτῶν· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς αὐτῶν, καὶ ἐν μέσῳ υἱῶν Ἰσραὴλ οὐ κληρονομήσουσι κληρονομίαν· ὅτι τὰ ἐπιδέκατα τῶν υἱῶν Ἰσραὴλ ὅσα ἐὰν ἀφορίσωσι Κυρίῳ, ἀφαίρεμα δέδωκα τοῖς Λευΐταις ἐν κλήρῳ· διὰ τοῦτο εἴρηκα αὐτοῖς· Ἐν μέσῳ υἱῶν Ἰσραὴλ οὐ κληρονομή-σουσι κλῆρον.» Ἐν δέ γε τῷ Δευτερονομίῳ τὸν αὐτὸν ὥσπερ ἀνακυκλώσας λόγον, ὧδέ πή φησιν· «Οὐκ ἔσται τοῖς ἱερεῦσι τοῖς Λευΐταις ὅλῃ φυλῇ Λευῒ μερὶς, οὐδὲ κλῆρος μετὰ Ἰσραήλ. Καρπώματα Κυρίου ὁ κλῆρος αὐτῶν· φάγονται αὐτά. Κλῆρος δὲ οὐκ ἔσται αὐτοῖς ἐν τοῖς ἀδελφοῖς αὐτῶν· Κύριος αὐτὸς κλῆρος αὐτοῦ, καθότι εἶπεν αὐτῷ. Καὶ αὕτη ἡ κρίσις τῶν ἱερέων τὰ παρὰ τοῦ λαοῦ παρὰ τῶν θυόντων τὰ θύματα, ἐάν τε μόσχον, ἐάν τε πρόβατον· καὶ δώσεις τὸν βραχίονα τῷ ἱερεῖ, καὶ τὰ σιαγόνια, καὶ τὸ ἔνυστρον, καὶ τὰς ἀπαρχὰς τοῦ σίτου σου, καὶ τοῦ οἴνου σου, καὶ τοῦ ἐλαίου σου, καὶ τὴν ἀπαρχὴν τῶν κουρῶν τῶν προβάτων σου δώσεις αὐτῷ· ὅτι αὐτὸν ἐξελέξατο Κύριος ἐκ πασῶν τῶν φυλῶν σου, παρεστάναι ἔναντι Κυρίου τοῦ Θεοῦ, λειτουργεῖν καὶ εὐλογεῖν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ πάσας τὰς ἡμέρας.» Ἄθρει δὴ οὖν ὅπως ἀσύντακτον τῷ λαῷ τὸ ἱερόν ἐστι γένος, καὶ διεσχοίνισταί πως τῶν ἄλλων· καὶ οὐχὶ δὴ μόνοις τοῖς κατὰ τὴν λειτουργίαν ἐπιτηδεύμασιν, ἀλλὰ γὰρ ἤδη καὶ τῇ τῆς ἐλπίδος διαφορᾷ. Τοῖς μὲν γὰρ τὸν χαμαιπετῆ διαζῶσι βίον, καὶ τοῖς ἐπιγείοις προστετηκόσι καὶ δεδιψηκόσι τὰ πρόσκαιρα, καὶ ἐν ἴσῳ σκιαῖς παρελαύνοντα, λέγοιτ' ἂν εἰκότως· «Αὕτη ἡ μερίς σου, οὗτος ὁ κλῆρός σου, μερὶς τοῦ ἀπειθεῖν ὑμᾶς ἐμοὶ, λέγει Κύριος.» Τοῖς δὲ τὴν ἁγίαν καὶ ἀμώμητον ἐκτετιμηκόσι ζωὴν, καὶ ἀπολέκτοις ἤδη δι' ἀρετὴν, εὖ μάλα ῥητέον· «Ἐν τῇ γῇ αὐτῶν οὐ κληρονομήσεις, καὶ μερὶς οὐκ ἔσται σοι ἐν αὐτοῖς· ὅτι ἐγὼ μερίς σου καὶ ἡ κληρονομία σου, 68.864 φησὶ Κύριος.» Καὶ γοῦν ὁ Σωτὴρ, προσελθόντι ποτὲ καὶ ἐρομένῳ τινὶ, ὅπως ἂν ἔχοι ζωὴν τὴν αἰώνιον, «Τὰς ἐντολὰς οἶδας, φησὶ, τὸ, Οὐ φονεύσεις, Οὐ μοιχεύσεις, Οὐ κλέψεις,» καὶ τὰ συγγενῆ. Τοῦ δὲ, ὅτι τῶν μὲν τοιούτων γένοιτο φύλαξ ἀναφανδὸν εἰρηκότος, προσερομένου δὲ καὶ προστεθεικότος τὸ, Τί ἔτι ὑστερῶ; «Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο, ἀκολούθει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μοι.» Ἀνάγκη δὴ οὖν τοὺς ἀπερισπάστως τῷ Θεῷ λειτουργεῖν ἐθέλοντας, ἕπεσθαί τε δεῖν οἰομένους αὐτῷ, ἀποφοιτᾷν μὲν τῶν ἐπιγείων, κλῆρον καὶ αὐτὸν ποιεῖσθαι μόνον, καὶ τῇ εἰς αὐτὸν ἐλπίδι καταπιαίνεσθαι, κατὰ τὸ ἐν Ψαλμοῖς ᾀδόμενον· «Κατατρύφησον τοῦ Κυρίου, καὶ ἔλπισον ἐπ' αὐτὸν, καὶ αὐτὸς ποιήσει.» Ἀφορίζει τοίνυν τὰ ἐπιδέκατα τοῖς Λευΐταις, εἰς ἀντίδοσιν τοῦ πόνου τῆς λειτουργίας αὐτῶν. Οὐ γὰρ ἀμισθὶ τοῖς ἁγίοις ὁ πόνος, ἀλλ' ἐξαίρετοι μὲν αἱ τιμαὶ, περιφανῆ δὲ τὰ γέρα. «Μὴ γὰρ δὴ μεριμνᾶτε, φησὶν ὁ Σωτὴρ, τῇ ψυχῇ ὑμῶν, τί φάγητε, καὶ τῷ σώματι τί ἐνδύσησθε· ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.» Ἁμαρτήματα δὲ ὀνομάζει πάλιν, τὰ ὑπὲρ ἁμαρτιῶν σφαζόμενα. Τύποι δ' ἂν εἶεν καὶ ταῦτα Χριστοῦ, τοῦ δι' ἡμᾶς τεθυμένου, καὶ ὑπομείναντος τὴν σφαγὴν, ἵνα καταργήσῃ τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐδεστὰ δὲ μόνοις τοῖς ἱερουργοῖς τὰ ὑπὲρ τῆς ἁμαρτίας. Πρέποι γὰρ οὐ ταῖς ἀνιέροις ψυχαῖς τὸ χρῆναι μεταλαχεῖν τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ, ἀλλὰ ταῖς ἀπολέκτοις καὶ καθαραῖς, αἷς ἄν τις ἐπιφωνήσειε τὸ, «Ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν.» Ἐξῄρηνται δὲ τοῖς εἰς τὸ λειτουργεῖν ἐπιτεταγμένοις, ὅ τε βραχίων καὶ τὰ σιαγόνια, καὶ μὴν καὶ τὸ ἔνυστρον· ἐνεῖναι γὰρ δεῖ τῷ ἀπολέκτῳ γένει τὸ πρακτικὸν καὶ δραστήριον· καὶ τοῦτό ἐστιν ὁ βραχίων· καὶ μέντοι καὶ λόγον, δῆλον δὲ ὅτι τὸν διδακτικὸν, οὗ τύπος τὰ σιαγόνια· προσέτι δὲ καὶ τὸ ἔνυστρον, δι' οὗ τὸ καρπογόνον εὖ μάλα σημαίνεται. Ἦ γὰρ οὐχὶ πρακτικὸν καὶ ἐλλογιμώτατον, καὶ μέντοι καὶ γονιμώτατον εἶναι χρὴ τὸν ἀληθῶς καὶ Θεῷ γνώριμον; {ΠΑΛΛ.} Πάνυ μέν. {ΚΥΡ.} Οὐκοῦν ἀπόκληρον μὲν τὸ Λευϊτικὸν ἐποιεῖτο γένος, καὶ κλῆρον αὐτῷ τὸν ἐξαίρετον ἑαυτὸν ἐπιδούς. Τό γε μὴν εἰσάπαν ἔξω τεθεῖσθαι τῶν ἄλλων δοκεῖν, διά γε τὸ μηδὲν ὅλως ἑλεῖν, οὐκ ἠφίει χρησίμως· συνεμέτρει δὲ ὥσπερ τὸ χρῆμα, βραχύ τι δοὺς εἰς ἀναγκαίαν ἀπόλαυσιν· γέγραπται γὰρ ὡδί· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην, κατὰ Ἱεριχὼ, λέγων· Σύνταξον σοῖς υἱοῖς Ἰσραὴλ, καὶ δώσουσι τοῖς Λευΐταις ἀπὸ τῶν κλήρων κατασχέσεως αὐτῶν πόλεις κατοικεῖν, καὶ τὰ προάστεια τῶν πόλεων κύκλῳ αὐτῶν δώσουσι τοῖς Λευΐταις· καὶ ἔσονται αὐτοῖς αἱ πόλεις κατοικεῖν, καὶ τὰ ἀφορίσματα αὐτῶν ἔσται 68.865 τοῖς κτήνεσιν αὐτῶν, καὶ πᾶσι τοῖς τετράποσιν αὐτῶν. Καὶ τὰ συγκυροῦντα τῶν πόλεων, ἃς δώσετε τοῖς Λευΐταις, ἀπὸ τείχους τῆς πόλεως καὶ ἔξω δισχιλίους πήχεις κύκλῳ, καὶ μετρήσεις ἔξω τῆς πόλεως τὸ κλίτος τὸ πρὸς ἀνατολὰς δισχιλίους πήχεις, καὶ τὸ κλίτος τὸ πρὸς λίβα δισχιλίους πήχεις, καὶ τὸ κλίτος τὸ πρὸς θάλασσαν δισχιλίους πήχεις, καὶ τὸ κλίτος τὸ πρὸς βοῤῥᾶν δισχιλίους πήχεις, καὶ ἡ πόλις μέσον τούτου ἔσται ὑμῖν, καὶ τὰ ὅμορα τῶν πόλεων, καὶ τὰς πόλεις δώσετε τοῖς Λευΐταις, τὰς ἓξ πόλεις τῶν φυγαδευτηρίων, ἃς δώσετε φυγεῖν ἐκεῖ τῷ φονεύσαντι.» Ἐφεῖται γὰρ τοῖς ἁγίοις, καὶ ἐν τῷδε τῷ κόσμῳ κεκτῆσθαι τὰ ζωαρκῆ, καὶ ὅσαπερ ἂν αὐτοῖς, ὡς πρός γε τὴν ἀναγκαίαν τοῦ σώματος χρείαν, ἀρκέσειεν ἄν. «Ἔχοντες γὰρ, φησὶ, διατροφὰς, καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.» Καὶ τὸ ἔτι περιττὸν, οὐκ ἀζήμιον. Πολίχναι δὴ οὖν καὶ δωμάτια, περισπόριά τε, καὶ τοῦτο μεμετρημένα, τοῖς ἁγίοις ἐκνενέμηνται λειτουργοῖς· ἐδικαίου γὰρ ὧδε Θεὸς, οὔτε τοῖς ὑπὲρ τὴν χρείαν ἢ εἰς τρυφὴν ἀνιεὶς, οὔτε μὴν τῷ λίαν κατεσφιγμένῳ καταθλίβων ἀμέτρως, ἀφιστὰς δὲ χρησίμως, καὶ τὸ πολὺ λίαν ἐνδεὲς, καὶ τὸ λυποῦν ἀφανίζων. Συνεμέτρει γὰρ τῇ χρείᾳ τὴν αὐτάρκειαν. Ἐπιτρέπεσθαί γε μὴν τοῖς Λευΐταις τὰς τῶν φυγαδευτηρίων ἐντέλλεται πόλεις, γένος τὸ μάλιστα πεπονθὸς, πλείστης δὲ ὅσης ἐπικουρίας δεόμενον, τῇ τῶν ἱερουργῶν φροντίδι παρατιθέμενος. Τύπος δὲ, οἶμαι, ταῖς ἐκκλησίαις ἐντεῦθεν, τὸ ἐπιμελεῖσθαι δεσμίων· «Μνημονεύετε» γὰρ, φησὶ, «τῶν δεσμίων, ὡς συνδεδεμένοι· τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.» {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἐν βεβαίῳ δὲ ὅτι τὰ τῆς ἐλπίδος τοῖς ἁγίοις ἱερουργοῖς, καὶ μὴν ὅτι διηνεκὴς ὁ κλῆρος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῖς, ὑπεδήλου πάλιν αἰνιγματωδῶς κατὰ τοιόνδε τινὰ τρόπον. Γέγραπται γὰρ ἐπὶ τέλει τοῦ Λευϊτικοῦ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆ, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἐὰν εἰσ-έλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ἀναπαύσεται ἡ γῆ ἣν ἐγὼ δίδωμι ὑμῖν, Σάββατα Κυρίῳ. Ἓξ ἔτη σπερεῖς τὸν ἀγρόν σου, ἓξ ἔτη τεμεῖς τὴν ἄμπελόν σου, καὶ συνάξεις τὸν καρπὸν αὐτῆς τῷ δὲ ἔτει τῷ ἑβδόμῳ Σάββατα, ἀνάπαυσις ἔσται τῇ γῇ, Σάββατα τῷ Κυρίῳ.» Διορισάμενος δὲ τὸν Σαββατισμὸν, ἄσπορόν τε καὶ ἀνήροτον ἀνεῖσθαι τὴν γῆν ἐν ἔτει προστεταχὼς τῷ ἑβδόμῳ, προσεπάγει πάλιν· «Καὶ ἐξαριθμήσεις σεαυτῷ ἑπτὰ ἀναπαύσεις ἐτῶν, ἑπτὰ ἔτη ἑπτάκις. Καὶ ἔσονταί σοι ἑπτὰ ἑβδομάδες ἐτῶν ἐννέα καὶ τεσσαράκοντα ἔτη, διαγγελεῖτε σάλπιγγος φωνῇ ἐν πάσῃ τῇ γῇ ὑμῶν, ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, τῇ δεκάτῃ τοῦ μηνὸς, τῇ ἡμέρᾳ τοῦ ἱλασμοῦ διαγγελεῖτε σάλπιγγι ἐν πάσῃ τῇ γῇ ὑμῶν. Καὶ ἁγιάσετε τὸ ἔτος τὸν πεντηκοστὸν ἐνιαυτὸν, καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς γῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. Ἐνιαυτὸς ἀφέσεως, σημασία αὕτη ἔσται ὑμῖν, καὶ ἀπελεύσεται εἷς ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ, 68.868 καὶ ἕκαστος εἰς τὴν πατριὰν αὐτοῦ ἀπελεύσεσθε. Ἀφέσεως σημασία αὕτη, τὸ ἔτος τὸ πεντηκοστὸν ἐνιαυτὸς ἔσται ὑμῖν.» Τίς μὲν οὖν ὁ λόγος τοῦ καὶ αὐτὴν ἀνεῖσθαι τὴν γῆν, τί δὲ δὴ οὖν καὶ τὸ τῆς ἀφέσεως ἔτος ὑποδηλοῖ, βασανιοῦμεν εὐκαίρως· ὅτι δὲ ἐξαίρετος τοῖς Λευΐταις ὁ κλῆρος, λελέξεται· τέως δὲ γράφει ὡδὶ πάλιν· «Ἐὰν δέ τις ἀποδῶται τὴν οἰκίαν οἰκέτῃ τὴν ἐν πόλει τετειχισμένῃ, καὶ ἔσται ἡ λύτρωσις αὐτῆς, ἕως πληρωθῇ ἐνιαυτὸς ἡμερῶν, ἔσται ἡ λύτρωσις αὐτῆς· ἐὰν δὲ μὴ λυτρωθῇ, ἕως ἂν πληρωθῇ αὐτῆς ἐνιαυτὸς ὅλος, κυρωθήσεται ἡ οἰκία ἡ οὖσα ἐν πόλει τῇ ἐχούσῃ τεῖχος βεβαίως τῷ κτησαμένῳ αὐτὴν εἰς τὰς γενεὰς αὐτοῦ· καὶ οὐκ ἐξελεύσεται ἐν τῇ ἀφέσει. Αἱ δὲ οἰκίαι αἱ ἐν ἐπαύλεσιν, αἷς οὐκ ἔστιν ἐν αὐταῖς τεῖχος κύκλῳ, πρὸς τὸν ἀγρὸν τῆς γῆς λογισθήσονται· λυτρωταὶ διαπαντὸς ἔσονται, καὶ ἐν τῇ ἀφέσει ἐξελεύσονται. Καὶ αἱ πόλεις τῶν Λευϊτῶν, οἰκίαι τῶν πόλεων κατασχέσεως αὐτῶν, λυτρωταὶ διαπαντὸς ἔσονται τοῖς Λευΐταις, καὶ ὃς ἂν λυτρώσηται παρὰ τῶν Λευϊτῶν, καὶ ἐξελεύσεται ἡ διάπρασις αὐτῶν οἰκιῶν πόλεως κατασχέσεως αὐτῶν ἐν τῇ ἀφέσει· ὅτι οἰκίαι τῶν πόλεων τῶν Λευϊτῶν κατάσχεσις αὐτῶν ἐν μέσῳ υἱῶν Ἰσραὴλ, καὶ οἱ ἀγροὶ ἀφωρισμένοι ταῖς πόλεσιν αὐτῶν οὐ πραθήσονται· ὅτι κατάσχεσις αἰωνία τοῦτο αὐτῶν ἐστιν.» {ΠΑΛΛ.} Καὶ τί δὴ ἄρα φησὶν ὁ νόμος; συνίημι γὰρ οὐ σφόδρα. {ΚΥΡ.} Ἄκουε δή· τὰ μὲν γὰρ ἐν ἄστει τῶν οἰκοδομημάτων ἃ ἂν ἐκπρίαιντό τινες παρὰ τῶν κυρίων, ἐξέστω, φησὶ, τοῖς ἀποδομένοις, ἀναμοιράσασθαι τὸ δοθὲν καὶ μέχρις ἔτους ἑνός· εἰ δὲ μὴ τοῦτο γένηται, παρῳχηκότος ἐνιαυτοῦ, κύριος ἔστω, φησὶ, καὶ γραμμάτων ἔξω λοιπὸν ὁ πριάμενος. Εἰ δὲ ἀγρὸς εἴη καὶ ἔπαυλις, ἐξέστω, φησὶ, τὸ ἀνακομίζεσθαι διὰ παντὸς, ἐκτετικότος τῷ πριαμένῳ τὸ δοθὲν ἀργύριον τοῦ ἀπεμπωληκότος. Οὐκ ἔχοντος δὲ καταθεῖναι καὶ ἀναλαβεῖν, ἀνεῖσθαι προστέταχεν ἐν ἔτει πεντηκοστῷ, ἐκτετικότος οὐδὲν τοῦ πάλαι Κυρίου. Κατελογίζετο γὰρ ὁ νόμος τῷ πριαμένῳ τὴν κτῆσιν, τοῦ μακροῦ χρόνου τὰ κέρδη πρὸς τὴν τῶν ὀφλημάτων ἀντέκτισιν. Ἀλλὰ ταυτὶ μὲν ἐπὶ τοῖς ἀγελαίοις ἐθεσμοθέτει Θεός. Ἀνὰ μέρος δὲ ὥσπερ πάλιν καὶ ὡς ἐν ἰδίᾳ ἐτί-θει τιμῇ τὰ Λευϊτικὰ, λυτρωτὰ διὰ παντὸς εἶναι λέγων αὐτὰ, καὶ ἐπιπράσκεσθαι διακωλύων· «Μερὶς γὰρ αὕτη, φησὶ, καὶ κλῆρος αὐτοῖς.» {ΠΑΛΛ.} Ἆρ' οὖν, ὦ γενναῖε, μέχρι τούτων ἡμῖν ὁ τοῦ νόμου σκοπὸς, ἐκτέκοι δ' ἂν ὅλως οὐδὲν τῶν ἀναγκαίων ἡ βάσανος; {ΚΥΡ.} Εἶτα πῶς πνευματικὸς ἔτι ὁ νόμος; ἢ πῶς οὐκ ἄξιον ἐννοεῖν, ὅ τί ποτε ἄρα φησὶ τὸ Γράμμα τὸ ἱερὸν, τοῦ δὴ χάριν, ἀλύτρωτα μὲν τὰ ἐν ἄστει παρῳχηκότος ἐνιαυτοῦ ἑνὸς, ἐλλυτρώσιμα δὲ καὶ διὰ παντὸς τὰ ἔξω καὶ ἐν ἀγροῖς; Ἀλλ' ἔστιν ἰδεῖν ὡς οὐ σφόδρα πολὺς τῷ πανσόφῳ Θεῷ τῆς ἱστορίας ὁ λόγος, ἔστ' ἂν ἴοι καταροῦν τὰ πνευματικὰ, καὶ τῆς ἀληθείας οἱ χαρακτῆρες ἀκριβεῖς λίαν ἐκφαίνοιντο. 68.869 {ΠΑΛΛ.} Διασάφει δὴ οὖν ὅ τί ποτ' ἐστὶν ὅ φησιν ὁ νόμος; {ΚΥΡ.} Ἀμυδρὸν, ὦ Παλλάδιε, τῆς ἐμπωλῆς τὸ χρῆμα, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λίαν ἀνάντη τὴν προσβολὴν ἔχον, κἂν εἰ ἐν ψιλαῖς ἐννοίαις αὐτὴν περινοεῖν ἕλοιτό τις· φράσω γε μὴν, ὡς ἔνι, καὶ ὡς ἂν εἰς νοῦν ἴοι τὸν ἐμόν. Ἐρήσομαι δὲ, καί μοι λέγε· Τοῖς καταδῃοῦν εἰωθόσι πόλεις τε καὶ χώρας, τίνες ἂν εἶεν ἁλώσιμοι, καὶ οὐ σὺν ἱδρῶτι μακρῷ; πότερα δὴ φὴς, οἱ τειχῶν ἔσω καὶ πόλεων τῶν εὐπυργοτάτων, ἢ μᾶλλον οἱ ἐν ἀγροῖς; {ΠΑΛΛ.} Καὶ τίνι τοῦτο ἀσυμφανές; εὐαλωτότατοι γὰρ οἱ ἐν ἀτειχίστοις ἀγροῖς. {ΚΥΡ.} Ὀρθῶς ἔφης· οἴει δὲ δὴ τίνας ἄμεινόν τε καὶ ἐπιεικέστατα διαζῆν, ἀστικοὺς ἄρα καὶ τοὺς ἐν εἰδήσει νόμων, ἤγουν τοὺς ἐν κώμαις ἀγροικότερον ἀνατεθραμμένους; Οὐκοῦν ἀσθενέστερον μὲν οἱ ἐν ἀγροῖς προστήσονται τῆς ἑαυτῶν σωτηρίας, οἱ δὲ πόλεων εἴσω πεπυργωμένων, βουλεύσονται δὴ τὰ ἀμείνω, καὶ λογιοῦνται συννόμως τὰ σφίσιν αὐτοῖς ἀναγκαῖα πρὸς ὄνησιν, καὶ ᾗ βουλῆς καὶ σκεμμάτων καιρός. {ΠΑΛΛ.} Ἀληθές· εἰ καὶ πεπόνθασι μὲν τὸ ἡττᾶσθαι τυχόν. {ΚΥΡ.} Καὶ μὴν καὶ ἁλῶναι τοῖς ἐν ἀγρῷ, καὶ βουλῆς ἡμαρτηκόσι τῆς ἀρίστης ἔσθ' ὅτε συγγνοίη τις ἄν· ἀτείχιστοι γὰρ καὶ τῶν ἐν ταῖς πόλεσιν ἀβουλότεροι. Τούς γε μὴν ἑτέρους, ἐπαιτιῷτό τις ἂν, καὶ μάλα εἰκότως οἶμαι, εἰ μετὰ τὸ ἀμύνασθαι τοὺς ἐχθροὺς καὶ διασώσασθαι τὰ οἰκεῖα, ταῖς τῶν ἀνθεστηκότων προσβολαῖς, προὔδοσαν μὲν ἑκόντες αὐτοὶ, κακανδρίᾳ δὲ τῇ σφῶν προηττημένοι, γεγόνασιν ὑπὸ χεῖρα τῶν ἀνθεστηκότων. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Θέα δὴ οὖν Ἰουδαίους μὲν, τὴν ἁγίαν οἰκοῦντας πόλιν, περὶ ἧς φησιν ὁ τῶν ὅλων Θεός· «Καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κύκλωθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς.» Καὶ μέντοι πρὸς τόδε καὶ νόμῳ σεσοφωμένους. Τοιγάρτοι καὶ ἔφασκεν· «Μακάριοί ἐσμεν οἱ υἱοὶ Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ γνωστὰ ἡμῖν ἐστιν.» Ἆρ' οὖν, οὐχὶ δυσεμβατωτάτους κομιδῇ τοὺς τοιούτους εἶναι φὴς ταῖς τῶν δαιμονίων ἐπαγωγαῖς, εἴπερ ἕλοιντο βιοῦν ὀρθῶς, καὶ τοῖς θείοις ὑποφέρεσθαι νόμοις; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Αἱ δὲ τῶν ἐθνῶν ἀγέλαι, φρένα μὲν ἔχουσαι τὴν ἀγροικοτέραν καὶ εὐπάροιστον, παντελῶς εἶεν ἂν εἰκότως οὐ σὺν ἱδρῶτι ληπταὶ, τῷ διαρπάζοντι Σατανᾷ, γυμναὶ μὲν ἐπικουρίας τῆς ἄνωθεν, ἥκιστα δὲ τὸν παιδαγωγὸν καταπλουτοῦσαι νόμον. {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Οὐκοῦν Ἰουδαῖοι μὲν, οἱ πόλιν οἰκοῦντες 68.872 τετειχισμένην, καὶ ταῖς ἄνωθεν ἐπικουρίαις διεζωσμένην, καὶ φρένας ἔχοντες ἀστικὰς, καὶ τὸ τῷ Θεῷ δοκοῦν οὐκ ἠγνοηκότες, εἶτα τοῦ πρέποντος ἀλογήσαντες, τὸν σφίσιν αὐτοῖς ἀπονεμηθέντα κλῆρον ἀποβεβληκότες ἐκ ῥαθυμίας, καὶ τῆς ἄγαν ἐλπίδος ἐκπεπτωκότες, εἰ μὴ ἐκνήψειαν ἂν ἐκ μέθης αὐτῶν, κατὰ τὸ γεγραμμένον, καὶ ἀνακομίσαιντο τὰ οἰκεῖα, τοῦ τῆς λυτρώσεως ἐνεστηκότος ἐνιαυτοῦ, τοῦτ' ἔστι, τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, ἀπομενοῦσι λοιπὸν, καὶ διηνεκῶς ὑποκείσονται τῷ πριαμένῳ, τοῦτ' ἔστι τῷ Σατανᾷ. «Ἰδοὺ γὰρ, φησὶ, ταῖς ἀνομίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἁμαρτίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν.» Ἀνεπικούρητος δὲ παντελῶς ἡ τῶν ἐθνῶν οὖσα πληθὺς, καὶ τὴν ἄγροικόν τε καὶ ἀμαθῆ νοσοῦσα φρένα, ταύτητοι καὶ ἐξωσμένη πρὸς τὴν ὑφ' ἑτέροις δουλείαν, λυτρωτὴ διὰ παντός ἐστιν, ἐποικτείροντος τοῦ Θεοῦ· ἀναλήψεται γὰρ τὸν ἴδιον κλῆρον κεκλημένη πρὸς ἐλευθερίαν, ἐν τῷ ἔτει τῆς ἀφέσεως, ὅτε πᾶσαν τὴν ὑφ' ἡλίῳ τῆς τῶν δαιμονίων πλεονεξίας ἀνῆκε Χριστὸς, καὶ τῶν τῆς ἁμαρτίας ἐξείλετο βρόχων, καὶ δεδικαίωκεν ἐν πίστει, καὶ ἡγίακεν ἐν πνεύματι, καταργήσας τῷ ἰδίῳ σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον, ἀνεκποίητα δὲ τὰ Λευϊτικά· τετήρηται γὰρ ἀσφαλῶς τοῖς ἁγίοις ὁ κλῆρος, καὶ ἐρηρεισμένην ἔχουσι τὴν ἐλπίδα. Καὶ γοῦν ἐπὶ τῇ φιλομαθεστάτῃ Μαριὰμ ἔφη που Χριστὸς, ὅτι τὴν καλὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. Πλὴν μικροῦ καὶ μεγάλου ἱερέως καὶ λαοῦ, καὶ πάντων τῶν ἁπαξαπλῶς ἡ λύτρωσις ἐν Χριστῷ καὶ τὸ τῆς ἐλπίδος ἀσφαλές. {ΠΑΛΛ.} Ἀπεμπωλήσει δὴ οὖν τὸν ἴδιον κλῆρον ὁ Ἰσραὴλ, τῆς λυτρώσεως τὸν ἐνιαυτὸν οὐκ ἐπεγνωκώς· ἔσται γε μὴν ἐν καθέξει τῆς ἐλπίδος τὰ ἔθνη, καὶ τῶν τῆς φύσεως ἀγαθῶν ἐπανάληψις ἔσται διὰ Χριστοῦ. {ΚΥΡ.} Οὕτω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φημί· κατασφραγιεῖ δὲ τὸν λόγον ἡμῶν εἰς τὸ ἀληθὲς, ὁ τῶν ὅλων Θεὸς καὶ καθ' ἕτερον τοῦτο σημαίνων τρόπον, διὰ φωνῆς Ἰεζεχιὴλ, ἐν τῇ τοῦ οἴκου διαμετρήσει· «Τάδε λέγει Κύριος· Ἐὰν δῷ ὁ ἀφηγούμενος δόμα ἑνὶ ἐκ τῶν υἱῶν αὐτοῦ, ἐκ τῆς κληρονομίας αὐτοῦ, τοῦτο τοῖς υἱοῖς αὐτοῦ ἔσται· ἢ ἑνὶ τῶν παίδων αὐτοῦ, καὶ ἔσται αὐτῷ ἕως τοῦ ἔτους τῆς ἀφέσεως. Καὶ ἀποδώσει τῷ ἀφηγουμένῳ, πλὴν τῆς κληρονομίας τῶν υἱῶν αὐτοῦ αὐτοῖς ἔσται, καὶ οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος ἐκ τῆς κληρονομίας τοῦ λαοῦ αὐτοῦ καταδυναστεῦσαι αὐτοὺς ἐκ τῆς κατασχέσεως αὐτοῦ, ἀπὸ κληρονομίας αὐτοῦ κατακληρονομῆσαι τοῖς υἱοῖς αὐτοῦ, ὅπως μὴ διασκορπίζηται ὁ λαός μου, ἕκαστος ἀπὸ κατασχέσεως αὐτοῦ.» Ἆρά σοι σαφὲς τὸ χρησμῴδημα, καὶ ψιλὸς ὁρᾶται τῆς ἱστορίας ὁ νοῦς; {ΠΑΛΛ.} Οὐδαμῶς· ἀναμάθοιμι δ' ἂν ὡς ἥδιστά γε. {ΚΥΡ.} Ἡγούμενον, ὦ Παλλάδιε, τὸν ἀρχιερέα καλεῖ, τὸν καθηγεῖσθαι λαχόντα τῶν ὑπὸ χεῖρα λαῶν. Οὐκοῦν ἐπειδήπερ ἐπιτήδειοι καὶ ἐξαίρετοι τοῖς ἁγίοις 68.873 ἱερουργοῖς ἐκνενέμηνται κλῆροι, καὶ τούτους αὐτοῖς ἐσαεὶ διασώζεσθαι καὶ ἀναποβλήτους εἶναι προστέταχεν, ἀναγκαίως ἐκεῖνο δηλοῖ. Εἰ γὰρ γένοιτο, φησὶν, ἕνα τῶν ἡγουμένων ἤτοι τῶν ἱερουργῶν, τοῖς ἰδίοις διανεῖμαι τέκνοις ἐξ ἰδίου κλήρου τινὰ, πεπήχθω, φησὶ, τὸ δοθὲν, καὶ ἀνεκποίητον ἔστω τῷ λαβόντι τὸ δῶρον. Οἴχεται γὰρ οὐκ ἐπί τινα τῶν ἀλλογενῶν ὁ κλῆρος, ἀλλ' ἐξ ἱερέων εἰς ἱερούς. Εἰ δὲ δὴ καὶ ἑνὶ τῶν οἰκετῶν χαρίσαιτο, κεκτήσεται, φησὶν, οὐ βεβαίως ὁ λαβὼν, ἀναδραμεῖται δὲ πάντως ἐπὶ τὸν ἡγούμενον, ἐν τῷ ἔτει τῆς ἀφέσεως, ὁ κλῆρος αὐτοῦ. Προσεπιτάττει γε μὴν ἀποσείεσθαι τὸν ἱερουργὸν τοῦ τῶν ἀλλοτρίων ἐφίεσθαι κλήρου, τοῦτο γὰρ, οἶμαι, ἐστὶ τὸ, οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος ἐκ τῆς κληρονομίας τοῦ λαοῦ αὐτοῦ. Ἆρά σοι γέγονεν ἀποχρῶν ὁ λόγος εἰς τὴν τοῦ πράγματος διασάφησιν; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Ἴτω δὴ οὖν εἰς βάσανον τὴν πνευματικήν· τύποι γὰρ δὴ τὰ ἐν νόμῳ, καὶ τῆς ἀληθείας ἡ μόρφωσις ἐγκεχάρακται ταῖς σκιαῖς. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Οὐκοῦν κλῆροι μὲν ἀσφαλεῖς καὶ μένοντες, οἱ ἐκ πατέρων εἰς τέκνα, ἀπόβλητοι δὲ καὶ ἀνόπιν ἰόντες, οἱ ἐκ δεσποτῶν εἰς τοὺς οἰκέτας· τοῦτο γὰρ ἔφη τὸ Γράμμα τὸ ἱερόν. {ΠΑΛΛ.} Συνίημι. {ΚΥΡ.} Εἷς δὲ ἡμῶν τῶν ἐν πίστει δεδικαιωμένων καθηγητὴς, ὁ Χριστὸς, κλῆρον ἔχων ἴδιον, τὸν τοῦ Θεοῦ καὶ Πατρός. Τοιγάρτοι καὶ ἔφασκεν, ὅταν πρὸς αὐτὸν ἐποιεῖτο τοὺς λόγους ὡς ἐν σχήματι προσευχῆς, ὅτι «Πάντα τὰ ἐμὰ, σά ἐστι, καὶ τὰ σὰ ἐμὰ, καὶ δεδόξασμαι ἐν αὐτοῖς.» Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Μελῳδὸς, ὅτι ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, ἔδωκε δόματα τοῖς ἀνθρώποις· οὓς μὲν γὰρ ἔθετο ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, καὶ ᾧ μὲν δέδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, καὶ τὰ τούτοις ἀδελφά. Καὶ ἁπαξαπλῶς τοῖς ἰδίοις ἀγαθοῖς τὰς τῶν ἀγαπώντων αὐτὸν καταπιαίνει ψυχάς. Βεβαία δὴ οὖν καὶ ἐρηρεισμένη τοῖς ἱερουργοῖς τε καὶ ἐλευθέροις τῶν δεδωρημένων ἡ κτῆσις. Τοῖς δὲ τὸ δοῦλον ἔχουσι πνεῦμα, τοῦτ' ἔστι, τοῖς ἐξ Ἰσραὴλ, τὴν ἐλευθέραν πίστιν οὐ προσιεμένοις, ἀλλ' ὑπὸ ζυγὰ κειμένοις ἔτι τῆς βεβήλου καὶ βδελυρᾶς ἁμαρτίας, ἀπόβλητος καὶ ἀφαιρετὴ καὶ ἡ δοθεῖσα χάρις διὰ Μωσέως, τοῦτ' ἔστιν ἡ ἐν νόμῳ γνῶσις, παιδαγωγοῦσα πρὸς ἀλήθειαν. Καὶ κλῆρος μὲν ὅλως μετὰ τῶν ἁγίων οὐδεὶς, μερὶς δὲ οὐδεμία μετὰ Χριστοῦ. «Τῷ γὰρ ἔχοντι,» φησὶ, «δοθήσεται καὶ περισσευθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ.» Ὅτι δὲ ἀπόκληρος ὁ Ἰσραὴλ τὴν πίστιν οὐ προσηκάμενος, οὐδὲ τοῖς εἰς ἐλευθερίαν ἀξιώμασιν ἐκλελαμπρυσμένος, διαμεμήνυκεν ὁ Σωτὴρ, τὴν τοῦδε τοῦ νόμου, καθάπερ ἐγῷμαι, δύναμιν παρακομίζων εἰς μέσον. Ἔφη γὰρ ὧδε τοῖς ἀπειθεῖν ἑλομένοις· 68.876 «Ἀμὴν, ἀμὴν λέγω ὑμῖν ὅτι πᾶς ὁ ποιῶν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας, ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. Ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. Ἐὰν οὖν ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ἐλεύθεροι ὄντως ἔσεσθε.» Ἄθρει δὴ οὖν ὅτι τὸ χρῆναι κληρονομεῖν. ἐλευθέροις ἂν πρέποι, καὶ οὐχὶ δὴ μᾶλλον τοῖς ὑπὸ ζυγὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δουλείας· υἱοὶ γὰρ οἱ μένοντες ἐν τῇ οἰκίᾳ, καὶ οὐχὶ δοῦλοι, φησίν. {ΠΑΛΛ.} Ἀστειότατα ἔχει. {ΚΥΡ.} Προσεπάγων δὲ ὁ νόμος τὸ, «Οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος ἐκ τῆς κληρονομίας τοῦ λαοῦ αὐτοῦ, τοῦ κατακληρονομῆσαι τοῖς υἱοῖς αὐτοῦ,» παραδηλοῖ τι τοιοῦτον, ὡς οὐκ ἄν ποτε Χριστὸς, αὐτὸς γὰρ ἡμῶν ἡγούμενος, διανείμαι τισὶ τῶν ἡγιασμένων, τὸν οὐκ αὐτοῖς πρέποντα κλῆρον. Ἢ γὰρ, οὐχὶ μερὶς ὥσπερ τις ἑτέρα, καὶ κλῆρος ἕτερος, τοῖς οὐχ ὁλοκλήρως ἀνατεθεικόσι Θεῷ τὴν ἑαυτῶν ζωήν· ἕτερος δὲ καὶ ἐξαίρετος τοῖς ἐξειλεγμένοις καὶ εἰς λῆξιν διεληλακόσι τῆς ἐν Χριστῷ λαμπρότητος; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Οὐκοῦν ἀκαλλὲς ἁγίοις, τὸ παρὰ Χριστοῦ δέχεσθαι ζητεῖν ἃ τοῖς ἐν κόσμῳ πρέπει, καὶ πολιτείαν ἐπιτηδεύουσι τὴν οὐκ εἰσάπαν ἡγιασμένην. Ζητητέον δὲ μᾶλλον, σαρκικὸν μὲν οὐδὲν, θεῖα δὲ πάντα καὶ πνευματικά· οὕτω καὶ αὐτὸς ὁ Σωτὴρ τοὺς ἁγίους ἀποστόλους ποιεῖσθαι προσέταττε τῆς ἱκετείας τοὺς λόγους, διαπλάττων εὖ μάλα πρὸς τὸ ἁγιοπρεπὲς τὴν αἴτησιν. «Οὕτως» γὰρ, φησὶν, «ὑμεῖς προσεύχεσθε· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥύσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.» Τοῖς οὖν αἰτοῦσιν οὐ καθηκόντως, ἃ μὴ δίδωσιν ὁ ἡγούμενος, λελέξεται πρὸς ἡμῶν· «Αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε.» Ὅτι δέ ἐστιν ἀληθὴς ὁ λέγων πρὸς τὸν Θεὸν, ὅτι «Σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ,» πάλιν ἡμῖν ὑπαινίττεται λέγων ὁ νόμος, ὅτι «Ταύτης ἕνεκα τῆς αἰτίας, οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος, ἐκ τῆς κληρονομίας τοῦ λαοῦ αὐτοῦ, τοῦ κατακληρονομῆσαι τοὺς υἱοὺς αὐτοῦ, ὅπως, φησὶ, μὴ διασκορπίζηται ὁ λαός μου ἕκαστος ἀπὸ τῆς κληρονομίας αὐτοῦ.» Ἡτοίμασται γὰρ ὥσπερ ἑκάστῳ κλῆρος ἴδιος, καὶ ἀναλόγως τοῖς κατωρθωμένοις ἡ μερὶς παρὰ Θεοῦ. Ἢ καὶ τάχα που, φησὶν, ὡς ἔστι τῶν ἄγαν ἐκτόπων μεθίστασθαι καὶ ἐπιθυμεῖν τοὺς ἡγιασμένους, ὧν ἂν ἔχοιεν οἱ φρονοῦντες τὰ ἐν κόσμῳ, πρόσκαιρα δὲ ταῦτα καὶ σαρκικὰ, καὶ ἐν ἴσῳ σκιαῖς παρελαύνοντα. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Κλῆροι μὲν οὖν ἰδικοὶ, καὶ μέντοι καὶ πόλεις τῶν ἄλλων ἐξῃρημέναι τοῖς ἁγίοις ἱερουργοῖς, παρὰ Θεοῦ τὰ γέρα, κοινὴν δὲ ὥσπερ ἁπάντων ὁρίζει τὴν μίαν καὶ διαβόητον Ἱερουσαλήμ· ἔφη γὰρ οὕ 68.877 τως ἐν τῷ Δευτερονομίῳ· «Ἐὰν παραγένηται ὁ Λευίτης ἐκ μιᾶς τῶν πόλεων ὑμῶν, ἐκ πάντων τῶν υἱῶν Ἰσραὴλ οὗ αὐτὸς παροικεῖ, καθὸ ἐπιθυμεῖ ἡ ψυχὴ αὐτοῦ εἰς τόπον ὃν ἐκλέξηται Κύριος ὁ Θεός σου, καὶ λειτουργήσει τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ αὐτοῦ ὥσπερ πάντες ἀδελφοὶ αὐτοῦ οἱ Λευῖται οἱ παρεστηκότες ἐκεῖ ἐνώπιον Κυρίου, μερίδα μεμερισμένην φάγεται, πλὴν τῆς πράσεως αὐτοῦ τῆς κατὰ τὴν πατριάν.» Ἑνὸς γὰρ ὄντος Θεοῦ πανταχῇ τῶν ἱερέων ἅπτεσθαι χρὴ τοὺς εἴς γε τουτὶ παρενηνεγμένους, καὶ ψήφῳ τῇ ἄνωθεν ἀπολελεγμένους. Τοῦτό τοι καὶ νῦν ἐν Ἐκκλησίαις τετήρηται, καὶ τετίμηται πρὸς ἡμῶν ὁ νόμος· πόλις μὲν γὰρ ἑκάστῳ καὶ κλῆρος ἴδιος τῶν ἐξειλεγμένων εἰς ἱερωσύνην, συμπαραλαμβάνεται δὲ πρὸς ἱερουργίαν, κἂν εἰ ἐξ ἑτέρας εἰς ἑτέραν ἴοι τυχὸν, ἢ πόλιν ἢ χώραν, καὶ συνεσθίει μετὰ τῶν ἱερέων, καὶ τοῖς τῆς ἀγάπης τιμᾶται νόμοις· ἔοικε δέ τι καὶ μυστικὸν, καθάπερ ἐγῷμαι, πάλιν ὁ νόμος ὑποδηλοῦν. Μυρίαι μὲν γὰρ ἀνὰ πᾶσαν τὴν οἰκουμένην χῶραί τε καὶ πόλεις ἐν αἷς ἅγιαί τε καὶ θεοφιλεῖς ἀνθρώπων ψυχαὶ λειτουργοῦσι Θεῷ, διά γε τοῦ ζῆν ἐννόμως, καὶ πολιτεύεσθαι μὲν εὐαγγελικῶς, καταθύειν δὲ ὥσπερ αὐτῷ τὰ εἰς ὀσμὴν εὐωδίας, δῆλον δὲ ὅτι τῆς πνευματικῆς, πίστιν, ἐλπίδα, ἀγάπην, ὑπομονὴν, πραότητα, φιλοπτωχίαν· «Τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται Θεὸς,» κατὰ τὰς Γραφάς. Ἀλλ' οἶδε δὴ πάντες καθάπερ εἰς μίαν καὶ κοινὴν μητέρα συνθέουσι τὴν ἐπουράνιον Ἱερουσαλὴμ, τὴν τῶν πρωτοτόκων Ἐκκλησίαν, τὴν ἄνω καλλίπολιν, τὴν σκηνὴν τὴν ἀληθινὴν, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος, ἐκεῖ καθαρώτερον λειτουργήσομεν, ἐξαιρεθείσης μὲν ἡμῶν τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁμαρτίας εἰσάπαν, πεπαυμένου δὲ λέοντος καὶ δράκοντος, βασιλίσκου καὶ ἀσπίδος· «Ἔσται» γὰρ, φησὶν, «ἐκεῖ ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται, καὶ οὐ μὴ εὑρεθῇ ἐκεῖ λέων, οὐδὲ τῶν θηρίων τῶν πονηρῶν οὐδὲν οὐ μὴ ἀναβῇ ἐκεῖ.» Μεμερισμένην ἐκεῖ μερίδα φαγόμεθα. Γέγραπται γάρ· «Τοὺς καρποὺς τῶν πόνων σου φάγεσαι.» Ἢ οὐκ ἀνάλογος τοῖς ἑκάστου πόνοις ἡ τῶν ἀγαθῶν ἀντέκτισις, εἰ καὶ ἐν μέτρῳ πλείονι διὰ τὴν τοῦ Δεσπότου φιλοτιμίαν; «Μέτρον γὰρ, φησὶν, καλὸν, πεπιέσμενον, ὑπερεκχυνόμενον, σεσαλευμένον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν.» {ΠΑΛΛ.} Ἔφης μὲν ὀρθῶς. Πλὴν ἐκεῖνο φράσον· οὐ γὰρ ἐξῆν τοῖς Λευίταις ἐν ἰδίαις οὖσι πόλεσί τε καὶ κώμαις, ἱερουργεῖν; {ΚΥΡ.} Ἥκιστά γε· μία γὰρ ἡ σκηνὴ, καὶ ἓν τὸ θυσιαστήριον ἐφ' ᾧ πάντα τὰ ἱερὰ, εἷς δὲ καὶ νεὼς ἐν τοῖς Ἱεροσολύμοις, ὃν Σολομὼν ἀνεδείματο, τῆς ἀρχαίας ἐκείνης σκηνῆς ἀποπληρῶν τὸ σχῆμα. Ἀποφάσκει δὲ παντελῶς ὁ νόμος, τὸ ἐξεῖναί τισι, τῆς ἁγίας ἔξωθεν θύειν σκηνῆς· καὶ τοῖς τοῦτο δρᾷν ἐθέλουσιν, ὄλεθρος ἦν ἡ ζημία, καὶ ὁ περὶ τῶν ἐσχάτων ἐπήρτητο λόγος. Ἔφη γὰρ ὧδε σαφῶς· «Ἐὰν δέ τις θύσῃ πρόβατον ἢ μόσχον ἐν τῇ παρεμβολῇ, καὶ ἐπὶ 68.880 τὰς θύρας τῆς σκηνῆς μὴ ἐνέγκῃ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.» Ὅτι δὲ ἦν πᾶσά πως ἀνάγκη κατ' ἐκεῖνο καιροῦ τοὺς θύειν ἐθέλοντας, εἴς γε τὸν νεὼν καὶ εἰς τὴν ἁγίαν αὐτὴν ἀφικνεῖσθαι πόλιν, καὶ ἀποπεραίνειν ἐννόμως τὰ ἱερὰ, προσκομιζόντων αὐτὰ τῶν ἐξ αἵματος τοῦ Λευὶ, παρά σοι σαφῶς ἐπαΐειν Θεοῦ λέγοντος ἐναργῶς ἐν τῳ Δευτερονομίῳ· «Οὐ δυνήσῃ φαγεῖν ἐν ταῖς πόλεσί σου τὸ ἐπιδέκατον τοῦ σίτου σου, καὶ τοῦ οἴνου σου, καὶ τοῦ ἐλαίου σου, τὰ πρωτότοκα τῶν βοῶν σου, καὶ τῶν προβάτων σου, καὶ πάσας τὰς εὐχὰς, ὅσας ἂν εὔξῃ, καὶ τὰς ὁμολογίας ὑμῶν, καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν ὑμῶν, ἀλλ' ἢ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου φάγῃ αὐτὸ ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτῷ, σὺ καὶ οἱ υἱοί σου, καὶ ἡ θυγάτηρ σου, καὶ ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, καὶ ὁ Λευίτης, καὶ ὁ προσήλυτος ὁ ἐν ταῖς πόλεσί σου, καὶ εὐφρανθήσῃ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου ἐπὶ πάντα, οὗ ἐὰν ἐπιβάλῃς τὴν χεῖρά σου· πρόσεχε σεαυτῷ μὴ ἐγκαταλίπῃς τὸν Λευίτην πάντα τὸν χρόνον ὅσον ἂν ζῇ ἐπὶ τῆς γῆς.» Ἀπρόσιτον γὰρ τὸ Θεῖον, καὶ ἀπαράδεκτος ἡ θυσία Λευίτου δίχα· μεσιτεύουσι γὰρ, τὸν Θεοῦ καὶ ἀνθρώπων μεσίτην ἀπομιμούμενοι, τοῦτ' ἔστι Χριστόν. Ὅτι δὲ μία τέ ἐστιν ἡ Ἐκκλησία, καὶ ἓν τὸ Χριστοῦ μυστήριον, οὐκ ἔννομος δὲ θυσία, μᾶλλον δὲ καὶ ἀπόβλητος, καὶ τὸ ἁνδάνειν οὐκ ἔχουσα τῷ Θεῷ μὴ ἐν ἐκκλησίᾳ τελουμένη, παρέδειξεν ἐναργῶς ὁ νόμος, μὴ δεῖν ἔξω λέγω τῆς ἁγίας σκηνῆς τελεῖσθαι τὰ ἱερά. Ὅση δὲ τῶν τοιούτων ἡ ἐπιτήρησις, εἴσῃ τοι κἀντεῦθεν. Ἦν μὲν γὰρ ἀπεικὸς οὐδὲν, μᾶλλον δὲ καὶ ἀληθὲς, μακροῖς διαστήμασι τοῖς διὰ μέσου κειμένοις ἀπονοσφίζεσθαι τῶν Ἱεροσολύμων τὰς ἀνὰ τὴν Ἰουδαίαν πᾶσαν οὐκ εὐαριθμήτους πόλεις. Καὶ τί τὸ ἐντεῦθεν σκληρὸν καὶ δυσήνυτον, τοὺς θύειν ἐθέλοντας ἀπαρχὴν σίτου, καὶ μὴν ἐλαίου καὶ οἴνου, τοσαύτην δύνασθαι διακομίσαι τὴν τρίβον; Ὄκνον δ' ἂν ἴσως ἐνεποίησέ τισιν, ὁ ὑπὸ χεῖρα πόνος, ἀλλ' ἦν ἀκαλλὲς, μᾶλλον δὲ τῶν ἄγαν ἐκτοπωτάτων, ἐπεί τοι τὸ χρῆμα δυσχερὲς, καὶ οὐκ εὐκατόρθωτον τοῖς ἀπωτέρω κειμένοις ἦν, παραλύεσθαι τῆς ἀληθείας τὸ κάλλος, οὐκ ἐν τῇ ἁγίᾳ σκηνῇ προσκομιζόντων τὰ ἱερὰ τῶν ἐξ Ἰσραήλ. Ἵνα τοίνυν ἁπάντων ἡμῖν τῶν ἐν μέσῳ παραποδισμάτων χρησίμως ἐξῃρημένων, καὶ εἰς τὸ τῷ νομοθέτῃ δοκοῦν διεξάγοιτο λοιπὸν ὁ ἐπὶ τῷδε νόμος, πεπαιδαγώγηκεν ὁ Μωσῆς, καὶ τὴν θείαν διερμηνεύει βούλησιν ἐν τῷ Δευτερονομίῳ, λέγων· «Δεκάτην ἀποδεκατώσεις παντὸς γεννήματος τοῦ σπέρματός σου, τὸ γέννημα τοῦ ἀγροῦ σου ἐνιαυτὸν κατ' ἐνιαυτὸν, καὶ φάγῃ αὐτὸ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου ἐν τῷ τόπῳ ᾧ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ, ἐκεῖ οἴσεις τὰ ἐπιδέκατα τοῦ σίτου σου, καὶ τοῦ οἴνου σου, καὶ τοῦ ἐλαίου σου, καὶ τὰ πρωτότοκα τῶν βοῶν σου, καὶ τῶν προβάτων σου, ἵνα μάθῃς φοβεῖσθαι Κύριον τὸν Θεόν σου πάσας τὰς ἡμέρας. Ἐὰν δὲ μακρὰν γένη-ται ἡ ὁδὸς ἀπὸ σοῦ, καὶ μὴ δύνῃ ἀναφέρειν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὰ, 68.881 ὅτι μακρὰν ἀπὸ σοῦ ὁ τόπος ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ὅτι εὐλογήσει σε Κύριος ὁ Θεός σου, καὶ ἀποδώσῃ αὐτὰ ἀργυρίου, καὶ λήψῃ τὸ ἀργύριον ἐν ταῖς χερσί σου, καὶ πορεύσῃ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου, αὐτὸν ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, καὶ δώσεις ἀργύριον ἐπὶ παντὸς οὗ ἂν ἐπιθυμῇ ἡ ψυχή σου, ἐπὶ βουσὶν ἢ ἐπὶ προβάτοις, ἢ ἐπ' οἴνῳ ἢ ἐπὶ σίκερα, ἢ ἐπὶ παντὸς οὗ ἂν ἐπιθυμῇ ἡ ψυχή σου, καὶ φάγῃ ἐκεῖ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου, καὶ εὐφρανθήσῃ σὺ καὶ ὁ οἶκός σου, καὶ ὁ Λευίτης ὁ ἐν ταῖς πόλεσί σου, ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μετὰ σοῦ.» Ὁρᾷς τοῦ νόμου τὸ εὐτεχνὲς, καταψιλοῦντος τὸ ἄναντες, καὶ βάσιμα τὰ δυσπόρευτα τιθέντος εὖ μάλα, κατευμαρίζοντος δὲ καὶ τὰ λίαν δυσχερῆ; καὶ τοῦτο, οἶμαι, ἐστὶ, τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς· «Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν.» Ἐπιτήρει δὲ ὅτι πανταχῇ τε καὶ ἀναγκαίως ὁ Λευίτης παραλαμβάνεται, καταδεικνύντος ἡμῖν ἐναργῶς τοῦ νόμου, ὡς οὐκ ἂν πρόσοιτο θυσίαν ὁ τῶν ὅλων Θεὸς ἐξ ἀνιέρου χειρὸς, καὶ ἀπᾴδοντος τοῦ νόμου προσκεκομισμένην. {ΠΑΛΛ.} Ἐκτετίμηται δὴ οὖν εἰσάπαν τὸ Λευιτικόν. {ΚΥΡ.} Παντάπασι μὲν οὖν, ὦ Παλλάδιε· Χριστοῦ γὰρ τύπος, καὶ ἐκμαγεῖον ὁ ἱερεύς· ὠνόμασται γὰρ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ὁ Ἐμμανουὴλ, ἀπόστολός τε καὶ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν κατὰ τὰς Γραφὰς, ὃς οὐ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν εἰς τὰ Ἅγια τῶν ἁγίων ἐφάπαξ, αἰωνίαν λύτρωσιν εὑράμενος. Καὶ μιᾷ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους, κατὰ τὰς Γραφάς. Ἄθρει δὲ, εἴ σοι δοκεῖ, καὶ καθ' ἕτερον τρόπον, τῇ δόξῃ Χριστοῦ στεφανούμενον τὸν ἱερουργόν· διαῤῥήδην γὰρ ἡμῖν ἀνακεκραγότος αὐτοῦ καὶ λέγοντος· «Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ, ἵνα πάντες τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα·» καὶ μὴν δι' ἁγίου φωνῆς· «Εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτὴς,» παρά γε τοῖς ἱεροῖς κείμενον Γράμμασιν, ἀναμέλποντος δὲ καὶ τοῦ θεσπεσίου Δαβὶδ, ὅτι «Θεὸς κριτής ἐστι.» Τὸ ἐπὶ τῷδε λαμπρὸν ἀξίωμα, τοῖς ἐξ αἵματος ἱεροῦ προσνέμων ὁ νομοθέτης, ὧδέ πή φησιν ἐν τῷ Δευτερονομίῳ· «Ἐὰν δὲ ἀδυνατήσῃ ἀπὸ σοῦ ῥῆμα ἐν κρίσει ἀναμέσον αἷμα αἵματος, καὶ ἀναμέσον κρίσις κρίσεως, καὶ ἀναμέσον ἁφὴ ἁφῆς, καὶ ἀναμέσον ἀντιλογία ἀντιλογίας, ῥήματα κρίσεως ἐν ταῖς πόλεσιν ὑμῶν, καὶ ἀναστὰς ἀναβήσῃ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐκεῖ, καὶ ἐλεύσῃ πρὸς τοὺς ἱερεῖς τοὺς Λευίτας καὶ πρὸς τὸν κριτὴν ὃς ἂν γένηται ἐν ταῖς ἡ μέραις ἐκείναις, καὶ ἐκζητήσαντες ἀναγγελοῦσί σοι τὴν κρίσιν, καὶ ποιήσεις κατὰ τὸ πρᾶγμα ὃ ἂν ἀναγγείλωσί σοι ἐκ τοῦ τόπου οὗ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου, καὶ φυλάξῃ ποιῆσαι πάντα ὅσα ἂν νομοθετηθῇ σοι. Κατὰ τὸν νόμον καὶ κατὰ τὴν κρίσιν ἣν ἂν εἴπωσί σοι, ποιήσεις. Οὐκ ἐκκλινεῖς ἀπὸ τοῦ ῥήματος οὗ ἐὰν ἀναγγείλωσί σοι δεξιὰ οὐδὲ ἀριστερὰ, καὶ ὁ ἄνθρωπος ὃς ἐὰν ποιήσῃ 68.884 ἐν ὑπερηφανίᾳ ὥστε μὴ ὑπακοῦσαι τοῦ ἱερέως τοῦ παρεστηκότος λειτουργεῖν ἐπὶ τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ σου, ἢ τοῦ κριτοῦ ὃς ἂν ᾖ ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀποθανεῖται ὁ ἄνθρωπος ἐκεῖνος, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ. Καὶ πᾶς ὁ λαὸς ἀκούσας φοβηθήσεται, καὶ οὐκ ἀσεβήσει ἔτι.» Ὁρᾷς ἐπισκήπτοντα σαφῶς τὸν νόμον τοῖς κατὰ πᾶσαν αἰτίαν ἐγκαλεῖν ᾑρημένοις, κριτήν τε καὶ διαγνώμονα ποιεῖσθαι τὸν ἱερουργόν. Ἀλλὰ φυλάξῃ σφόδρα ποιῆσαι κατὰ πάντα ὅσα ἂν νομοθετηθῇ σοι. «Χείλη γὰρ ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον ζητήσουσιν ἐκ στόματος αὐτοῦ,» κατὰ τὴν τοῦ προφήτου φωνήν. Νομοθετεῖ μὲν γὰρ ἥκιστα μὲν αὐτὸς, ἀποκομίζει δὲ μᾶλλον εἰς τὸ εὐθὺ τὸ τῷ νομοθέτῃ δοκοῦν ἀδεκάστως ἀφηγούμενος, καὶ δικαιοσύνης ὑπάρχων ἄριστος βραβευτὴς, τὴν ἐφ' ἑκάστῳ κρίσιν ταλαντεύει λεπτῶς. Ἀγριότητος δὲ καὶ ὑπεροψίας ταύτητοι γραφὴ τοῖς ἀπειθεῖν ἑλομένοις ἀκολουθεῖ, καὶ τὸ παντῶν ἐπέκεινα διεληλακὸς τῶν κακῶν, τοῦτ' ἔστιν, ὁ θάνατος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθορίζεται, Τεθνήξεται γὰρ ὃς ἂν ἀλογήσῃ, φησὶ, τοῦ ἱερέως τοῦ παρεστηκότος λειτουργεῖν ἐπὶ τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ. Μέγα δὴ οὖν καὶ οὐκ ἀθαύμαστον ἀληθῶς, ἡ ὑπὸ Θεῷ παράστασίς τε καὶ λειτουργία. Ὁ δὲ τὸν τοῦ Θεοῦ λειτουργὸν ἀτιμάσας, ὑπὸ δίκην ἔσται καὶ κόλασιν, καὶ ὁ τὸ θεῖον ἀξίωμα περιπτύων, πικροὺς τῆς ὑπεροψίας ἀποτίσει λόγους. Πεφροντικότα δὲ καὶ αὐτὸν εὑρήσομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῆς εἰς τόνδε τὸν νόμον αἰδοῦς. Προσεφώνει γὰρ ὡδὶ τοῖς Ἰουδαίων λαοῖς· «Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν ὅσα ἂν λέγωσιν ὑμῖν, ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε.» Μηδεὶς οὖν κρινέτω τὸν ἱερουργὸν, κἂν εἰ παρειμένος ὁρῷτό πως, καὶ εἰ τὸ ῥᾴθυμον ἔχοι πρός γε τὸ βιοῦν ἑλέσθαι συννόμως, διερμηνεύοντι δὲ τὸν νόμον, προσκομιζέτω τὴν εὐπείθειαν. Πάσχει μὲν γὰρ τὰ ἀπὸ γνώμης οἰκείας, ἐξηγεῖται δὲ τὰ τοῦ Θεοῦ. Οὐκ ἀτιμαστέον οὖν τὰ τοῦ Θεοῦ διὰ τὰ ἀνθρώπινα. {ΠΑΛΛ.} Οὐ μὲν οὖν. {ΚΥΡ.} Λαμπρὸν δὲ ὅτι καὶ ἀπόβλεπτον ἀληθῶς τῆς ἱερωσύνης τὸ χρῆμα, κἀντεῦθεν εἴσῃ τοι· ἐπισημοτάτην μὲν γὰρ ἔχει τὴν εἰσβολὴν, καὶ μέν τοι καὶ τὴν κατάληξιν. Οὐδὲ γὰρ ἄν τις λάθοι πρὸς ἱερουργίαν ἠγμένος, ἤγουν κεκλημένος παρὰ Θεοῦ, πρὸς τὰς ἄνω τε καὶ ἐν οὐρανῷ μονὰς, καὶ μεθεὶς ἑτέρῳ τὴν ἱερωσύνην. Τοιγάρτοι καὶ ὁ Χριστὸς, τοὺς τὸ εὐαγγελικὸν τοῖς ἔθνεσιν ἱερουργοῦντας κήρυγμα, καὶ προσέτι τοῖς ἐξ Ἰσραὴλ πάντη τε καὶ πάντως ἔσεσθαι περιφανεῖς, καὶ ἀπόβλεπτον ἔφη λαχεῖν τὴν δόξαν. «Οὐδεὶς γὰρ λύχνον ἅψας, εἰς τὸ κρυπτὸν τίθησιν, ἀλλ' οὐδὲ ὑπὸ κλίνην,» φησὶν, «ἤγουν ὑπὸ μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα πάντες οἱ εἰσπορευόμενοι, τὸ φῶς βλέπωσιν·» ἀληθὲς γὰρ ὅτι εἰρημένον, τὸ ἐν δόξῃ φημὶ τῇ περιφανεῖ καὶ τεθαυμασμένῃ, τὸν θεῖον ἔσεσθαι λειτουργὸν, ἀναπειθέτω βοῶν καὶ
68.885 ὁ θεσπέσιος Ἡσαΐας· «Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών.» {ΠΑΛΛ.} Ἀλλ' ὧδε μὲν ὅτι ταῦτα ἔχει, παντί τῳ σαφές. Φράζε δ' ὅπως ὁ ἐπὶ τῷδε τύπος, καὶ διὰ τῶν ἱερῶν ἡμῖν ἐσκιαγραφεῖτο λόγων. {ΚΥΡ.} Καὶ μὴν, ὦ ἑταῖρε, πάρα σοι καὶ λίαν ἀμογητὶ καθορᾶν ὡς ἐν παχυτέροις ἔτι τύποις, τὸ χρῆμα γραφόμενον· ἔφη γὰρ ὧδε Θεὸς ἐν τοῖς Ἀριθμοῖς, πρὸς Μωσέα τὸν ἱερώτατον· «Λάβε τὸν Ἀαρὼν καὶ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ, καὶ ἀναβίβασον αὐτοὺς εἰς Ὢρ τὸ ὄρος ἔναντι πάσης τῆς συναγωγῆς· καὶ ἔκδυσον Ἀαρὼν τὴν στολὴν αὐτοῦ, καὶ ἔνδυσον Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ, καὶ Ἀαρὼν προστεθεὶς, ἀποθανέτω ἐκεῖ. Καὶ ἐποίησε Μωσῆς καθὰ συνέταξε Κύριος αὐτῷ, καὶ ἀνεβίβασεν αὐτοὺς εἰς Ὢρ τὸ ὄρος ἐναντίον πάσης τῆς συναγωγῆς, καὶ ἐξέδυσε τὸν Ἀαρὼν τὰ ἱμάτια αὐτοῦ, καὶ ἐνέδυσεν αὐτὰ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ, καὶ ἀπέθανεν Ἀαρὼν ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους.» Συνίης οὖν ὅπως ἀναβιβάζεται τεθνηξόμενος μὲν καὶ καταλήξων Ἀαρὼν, ἀνθεξόμενος δὲ τῆς ἱερωσύνης ὁ ἐξ αὐτοῦ, τοῦτ' ἔστιν, ὁ Ἐλεάζαρ; Κατασημήνειε δ' ἂν τὸ ὄρος τὸ περίοπτόν τε καὶ τὸ ὑψοῦ, καὶ τὸ ἐν δόξῃ περιφανές. Λελέχθω δὴ οὖν παντί τῳ λοιπὸν πρὸς ἱερουργίαν ἠγμένῳ· «Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη.»

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΤΕΣΣΑΡΑΚΛΙΔΕΚΑΤΟΣ

### Ὅτι χρὴ τοὺς φοιτᾷν ἐθέλοντας ἐν ἐκκλησίαις, καθαροὺς καὶ ἐκνενιμμένους εἶναι τὴν ἐξ ἁμαρτίας κηλίδα, καὶ οὕτω παρίστασθαι τῷ Θεῷ.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σκηνῆς μὲν οὖν πέρι καὶ μέν τοι καὶ περὶ ἱερέων καὶ Λευιτικῆς ὑπουργίας διαρκέστατά μοι ταῦτα λελέχθαι φαίνεται, καὶ λεπτῶς διεσκέφθαι δοκῶ. Πρέ 68.888 ποι δ' ἂν ὅτι μάλιστά γε τοὺς οἵπερ ἂν ἕλοιντο βιοῦν ὀρθῶς, καὶ τῆς ἐν Χριστῷ πολιτείας τὸ εἰσάπαν εὐπρεπὲς, οἱά τινα στέφανον ταῖς σφῶν αὐτῶν ἀναδεῖν κεφαλαῖς, προτροπάδην ὥσπερ ἀλλήλοις διακελεύεσθαι λέγοντας· «Δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ·» ὅτε καί τινες τὴν οὕτως εὐκλεᾶ τε καὶ ὀνησιφόρον εἰσδεδεγμένοι φωνὴν, μονονουχὶ καὶ ἀνασκιρτῶσι λέγοντες· «Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς οἶκον Κυρίου πορευσόμεθα.» Ἆρ' οὖν, ὦ Παλλάδιε, τοῖς εἰς οἶκον ἰέναι Θεοῦ διασπεύδουσι, ποταπὸς ἂν εἴη σκοπὸς καὶ ὁ νοῦς αὐτοῖς ὅποι ποτὲ ἄρα βλέποι, καὶ τί κατορθοῦν γλιχόμενοι, πρὸς τὴν ἱεράν τε καὶ θείαν ἴενται σκηνήν; {ΠΑΛΛ.} Καὶ μὴν, ὦ ἑταῖρε, τὸ χρῆμά ἐστιν οὐκ ἀσυμφανές· γέγραπται γὰρ, ὅτι «Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ·» καὶ «Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ.» {ΚΥΡ.} Προσκομίζοντες οὖν ἄρα τὰς ὑπέρ γε σφῶν αὐτῶν θυσίας, δῆλον δὲ ὅτι τὰς πνευματικὰς, καὶ μὴν καὶ προσελευσόμενοι κατὰ νοητὴν προσκύνησιν, εἰσίασί τινες εἰς τὸν οἶκον Κυρίου καὶ εἰς τὰς αὐλὰς αὐτοῦ. {ΠΑΛΛ.} Οὕτω φημί. {ΚΥΡ.} Οἰησόμεθα δὴ οὖν τοὺς εἰσφοιτᾷν ἐθέλοντας, χρῆναι διάττειν ἁπλῶς, οὐκ ἐκνενιμμένους τὴν ἁμαρτίαν, οὐ βδελυρίας ἀπηλλαγμένους, οὐκ ἀπεξεσμένους ὥσπερ τῆς φιλοσαρκίας τὸν ῥύπον, ἀλλ' ἐντετηγμένον ἔχοντας τὸν νοῦν, καὶ καρδίαν ἰώδη ἔχοντας; Ἥκιστά γε, λαμπρότητι δὲ μᾶλλον τῇ ἐν Χριστῷ κατηγλαϊσμένους, καὶ τὸ παμποίκιλον τῆς θεοφιλεστάτης ἀρετῆς διαστίλβοντας κάλλος. {ΠΑΛΛ.} Πάνυ μὲν οὖν· δεῖν γὰρ ἔγωγέ φημι κατ' ὀφθαλμοὺς ἰέναι Κυρίου, κηλίδος ἁπάσης τῶν ἡμετέρων διανοιῶν προεκτετριμμένης. {ΚΥΡ.} Ὀρθῶς ἔφης, ἐπεί τοι καὶ στυγητὸν, καὶ μὴν καὶ ἀπόβλητον ποιεῖται τὸν ἄῤῥωστον, καὶ τῆς τῶν ἁγίων ἐκπέμπει πληθύος. Ὃ δὴ καὶ εὖ μάλα συνιεὶς ὁ θεσπέσιος γράφει Παῦλος· «Ἐξάρατε οὖν τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.» Καὶ οὐκ ἠθῶν ἀγριότητα φαίην ἂν ἔγωγε τὸ χρῆμα καρπὸν, ἀλλὰ σοφὸν ἀσφαλείας εὕρεμα. «Μικρὰ γὰρ ζύμη,» φησὶν, «ὅλον τὸ φύραμα ζυμοῖ.» Τοῦτό τοι πάλιν καὶ νόμος ἡμῖν ἱερὸς αἰνιγματωδῶς ὑπετύπου. Γέγραπται γὰρ ἐν τοῖς Ἀριθμοῖς· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐξαποστειλάτωσαν ἐκ τῆς παρεμβολῆς πάντα λεπρὸν καὶ πάντα γονοῤῥυῆ, καὶ πάντα ἀκάθαρτον ἐπὶ ψυχῇ, ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ, ἐξαποστείλατε ἔξω τῆς παρεμβολῆς, καὶ οὐ μιανοῦσι τὰς παρεμβολὰς αὐτῶν ἐν οἷς ἐγὼ καταγίνομαι ἐν αὐτοῖς. Καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσραήλ» Ἆρ' οὐκἀληθὲς εἰπεῖν ὡς δυσαχθὲς ἄγαν καὶ δυσδιακόμιστον ἀληθῶς τὸ τοῦ νόμου φορτίον; Συνίης γὰρ ὅπως καὶ ἐπ' ἀνεθελήτοις ἀῤῥωστίαις καταγράφει δίκην, καίτοι 68.889 κατοικτείρεσθαι δέον τοὺς ταῖς τοιαύταις ἐναλόντας συμφοραῖς· ἀνθ' ὅτου γὰρ δὴ διαπορήσειεν ἄν τις καὶ μάλα εἰκότως, ἔξοικόν τε καὶ ἀπόπεμπτον ἐποιεῖτο τὸν λεπρὸν, καὶ μέντοι πρὸς τούτοις τὸν γονοῤῥοίας πάθει κατισχημένον, καὶ αὖ τὸν ἀκάθαρτον ἐπὶ ψυχῇ; {ΠΑΛΛ.} Οὐκ ἂν ἔχοιμι νοεῖν, φράσαις δ' ἂν ἴσως αὐτός. {ΚΥΡ.} Οἶμαι δὴ οὖν ὅτι τῶν ἐν πάχει καὶ σωματικῶν πραγμάτων οὐ σφόδρα πολὺς παρὰ Θεῷ λόγος ἦν, τὴν θείαν ἡμῖν καὶ πνευματικὴν προανατυποῦντι λατρείαν. Κολάζεται μὲν γὰρ τὰ ἔξω νόμου, καὶ ὅσα τοῦ πρέποντος ἐκβεβηκότα φαίνεται, ταυτὶ φαίην ἂν ὑπὸ κρίσιν εἶναι καὶ δίκην, ἀῤῥώστημα δὲ τὸ σωματικὸν, κατ' οὐδένα τρόπον προσκρούσειεν ἂν τοῖς νόμοις. Κείσεται δὴ οὖν εἰκότως καὶ ἀπωτάτω γραφῆς, καὶ τὸ ἐγκαλεῖσθαι πρός τινος, οὐκ ἂν ἔχοι ποθέν· ἢ γὰρ οὐχὶ παντί τῳ σαφὲς, ὅτι νοσεῖ μὲν ἑκὼν οὐδεὶς, εὐκταιότατον δὲ πᾶς τις οὖν, οἶμαι, ποιεῖται τὸ εὐρωστεῖν; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Οὐκοῦν κἂν εἰ ἔχοι τι τὸ ἀκαλλὲς τῆς ἱστορίας ὁ λόγος, τὸ λυποῦν οὐδέν ἐστιν, ἂν διεξάγοιτο καλῶς τὰ πνευματικὰ πρός γε τὸ τῷ νομοθέτῃ δοκοῦν. Λέπρα τοίνυν ἐστὶ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σαρκὸς νέκρωσις, καὶ βορὸν ὅτι μάλιστα τὸ πάθος. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Μωσῆς λελεπρωμένης αὐτῷ τῆς Μαρίας, περιδεὴς γεγονὼς, ἄθυμός τε λίαν, ἐλιπάρει, λέγων· «Ὁ Θεὸς, δέομαί σου, ἴασαι αὐτὴν,» ἔφη γάρ· «Μὴ γένηται ὡσεὶ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς, καὶ καταφάγεται τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς.» Γονοῤῥυᾶ δὲ τί ἂν λέγοιμι, ποταπὸν τὸ πάθος; ἠγνόηκε γὰρ οὐδείς. Τό γε μὴν ἀκαθάρτους εἶναί τινας ἐπὶ ψυχῇ, τοιόνδε τι δηλοῖ, τὸ κατοιχομένου θίγειν καὶ ἀγχοῦ γενέσθαι νεκροῦ σώματος, εἰς μολυσμοῦ τρόπον τοῖς ἀρχαιοτέροις ὁ νόμος κατελογίζετο, ἀπηχθημένην Θεῷ τῷ πάντα ζωογονεῖν ἰσχύοντι, τὴν νεκρότητα δεικνύς. Καὶ μὴν καὶ ἑτέρως, εἰς νοῦ καὶ ψυχῆς νέκρωσιν καθάπερ ἐν τύπῳ παχεῖ, τὸ χρῆμα δεχόμενος. Νεκρὸς δὲ νοῦς καὶ ἀπεψυγμένος, ὁ φιλαμαρτήμων, καὶ τῶν εἰς ζωὴν ἀνδραγαθημάτων ἀμοιρεῖν εἰθισμένος. Ἀλλ' εἰ τεθνάναι συνέβη τινὰς, πᾶσά πως ἀνάγκη, τοὺς ἐξ αἵματός τε καὶ κατὰ γένος οἰκείους συνιέναι τε καὶ δρᾷν ἐπ' αὐτῷ τὰ νενομισμένα· πλὴν ἀκάθαρτοι καὶ οὗτοι κατὰ τὸν νόμον, οὐκ εἰσάπαν δὲ καὶ μέχρι παντὸς, ἀλλ' ἦν τις αὐτοῖς ἀποκαθάρσεως τρόπος. Ἔχεις ἀποχρῶσαν τῆς ἱστορίας δήλωσιν. {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Φέρε δὴ οὖν εἰς πνευματικὴν θεωρίαν μεταστοιχειοῦντες αὐτὴν, ἐκεῖνο λέγωμεν, ὅτι σημαίνει μὲν ἡμῖν ὁ λεπρὸς, τὸν τοῖς εἰς νεότητα πάθεσι ποικίλοις κατεστιγμένον. Ταῦτα δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἃ καὶ αὐτὸς ἡμῖν ὁ σοφώτατος Παῦλος κατηριθμεῖτο λέγων· «Πορνεία, ἀκαθαρσία, εἰδωλολατρεία, ἔχθραι, ἔρις, θυμοὶ, ζῆλοι.» Ἕτερός γε μὴν, 68.892 τοῦτ' ἔστιν, ὁ γονοῤῥυὴς, τὸν ἀεὶ καὶ ἀσχέτως ἐν μολυσμοῖς, καὶ τὴν τῆς φύσεως ἐπιτηδειότητα πρὸς καρποφορίαν ἐνάρετόν τε καὶ ἀξιάγαστον δαπανῶντα πρὸς τὸ μηδέν. {ΠΑΛΛ.} Οἷον δέ τι φῄς; {ΚΥΡ.} Πλατὺς μὲν λίαν ὁ ἐφ' ἅπασι λόγος· ἑνὶ δὲ δὴ τέως σαφεῖ καὶ ἐναργεστάτῳ κεχρήσομαι παραδείγματι, πρὸς ἀπόδειξιν ὧν ἔφην· οἱ τὸν νοῦν ἔχοντες εὐφυᾶ καὶ οἱονείπως ἀπεξεσμένον τοῖς περὶ τῆς ἀληθείας αὐτὸν ἐνιέντες λόγοις, ἆρ' οὐχὶ τὸ ἐν ὀρθότητί τε καὶ ἀτρεκείᾳ δογμάτων εὐπρεπὲς καρπὸν ἕξουσιν οὐκ ἀθαύμαστον; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Οἱ δέ γε τουτὶ μὲν, οὐχὶ φρονεῖν τε καὶ δρᾷν ᾑρημένοι, παρατρέποντες δὲ μᾶλλον τῆς ἀναγκαίας ὁδοῦ, καὶ δογμάτων ἀνοσίων ἱστῶντες συνήγορον, ἤγουν τῆς ἐν κόσμῳ πονηρίας ἀποφαίνοντες ὑπουργὸν, δόλου καὶ ἀπάτης ποιοῦνται γεννήτορα, τὴν τῆς φύσεως ἐπιτηδειότητα πρὸς τὸ ἀγαθὸν, ἐπ' οὐδενὶ τῷ χρησίμῳ ζημιούμενοι, καταγράφουσιν ἡμῖν εὖ μάλα τὸν γονοῤῥυᾶ, καὶ πάθους σωματικοῦ ψυχικὴν ἀῤῥωστίαν ὁμοφυᾶ δεικνύουσιν ἐν ἰδίοις τρόποις. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ὁ δὲ ἀκάθαρτος ἐπὶ ψυχῇ σημαίνει που πάντως τῆς ἑτέρων νεκρότητος τὸν μετεσχηκότα, καὶ πλημμελημάτων ἀλλοτρίων ῥᾳθύμως ἀναπιμπλάμενον, πρὸς ὃν καὶ ὁ θεῖος ἔφη που Δαβίδ· «Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις.» Κατασίνεται γὰρ ὥσπερ καὶ κατανεκροῖ ψυχήν τε καὶ νοῦν, τὸ δρᾷν ἃ μὴ θέμις, οὕτω τὸ τοῖς αὐτὰ δρῶσι συνευδοκεῖν, καὶ τοῖς αὐτουργοῦσιν εἰς ἁμαρτίαν κοινωνὸς ἂν εἴη καὶ ὁ συνεθελητής. Ἀκαταιτίατος γὰρ οὔτι που. Τοιγάρτοι καὶ Παῦλος· «Σεαυτὸν ἁγνὸν τήρει,» φησὶν, «καὶ μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις·» τοῦτο, οἶμαι, ἐστὶ τὸ ἐπὶ νεκρῷ μολύνεσθαι νοητῶς. {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Ἀποστείχειν δὴ οὖν τῆς συναγωγῆς εὖ μάλα προστέταχε λεπρὸν καὶ γονοῤῥυᾶ, καὶ ἀκάθαρτον ἐπὶ τῇ ψυχῇ, τοῖς τῶν ἁγίων χοροῖς οὐκ ἐῶν ἀναπλέκεσθαι τοὺς δυσαπόνιπτον ἔχοντας τὴν ἀκαθαρσίαν; «Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;» φησί. {ΠΑΛΛ.} Σφαλερὸν οὖν ἄρα, τὸ ἀνίπτοις ὥσπερ ἰέναι ποσὶν εἰς οἶκον Θεοῦ. {ΚΥΡ.} Σφαλερώτατον μὲν οὖν, εἴπερ ἐστὶν ἀληθὲς, ὅτι τῷ Θεῷ προσκρούειν οὐκ ἀζήμιον. Ἐξείργει δὲ καὶ ἑτέρους τῆς ἁγίας αὐλῆς ἐν τῷ Δευτερονομίῳ, λέγων· «Οὐκ εἰσελεύσεται θλαδίας καὶ ἀποκεκομμένος εἰς ἐκκλησίαν Κυρίου, οὐκ εἰσελεύσεται ὁ ἐκ πόρνης εἰς ἐκκλησίαν Κυρίου· οὐκ εἰσελεύσεται Ἀμμανίτης καὶ Μωαβίτης εἰς ἐκκλησίαν Κυρίου, καὶ ἕως δεκάτης γενεᾶς οὐκ εἰσελεύσεται εἰς ἐκκλησίαν Κυρίου,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἕως εἰς τὸν αἰῶνα, παρὰ τὸ μὴ 68.893 συναντῆσαι αὐτοὺς ὑμῖν μετὰ ἄρτων καὶ ὕδατος ἐν τῇ ὁδῷ, ἐκπορευομένων ὑμῶν ἐξ Αἰγύπτου, καὶ ὅτι ἐμισθώσαντο ἐπὶ σὲ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἐκ τῆς Μεσοποταμίας καταρᾶσθαί σε. Καὶ οὐκ ἠθέλησε Κύριος ὁ Θεός σου εἰσακοῦσαι τοῦ Βαλαὰμ, καὶ μετέστρεψε Κύριος ὁ Θεός σου τὰς κατάρας εἰς εὐλογίαν, ὅτι ἠγάπησέ σε Κύριος ὁ Θεός σου. Οὐ προσαγορεύσεις εἰρηνικὰ αὐτοῖς, καὶ συμφέροντα αὐτοῖς, πάσας τὰς ἡμέρας σου εἰς τὸν αἰῶνα.» {ΠΑΛΛ.} Καὶ τίς ἂν νοοῖτο θλαδίας καὶ ἀποκεκομμένος, Ἀμμανίτης καὶ Μωαβίτης, ἐθέλοιμ' ἂν ἐκμαθεῖν. {ΚΥΡ.} Ἄκουε δή· ὁ τῆς τῶν εὐνούχων ποιήσεως οὐχ εἷς τρόπος, οὐχ εἷς, ὦ Παλλάδιε, διττὸς δέ τις εἶναι λέγεται, καὶ πεφώραται. Οἱ μὲν γὰρ εἰσι τομίαι καὶ διεσπασμένοι τὰ ἀρσενικά· οἱ δὲ τεθλασμένα καὶ ἀχρεῖα παντελῶς φέρουσιν ἔτι, ὠμῶς δὲ καὶ ἀνοσίως ἀποτέμνονταί τινες ἔσθ' ὅτε τὸ παιδοποιὸν τοῦ σώματος μόριον, καί εἰσιν ἄπρακτοι πρὸς τὰ ἀνδρὸς, καίτοι τελοῦντες ἐν ἀνδράσι φύσει τε καὶ ἡλικίᾳ· ἀνδρείας δὲ σύμβολον, τὰ ἀρσενικά. Τὸν τοίνυν θλαδίαν ὑποτοπητέον, τὸν οἱονείπως οὐκ ἐξεσπασμένον εἰσάπαν ψυχήν τε καὶ νοῦν, συντεθραυσμένην δὲ μᾶλλον σώζοντά πως ἐν ἑαυτῷ τὴν ἐπ' ἀγαθοῖς ἀνδρίαν, ἀποκεκομμένον γε μὴν, τὸν ὁλοκλήρως αὐτὰ ἀποβεβληκότα, καὶ τῶν ἀνδράσι πρεπωδεστάτων ἐστερημένον. Ἐν ἴσῳ δὲ ὥσπερ ἐγκλήματι, τῷ μηδ' ὅλως ἀνδρίζεσθαι θέλειν, τὸ μὴ ὑγιῶς ἀνδρίζεσθαι φιλεῖν. {ΠΑΛΛ.} Οἷον δὴ τί φής; {ΚΥΡ.} Ἀναπεπτώκασί τινες εἰς ἐπιθυμίας σαρκικὰς, ὅλας ὥσπερ ἡνίας ἀνέντες τῷ πάθει, σαθρόν τε καὶ ἄνανδρον ταῖς εἰς ἀσέλγειαν ἡδοναῖς παραῤῥιπτοῦντες τὸν νοῦν. Ἕτεροι δὲ αὖ θαυμάζουσι τὴν ἐγκράτειαν, καὶ ἅπτονται μὲν ἔσθ' ὅτε τῶν εἰς τοῦτο λαμπρῶν ἐπιχειρημάτων, ἐκδεδίασι δὲ τὴν ἀντίστασιν, καὶ τὴν τῆς ἡδονῆς προσβολὴν οὐ φέροντες, κατανύουσι πρὸς τὸ ἄναλκι. Ἆρ' οὖν, οὐχὶ τὸν μὲν εἰσάπαν ἀπειρηκότα τοῖς εἰς ἀνδρίαν ἐπιχειρήμασιν προσερεῖ εἰκότως ἀποκεκομμένον; Τὸν δὲ εἰς νοῦν μὲν ἔχοντα τὸ θέλειν ἀνδρίζεσθαι, μὴ μὴν ἔτι καὶ κατορθοῦν ἰσχύοντα τὴν ἀρετὴν, οἰήσῃ θλαδίαν, εἰς τρόπων ποιότητα μεταχαράττων ἀστείως καὶ τὰ τοῦ σώματος πάθη, καὶ εἰκόνα τῶν νοητῶν καὶ ἀφανεστέρων, τὰ ἐν αἰσθήσει δεχόμενος; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Συνεξείργετο δὲ τούτοις Ἀμμανίτης τε καὶ Μωαβίτης, ὡς ἀνόσιοί τε καὶ βδελυρώτατοι, καὶ λεόντων δίκην τοῖς ἁγίοις ἐπιφυόμενοι, καὶ τοῖς εὐδοκιμεῖν εἰωθόσι, τὰ ἐκ φθόνου καὶ βασκανίας ἐπιχέοντες βέλη. Τύπος δ' ἂν εἶεν, Ἀμμανῖται μὲν δὴ, τῶν ἀφιλοικτιρμόνων αἱρετικῶν. Μωαβῖται δὲ αὖ, τῶν ἐν πλάναις ἔτι ταῖς εἰδωλικαῖς, καὶ ταῖς τῶν δαιμονίων μοχθηρίαις ὑπεστρωμένων· θεοστυγεῖς γὰρ ἄμφω, καὶ ἀδελφὸν ὥσπερ κατὰ τῶν ἁγίων νοσοῦντες τὸ θράσος. 68.896 {ΠΑΛΛ.} Οὐ σφόδρα συνίημι ὃ φής. {ΚΥΡ.} Συνιεῖς εὖ μάλα, καὶ οὐκ εἰς μακράν. Ἀμμανῖται μὲν γὰρ Ἡσαῦ γεγονότες, ἀγχίσποροι καὶ ὁμαίμονες τοῖς ἐξ Ἰακὼβ ἦσαν υἱοῖς, φημὶ δὴ τῷ Ἰσραήλ· ἀλλὰ καὶ αὐτῆς οὐκ οἶδ' ὅπως τῆς φύσεως ἀλογήσαντες, τὸν τῆς συγγενείας ἐψεύδοντο τρόπον οἱ ἐξ Ἡσαῦ, δεινοί τε καὶ ἀκαμπεῖς κατεφορῶντο λοιπὸν πρὸς τοὺς ἀγχοῦ καὶ ἐξ αἵματος, τοῦτ' ἔστι τῶν Ἰσραήλ. Ἐπειδὴ γὰρ τῆς Αἰγυπτίων ἀπαίρων τὴν Ἀμμανιτῶν παρέθει χώραν, ὡς ἀδελφὸν ἐλιπάρει τὸν οἰκήτορα παριέναι, ἢ διάττειν αὐτοὺς καὶ κατοικτείρειν ἠδικημένους· ὁ δὲ οὐκ ἀνίει. Καὶ τί τοῦτο λέγω; Μᾶλλον δὲ καὶ ἐν ὅπλοις, ἢ καὶ πόλεμον αἵρεται. Κἂν ἠδίκησε δεινῶς, εἰ μὴ κατὰ θείαν ὀμφὴν, ἀπονένευκεν ὁ Ἰσραήλ· ἔχει δὲ οὕτω τὸ γεγραμμένον· «Καὶ ἀπέστειλε Μωσῆς ἀγγέλους ἐκ Κάδης πρὸς βασιλέα Ἐδὼμ, λέγων· Τάδε λέγει ὁ ἀδελφός σου Ἰσραήλ· Σὺ ἐπίστῃ πάντα τὸν μόχθον τὸν εὑρόντα ἡμᾶς. Καὶ κατέβησαν οἱ πατέρες ἡμῶν εἰς Αἴγυπτον, καὶ παρῳκήσαμεν ἐν Αἰγύπτῳ ἡμέρας πλείους, καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι καὶ τοὺς πατέρας ἡμῶν. Καὶ ἀνεβοήσαμεν πρὸς Κύριον, καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς ἡμῶν, καὶ ἀποστείλας ἀγγέλους, ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου. Καὶ νῦν ἐσμεν ἐν Κάδης πόλει, ἐκ μέρους τῶν ὁρίων σου. Παρελευσόμεθα διὰ τῆς γῆς σου. Οὐ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διελευσόμεθα δι' ἀγρῶν, οὐδὲ δι' ἀμπελώνων, οὐδὲ πιόμεθα ὕδωρ ἐκ λάκκων σου. Ὁδῷ βασιλικῇ πορευσόμεθα· οὐκ ἐκκλινοῦμεν δεξιὰ οὐδὲ εὐώνυμα, ἕως ἂν παρέλθωμεν τὰ ὅριά σου. Καὶ εἶπε πρὸς αὐτὸν Ἐδώμ· Οὐ διελεύσῃ δι' ἐμοῦ. Εἰ δὲ μὴ, ἐν πολέμῳ ἐξελεύσομαι εἰς συνάντησίν σοι.» Καὶ μεθ' ἕτερα· «Καὶ ἐξῆλθεν Ἐδὼμ εἰς συνάντησιν αὐτῷ ἐν ὄχλῳ βαρεῖ, καὶ ἐν χειρὶ ἰσχυρᾷ. Καὶ οὐκ ἠθέλησεν Ἐδὼμ δοῦναι τῷ Ἰσραὴλ παρελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ. Καὶ ἐξέκλινεν Ἰσραὴλ ἀπ' αὐτοῦ.» Ἆρ' οὐχὶ σαφής τε λοιπὸν καὶ ἐναργὴς ὁ λόγος; {ΠΑΛΛ.} Οὕτι που μάλα. {ΚΥΡ.} Οὐ γὰρ δὴ συνίης ὅτι σχέσει τῇ κατ' ἀγχιστείαν συνημμένοι τοῖς ἐξ Ἰσραὴλ, ἀφιλόστοργοί τε καὶ ἀτεράμονες, καὶ θηρῶν ἀγρίων διενεγκόντες οὐδὲν, ἐξ αὐτῶν ἠλέγχοντο τῶν πραγμάτων; Ἐποικτεῖραι γὰρ δέον ὡς ἀδελφοὺς, ἐν ἱδρῶσιν ὄντας καὶ πόνοις, ἐξίασι καταδηώσαντες. Τοιγάρτοι φησὶν ὁ νόμος· «Οὐκ εἰσελεύσονται εἰς ἐκκλησίαν Κυρίου, παρὰ τὸ μὴ συναντῆσαι ὑμῖν αὐτοὺς μετὰ ἄρτου καὶ ὕδατος, ἐκπορευομένων ὑμῶν ἐξ Αἰγύπτου,» τοῦτ' ἔστι, διὰ τὸ ἄγαν ἀσυμπαθὲς, καὶ ἀγρίων ἐκπεφοιτηκὸς εἰς ἀνοσιότητα τρόπων. Ἴδοις δ' ἂν ὅτι τοιοῦτοι πρὸς ἡμᾶς τοὺς ὀρθοποδεῖν ᾐρημένους οἱ τῶν αἱρετικῶν λαοὶ καὶ ἡγούμενοι. Ὅσον γὰρ ἧκεν εἴς γε τὸ ἕνα καὶ μόνον εἰδέναι Θεὸν τὸν Πατέρα, καὶ τὴν εἰς Υἱὸν καὶ τὸ Πνεῦμα προσίεσθαι πίστιν, εἰ καὶ μὴ εἰσάπαν ὑγιῶς δόξαν ἔχουσιν οὐκ ἀληθῆ τῆς πρὸς ἡμᾶς ἀδελφότητος, καὶ νοθηφοροῦσι γνώμῃ τὸ συγγενὲς, ἀλλ' ἐν διωγμοῖς οὖσιν οὐκ ἐπαμύνουσι, μᾶλλον δὲ καὶ 68.897 ταῖς παρὰ σφῶν ἐπιφορτίζουσι μοχθηρίαις. «Ἐξ ἡμῶν γὰρ ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν,» κατὰ τὸ γεγραμμένον. «Εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν.» Οἷς καὶ αὐτὸς ὁ Σωτὴρ, κατάπλαστον ἔχουσι τὸ ἐπιεικὲς, οὐ μὴν ἔτι καὶ δρᾷν εἰωθόσι τὰ εἰς δόξαν αὐτοῦ, προσφωνήσειεν ἂν καὶ μάλα εἰκότως· «Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.» Ἆρά σοι δοκοῦσιν Ἀμμανίταις ἐοικέναι τὰ θεομισῆ τῶν αἱρετικῶν ἐργαστήρια, τὸ ἀσυμπαθές τε καὶ ἀφιλόθεον ἐκτόπως ἠῤῥωστηκότες; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἄθρει δὲ καὶ Μωαβίτας, εἰ δοκεῖ, πολεμιωτάτους ὄντας ἀναφανδὸν τοῖς ἐθέλουσι λατρεύειν Θεῷ τῷ μόνῳ τε φύσει καὶ ἀληθῶς. Ἦσαν μὲν γὰρ εἰδώλων προσκυνηταὶ, μαντείαις τε καὶ γοητείαις ἐξαιρέτως ἐπιθαρσήσαντες, καὶ περὶ πτήσεις τῶν οἰωνῶν οὐ μετρίως ἐπτοημένοι, ἐπιτρίζοντες δὲ τοὺς ὀδόντας ταῖς τοῦ Ἰσραὴλ εὐπραγίαις, κατεμισθοῦντο τὸν Βαλαὰμ, καὶ ἐπαρᾶσθαι παρεσκεύαζον, δυνάμει δὲ τῇ ἀφράστῳ Θεοῦ, τὸ τοῦ μάντεως στόμα πρὸς ἀνεθελήτους αὐτοῖς εὐλογίας μετεσκευάζετο. Τοιοῦτος ἂν εἴη καθ' ἡμῶν ὁ Ἑλλήνων πόλεμος, τῇ τοῦ Σωτῆρος ἡμῶν διαφθονουμένων δόξῃ, καὶ πᾶσαν τοῦ διαβόλου καθ' ἡμῶν κατεξανιστάντων ἰσχὺν, ἣν ἡ θεία καὶ ἄνωθεν κατασείει χάρις, τῆς τῶν δαιμόνων ἀγέλης τὸ ἄναλκι καταχέουσα, καὶ τὸν τῆς ἐπιβουλῆς ἀναθεῖσα τρόπον πρὸς τὸ εὐφραίνειν εἰδός. {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἀμμανίταις δὲ καὶ μέντοι καὶ Μωαβίταις, ἀστιβῆ τὰ ἅγια καὶ μάλα γε εἰκότως· οἷς γὰρ ἀδελφὰ τὰ τολμήματα καὶ ὁμοειδὲς τὸ θράσος, τούτοις ἂν εἴη πρέπον καὶ ταῖς ἰσοῤῥόποις ἐναλῶναι δίκαις. Ἄθρει δὲ δὴ τοῦ νόμου τὸ ἀσφαλές· ἐξίστησι γὰρ παντελῶς τοὺς ἁγίους αὐτῶν, καὶ οὐδ' ὅσον εἰπεῖν εἰς κοινολογίαν ἰέναι θέλειν, παρεγγυᾷ λέγων· «Οὐ προσαγορεύσεις εἰρηνικὰ αὐτοῖς, καὶ συμφέροντα αὐτοῖς οὐ λαλήσεις, πάσας τὰς ἡμέρας σου εἰς τὸν αἰῶνα.» Ἆρ' οὐχὶ τοῦτό ἐστιν ἐναργῶς, ὃ καὶ ἁγίων ἡμᾶς ἐξεπαίδευσε δυὰς, Παῦλός τε καὶ Ἰωάννης; Ὁ μὲν γὰρ ἔφασκεν· «Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, τούτῳ μὴ χαίρειν λέγετε,» καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ, «Οὐ προσαγορεύσεις εἰρηνικὰ αὐτοῖς, καὶ συμφέροντα αὐτοῖς.» Ὁ δὲ πάλιν, «Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν, παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος.» Τοῦτό ἐστι τὸ, Οὐ λαλήσεις συμφέροντα αὐτοῖς. Δεῖν γάρ φησιν ὁ νόμος τοῖς ἄγαν ἐξεστραμμένοις, ὡς μεμηνόσι παραχωρεῖν, λέγοντας· «Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε.» Ἀλλ' ὁ μὲν Ἀμμανίτης ἕως τρίτης εἴργεται γενεᾶς, Μωαβίτης δὲ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέχρι δεκάτης, ἀπό γε τοῦ χρόνου, καθάπερ ἐγῷμαι, τῆς ἐπ' ἀμφοῖν ἀγανακτήσεως τὸ μέγεθος ἡμῖν ὑπεμφαίνοντος Θεοῦ. Μείων γὰρ, κατὰ τὸ εἰκὸς, ἡ αἱρετικῶν δίκη· φαίη 68.900 γὰρ ἄν τις καὶ ἐπ' αὐτοῖς καθάπερ ἀμέλει καὶ ἐπὶ τοῖς Ἰουδαίοις. «Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν.» Οἰόμενοι γὰρ ὀρθοεπεῖς εἶναι καὶ σοφοὶ, λελήθασι σφᾶς αὐτοὺς οἱ δείλαιοι, καὶ τοῖς τῆς ἀληθείας μαχόμενοι δόγμασι, καὶ ζήλῳ πεπλασμένῳ κατακεκρατημένοι, τῇ τοῦ Θεοῦ δόξῃ συναγορεύειν οἴονται, τοῖς ὀρθοποδοῦσιν ἀντιταττόμενοι. Μωαβῖται δέ γε, τοῦτ' ἔστι, τὰ Ἑλλήνων στίφη, γυμνῶς καὶ ἀναφανδὸν, καὶ ὑποστολῆς ἁπάσης δίχα, τῇ θείᾳ μάχονται δόξῃ. Τοιγάρτοι φορτικωτέραν ἐπήρτησέ πως τὴν δίκην αὐτοῖς ὁ νόμος. Πλὴν ἄμφω τῶν ἱερῶν ἀπόπεμπτοι περιβόλων, ὡς βέβηλοί τε καὶ θεομισεῖς. {ΠΑΛΛ.} Χρῆμα δὴ οὖν οὐκ ἀζήμιον, ὅσον ἧκεν εἰς μολυσμοὺς, τὸ ὀθνείοις τισὶ καὶ ἑτερογνώμοσι, κἂν γοῦν εἰς λόγους ἰέναι φιλεῖν. {ΚΥΡ.} Συνίης εὖ μάλα. Τοιγάρτοι καὶ ὁ νόμος τοὺς ἐκνενιμμένους καὶ καθαροὺς, καὶ οἰκείους ἤδη Θεῷ, διὰ τοῦτο τῆς ἐκείνων βδελυρίας ἀποτειχίζει λέγων· «Καὶ ἔσται ἐν τῷ εἰσαγαγεῖν σε Κύριον τὸν Θεόν σου εἰς τὴν γῆν εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτὴν, καὶ ἐξαρεῖ ἔθνη μεγάλα, καὶ πολλὰ, καὶ ἰσχυρὰ ἀπὸ προσώπου σου, τὸν Χετταῖον, καὶ τὸν Γεργεσαῖον, καὶ τὸν Ἀμοῤῥαῖον, καὶ τὸν Χαναναῖον, καὶ τὸν Φερεζαῖον, καὶ τὸν Εὐαῖον, καὶ τὸν Ἰεβουσαῖον, ἑπτὰ ἔθνη πολλὰ, καὶ μεγάλα, καὶ ἰσχυρότερα ὑμῶν, καὶ παραδώσει αὐτοὺς Κύριος ὁ Θεὸς ὑμῶν εἰς χεῖράς σου, καὶ πατάξεις αὐτοὺς, ἀφανισμῷ ἀφανίσεις αὐτούς. Οὐ διαθήσῃ πρὸς αὐτοὺς διαθήκην, οὐδ' οὐ μὴ ἐλεήσεις αὐτοὺς, οὐδὲ μὴ γαμβρεύσεις πρὸς αὐτούς. Τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου, ἀποστήσει γὰρ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ λατρεύσει θεοῖς ἑτέροις.» Ἀσφαλὴς οὖν ὁ νόμος. «Οὐ γὰρ συνθήσῃ,» φησὶ, «διαθήκην πρὸς αὐτούς·» ἀσύμβατον γὰρ καὶ ἀσυναφὲς τῷ ἡγιασμένῳ, τὸ βέβηλον ἔτι, τῷ πεφωτισμένῳ, τὸ ἐν ὁμίχλῃ καὶ σκότῳ, τῷ εἰσδεδεγμένῳ τὸ ἀπαράδεκτον· τῷ πρὸς ἱεράν τε καὶ θείαν εἰσφοιτῶντι σκηνὴν, τὸ ταύτης ἐξωθούμενον. {ΠΑΛΛ.} Εἶτα τί τὸ προμηθὲς τοῦ νόμου; διίστησι δὲ ἀνθ' ὅτου καὶ τοῦτο εἰσάπαν τοῦ βεβήλου τὸ καθαρὸν, κἂν εἰ ἐν καλῷ τις γένοιτο τῆς ἀρετῆς; {ΚΥΡ.} Πολὺ γὰρ δὴ λίαν τὸ δέος, ὦ τᾶν· μὴ ἄρα πως καὶ τό γε ὀρθῶς ἑστάναι δοκοῦν, τὸν ἐφ' ἃ μὴ προσῆκον εἰσδέξαιτο κλόνον καὶ παρενεχθείη τοῦ πρέποντος, ὑπό του τυχὸν ἐκβεβιασμένον, ἢ ἐρεθιζούσης ἡδονῆς, ἢ κατωθούσης εἰς τὸ πλημμελὲς, τῆς ἐνούσης τῇ φύσει πρὸς τοῦτο ῥοπῆς. Ἀπονένευκε γὰρ ἀεί πως ἐπὶ τὸ φαῦλον, καὶ θεῖος ἡμῖν ἐπιμαρτύρει λόγος· «Ἐπιμελῶς γὰρ ἔγκειται,» φησὶν, «ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος.» Παραθείην δ' ἂν ἐθέλοντί σοι πρὸς ἀπόδειξιν ἐναργῆ, τὰ ὅσαπερ αὐτὴν ὑπομεῖναι λόγος τὴν ἐξ Ἰακώβ. {ΠΑΛΛ.} Δίναν δή που φής· οἶμαι γὰρ ὡδί. {ΚΥΡ.} Πάνυ μὲν οὖν, ὦ Παλλάδιε· γέγραπται γὰρ οὕτως ἐν τῷ τῆς Γενέσεως βιβλίῳ· «Καὶ ἦλθεν 68.901 Ἰακὼβ εἰς Σαλὴμ πόλιν Σηκίμων, ἥ ἐστιν ἐν γῇ Χαναὰν, ὅτε ἐπανῆλθεν ἐκ τῆς Μεσοποταμίας Συρίας, καὶ παρενέβαλε κατὰ πρόσωπον τῆς πόλεως, καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ, οὗ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ, παρὰ Ἐμμὼρ πατρὸς Συχὲμ, ἑκατὸν ἀμνῶν, καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν Θεὸν Ἰσραήλ. Ἐξῆλθε δὲ Δείνα, ἡ θυγάτηρ Λείας, ἣν ἔτεκε τῷ Ἰακὼβ, καταμαθεῖν τὰς θυγατέρας τῶν ἐγχωρίων, καὶ εἶδεν αὐτὴν Συχὲμ ὁ υἱὸς Ἐμμὼρ ὁ Εὐαῖος, ὁ ἄρχων τῆς γῆς. Καὶ λαβὼν αὐτὴν, ἐκοιμήθη μετ' αὐτῆς. Καὶ ἐταπείνωσεν αὐτήν. Καὶ προσέσχε τῇ ψυχῇ Δείνας τῆς θυγατρὸς Ἰακώβ. Καὶ ἠγάπησε τὴν παρθένον, καὶ ἐλάλησε κατὰ τὴν διάνοιαν τῆς παρθένου αὐτῇ.» Ἄθρει δὴ οὖν ὅτι σκηνῇ μὲν ἔτι τῇ τοῦ πατρὸς ἐμφιλοχωροῦσά τε καὶ ἐνηυλισμένη, ἐν ᾗ καὶ ἐπεκαλέσατο τὸν Θεὸν Ἰσραὴλ, καὶ σεπτὸν ἐγήγερτο θυσιαστήριον, ἀβέβηλός τε ἦν ἔτι καὶ ἐν τοῖς τῆς παρθενίας αὐχήμασιν. Ἐπειδὴ δὲ τῆς πατρῴας ἐξέθει σκηνῆς, καὶ χῶρον ἀφεῖσα τὸν ἱερὸν, γυναιξὶν ὀθνείαις ἐπεμίσγετο, πρὸς ἀσυνήθη βεβήλωσιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραχρῆμα κατεβιάζετο, καὶ ἦν οὐκέτι παρθένος, ταῖς ἑτέρων ἡδοναῖς ἀνεθελήτως μὲν ἐν ἀρχαῖς ὑπενηνεγμένη, παθοῦσα δὲ μετὰ τοῦτο καὶ τὸ τῷ πλεονεκτήσαντι συνεῖναι θέλειν. «Ἐλάλησε γὰρ,» φησὶ, «κατὰ τὴν διάνοιαν τῆς παρθένου αὐτῇ.» {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Οὐκοῦν εἰς εἰκόνα τῶν νοητῶν παραθέντες τὸ αἰσθητὸν, φέρε δὴ λέγωμεν, ὅτι σκηνὴν ὥσπερ τινὰ τὴν ἐξαίρετον πολιτείαν οἰκοῦσα ψυχὴ, πάναγνος ἔσται καὶ καθαρὰ, καὶ βδελυρίας ἁπάσης ἀπηλλαγμένη, εἰ δὲ ἐξοίχοιτό ποι, καὶ πρὸς τὰς τῶν ἀλλοφύλων ἐπείγοιτο θυγατέρας, τοῦτ' ἔστιν, εἰ ἐρευνοίη καὶ κατασκέπτοιτο τὴν τῶν ἐν κόσμῳ ζωὴν, τὸν εὐφυᾶ τε καὶ εὐγενῆ φθαρήσεται νοῦν· εἴη γὰρ ἂν οὐκ ἀζήμιον τὸ συνδιαιτᾶσθαι τοῖς φαύλοις τοὺς οἷσπερ ἂν γένοιτο σκοπὸς, τὸ διαβιῶναι λαμπρῶς. Ἀλλ' ὅ γε θεῖος Δαβὶδ οὐκ ἔξω τῆς ἱερᾶς σκηνῆς ἰέναι κατεφωρᾶτο θέλων, ἐμφιλοχωρεῖν δὲ μᾶλλον καὶ ἐνδιαιτᾶσθαι οὐ μακρὰν, τῶν ὅτι μάλιστα δι' εὐχῆς ἐποιεῖτο λέγων· «Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω, τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ.» Σκηνὴν, οἶμαι, λέγων τὴν θείαν καὶ ἱερὰν, ὡς ἔν γε δὴ τούτοις, τῆς εὐαγοῦς πολιτείας τὸ βεβηκός τε καὶ ἀκατάσειστον, ἐφ' ᾗ τρόπον τινὰ καὶ εἰσδεδυκὼς, τοῖς καταδῃοῦν ἐθέλουσι τῶν παθῶν, ἀνάλωτος ἦν. {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Τί δέ; οὐχὶ σαφέστερόν τε καὶ ἀληθέστερον ἀναμάθοι τις ἂν, ὅτι τὰ παντὸς ἐπέκεινα μολυσμοῦ περιποιήσειεν ἂν ἔσθ' ὅτε καὶ τοῖς ἐρηρεῖσθαι πεπιστευμένοις, αἱ πρὸς ἀλλογενεῖς ὁμιλίαι, παρενεγκὼν 68.904 εἰς ἀπόδειξιν τῆς Σολομῶντος ζωῆς τὴν κατάληξιν, καὶ ἅπερ αὐτῷ συνέβη παθεῖν, ἐπ' αὐτῷ γήρως οὐδῷ; {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Ἦν μὲν γὰρ οὕτω λαμπρὸς καὶ ἀοίδιμος, ὡς ἀσύγκριτον ἤδη πως τὴν δόξαν ἑλεῖν, μετέθει γε μὴν εἰς τὸ ἀκαλλὲς, μᾶλλον δὲ καὶ κατέθορεν ἀγεννῶς, ἐς αὐτό που τὸ λοῖσθον τῆς εἰς Θεὸν ἀσεβείας. Ἔχει δὲ ὧδε τὰ ἐπ' αὐτῷ. Γέγραπται γὰρ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν· «Καὶ ἐμεγαλύνθη Σολομὼν ὑπὲρ πάντας τοὺς βασιλεῖς τῆς γῆς πλούτῳ καὶ φρονήσει. Καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς ἐζήτουν τὸ πρόσωπον Σολομὼν, τοῦ ἀκοῦσαι τῆς φρονήσεως αὐτοῦ, ἧς ἔδωκε Κύριος ἐν τῇ καρδίᾳ αὐτοῦ.» Ἀλλὰ τὸν οὕτως εὐκλεᾶ καὶ ἀοίδιμον, καὶ σοφίας εἰς τοῦτο διεληλακότα λοιπὸν, ὡς ἐν ἀμετρήτῳ γενέσθαι θαύματι, καὶ παρά γε τοῖς ἄγαν διωρισμένοις, ἡδονὴ γυναίων ἐξεμόχλευσε πονηρῶν, καὶ οἱονείπως αὐτῆς ἐξελοῦσα τῆς θείας σκηνῆς τοῖς τῆς εἰδωλολατρείας ἐνῆκε βόθροις. Γέγραπται γὰρ ὡδὶ περὶ αὐτοῦ· «Καὶ ὁ βασιλεὺς Σολομὼν ἦν φιλογύναιος, καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας, καὶ τὴν θυγατέρα Φαραώ· Μωαβίτιδας, καὶ Ἀμμονίτιδας, καὶ Ἰδουμαίας, Σύρας, Χετταίας, Ἀμοῤῥαίας, ἐκ τῶν ἐθνῶν, ὧν ἀπεῖπε Κύριος τοῖς υἱοῖς Ἰσραήλ· Οὐκ εἰσελεύσεσθε πρὸς αὐτοὺς, καὶ αὐτοὶ οὐκ εἰσελεύσονται πρὸς ὑμᾶς, ἵνα μὴ ἐκκλίνωσι τὰς καρδίας ὑμῶν ὀπίσω τῶν εἰδώλων αὐτῶν. Εἰς αὐτοὺς ἐκολλήθη Σολομὼν, τοῦ ἀγαπῆσαι. Καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρχουσαι ἑπτακόσιαι, καὶ παλλακαὶ τριακόσιαι. Καὶ ἐγενήθη ἐν τῷ καιρῷ γήρως Σολομὼν, καὶ ἐξέκλιναν αἱ γυναῖκες αἱ ἀλλότριαι τὴν καρδίαν αὐτοῦ ὀπίσω θεῶν ἑτέρων. Καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου Θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία τοῦ Δαβὶδ τοῦ πατρὸς αὐτοῦ. Καὶ ἐπορεύθη Σολομὼν ὀπίσω τῆς Ἀστάρτης βδελύγματος Σιδωνίων, καὶ ὀπίσω τοῦ βασιλέως αὐτῶν εἰδώλου υἱῶν Ἀμμών· καὶ ἐποίησε Σολομὼν πονηρὸν ἐνώπιον Κυρίου, καὶ οὐκ ἐπορεύθη ὀπίσω Κυρίου, ὡς Δαβὶδ ὁ πατὴρ αὐτοῦ.» Ἆρ' οὐκ ἐποιμώζειν ἄξιον τῷ τοιάδε παθεῖν λεγομένῳ; Ὁ τὸν διαβόητον ἐκεῖνον ἐν τοῖς Ἱεροσολύμοις ἀναστήσας ναὸν, ὁ τὴν τῶν θείων θρόνων πάρεδρον αἰτήσας σοφίαν, ὁ ἐπὶ συνέσει τῇ ἀσυγκρίτῳ τεθαυμασμένος, καὶ μέχρις αὐτῶν τερμάτων τῆς ὑπ' οὐρανόν, ὁ καθάπερ ἑωσφόρος, πόλεσί τε καὶ χώραις ἐκφανὴς, αἰσχρῶν γυναικῶν ἡττώμενος, καὶ μυσαρωτάτης ἡδονῆς κατόπιν ἰὼν, εἰς τοῦτο μωρίας φωρᾶται πεσὼν, ὡς καὶ αὐτῆς ἀλογῆσαι παντελῶς τῆς εἰς Θεὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐσεβείας. Σφαλερὸν οὖν ἄρα καὶ ἀναμφιλόγως ἐστὶ τὸ τοῖς ἀλλοφύλοις εἶναι κατὰ ταὐτόν. Πάνδεινον δὲ κομιδῇ καὶ τὸ ἡδονῆς ἡττᾶσθαι τῆς σαρκικῆς, καὶ ἀκάθαρτος ὁ τοιόσδε, καὶ τῷ πανάγνῳ Θεῷ κατεστυγημένος, καὶ οὐκ ἀρετῆς δίχα, πρὸς τὴν ἱεράν τε καὶ θείαν εἰσελάσαι σκηνήν. Ἀλλ' οὐδ' ἂν προσοίσειε θυσίαν δεκτήν. Γέγραπται γὰρ ἐν τῷ Δευτερονομίῳ· «Οὐκ ἔσται πόρνη ἀπὸ θυγατέρων Ἰσραὴλ, καὶ οὐκ ἔσται πορνεύων ἀπὸ υἱῶν Ἰσραήλ· καὶ οὐκ ἔσται 68.905 τελεσφόρος ἀπὸ θυγατέρων Ἰσραὴλ, καὶ οὐκ ἔσται τελισκόμενος ἀπὸ υἱῶν Ἰσραήλ· οὐ προσοίσεις μίσθωμα πόρνης, οὐδὲ ἄλλαγμα κυνὸς εἰς τὸν οἶκον Κυρίου τοῦ Θεοῦ σου πρὸς πᾶσαν εὐχὴν, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σού ἐστι καὶ ἀμφότερα.» {ΠΑΛΛ.} Ὡς δριμὺς ὁ νόμος, καὶ τῶν ὅτι μάλιστα λυσιτελεστάτων! {ΚΥΡ.} Εὖγε, ὦ Παλλάδιε· νοεῖς γὰρ ὀρθῶς. Κατατεθήποις γὰρ, οἶμαι, καὶ ἔτι μειζόνως, ἐννενοηκὼς ὅτι κατακωλύων εὖ μάλα τὸ λεῖον εἰς ἡδονὰς, τὸν ἀσελγῆ καὶ ἀκόλαστον ἀποπέμπεται. Θέα γὰρ ὅπως καὶ τοῖς ἑκούσιον καὶ αὐθαίρετον ἐπιτηδεύειν ἐθέλουσι τὸν ἐπ' αἰσχρότητι μολυσμὸν, καὶ μέν τοι καὶ τοῖς εἰς τοῦτο κατακομίζειν εἰωθόσιν ὡς ἐξ ἀνάγκης ἑτέρους, ἐπισκήπτων ὁρᾶται, καὶ δι' ὧν ἀποφάσκει τὸ χρῆναι δρᾷν, ἀσφαλεστέρους ἀποτελεῖ, καὶ δυσεύρετον αὐτοῖς τὸν ταῖς ἀπολογίαις ἐξαρκεῖν ἰσχύοντα λόγον κατασκευάζει. Οὐ γὰρ ἀγνοίας ἔτι τὰ ἐγκλήματα, ῥᾳθυμίας δὲ λοιπὸν καὶ ἀνυποτάκτου φρενὸς ἡ γραφή. {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Οὐ γὰρ αὐτόκλητοί τινες ἐπὶ τὸ πορνεύειν ἴασι, καὶ μισθαρνεῖν ἐθέλοντα γύναιά τε καὶ μειράκια, ταῖς τινων ἀκρασίαις καταπιπράσκει τὴν ὥραν; {ΠΑΛΛ.} Ναί. {ΚΥΡ.} Τί δέ; οὐκ αἰσχρῶν λημμάτων ἡττῶνταί τινες, καὶ προσθέντες τοῖς ἐθέλουσι τὰς σφῶν θεραπαίνας, ἤγουν τῶν ἀῤῥένων, οὓς ἂν ἐκπρίαιντο τυχὸν, ἀργυρολογοῦσιν οἱ δείλαιοι; περὶ ὧν καὶ ὁ προφήτης φησίν· «Καὶ τὰ κοράσια ἐπώλουν ἀντὶ οἴνου, καὶ ἔπινον.» Ἀληθὲς γὰρ ὅτι πρὸς τοῦτο φαυλότητος καὶ ἀκαθαρσίας μέτρον καθικνοῦνταί τινες, ὡς ἀνοσίως ἀποτολμᾷν δασμολογεῖν ἔσθ' ὅτε καὶ τὰ τοιάδε τῶν αἰσχρῶν. {ΠΑΛΛ.} Συνίημι. {ΚΥΡ.} Οὐκοῦν πορνεύουσι μὲν ἑκουσίως, οἱ μὲν, τὸ αὐτοὶ ἔξω φέρεσθαι τοῦ κακοῦ, εἶτα πρὸς τοῦτο ἰόντες ἰδιογνωμόνως· τελεσφόροι γε μὴν εἶεν ἂν, οἱ φόρους τελοῦντες ὡς ἐξ ἀνάγκης ἑτέροις, καὶ τὰ ἐκ τῆς ἀσελγείας μισθώματα τοῖς πριαμένοις συλλέγοντες. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἀποφάσκει δὴ οὖν ὁ νόμος τὸ χρῆμα πανταχῇ, καὶ ἀνόσιον ποιεῖται τὸν ἐναλόντα γραφῇ, ἔξω τε εἴργει σκηνῆς ἱερὰς, καὶ ἀπρόσιτον αὐτῷ τὸ θεῖον εὐθὺς ἀποφαίνει θυσιαστήριον, ἀπαράδεκτον ἔσεσθαι τὸ θύμα λέγων, καὶ ἀπρόσδεκτον τὴν εὐχήν. Ἀληθὲς γὰρ, ὅτι οὐχ ἁγναὶ εὐχαὶ ἀπὸ μισθώματος πόρνης. Ἐν ἴσῳ δὲ τρόπῳ στυγητὸν ποιεῖται καὶ βδελυρώτατον τὸ ἄλλαγμα τοῦ κυνός· κύνα δὲ, οἶμαι, φησὶ, τὸν εἰς ἀκαθαρσίαν εὔκολον, καὶ τοῖς προσιοῦσιν ἁπλῶς ἐγκείμενον· ἄλλαγμα δὲ κυνὸς, τὸ αὐτῷ τυχὸν ὑπὲρ αὐτοῦ προσαγόμενον. Ἐπιφωνείτω δὴ οὖν ὁ νόμος· «Οὐκ ἔσται πόρνη ἀπὸ θυγατέρων Ἰσραὴλ, καὶ οὐκ ἔσται πορνεύων ἀπὸ Υἱῶν Ἰσραήλ.» Ὁ δέ γε σοφώτατος Παῦλος συνηχείτω βοῶν· «Φεύγετε 68.908 τὴν πορνείαν· Πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει.» Καλείτω δὴ οὖν καὶ πρός γε τὸ δεῖν τῶν ἀμεινόνων ἐφίεσθαι τοὺς τῆς ἐγκρατείας αὐχήμασι γενναίως ἐπιθρώσκοντας. Ἔφη γὰρ πάλιν· «Παρακαλῶ γὰρ ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν· εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινίσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον, καὶ τέλειον.» Ἢ οὐκ εἶναι φῂς θυσίαν ὄντως ἁγίαν καὶ πάναγνον ἀληθῶς, τὴν τῶν αἰσχιόνων ἀπόθεσιν; {ΠΑΛΛ.} Φαίην ἂν ἔγωγε· πῶς γὰρ οὔ; {ΚΥΡ.} Καὶ ἀποφοιτῶσι μὲν ἡμῖν σαρκικῆς ἡδονῆς, ἐπιγάννυται Θεὸς, ἐπιστυγνάζει δὲ λίαν ἀποκλίνουσι πρὸς τὸ ἄναλκι, καὶ σαρκὸς ὀπίσω πεσεῖν ᾑρημένοις ἐπάγει τὰς δίκας· καταβιάζεται γὰρ ἔσθ' ὅτε καὶ εἰς ἀπόστασιν τὴν ἀπὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεοῦ, θερμὴ καὶ ἀκόλαστος ἡδονή. Καὶ ἀληθὲς ὅτι τὸ χρῆμά ἐστιν, ἐκδείξειεν ἂν εὐθὺς ὁ ἐπί γε τῷ Σολομῶν λόγος. Καταφωρᾶται δὲ πρὸ αὐτοῦ παρενηνεγμένος εἰς τοῦτο κατὰ τὴν ἔρημον ὁ Ἰσραήλ· γέγραπται γὰρ, ὅτι «Κατέλυσεν Ἰσραὴλ ἐν Σαττεὶν, καὶ ἐβεβηλώθη ὁ λαὸς ἐκπορνεῦσαι εἰς τὰς θυγατέρας Μωάβ· καὶ ἐκάλεσαν αὐτοὺς εἰς τὰς θυσίας τῶν εἰδώλων αὐτῶν, καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν, καὶ προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν, καὶ ἐτελέσθη Ἰσραὴλ τῷ Βεελφεγὼρ, καὶ ὠργίσθη θυμῷ Κύριος τῷ Ἰσραήλ. Καὶ εἶπε Κύριος τῷ Μωσῇ· Λάβε πάντας τοὺς ἀρχηγοὺς τοῦ λαοῦ, καὶ παραδειγμάτισον αὐτοὺς Κυρίῳ κατέναντι τοῦ ἡλίου, καὶ ἀποστραφήσεται ὀργὴ θυμοῦ Κυρίου ἀπὸ Ἰσραήλ.» Ὁρᾷς ὅτι παραθήγεταί πως, μονονουχὶ δὲ καὶ εἰς ἀνεθελήτους ὀργὰς ἐκφέρεται πρὸς ἡμῶν ἡ θεία τε καὶ ἡμερωτάτη φύσις; Κτηνοπρεπὲς γὰρ τὸ χρῆμα, τὸ ἐπιμαίνεσθαι, φημὶ, ταῖς γυναικῶν ὥραις, καὶ ἀνόσιον κομιδῇ, καὶ τῆς εἰς Θεὸν εὐσεβείας ἄλλαγμα ποιεῖσθαι τολμᾷν τὴν ἀκόλαστον ἡδονήν. Τοιγάρτοι καὶ παραδειγματίζονται τῷ Κυρίῳ ἀπέναντι τοῦ ἡλίου, τοῦτ' ἔστιν, ὀρθῶν ἀπήρτηνται ξύλων τετραμμένων πρὸς ἀνατολὰς, καὶ ἦν οὗτος αὐτοῖς ὁ τῆς κολάσεως τρόπος, μονονουχὶ διακεκραγότος ἐναργῶς τοῦ τύπου, καὶ φωνὴν ἀνιέντος, ὅτι τὸν πανδερκῆ καὶ ἀπαραλόγιστον ὀφθαλμὸν τοῦ κρίνοντος, οὐκ ἂν διαδράσειέ τις, τοιοῖσδε πταίσμασιν ἐναλοὺς, οὐδ' ἂν οἴχοιτο νηποινὶ, προσκείσεται δὲ κατὰ τὴν προφήτου φωνὴν, εἰς ὅρασιν πάσῃ σαρκὶ, πικρὰς τῶν αὐτῷ πεπλημμελημένων ὑπέχων τὰς δίκας. {ΠΑΛΛ.} Τὸ ἐμφανὲς οὖν ἄρα κολάζεσθαι, καὶ τὸ οἱονείπως ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ παραδειγματισθῆναι φησὶν, ἀπέναντι τοῦ ἡλίου. {ΚΥΡ.} Πάνυ μὲν οὖν· ἔστι δὲ ἡμῖν ὁ λόγος οὐκ ἀπὸ σκοποῦ· ὅτι δὲ τοῖς πορνεύουσιν, ἤτοι τοῖς πεπορνευμένοις, τῆς οὕτω ψυχρᾶς καὶ βεβήλου ζωῆς πρὸς Θεὸν οἱ λόγοι, καὶ ἐμφανῆ μέν ἐστι τὰ κεκρυμμένα, 68.909 γνωσθήσεται δὲ τὰ ἐν ἑκάστῳ σαφῶς, καὶ δι' ἑτέρου πάλιν ἡμῖν διετύπου νόμου. Γέγραπται γὰρ ἐν τοῖς Ἀριθμοῖς· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἀνδρὸς ἐὰν παραβῇ ἡ γυνὴ αὐτοῦ, καὶ ὑπεριδοῦσα παρίδῃ αὐτὸν, καὶ κοιμηθῇ τις μετ' αὐτῆς κοίτην σπέρματος, καὶ λάθῃ ἐξ ὀφθαλμῶν τοῦ ἀνδρὸς αὐτῆς, καὶ κρύψῃ, αὐτὴ δὲ ᾖ μεμιασμένη, καὶ μάρτυς μὴ ἦν μετ' αὐτῆς, καὶ αὐτὴ μὴ ᾖ συνειλημμένη, καὶ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως, καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μεμίανται, ἢ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως, καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μὴ ᾖ μεμιασμένη· καὶ ἄξει ὁ ἄνθρωπος τὴν γυναῖκα αὐτοῦ πρὸς τὸν ἱερέα, καὶ προσοίσει τὸ δῶρον περὶ αὐτῆς, τὸ δέκατον τοῦ οἰφὶ ἄλευρον κρίθινον, οὐκ ἐπιχεῖ ἐπ' αὐτὸ ἔλαιον, οὐδὲ ἐπιθήσει ἐπ' αὐτὸ λίβανον· ἔστι γὰρ θυσία ζηλοτυπίας, θυσία μνημοσύνου, ἀναμιμνήσκουσα ἁμαρτίαν. Καὶ προσάξει αὐτὴν ὁ ἱερεὺς, καὶ στήσει αὐτὴν ἔναντι Κυρίου, καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἐν ἀγγείῳ ὀστρακίνῳ, καὶ τῆς γῆς τῆς οὔσης ἐπὶ τοῦ ἐδάφους τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ λαβὼν ὁ ἱερεὺς ἐμβαλεῖ εἰς τὸ ὕδωρ, καὶ στήσει ὁ ἱερεὺς τὴν γυναῖκα ἔναντι Κυρίου, καὶ ἀποκαλύψει τὴν κεφαλὴν τῆς γυναικὸς, καὶ δώσει ἐπὶ τὰς χεῖρας αὐτῆς τὴν θυσίαν τοῦ μνημοσύνου, τὴν θυσίαν τῆς ζηλοτυπίας· ἐν δὲ τῇ χειρὶ τοῦ ἱερέως ἔσται τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου· καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεὺς, καὶ ἐρεῖ τῇ γυναικί· Εἰ μὴ κεκοίμηταί τις μετὰ σοῦ, εἰ μὴ παραβέβηκας μιανθῆναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυτῆς, ἀθῴα ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου. Εἰ δὲ σὺ παραβέβηκας ὕπανδρος οὖσα, εἰ μεμίανσαι, καὶ ἔδωκέ τις τὴν κοίτην αὐτοῦ ἐν σοὶ, πλὴν τοῦ ἀνδρός σου· καὶ ὁρκιεῖ ὁ ἱερεὺς τὴν γυναῖκα ἐν τοῖς ὅρκοις τῆς ἀρᾶς ταύτης, καὶ ἐρεῖ ὁ ἱερεὺς τῇ γυναικί· Δῴη σε Κύριος ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ δοῦναι Κύριον τὸν μηρόν σου διαπεπτωκότα, καὶ τὴν κοιλίαν σου πεπρησμένην. Καὶ εἰσελεύσεται τὸ ὕδωρ τὸ ἐπικαταρώμενον τοῦτο εἰς τὴν κοιλίαν σου, πρῆσαι γαστέρα, καὶ διαπεσεῖν μηρόν σου. Καὶ ἐρεῖ ἡ γυνή· Γένοιτο, γένοιτο. Καὶ γράψει ὁ ἱερεὺς τὰς ἀρὰς ταύτας εἰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βιβλίον, καὶ ἐξαλείψει εἰς τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου, καὶ ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου. Καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τὸ ἐπικαταρώμενον τοῦ ἐλεγμοῦ· καὶ λήψεται ὁ ἱερεὺς ἐκ χειρὸς τῆς γυναικὸς τὴν θυσίαν τῆς ζηλοτυπίας, καὶ ἐπιθήσει τὴν θυσίαν ἔναντι Κυρίου, καὶ προσοίσει αὐτὴν πρὸς τὸ θυσιαστήριον. Καὶ δράξεται ὁ ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς, καὶ ἀνοίσεται αὐτὸ ἐπὶ τὸ θυσιαστήριον, καὶ μετὰ ταῦτα, ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ. Καὶ ἔσται, ἐὰν ᾖ μεμιασμένη καὶ λήθῃ λάθῃ τὸν ἄνδρα αὐτῆς, καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τὸ ἐπικαταρώμενον, καὶ πρησθήσεται τὴν κοιλίαν, καὶ διαπεσεῖται ὁ μηρὸς αὐτῆς, καὶ ἔσται ἡ γυνὴ εἰς ἀρὰν τῷ λαῷ αὐτῆς. Ἐὰν δὲ μὴ μιανθῇ 68.912 ἡ γυνὴ, καὶ καθαρὰ ᾖ, καὶ ἀθῶα ἔσται, καὶ ἐκσπερματιεῖ σπέρμα.» Ταυτὶ μὲν, ὁ νόμος. Φαίην δ' ἂν ὅτι τὸ τῶν γεγραμμένων πέρι σχολαίως ἐν ὀλίγαι· ἐννοίαις εὖ μάλα συνενεγκὼν, ὁ θεῖος ἡμῖν γράφει Παῦλος· «Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὰ, εἴτε φαῦλα.» {ΠΑΛΛ.} Οἴομαι μὲν ὀρθῶς εἰρῆσθαι ταυτί· πλὴν τὰ ἐφ' ἑκάστῳ τῶν τεθεσπισμένων διασάφει λεπτῶς. {ΚΥΡ.} Τὴν ἐν ὑποψίαις τοῦ μεμοιχεῦσθαι γυναῖκα, ὅταν ἐλέγχων ἐρήμην ὑπομείνῃ γραφὴν, ἄγεσθαι προστέταχε πρὸς τὸν ἱερέα, καὶ δὴ καὶ ἐν ὀφθαλμοῖς ἑστάναι Θεοῦ, καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ μέλλειν ἅπαντας παραστήσεσθαι τῷ Χριστῷ· εἶτα τὸ ὑπὲρ αὐτῆς προσάγεσθαι δῶρον κρίθινον ἄλευρον, οὐ λιβάνῳ διαπεπασμένον, οὐκ ἐλαίῳ δεδευμένον· θυσία γὰρ ζηλοτυπίας ἐστὶν, ἀναμιμνήσκουσα ἁμαρτίαν. Πρόδηλον οὖν ὅτι τῆς ἑκάστου ζωῆς ὀσμή τις ὥσπερ ἄνεισι πρὸς Θεὸν, τοῖς μὲν παρειμένοις ἐπὶ τὸ ῥᾴθυμον τὴν ἐφ' ἅπασι τοῖς ἐκτοπωτάτοις ἐπιφέρουσα γραφὴν, τοῖς δέ γε βιοῦν ὀρθῶς ἄριστα διεσπουδακόσιν, ἐπιμαρτυροῦσα τὸ γνήσιον. Ταύτῃτοί φαμεν, καὶ σφόδρα εἰκότως, τῶν μὲν οὐκ ὄντων ἐν ὑποψίαις, τὰ δῶρα τὴν ἐκ πυρῶν σεμίδαλιν ἔχειν, προσόντος λιβάνου, καὶ μὴν καὶ ἐλαίου καταχεομένου. Ἕψεται γὰρ πάντως τῇ τέως ἀνθρωπίνῃ ζωῇ, ἧς ἂν εἴη καὶ τύπος ἡ ἐκ πυρῶν σεμίδαλις, τὸ ἐν εὐωδίᾳ τε καὶ ἱλαρότητι καταλογίζεσθαι δεῖν παρά γε τῷ φιλαρέτῳ Θεῷ. Νόθου δὲ καὶ ζωῆς κτηνοπρεποῦς σημεῖον ἂν γένοιτο καὶ μάλα σαφὲς, τὸ κρίθινον ἄλευρον· κτηνοπρεπέστερον γάρ πως, καὶ οὐκ ἐοικὸς ἀνθρώπῳ λίαν, τὸ ἀκρατὲς εἰς ὄρεξιν, καὶ τὸ ἀχαλίνως ἰέναι θέλειν εἰς ἐκτόπους ἡδονάς. Ταύτητοι κρίθινον ἄλευρον, ἡ ἐπὶ νόθῳ ζωῇ κατηγορουμένη γυνὴ, προσεκόμιζε τῷ Θεῷ, λιβάνου τε καὶ ἐλαίου δίχα, τοῦτ' ἔστιν, εὐωδίας τε καὶ ἱλαρότητος· θυσία γάρ ἐστιν ἀναμιμνήσκουσα ἁμαρτίαν. Ὅπου δὲ ἀνάμνησις ἁμαρτίας, πῶς ἂν ἢ πόθεν εἴη τὸ ἱλαρόν; Οὐ γὰρ ἐν ἐλπίδι στεφάνων ὁ κρινόμενος, ἀλλ' ἐν φόβῳ δίκης καὶ πυρός. Καὶ πρός γε δὴ τούτοις, ἀκατακάλυπτος ἡ γυνὴ προσάγεται τῷ κριτῇ, τοῦτ' ἔστιν, οὐκ ἐν τῷ συνήθει καὶ πρέποντι κόσμῳ. Καὶ τίς ἂν γένοιτο τοῦδε λόγος; Ἀκοσμίας γὰρ τὰ ἐγκλήματα, καὶ βδελυρίας ἡ γραφή. Μέμνησο δὲ ὅτι γυναῖκα ἀκατακάλυπτον οὐκ ἐᾷ προσεύχεσθαι τῷ Θεῷ, νομομαθὴς ὢν ὁ Παῦλος, τοῦ κατακαλύπτεσθαι δεῖν αὐτὴν τὸν τῆς φύσεως νόμον εἰς ἀπόδειξιν ἑλών. «Ἡ γὰρ κόμη,» φησὶν, «ἀντὶ περιβολαίου δέδοται αὐτῇ.» Οὐκέτι οὖν ἐν κόσμῳ τὸ γύναιον ἦν, διαβεβλημένον ἐπ' ἀκοσμίᾳ. Ἀκατακάλυπτον δὲ, καὶ ἑτέρως· γυμνὰ γὰρ ἐν ὀφθαλμοῖς τοῦ κρίνοντος τὰ πάντα ἐστὶ, λάθοι δ' ἂν ὅλως οὐδεὶς τὸν ἐτάζοντα καρδίας καὶ νεφροὺς, καὶ διὰ προφήτου φωνῆς ὧδε λέγοντος· «Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν. Μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;» Πλὴν ὅτι Χριστὸς ὁ κρίνων ἐστὶν, αἰνιγματωδῶς ὑποφαίνει πάλιν. Ὕδωρ γὰρ, ἔφη, ζῶν τε καὶ καθα 68.913 ρὸν εἰς ἀγγεῖον ὀστράκινον ἐνίεσθαι δεῖν, καὶ μὴν καὶ ἀπὸ τῆς γῆς τῆς οὔσης ἐπὶ τῆς σκηνῆς. Εἶτα τῶν τῆς ἀρᾶς λόγων ἐναποπλυνθέντων ὕδατι, πίνειν ἐκέλευσε τὴν ἐν ὑποψίαις τοῦ πεπορνεῦσθαι γυναῖκα. Καὶ, «Εἰ μὲν ἔνοχος εἴη τῷ ἐγκλήματι, πρησθήσεται,» φησὶ, «κοιλίαν, καὶ πεσεῖται μηρός· εἰ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς αἰτίας ἀπήλλακται, καὶ οὐκ ἀληθὲς ἐπ' αὐτῇ τὸ ὑπειλημμένον, ἐκσπερματιεῖ σπέρμα.» {ΠΑΛΛ.} Τίς οὖν ὁ λόγος; ἢ πῶς ἂν ἡμῖν καὶ διὰ τῶν ἀρτίως ὠνομασμένων, ὁ Χριστὸς σημαίνοιτο; {ΚΥΡ.} Διὰ μὲν γὰρ τοῦ ὕδατος τοῦ ζῶντος καὶ καθαροῦ, τὸν ζωοποιὸν συνήσεις τὸν Θεοῦ Λόγον, τὸν ἀληθῶς καθαρὸν, καὶ ἁμαρτίας ἀμέτοχον παντελῶς, ὃς ἐν σαρκὶ γέγονε, καθάπερ ἐν ὀστρακίνῳ σκεύει. Χοῦς γὰρ ὅτι καὶ ἀπὸ γῆς ἡ σὰρξ, πῶς ἂν ἢ πόθεν ἀμφίβολον; Διὰ δέ γε τῆς ἀπὸ τῆς σκηνῆς γῆς, τὸν ἐν θανάτῳ νοήσεις δι' ἡμᾶς· εἴρηται γὰρ τῇ ἀνθρώπου φύσει· «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.» Διὰ δέ γε τῶν λόγων τῆς ἀρᾶς, τὸν ὑπὲρ ἡμῶν γεγονότα κατάραν, διὰ τὸ ἐπὶ ξύλου κρεμασθῆναι, συνήσεις εὖ μάλα. Γέγραπται γὰρ, ὅτι καὶ «Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου.» Ὅταν τοίνυν εἰς τὸ τῆς ἀνθρωπίνης διανοίας καθίκοιτο βάθος, Θεὸς κατὰ φύσιν ὑπάρχων ὁ Ἐμμανουὴλ, ἐνόχους μὲν ὄντας πταίσμασιν, ἐλέγξει κολάζων· κατειλημμένους δὲ οὐκ ἐν τούτοις, καρποφόρους ἀποφανεῖ. Τοῦτο γὰρ, οἶμαι, ἐστὶ τὸ, ἐκσπερματιεῖ σπέρμα, τῆς ψυχῆς τὸ καρπογόνον, τοῦ σωματικοῦ σημαίνοντος πάθους. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Πορνεία μὲν οὖν καὶ τὰ σαρκὸς πάθη κατακιβδηλεύει τὸν ἄνθρωπον, καὶ τῆς πρὸς Θεὸν ἐξίστησιν οἰκειότητος· οἱ γὰρ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. Σάρκα δὲ, καθάπερ ἐγῷμαι, τὸ σαρκικὸν ὀνομάζει φρόνημα. Νοοῖτο γὰρ ἂν ὡδὶ τὸ γεγραμμένον ὀρθῶς. Τρόπος δὲ αὖ πρὸς τόδε φαυλότητος, καὶ μὴν καὶ ἠθῶν ῥυθμὸς ἀγριότητος, καὶ εἰς πᾶν ὁτιοῦν τῶν ἐκτοπωτάτων ἐξιτηλία, βδελυροὺς ἡμᾶς καὶ ἀνιέρους ἀποτελεῖ. Οὐ γάρ τοι προσήκει σαρκικῶν ἡμᾶς μόνων κατανδρίζεσθαι παθῶν, ἀλλὰ καὶ ἠθῶν ἡμερότητι διαπρέπειν, καὶ ἀγάπης ὅτι μάλιστα τῆς εἰς ἀδελφοὺς ἐπιμελητὰς ἀναφαίνεσθαι, καὶ τοῖς τῆς δικαιοσύνης αὐχήμασιν ὁρᾶσθαι κατεστεμμένους, καὶ πρός γε δὴ τούτοις, λεπτὸν καὶ ἐξησκημένον ἔν γε δὴ σφίσιν αὐτοῖς ἔχειν τὸν νοῦν, ταῖς περὶ Θεοῦ δόξαις ἀδιαστρόφως προσβάλλοντα, καὶ ἐν δογμάτων ἐρεύναις πανταχῇ σώζοντα τὸ ἀμωμήτως ἔχον· τέλειοι γὰρ οἱ τοιοίδε, κατὰ τὸ ἀληθὲς οὐδενὸς ὄντες τῶν ἀρίστων ἐπιδεεῖς· ἄρτιον γὰρ εἶναι δεῖν τὸν τοῦ Θεοῦ ἄνθρωπον καὶ ὁ θεῖος ἡμῖν ἔφη Παῦλος· «Ἄρ-τιον» δέ φησι τὸν εἰς πᾶν ἔργον ἀγαθὸν ἐξηρτυμένον, καὶ ἐπιτηδείως ἔχοντα πρὸς τὸ κατορθοῦν εὖ μάλα δύνασθαι τὴν ἀρετήν. Ἢ οὐχ ὧδε ἔχει; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Θέα δὴ οὖν ὅπως αἰνιγματωδῶς ὁ νόμος εἰς 68.916 ἀνθρωπίνων ἠθῶν ὑποτύπωσιν, ζῶά τε πολλὰ τῶν ἀλόγων, καὶ μὴν καὶ πτηνῶν καὶ ἐνύδρων γένη παρενεγκὼν, κατὰ μυρίους ἡμᾶς ὀνίνησι τρόπους. Καὶ μή τι θαυμάσῃς, ὅπου καὶ αὐτοῖς ἔσθ' ὅτε παρεικάζει φυτοῖς, ἀπὸ τῆς ἑκάστου ποιότητος φυσικῆς. κατασημαίνων ἀστείως τὰ ἐφ' ἑκάστῳ τῶν καθ' ἡμᾶς. Ἔφη γάρ που Θεὸς διὰ φωνῆς Ἡσαΐου, τῶν εἰς Χρι-στὸν διὰ πίστεως ἀνατεθαλκότων εἰς ζωὴν τὰς εὐοσμίας ὑποδηλῶν, δῆλον δὲ ὅτι τὰς πνευματικὰς, καὶ μὴν καὶ ὑψώματα τὰ εἰς ἀρετήν· «Καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὕδωρ ζῶν, καὶ ἐν γῇ ἀνύδρῳ ποταμοὺς, καὶ θήσω εἰς τὴν ἄνυδρον γῆν, κέδρον, καὶ πύξον, καὶ μυρσίνην, καὶ κυπάρισσον, καὶ λεύκην.» Καὶ πάλιν· «Καὶ ἔσται,» φησὶν, «ἀντὶ τῆς στοιβῆς, ἀναβήσεται κυπάρισσος· ἀντὶ δὲ κονύζης, ἀναβήσεται μυρσίνη·» στοιβὴν, οἶμαί που, καὶ κόνυζαν, τὰς ἀνημέρους ἔτι ψυχὰς, καὶ ἐν εἴδει τῆς ἀγρίας ἀκάνθης ἐκφαινομένας παρά γε τοῖς τῆς θεότητος ὀφθαλμοῖς, ὀνομάζων εὐφυῶς. Ἀλλὰ καὶ λίθοις ἔσθ' ὅτε τὸ σεπτὸν τῶν ἁγίων παρεικάζεται στίφος· «Λίθοι γὰρ ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς.» Καὶ μὴν καὶ ζύμῃ προσεοικέναι καὶ κόκκῳ σινάπεως τὴν τῶν οὐρανῶν βασιλείαν ἔφασκεν ὁ Σωτήρ. Ἐκ πολλῶν οὖν ἄρα καὶ ἐναργεστάτων παραδειγμάτων καταδηλοῦν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ τὰ ἀνθρώπινα. {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Ἄθρει δὴ οὖν ὅτι μυρία μὲν ὅσα κτηνῶν εἴδη, καὶ μὴν τὰ πτηνῶν καὶ τὰ νηκτῶν παρενεγκοῦσα χρησίμως, τὰ μὲν, ὡς ἀκάθαρτα καταμιαίνει παντελῶς, τὰ δὲ αὖ προσίεταί τε καὶ ἀπαλλάττει διαβολῆς, ἵν' εἰδεῖεν ὀρθῶς οἱ Θεῷ λατρεύοντες, τίνα μὲν δρῶντες, οὐκ εἰσδεχθεῖεν ἄν· τίνων δὲ νουνεχῶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπεσχημένοι, μώμου μὲν ἔσονται μακρὰν, λαμπροὶ δ' ἂν εἶεν καὶ ἀξιόληπτοι, καὶ ψήφῳ τῇ ἄνωθεν τετιμημένοι. Ἔχει δὲ οὕτως ἡμῖν ὁ ἐπὶ τῷδε νόμος· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν καὶ Ἀαρὼν, λέγων· Λαλήσατε τοῖς υἱοῖς Ἰσραὴλ, λέγοντες· Ταῦτα τὰ κτήνη, ἃ φάγεσθε ἀπὸ πάντων τῶν κτηνῶν τῶν ἐπὶ τῆς γῆς, πᾶν κτῆνος διχηλοῦν ὁπλὴν, καὶ ὀνυχιστῆρας ὀνυχίζον δύο χηλῶν, καὶ ἀνάγον μηρυκισμὸν ἐν τοῖς κτήνεσι, ταῦτα φάγεσθε· πλὴν ἀπὸ τούτων οὐ φάγεσθε, ἀπὸ τῶν ἀναγόντων μηρυκισμὸν, καὶ ἀπὸ τῶν διχηλούντων τὰς ὁπλὰς, καὶ ὀνυχιζόντων ὀνυχιστῆρας· τὸν κάμηλον, ὅτι ἀνάγει μηρυκισμὸν, ὁπλὴν δὲ οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν, καὶ τὸν δασύποδα, ὅτι ἀνάγει μηρυκισμὸν καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν, καὶ τὸν χοιρογρύλλιον, ὅτι ἀνάγει μηρυκισμὸν, καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν, καὶ τὸν ὗν, ὅτι διχηλεῖ ὁπλὴν, τοῦτο καὶ ὀνυχίζει ὄνυχας ὁπλῆς, καὶ τοῦτο οὐκ ἀνάγει μηρυκισμὸν, ἀκάθαρτον τοῦτο ὑμῖν. Ἀπὸ τῶν κρεῶν αὐτῶν οὐ φάγεσθε, καὶ τῶν θνησιμαίων αὐτῶν οὐ φάγεσθε, ἀκάθαρτα ταῦτα ὑμῖν.» Ἐναργέστατα μὲν οὖν ὁ Χριστὸς, «Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα,» φησὶ, «κοινοῖ τὸν ἄνθρωπον.» Εἴρηται δέ που καὶ πρὸς τὸν θεσπέσιον Πέτρον, τῆς σινδόνος ἄνωθεν καθιεμένης τέσσαρσιν ἀρχαῖς, ἐν ᾗ πάντα γέγραπται τὰ 68.917 τετράποδα καὶ πτηνά· «Ἀναστὰς Πέτρε, θύσον καὶ φάγε.» Ἀνακεκραγότος δὲ τοῦ μαθητοῦ καὶ τὴν νομικὴν ἐπιτήρησιν δεδιότος ἔτι, καὶ, «Μηδαμῶς, Κύριε,» λέγοντος, «ὅτι οὐδέ ποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον, οὐδὲ εἰσῆλθεν εἰς τὸ στόμα μου πᾶν κρέας βέβηλον,» πάλιν ἐφώνει Θεός· «Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.» Γράφει δὲ καὶ ὁ θεσπέσιος Παῦλος, ὅτι «Βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ.» Ἔστι δὴ οὖν οὐκ ἀσυμφανὲς, ὅτι βεβηλοῖ μέν τι τῶν ὄντων ἥκιστα μὲν ὁ νόμος, πάντα δὲ οἶδε καθαρὰ τοῖς καθαροῖς· ἀλλ' εἰς ἠθῶν ποιότητας ἀνθρωπίνων τὸ ἑκάστου ζώου φυσικὸν εὖ μάλα παραλαβὼν, ὀνίνησιν οὐ μετρίως. Μάθοις δ' ἂν ὅ φημι δὴ, κἀκ τῶνδε πάλιν, ἀληθὲς ὅτι καὶ ἀναμφίβολον. Τὰ γάρ τοι πᾶσι κατεγνωσμένα, καταμυσάττεσθαι δεῖν ὁρᾶται προστεταχὼς, κάμηλον δὴ λέγων, καὶ τὸν χοιρογρύλλιον, νυκτικόρακα, καὶ τὸν καταῤῥάκτην, καὶ ἀσκαλαβώτην, καὶ μυγαλὴν, καὶ τὰ ἔτι τούτων αἰσχίονα. Ἆρ' οὖν οὐκ ἐναργὴς ὡς ἔν γε τούτοις ὁ τοῦ νομοθέτου σκοπὸς εἴη ἂν, ὦ 'γαθέ; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Οὐκοῦν εἰς ἠθῶν ποιότητα μετακομιστέον εὖ μάλα τὰ φυσικῶς ἐνόντα τισὶ τῶν ἀλόγων ζώων, ἑκάστου, φέρε εἰπεῖν, καταγράφοντος ὥσπερ ἐν ἑαυτῷ τὸν τοῦ δεῖνος τρόπον, καὶ ἐν οἷς ἂν εἴη κατασημαίνοντος. Ἢ γὰρ οὐχὶ καὶ ἡμεῖς αὐτοὶ κατειθίσμεθά πως, τοὺς μὲν ἄγαν θερμοὺς καὶ εὐσθενεστάτους, καὶ θράσει τῶν ἄλλων ὑπερφέροντας, σῦς, ἢ λέοντας, ἤ τι τῶν τοιούτων ἕτερον ἀποκαλεῖν; τοὺς δὲ πράους καὶ ἠρεμαίους, καὶ ὑφειμένην ἔχοντας τὴν διάνοιαν, πρόβατα, καὶ περιστερὰς, καὶ τῷ τῇ γαλήνης ὀνόματι στεφανοῦν ἔσθ' ὅτε, τοῖς ἑκάστου τρόποις τὴν πρέπουσαν δήλωσιν ἀπὸ τῶν ἐμφανεστέρων ἐπάγοντες; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἴωμεν δὴ οὖν ἐπὶ τὸν τοῦ νόμου σκοπὸν, καὶ ὅ τί ποτέ ἐστιν ὃ παρεγγυᾷ, πολυπραγμονῶμεν εὖ μάλα. {ΠΑΛΛ.} Ἴωμεν. {ΚΥΡ.} Τὰ τῆς δικαιοσύνης αὐχήματα, καὶ ἁπαξαπλῶς ἁπάσης ἐπιεικείας, πρόεισι μὲν ἀπὸ γνώμης τῆς ἑκάστου τυχὸν, κατορθοῦταί γε μὴν κατὰ διττὸν, οἶμαι, τρόπον, καὶ διφυᾶ μέν πως ἐφ' ἑαυτοῖς τὴν ἔκφασιν ἔχει. {ΠΑΛΛ.} Πῶς δὲ φῄς; {ΚΥΡ.} Ἢ γὰρ εἰς ἑαυτοὺς δρῶμέν τι τῶν ἀγαθῶν, ἡδονὰς ἀποκείροντες τὰς ἐκτόπους καὶ μεμωμημένας, νεκροῦντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καθιστάντες τὸν νοῦν εἰς πραότητα τὴν ἐν πνεύματι, πτωχείαν ἐπιτηδεύοντες, καθαρὰν καὶ ἀθόλωτον, καθόσον οἷόν τε, τὴν διάνοιαν ἔχοντες, ἤγουν τὰ εἰς ἀδελφοὺς ἀγαθὰ πληροῦντες σπουδάσματα, τοῖς ἑλομένοις λυπεῖν καὶ ἀφιλοστόργως προσκεκρουκόσιν, ἀκακίαν δωρούμενοι, τοῖς κάμνουσιν ἐπαμύνοντες, παρακαλοῦντες λελυπημένους, πεπλανημένους ἐξ ἀμαθίας εἰς τὸ εὐθὲς μετατρέποντες, χειραγωγοῦντες ἐπὶ τὸ ἄμεινον, 68.920 ἐπαρκοῦντες δεομένοις, καὶ τὰ ἐφ' οἷς ἂν ἥδοιτο Θεὸς, ἀποπεραίνειν εὖ μάλα διεσπουδακότες. Ἆρ'


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐ διφυής ἐστί πως τῆς δικαιοσύνης ὁ τρόπος, εἴς τε ἡμᾶς αὐτοὺς, καὶ μέν τοι καὶ εἰς ἑτέρους κατορθούμενος; {ΠΑΛΛ.} Ἔοικε. {ΚΥΡ.} Ὁπλῇ δὴ οὖν ἐσχισμένῃ, ἤτοι ποδὸς διχηλίᾳ, παρεικάζει πως ἀεὶ τὸν τοιοῦτον ὁ νόμος. Ποῦς γὰρ ἀεὶ, πορείας μὲν ἡμῖν τῆς κατ' ἐνέργειαν πρακτικῆς σύμβολον ἂν εἴη καὶ τύπος· καὶ δή φαμεν, ὀρθῷ διάττειν ποδὶ, τοὺς ἀμωμήτως ἰέναι πρὸς τὸ τελοῦν εἰς ὄνησιν εὖ μάλα προθυμουμένους. Ἀναμέλπει δέ που καὶ ὁ Δαβίδ· «Ὁ γὰρ ποῦς μου ἔστη ἐν εὐθύτητι,» τοῦτ' ἔστιν, ἐν δικαιοσύνῃ πεπόρευμαι καὶ εὐθύτητι· μεμίσηκα δὲ τὸ διεστραμμένον. Περὶ δέ γε τῶν φιλαμαρτημόνων· «Ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα, σύντριμμα δὲ καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν.» Οὐκοῦν τῆς μὲν ἐν ἔργοις πορείας σύμβολον ὁ ποῦς. Διχηλιὰ δέ γε τύπος ἂν εἴη σαφὴς τοῦ ἐπ' ἄμφω βαίνειν ἡμᾶς ὀρθῶς καὶ ἀνεπιπλήκτως δύνασθαι, εἰς τὸ καθ' ἡμᾶς αὐτοὺς, καὶ μέν τοι καὶ εἰς ἑτέρους. {ΠΑΛΛ.} Πιθανὸς ὁ λόγος. {ΚΥΡ.} Εἴ τις οὖν εἴη τυχὸν, ὀρθῶς καὶ ἐπιστημόνως ἐπ' ἄμφω βαίνειν εἰδὼς, ἑαυτόν τε καὶ ἑτέρους ὠφελεῖν οἷός τε, τῇ τῶν ἠθῶν ποιότητι λέγω, καὶ πρός γε δὴ τούτῳ, νουνεχὴς καὶ ἐμφρονέστατος, καὶ τοῖς περὶ Θεοῦ λόγοις ἐναύλιον ὥσπερ τι καὶ ἐνδιαίτημα διδοὺς τὴν καρδίαν, ἄνω τε καὶ κάτω στρέφων ἀείπως ἐν ἑαυτῷ τὰς τῶν θείων δογμάτων ἐννοίας, καὶ διὰ τοῦτο πυκνῶς καὶ ἐμφρόνως ἐξερευνᾷν, καταλεπτύνων τρόπον τινὰ τὰ οὕτω τῶν νοημάτων ἀκριβῶς ἐγνωσμένα, ζώῳ που πάντως ἔσται προσεοικὼς ἀναφέροντι τὸν μηρυκισμὸν, καὶ τὴν ἐν κοιλίᾳ τροφὴν ἀνερευγομένῳ ἀεὶ, καὶ τοῖς ὀδοῦσιν ὑπάγοντι, ὡς ἂν καὶ ἔτι καταλεαίνοιτο, καὶ τῷ τῆς πέψεως ἰσχνῷ χωροίη πρὸς ὄνησιν. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Καθαρὸν δὲ εἶναί φησι τὸ ζῶον, ὅπερ ἂν ἔχῃ πρὸς διχηλοῦσαν ὁπλὴν ἐκτελευτῶντα τὸν πόδα, ἀνακομίζει τε αὖ τὸν ἐν κοιλίᾳ μηρυκισμόν· ὁ γὰρ εἶναι πεφυκὼς ἄριστός τε καὶ ἀγαθὸς εἰς ἑαυτὸν καὶ ἑτέρους, προσειληφὼς δὲ καὶ τὸ φιλόλογον καὶ τὸ εἰς γνῶσιν ἐντριβὲς, δῆλον δὲ ὅτι τὴν ἐπὶ Θεῷ, ἄρτιος ἔσται πρὸς ἀρετὴν, καὶ ἀμωμήτως ἔχων ἔν γε τοῖς καθ' ἑαυτὸν, πρὸς πᾶν ὁτιοῦν τῶν τεθαυμασμένων· κἂν εἰ μέτοχός τις τοῦ τοιοῦδε γένοιτο τυχὸν, κατὰ μάθησιν λέγω, καὶ οἱονείπως καταθοινήσαιτο τὸν παρ' αὐτοῦ λόγον, κἂν εἰ γένοιτο μιμητὴς, ἕλοιτό τε ζηλοῦν τὸν ὧδε διαπρεπῆ καὶ ἐξαίρετον, ἀβέβηλος ἔσται καὶ καθαρός. Συνδιαιτήσεται γὰρ καθαρῷ, καὶ τῆς ἐν αὐτῷ συνέσεως καὶ χρηστομαθίας ἐκμαγεῖον ὥσπερ τι τὸν οἰκεῖον εὐθὺς ἀναδείξει τρόπον. Τοῦτο, οἶμαι, ἐστὶ τὸ δεῖν ἐσθίειν ἡμᾶς ἀπὸ παντὸς ζώου κατασχίζοντος φυσικῶς εἰς ὁπλὴν τὸν πόδα, καὶ ἀνάνον 68.921 τος μηρυκισμόν. Καθαρὰ γὰρ τὰ τοιάδε φησὶν ὁ νόμος, κατά γε τὸν ἀρτίως γεγονότα λόγον. {ΠΑΛΛ.} Συνῆκα ὃ φής. {ΚΥΡ.} Τὸν μὲν οὖν ἄριστόν τε καὶ ἀρτίως ἔχοντα πρὸς ἀρετὴν, ὑπέδειξεν αἰνιγματωδῶς, ὡς ἔν γε δὴ ζώῳ, τῷ διχηλεῖν πεφυκότι, καὶ ἀνάγοντι μηρυκισμόν. Ὅτι δὲ καλὸν καὶ ὀνησιφόρον ἀποσείεσθαι φιλεῖν τὸν οὐχ ὧδε ἔχοντα γνώμης, καὶ οἱονεὶ χωλεύοντα πρὸς τὸ ἀγαθὸν, καὶ τελειότητος τῆς εἰς ἀρετὴν ἰόντα κατόπιν, παρεγγυᾷ πάλιν, οὔτε τοῖς ἀνάγουσι μηρυκισμὸν, δίχα τοῦ κεκτῆσθαι τὸ διχηλοῦν, οὔτε μὴν τοῖς διχηλεῖν πεφυκόσιν, εἰ μηρυκισμὸν οὐκ ἔχοιεν, τὴν ἀρίστην ψῆφον ἐπενεγκὼν, καταγράφων δὲ μᾶλλον αὐτῶν τὸ ἀκάθαρτον, καὶ τοῖς καταμιαίνειν εἰδόσι τιθεὶς ἐναρίθμια. Πρακτικῆς μὲν οὖν ἐνεργείας καὶ ποιότητος τρόπων, τὴν τοῦ ποδὸς διχηλίαν, τύπον εἶναι διαβεβαιούμεθα, φρονοῦντες ὀρθῶς, καὶ τὰ αἰνιγματωδῶς εἰρημένα μεταχαράττοντες εἰς ἀλήθειαν. Τὸν δέ γε μηρυκισμὸν, λόγου τε κατ' εὐσέβειαν, καὶ δογματικῆς ἐπιστήμης, ὀρθῆς τε καὶ ἐντριβοῦς σημεῖον εἶναι διοριζόμεθα. Ἢ οὐχ ὧδε ἔχει; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν; {ΚΥΡ.} Ἀτελὴς οὖν ἄρα πρὸς ἀρετὴν νοοῖτ' ἂν εἰκότως, καὶ τοῦ χρῆναι θαυμάζεσθαι καθεστήκει μακρὰν, ὁ ἔργοις μὲν ἐπαυχῶν ἀγαθοῖς, ὀρθότητος δὲ τῆς δογματικῆς ἡττώμενος, καὶ λόγους οὐκ ἔχων τῆς ἀληθείας εἰς νοῦν. Ἀληθὲς δὲ ὅτι καὶ τὸ ἔμπαλιν, οὐκ ἀσυμφανές· δογματικὴ γὰρ ὀρθότης, καὶ λόγων τῶν θείων ἡ γλυκεῖα φροντὶς, ἡμᾶς ὀνήσειεν ἂν οὐδὲν, εἴς γε τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τελείως ἔχειν εἰς ἀρετῆς ὑπόληψιν, τῆς ἐν ἔργοις φαιδρότητος οὐ παρεζευγμένης. Ὁ γὰρ ἐπ' ἀμφοῖν δεξιὸς, τὴν τοῦ τελείως εὐδοκιμεῖν ἀποίσεται ψῆφον. Καὶ ὁ θατέρου λειπόμενος, ἀδρανὲς ἕξει τὸ ἐν τῷ καλῷ θαυμάζεσθαι. Τοιουτονί τι καὶ ὁ Σωτὴρ ὑποφαίνει, λέγων, ἐλάχιστον μὲν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀποκεκλῆσθαι τὸν διδάσκοντα μὲν, οὐ μὴν ἔτι καὶ πεποιηκότα· μέγαν δὲ αὖ καὶ διαπρεπῆ, τὸν πράξαντα καὶ δεδιδαχότα. Ἀκάθαρτος οὖν κατὰ νόμον, ὁ ἑνὸς ἡττώμενος. Τούτων δὲ ὅτι προσῆκεν ἀποφοιτᾷν, καὶ κατ' οὐδένα τρόπον ὁρᾶσθαι μετεσχηκότας, διεσάφει λέγων· «Ἀπὸ τῶν κρεῶν οὐ φάγεσθε, καὶ τῶν θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε.» Οὔτε γὰρ ζῶσι, φησὶ, μὴ συναναστραφήσεσθε. Κἂν εἰ τεθναίη τις τῶν τοιῶνδε τυχὸν, ἀβέβηλον τὸν οἰκεῖον τηρήσετε νοῦν· οὐδ' ὅσον εἰπεῖν ἀποθιγγάνοντες τῶν ἐκείνοις πεποιημένων, λογίων δὲ δηλονότι, καὶ μιαρῶν συγγραμμάτων· λείψανα γὰρ τὰ τοιάδε τῆς ἀνθρώπου ζωῆς. Τοῦτό τοι δρᾷν ἔθος τοῖς ἀπαιδεύτοις αἱρετικοῖς. Πεπλάνηνται μὲν γὰρ ὁμολογουμένως, οἱ τῆς ἐνούσης αὐτοῖς ἀμαθίας γεγονότες καθηγηταί· λείψανα δὲ ὥσπερ τῆς ἑαυτῶν δυσσεβείας τοῖς ἰδίοις παρακατέθεντο μαθηταῖς· οἱ δὲ, καὶ λίαν ἀσμένως προσίενταί τε καὶ εἰσοικίζονται κατὰ νοῦν, καὶ δυσαπόνιπτον ἔχουσι μολυσμὸν, θνησιμαίων ὥσπερ κρεῶν ἐπαφώμενοι, ἃ δυσωδίας ἐστὶ τῆς ἐσχάτης καὶ ἀκαθαρσίας ἔμπλεω. 68.924 {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Δέχεται τοίνυν εἰς παράδειγμα τοῦ μὴ διχηλοῦντος μὲν τὴν ὁπλὴν, ἀνακομίζοντος δὲ τὸν μηρυκισμὸν, τὴν κάμηλον, ζῶον εὐσθενές τε καὶ ὑπερμέγεθες, δασύποδά τε καὶ χοιρογρύλλιον, τὰ πάντων, ὡς ἔπος εἰπεῖν, τῶν ἄλλων μικροφανέστατα, διὰ τῶν ἄκρων, καθάπερ ἐγῷμαι, συλλήβδην ἅπαντα περιλαβὼν, καὶ οὐδὲν ἔξω τῶν διὰ μέσου μεθείς. Ὅμοιον γὰρ ὡς εἰ καὶ λέγοιτο τυχὸν, Ἀπὸ τοῦ λίαν ὑψηλοῦ τε καὶ ἀνωτάτω καὶ μέχρι μικρῶν, καὶ τῶν ὅτι μάλιστα κατωτάτω, πᾶς ὅς γε τοιοῦτος βδελυρὸς καὶ ἀκάθαρτος. Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ, κατὰ τὸ γεγραμμένον· ἀλλ' εἴτε τις εἴη μέγας καὶ σοβαρὸς, πλούτῳ τε καὶ δόξῃ τῇ κατὰ κόσμον εἰς ὕψος ἠρμένος, τὴν ἀκλεᾶ καὶ ἀγέραστον ἀποίσεται ψῆφον, τοῖς τῆς φαυλότητος αἰτιάμασιν ἐνεχόμενος· εἴτε τις εἴη μικρὸς, πτωχείᾳ τε καὶ ἀδοξίᾳ συζῶν, καταδικασθήσεται πρὸς ἀκαθαρσίαν, εἰ μὴ τοῖς εἰς ἀρετὴν ἐπαυχοίη τρόποις· οὐδ' ἂν εὕρεμά τις ποιήσαιτο τῆς ταπεινότητος, τὸ ἐλεεῖσθαι δεῖν παρὰ τοῦ δικαίου Κριτοῦ, τὸ εὐπρεπὲς ἐν ἔργοις οὐκ ἔχων, τοῖς κατ' εὐσέβειαν δὲ δηλονότι καὶ ἀρετήν. Οὐκοῦν κάμηλος μὲν, λαγώς τε καὶ χοιρογρύλλιος, μικροῦ τε καὶ μεγάλου τύπος ἂν εἶεν οὐκ ἀσυμφανής. Παραφέρει δὲ καὶ τὸν σῦν, ὡς ἀκάθαρτον, διάτοι τὸ διχηλεῖν μὲν ὁπλὴν, οὐ μὴν ἔτι πεφυκότα καὶ ἀναμασᾶσθαι τροφὴν, τοῦτ' ἔστιν, ἀνάγειν μηρυκισμὸν, ἀδρανές τε καὶ ἄχρηστον τὸ ἐν ἔργοις καύχημα, δίχα τοῦ λόγου τοῦ κατ' εὐσέβειαν ἀποφαίνων. Ὥσπερ γὰρ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν, οὕτω καὶ τὸ ἔμπαλιν, νεκρά που πάντως ἡ εὐκοσμία, καὶ τὸ ἐν ἔργοις ἐπιεικὲς, ἀπούσης θεογνωσίας, καὶ λόγου τοῦ κατ' εὐσέβειαν ταῖς ἡμετέραις ψυχαῖς οὐκ ἐνῳκηκότος, κάτω δὲ οὖσα, εἰσνένευκεν εἰς γῆν, καὶ δεδιέναι πως δοκεῖ τὸ ἀνίσχειν ἄνω τὸν ὀφθαλμόν. Τοιουτονί τι παθόντας οὐκ ὀλίγους εὑρήσομεν, οἳ σεμνὸν μὲν ἔχουσιν ἔσθ' ὅτε τὸν βίον καὶ καθαρὸν, Θεὸν δὲ τὸν φύσει καὶ ἀληθινὸν οὐκ ἐπεγνωκότες, μόνοις οἱονεί πως τοῖς ἐπὶ τῆς γῆς τὸν τῆς διανοίας ὀφθαλμὸν ἐνερείδουσιν. Ἀκάθαρτος δὲ καὶ ὁ τοιόσδε πάλιν· «Στεφανοῦται γὰρ οὐδεὶς, ἐὰν μὴ νομίμως ἀθλήσῃ,» κατὰ τὸ γεγραμμένον. {ΠΑΛΛ.} Καταμιαίνει τοιγαροῦν ἡμᾶς ὡς ἐν εἴδει συὸς, καὶ μέν τοι καὶ τῶν ἄλλων, ταῖς ἐκ νόμου διαβολαῖς ὑπενηνεγμένους. {ΚΥΡ.} Πάνυ μὲν οὖν ἔφης ὀρθῶς. Καὶ οὐκ ἀπόχρη τῷ νόμῳ τὰς τῶν ἀκαθάρτων παρακομίζειν εἰκόνας, διὰ δέ γε δὴ μόνων καὶ τῶν τοιῶνδε τυχὸν, διὰ πάσης δὲ ὥσπερ τῆς κτίσεως ἡμᾶς ὠφελεῖν ᾐρημένος καὶ τὴν τοῦ χρησίμου καὶ πρέποντος εἴδησιν πλουσίως παρατιθεὶς, καὶ τὰ ἐνύδρων δίεισι γένη, καὶ πτηνῶν ἀγέλας, ἵνα τὸ ἑκάστῳ προσπεφυκὸς πολυπραγμονοῦντες εὖ μάλα, τί μὲν ἂν εἴη λοιπὸν τὸ ἁνδάνον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεῷ, τί δὲ ἀπόβλητον καὶ ἀπηχθημένον αὐτῷ περινοεῖν ἔχοιμεν, ἐννομωτάτην δὲ οὕτως ἐπιτηδεύοντες ζωὴν, παντὸς τοῦ καταμιαίνειν εἰωθότος εὐσθενεστάτην ποιώμεθα τὴν ἀποδρομήν. Ἔφη τοίνυν ὁ νόμος 68.925 ὡδί πη πάλιν· «Καὶ ταῦτα φάγεσθε ἀπὸ πάντων τῶν ἐν τοῖς ὕδασι· πάντα ὅσα ἐστὶν αὐτοῖς πτερύγια καὶ λεπίδες ἐν τοῖς ὕδασι, καὶ ἐν ταῖς θαλάσσαις, καὶ ἐν τοῖς χειμάῤῥοις, ταῦτα φάγεσθε· καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια, οὔτε λεπίδες ἐν τοῖς ὕδασι, καὶ ἐν ταῖς θαλάσσαις, καὶ ἐν τοῖς χειμάῤῥοις, ἀπὸ πάντων ὧν ἐρεύγεται τὰ ὕδατα καὶ ἀπὸ πάσης ψυχῆς ζώσης ἐν τῷ ὕδατι, βδέλυγμά ἐστι, καὶ βδελύγματα ἔσονται ὑμῖν. Ἀπὸ τῶν κρεῶν αὐτῶν οὐκ ἔδεσθε, καὶ τὰ θνησιμαῖα αὐτῶν βδελύξεσθε, καὶ πάντα ὅσα οὐκ ἔστιν ἐν αὐτοῖς πτερύγια οὔτε λεπίδες τῶν ἐν τοῖς ὕδασι, βδέλυγμα τοῦτό ἐστιν ὑμῖν.» {ΠΑΛΛ.} Ἀλλ' ἥτις ποτέ ἐστιν ἔν γε δὴ τούτοις ἡ διαφορὰ, κατὰ θεωρίαν δὴ λέγω τὴν πνευματικὴν, φράσαις ἂν αὐτός. Συνίημι γὰρ οὔτι που μάλα ἐγώ. {ΚΥΡ.} Πάνυ μὲν οὖν· ἐρῶ γὰρ, ὡς ἔνι, μεταπλάττων ἐπὶ τὸ ἐμφανὲς τὰ ὡς ἐν τρόπῳ παραδειγμάτων τῷ νόμῳ παρειλημμένα· ὅσα μὲν γὰρ τῶν ἐν τοῖς ὕδασι πρὸς τοῦ πάντων Δημιουργοῦ τῷ τῶν ἰχθύων εὖ μάλα πεπλαστούργηται νόμῳ, ταῖς τῶν πτερυγίων ἐκβολαῖς οἱονείπως ἀεὶ διερέττοντα, τὴν οἵπερ ἂν ἕλοιντο τυχὸν ὡς εὐσθενῆ καὶ εὐδρομωτάτην ποιοῦνται κίνησιν. Καὶ ἡλίου μὲν θερμὴν ἄνωθεν ἐνιέντος τοῖς ὕδασι τῆς ἀκτῖνος τὴν προσβολὴν, ἀνανήχεται, καὶ μονονουχὶ καὶ αὐτῶν τῶν ὑδάτων ἀναθρώσκειν ἀποτολμᾷ, τὸ κάτω μένειν ἀεὶ παραιτούμενα, διεξοίχεται δὲ ῥᾳδίως καὶ τῶν θηρώντων τὰ λῖνα. Τά γε μὴν οὐκ ἐν λεπίσι καὶ πτερυγίοις, ἤγουν ἐν ἐλύτροις ὄντα σκληροῖς, καὶ ὀστράκῳ τῷ συμφυεῖ κατημφιεσμένα, ἥκιστα μὲν οἶδε τὸ ἄνω, εἰσδύεται δὲ τὴν εἰς τὸ κάτω πόαν ἀεὶ, καὶ τοῖς ἰλυώδεσι τῶν τόπων ἐμφιλοχωρεῖ. Ἀδρανῆ τέ ἐστι καὶ εὐάλωτα, καὶ τοῖς ἅπαξ τεθεαμένοις, ἱδρῶτος δίχα ληπτά. Καὶ λόγος μὲν ἐπ' ἐκείνοις, οὑτοσὶ, σαφής τε καὶ ἀληθής· ἴωμεν δ' αὖ ὡς ἐξ εἰκόνων καὶ τύπων ἐπὶ τὰ ἐμφανέστερα. {ΠΑΛΛ.} Φράσειας ἂν ἄριστα, καὶ πρός γε δὴ τούτῳ προθύμως ἰών. {ΚΥΡ.} Τὸν τοῦδε τοῦ βίου περισπασμὸν, καὶ τὴν ἐν αὐτῷ τῶν πραγμάτων πικρὰν ἀνάχυσιν καὶ ἀναφυρμὸν κατασημαίνων ἡμῖν ἀστείως ὁ Μελῳδὸς ψάλλει· «Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος. Ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμὸς, ζῶα μικρὰ μετὰ μεγάλων.» Ἰχθύσι γὰρ παρεικαστέον εὖ μάλα τοὺς ἐπ' οὐδενὶ μὲν ἔσθ' ὅτε τῶν ἀναγκαίων εἰς ὄνησιν, τῇδέ τε κἀκεῖσε διᾴττοντας, καὶ μόνα συλλέγοντας τὰ ὅσαπερ ἂν ἀποφῆναι σαρκικοὺς καὶ εἰκαίους ἀνατλῆναι παρασκευάζει πόνους. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Ἐπιπλήττει δέ που τοῖς τοιοῖσδέ τισι καὶ ὁ τοῦ Χριστοῦ μαθητὴς, ὡδὶ λέγων· «Ἄγε δὴ νῦν οἱ λέγοντες· Σήμερον καὶ αὔριον πορευσόμεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσομεν ἐνιαυτὸν ἕνα, καὶ ἐμπορευσόμεθα, καὶ κερδήσομεν.» Καὶ μετ' ὀλίγα· «Ἀντὶ τοῦ λέγειν ὑμᾶς· Ἐὰν ὁ Κύριος θελήσῃ, καὶ 68.928 ζήσωμεν, ποιήσομεν τοῦτο ἢ ἐκεῖνο, νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν.» Οὐκοῦν ἰχθύων διανηχόμεθα δίκην τὴν πλατεῖαν ταύτην καὶ εὐρύχωρον θάλασσαν, τοῦτ' ἔστι, τὸν κόσμον· διάφορος γάρ πως ὁ ἑκάστου βίος. Οἱ μὲν γὰρ οὐκ εἰσάπαν ἀπονενεύκασιν ἐπὶ τὸ χρῆναι πλημμελεῖν, ἀλλ' ἴσασι μὲν, ἀῤῥωστοῦντες ἔσθ' ὅτε, καὶ ταῖς τῆς σαρκὸς ἐνεχόμενοι πλεονεξίαις, καὶ οὐκ ἀφεστάναι τῶν ἄλλων αἰτιαμάτων βούλονται. «Πολλὰ γὰρ πταίομεν ἅπαντες,» κατὰ τὸ γεγραμμένον. Ἀποσείονται δ' οὖν ὅμως ὡς ἀκαλλὲς τὸ γυμνῶς ἐθέλειν ἀσχημονεῖν. Ἀναπείσειε δ' ἂν οὐδεὶς ἐμφανῆ τε καὶ ἀκατάσκιον ἐπιτηδεύειν τὴν πλημμέλειαν. Ἐπιμελοῦνται δὲ σφόδρα τοῦ χρῆναι λαθεῖν. «Σοφοὶ γὰρ κρύψουσι τὰς ἑαυτῶν αἰσχύνας,» κατὰ τὸ γεγραμμένον. Τοῦτο, οἶμαι, ἐστὶ τὸ ὡς ἐν τάξει κατακαλύμματος τὰς λεπίδας ἔχειν. Ἀνανήχονται δὲ πλειστάκις καὶ εἰς τὸ ὕψοῦ, βλέπουσι γὰρ, οὐκ εἰς τὸ κάτω διὰ παντὸς, φρονοῦσι δὲ καὶ τὰ ἄνω, καὶ διαδιδράσκουσιν εὐπετῶς τοὺς οἵπερ ἂν ἕλοιντο σαγηνεύειν εἰς ὄλεθρον· τοῦτό τις ἐρεῖ τὸ οἱονεὶ πτερυγίοις κεχρῆσθαι νοητῶς, καὶ θερμὴν ἄγαν τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς διανοίας ποιεῖσθαι κίνησιν. {ΠΑΛΛ.} Εἰκότα ἔφης· ἀποφέρει γάρ πως τὸ αἴνιγμα πρὸς τὸ τῇδε ἔχειν οἴεσθαι τὸν λόγον. {ΚΥΡ.} Πλημμελοῦσι δέ τινες, οὐχ ὑπεσταλμένως, γυμνὴν δὲ ὥσπερ καὶ ἀκατακάλυπτον παντελῶς ἐπιτηδεύοντες τὴν φαυλότητα· καὶ περὶ αὐτῶν ἂν λέγοιτο καλῶς· «Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν.» Νενεύκασι γὰρ ἀεὶ πρὸς ἀκαθαρσίαν, καὶ τοῖς κατωτάτω βορβόροις ἐγκαλινδούμενοι, κνώδαλα κατὰ τὸ ἀληθὲς, ἤγουν, ἕτερόν τι παρὰ τοῦτό εἰσιν. Εἶεν δ' ἂν οἱ τοιοίδε πάντη τε καὶ πάντως ἀδρανεῖς τε καὶ εὐάλωτοι, ταῖς εἰς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἡδοναῖς τυραννούμενοι. Ἢ γὰρ οὐχὶ τοιουτοσί πώς ἐστι τῶν ἀπεγνωσμένων ὁ βίος; Γύναιά τε γὰρ τὰ μαχλῶντα καὶ ἑταιριζόμενα, καὶ τὸ πάναισχρόν τε καὶ κιβδηλότατον τῶν θηλυδρίων γένος, καὶ μὴν καὶ ὅσοι διαπρέπουσιν ἐν σκηναῖς, καὶ οἷς ἀκόρεστος ἡ φιλοσαρκία, καὶ τὸ πλανᾶσθαι φίλον εἰς βέβηλον εἰδωλολατρίαν, ἐπάρατον ἀληθῶς διαζῶσι βίον, καὶ τὸν εἰς αἰσχροτάτους ἥκοντα μολυσμούς. Οὐκοῦν καθαρίζει μὲν ὁ νόμος τοὺς ἠῤῥωστηκότας μὲν τὰ ἀνθρώπινα, μὴ μὴν ἔτι καὶ εἰσάπαν ἐκτετραμμένους, ἀνανηχομένους δὲ ὥσπερ εἰς τὸ ὑψοῦ, καὶ οὐχὶ τοῖς ἐπιγείοις ἐνιζήσαντας μόνοις, πεφρονηκότας δὲ καὶ τὰ ἄνω, καὶ μεμερισμένους ὥσπερ Θεῷ τε καὶ κόσμῳ. Καταμιαίνει δὲ αὐτοὺς ὅλῳ χωροῦντας τρόπῳ, πρὸς τὸ ἀκαταλήκτως ἑλέσθαι καὶ δρᾷν καὶ φρονεῖν τὰ σαρκός τε καὶ κόσμου, καὶ ἐπὶ τούτοις μὲν ἅπασαν ἀποδυσαμένους αἰδῶ, γυμνῶς δὲ καὶ ἀπημφιεσμένως ἀσχημονεῖν εἰωθότας. Ἐξίστησι δὲ χρησίμως τῆς πρὸς αὐτοὺς κοινωνίας, τὴν πρὸς ἐκείνους οὐκ ἀτιμάζων. Οὐ γάρ τοι τοῖς φαύλοις ἰέναι κατὰ ταυτὸν, ἀλλὰ τοῖς 68.929 ἐπιεικεστέροις ἀσφαλές. Γέγραπται γὰρ «Ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται· ὁ δὲ συμπορευόμενος ἄφροσι, γνωσθήσεται.» Γράφει δὲ καὶ ὁ Παῦλος· «Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.» {ΠΑΛΛ.} Εὖ ἔφης· τὸ γάρ τοι χρῆμά ἐστιν οὐκ ἀσυντελὲς εἰς ὄνησιν. {ΚΥΡ.} Νηκτῶν μὲν δὴ πέρι καὶ τῶν ἐν τοῖς ὕδασι ταυτὶ πρὸς ἡμᾶς αἰνιγματωδῶς ὁ νόμος. Κατευρύνων δὲ ὥσπερ τῶν παραδειγμάτων ἡμῖν τὴν παράθεσιν, ἐπὶ τὰς πτηνῶν ἀγέλας ἐπιφέρει λέγων· «Καὶ ταῦτα βδελύξεσθε ἀπὸ τῶν πετεινῶν, καὶ οὐ βρωθήσεται· βδέλυγμά ἐστι· τὸν ἀετὸν καὶ τὸν γρύπα, καὶ τὸν ἁλιαίετον, καὶ τὸν γύπα, καὶ τὸν ἰκτῖνον, καὶ τὰ ὅμοια αὐτῷ, καὶ στρουθὸν, καὶ γλαῦκα, καὶ λάρον, καὶ τὰ ὅμοια αὐτῷ, καὶ πάντα κόρακα καὶ τὰ ὅμοια αὐτῷ, καὶ ἱέρακα καὶ τὰ ὅμοια αὐτῷ, καὶ νυκτικόρακα, καὶ καταράκτην, καὶ ἴβιν, καὶ πορφυρίωνα, καὶ πελεκᾶνα, καὶ κύκνον, καὶ ἐρωδιὸν, καὶ χαράδριον καὶ τὰ ὅμοια αὐτῷ, καὶ ἔποπα, καὶ νυκτερίδα, καὶ πάντα τὰ ἑρπετὰ τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τέσσαρα, βδελύγματά ἐστιν ὑμῖν. Ἀλλὰ ταῦτα φάγεσθε ἀπὸ τῶν ἑρπετῶν τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τέσσαρα, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν αὐτῶν, πηδᾷν ἐν αὐτοῖς ἐπὶ τῆς γῆς, καὶ ταῦτα φάγεσθε ἀπ' αὐτῶν, τὸν βροῦχον καὶ τὰ ὅμοια αὐτῷ, καὶ τὸν ἀττάκην καὶ τὰ ὅμοια αὐτῷ, καὶ ὀφιομάχην καὶ τὰ ὅμοια αὐτῷ, καὶ τὴν ἀκρίδα καὶ τὰ ὅμοια αὐτῇ. Πᾶν ἑρπετὸν ἀπὸ τῶν πετεινῶν, οἷς εἰσι τέσσαρες πόδες, βδελύγματά ἐστιν ὑμῖν, καὶ ἐν τούτοις μιανθήσεσθε. Πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.» Ἆρά σοι σαφὴς τῶν εἰρημένων ὁ νοῦς; {ΠΑΛΛ.} Ἥκιστά γε. {ΚΥΡ.} Ἦ οὐκ αἰσθάνῃ λοιπὸν, ὡς ἐν ἴσῳ τοῖς ἄλλοις ἠθῶν εἶεν ἂν εἰκόνες καὶ τρόπων διαφοραὶ, τὰ ἑκάστου τῶν ὠνομασμένων ἴδια φυσικῶς; {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Βούλει λέγωμεν ἀνὰ μέρος, ἕκαστα λεπτῶς διακρίναντες; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἀποφάσκει τοίνυν ὁ νόμος τὸν ἀετὸν καὶ τὸν γρύπα, καὶ τὸν ἁλιαίετον, καὶ μέντοι τὸν γύπα· διίπταται γὰρ τὰ τοιάδε ὑψοῦ, καὶ τοῖς ἀνωτάτω λίαν ἐναβρύνεσθαι φιλεῖ, καὶ μισεῖ τὰ κάτω· «Νεοσσοὶ γὰρ,» φησὶ, «γυπὸς τὰ ὑψηλὰ πέτονται.» Τοιουτοσί πως δὲ ὁ ἀλαζὼν καὶ ἐξωφρυωμένος ἄγαν, καὶ ἐπηρμένον ἐν ἑαυτῷ τὸν νοῦν ἔχων, καὶ τοῦ μὲν ἐπιεικοῦς καὶ μετρίου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φρονήματος ὑπερορᾷν εἰθισμένος, ἥκιστά γε ἀγαπῶν τοῖς ταπεινοῖς συναπάγεσθαι. Συγκαταψέγει δὲ τούτοις τὸν ἰκτῖνα, καὶ τὰ ὅμοια αὐτῷ, καὶ κόρακα καὶ τὰ ὅμοια αὐτῷ, δι' ὧν εὖ μάλα σημαίνεται, τό γε ἁρπάζειν εἰδὸς, καὶ δεινὸν εἰς κακουργίαν ἀνθρώπων γένος· καὶ τοῦ μὲν πρώτου τύπος ὁ ἰκτῖνος, θατέρου γε μὴν, ὁ μελάντατος καὶ βαθύς. Σκοτεινοὶ δέ πως καὶ οὐχ ἅπασιν ἐναργεῖς, οἱ δρι 68.932 μεῖς εἰς πονηρίαν, καὶ ἀσυμφανῆ τοῖς πολλοῖς ἔν γε δὴ σφίσιν αὐτοῖς τὴν τῶν ἠθῶν ἔχοντες μοχθηρίαν. Παραπέφυκε δὲ ἀεὶ τοῖς τὴν ἐπάρατον ἀλαζονείαν ἠῤῥωστηκόσι, τὸ πλεονεκτεῖν ἐθέλειν οὓς ἂν δύναιντο τυχὸν, καὶ πολυτρόποις κακουργίας ἐκπολιορκεῖν εὑρήμασιν, καθαρπάζειν δὲ οὕτω, καὶ τοῦτο ἀπλήστως. Ταύτητοι συνάπτει λέγων εὐθύ· «Καὶ στρουθὸν καὶ λάρον.» Ἀπληστότατα γὰρ οἶμαι ταυτὶ, καὶ τὸ παρεμπίπτον ἀεὶ συλλέγοντα. Εἶτά φησιν, ὅτι «Καὶ ἱέρακα καὶ τὰ ὅμοια αὐτῷ, καὶ νυκτικόρακα, καὶ καταῤῥάκτην, καὶ ἶβιν, καὶ πορφυρίωνα, καὶ πελεκᾶνα, καὶ κύκνον.» Καταγράψειαν δ' ἂν ἐφ' ἑαυτοῖς καὶ τόδε τοὺς ὠμῶς καὶ ἀγρίως ἐπιβουλεύοντας ἑτέροις, καὶ ἀσχέτως ἐπιφυομένους, οἷς ἂν δύναιντο τυχὸν, ὡς καὶ αὐτὸν ἐπιφέρειν οὐ παραιτεῖσθαί τισι τὸν ἐπὶ ζωῇ κίνδυνόν τε καὶ φόβον. Ὁ μὲν γὰρ ἱέραξ καταθρῶσκε· δεινῶς παντὸς ἀσθενεστέρου πτηνοῦ, καὶ κατὰ στρουθίων ἵεται, καὶ διόλλυσι λαβὼν, καταῤῥάκτης γε μὴν, καὶ ἶβις, καὶ πορφυρίων, προσθείην δ' ἂν ὅτι καὶ πελεκᾶνος, ἐπιμαίνονται τοῖς ἰχθύσι, καὶ τροφὴν ποιοῦνται τὸν ἐκείνων ὄλεθρον. Τοιοῦτοι δὲ πάντες, ὅσον ἧκεν εἰς τρόπους καὶ ἠθῶν ἀγριότητα, οἱ παρ' οὐδὲν ἡγούμενοι τὸ διολλύναι τινὰς, διά γε τὸ σφίσιν αὐτοῖς ἡδύ· οἳ τὸν τῆς φιλαλληλίας παρωσάμενοι νόμον, καὶ τοῖς τῆς ἀγάπης προσκεκρουκότες θεσμοῖς, καὶ τοῦτο εἰσάπαν ἀκούσειαν ἂν εἰκότως καὶ πρός γε ἡμῶν αὐτῶν· «Μὴ τὰ ἑαυτῶν ζητεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων· ἡ γὰρ ἀγάπη, φησὶ, τῷ πλησίον κακὸν οὐκ ἐργάζεται.» Παραιτεῖσθαι δὲ δεῖν ἔφη πάλιν γλαῦκα, καὶ ἐρωδιὸν, καὶ χαραδριὸν, καὶ τὰ ὅμοια αὐτῶν, ἔποπα καὶ νυκτερίδα. Νυκτὸς δὲ οἶμαι φίλα ταυτὶ, καὶ χαίροντα μὲν τῷ σκότει, καὶ πτῆσιν ὡς ἡδυτάτην ἐν αὐτῷ ποιεῖσθαι μεμελετηκότα, κατεχθραίνοντα δὲ τὸ ἡλίου φῶς, καὶ τὸ ἐν αὐτῷ τι δρᾷν μὴ ἀνεχόμενα· εἶεν δ' ἂν οἱ τοιοίδε σαφῶς, οἱ τῶν φαύλων ἐργάται. Καὶ γάρ ἐστιν ἀληθὲς ὅπερ ἔφη Χριστὸς, ὅτι «Πᾶς ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται εἰς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ· ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ τὰ ἔργα αὐτοῦ, ὅτι ἐν Θεῷ ἐστιν εἰργασμένα.» Ἀκάθαρτα δὲ καὶ τὰ ἑρπετὰ τῶν πετεινῶν, «ἃ πορεύεται,» φησὶν, «ἐπὶ τεσσάρων,» οἷον φέρε εἰπεῖν τὰ μυιῶν, καὶ εἴ τι τούτοις ἀγχοῦ. Μυρία δὲ ὅσα ταυτὶ μικρὰ καὶ ἀπόπτυστα, καὶ τὴν εἰς τὸ ὑψοῦ πτῆσιν οὐκ ἔχοντα. Τίς οὖν ἄρα ἐστὶ λόγος τοῦ καὶ ἐπ' αὐτὰ τὸν νόμον ἐλθεῖν, περιαθρεῖν ἀναγκαῖον. Ὥσπερ γὰρ ὅτε τῶν κτηνῶν ἐποιεῖτο μνήμην, τὴν κάμηλον ὀνομάσας, προσετίθει τὸν λαγωὸν, ἐν ἴσῳ που πάντως ἀκαθάρτους ἀποφαίνων τοὺς ἐπὶ φαυλότητι διαβεβλημένους, κἂν εἰ μέγας τις εἴη καὶ μικρὸς (προσωποληψία γὰρ οὐκ ἔστι παρὰ τῷ Θεῷ, κατὰ τὸ γεγραμμένον)· οὕτω κἀνθάδε διαμέμνηται μὲν ἀετοῦ, καὶ τῶν πτηνῶν ὀνομάσας τὸν βασιλεύτατον, κάτεισι δὲ πάλιν καὶ ἐπ' αὐτὸ τὸ βραχὺ τῶν πτεροφορεῖν εἰωθότων, ἐν ἴσῳ τιθεὶς μικρόν τε καὶ μέγαν, εἰ τῶν ἐκτόπων εἴη δημιουργὸς, καὶ τὸ διαβεβλῆσθαι δεῖν, ἀνεξίτητον ἔχοι. Ὑπεξάγει γε μὴν τοῦ τοιούτου γέ 68.933 νους, ἀκρίδα καὶ βροῦχον, καὶ τὰ τούτοις ἐμφερῆ, διάτοι τὸ εὐσθενὲς, ὡς ἀναθρώσκειν δύνασθαι, καὶ ἥκιστα μὲν ἐμφιλοχωρεῖν τοῖς κάτω, αἵρεσθαι δὲ πολλάκις εἰς τὸ ὑψοῦ, καὶ διαπηδᾷν εὐκόλως. Τοιουτοσὶ δέ πως, ὁ βίον μὲν ἔχων τὸν κοσμικὸν, ἐπιεικείας γε μὴν τῆς ἄλλης καὶ ἀγάπης τῆς εἰς Θεὸν οὐκ εἰσάπαν ἠμοιρηκώς· ὁ γὰρ τοιοῦτος, οὐ τοῖς ἐπιγείοις παντελῶς ἐνδέδεται, καὶ ἐνιζάνει τοῖς κάτω, μεμελέτηκε δέ πως καὶ τὰ ἄνω φρονεῖν, καὶ εὐδοκιμεῖν ἔσθ' ὅτε, πρὸς τὰ ἄνω διαπηδῶν καὶ τῶν ἐπιγείων ὑπεριπτάμενος. Τὸν δὲ τῶν ἀκαθάρτων ἀποθιγγάνοντα καὶ μεμολυσμένον, ἀποπλύνεσθαι μὲν δεῖ τὸ ἱμάτιον· πρὸς ἑσπέραν δὲ, καθαρὸν ἔσεσθαί φησι, τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Χριστοῦ μυστήριον εὖ μάλα παραδηλῶν, δι' οὗ κεκαθάρμεθα, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος πλουτοῦντες ἄφεσιν, κατὰ τὸν καιρὸν δηλονότι τῆς ἐπιδημίας αὐτοῦ, πρὸς ἑσπέραν οἱονεὶ γεγονότα, τοῦτ' ἔστιν, εἰς τέλος ἤδη διέρποντος τοῦ παρόντος αἰῶνος. Ἢ οὐκ ἐν ἐσχάτοις καιροῖς ἐνανθρωπῆσαί φαμεν τὸν τοῦ Θεοῦ Λόγον; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Βέβηλον δὲ καὶ ὁ νόμος ἑτέρως ἔσεσθαί φησι, τὸν ἐπιθιγγάνοντά πως ἢ θηρὸς ἀγρίου τυχὸν, ἤγουν ἑτέρου τοῦ τῶν ἀκαθάρτων ζώων· ἔφη δὲ οὕτως· «Καὶ πᾶς ὃς πορεύεται ἐπὶ χειρῶν ἐν πᾶσι τοῖς θηρίοις, ἃ πορεύεται ἐπὶ τέσσαρα, ἀκάθαρτά ἐστιν ὑμῖν. Πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας, καὶ ὁ αἴρων τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. Ἀκάθαρτα ταῦτά ἐστιν ὑμῖν. Καὶ ταῦτα ὑμῖν ἀκάθαρτα ἀπὸ τῶν ἑρπετῶν τῶν ἐπὶ τῆς γῆς, ἡ γαλὴ, καὶ ὁ μῦς, καὶ ὁ κροκόδειλος, ὁ χερσαῖος, μυγάλη, καὶ χαμαιλέων, καὶ καλαβώτης, καὶ σαῦρα, καὶ ἀσπάλαξ. Ταῦτα ἀκάθαρτα ὑμῖν ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἐπὶ τῆς γῆς. Πᾶς ὁ ἁπτόμενος αὐτῶν τεθνηκότων, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. Καὶ πᾶν ἐφ' ὃ ἂν ἐπιπέσῃ ἀπ' αὐτῶν ἐπ' αὐτὸ τεθνηκότων αὐτῶν, ἀκάθαρτον ἔσται ἀπὸ παντὸς σκεύους ξυλίνου ἢ ἱματίου ἢ δέρματος ἢ σάκκου. Πᾶν σκεῦος ὃ ἂν ποιηθῇ ἔργον ἐν αὐτῷ, εἰς ὕδωρ βαφήσεται, καὶ ἀκάθαρτον ἔσται ἕως ἑσπέρας, καὶ καθαρὸν ἔσται.» Προσετίθει δὲ τούτοις, ὡς ἔσται μεμολυσμένον πᾶν σκεῦος, ἐφ' ᾧ ἂν πέσῃ τῶν θνησιμαίων αὐτῶν. Καὶ ἄγγος ὀστράκινον, καὶ δερμάτινον, καὶ ἱμάτιον, ἔδεσμά τε καὶ ποτὸν, πλὴν πηγῆς ὑδάτων, καὶ λάκκου, φησὶ, καὶ συναγωγῆς ὑδάτων καὶ σπερμάτων. Ἔοικε δὲ ὁ νόμος διὰ μὲν τῶν ἀγρίων θηρίων, τοὺς τῶν ληστῶν ὠμοτάτους παραδηλοῦν, οἷς λελόγισται παρ' οὐδὲν, καὶ αὐτὸ τῶν πάντων ἐπέκεινα τῶν κακῶν, ἡ ἀνδροκτονία, μόνον δὲ οὐχὶ προστυγχάνοντα καταδαρδάπτουσι διολλύντες ἀνηλεῶς, καὶ φειδοῦς ἁπάσης ἐξῃρημένης. Διὰ δέ γε μυὸς καὶ γαλῆς, καὶ τῶν ἀγχοῦ τε καὶ ἐοικότων, κροκοδείλου τέ φημι τοῦ χερσαίου, σαύρας τε καὶ ἀσκαλαβώτου, τὰ ψοφοδεῆ καὶ ἄνανδρα, καὶ ἐν νυκτὶ περιθέοντα τῶν κλεπτῶν γένη, ἃ λεληθότως μὲν τοὺς νυστάζοντας κατασίνεσθαι φιλεῖ, ἐκδέδιε δὲ τὸ ἁλῶναι δεινῶς, καὶ 68.936 τὴν τῶν ἀδικουμένων παραιτεῖται γρήγορσιν. Ἢ γὰρ οὐχὶ κλεπτίστατόν τι χρῆμα, γαλῆ τε καὶ μῦς, καὶ πρὸς δειλίαν εὔκολα, καταδύεται δὲ τοὺς ἐν γῇ μυχοὺς, εἰ διακτυπήσειέ τις, ἥδιστα δ' ἂν ἐν νυκτὶ καὶ οὐκ ἐν ἡμέρᾳ νέμοιντο, κροκόδειλός τε χερσαῖος καὶ τὰ συγγενῆ; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἀκάθαρτον μὲν οὖν πᾶν, ὅπερ ἐστὶ ληστρικὸν, κἂν εἰ διὰ τρόπου τις εἴη θηριοπρεποὺς, καὶ φιλαιμάτους ἔχοι τὰς χεῖρας· κἂν εἰ μικρὰ παρακλέπτοι, καθὰ μῦς καὶ γαλῆ, καὶ ἀσπάλακός τε καὶ ἀσκαλαβώτου δίκην, τοίχους ἀναθρώσκει καὶ στέγας, κἂν εἴ τις ἐπιθιγγάνοι τῶν ὧδε μεμολυσμένων, μεθέξει τῶν ἐγκλημάτων. Κοινωνία γὰρ ἡ πρὸς τοιούσδε τινὰς, πάντη τε καὶ πάντως ἀκαθάρτους ἀποφαίνει. Ἀνθρώπων δ' ἂν εἶεν εἰς τύπον, τὰ μεμολυσμένα τῶν σκευῶν. Ἐν εἴδει γὰρ σκεύους ὁ ἄνθρωπος. Ἀπαλλάττει γε μὴν τοῦ καταμολύνεσθαι δεῖν, πηγὴν ὕδατος, λάκκον τε καὶ συναγωγὴν ὕδατος· κἂν εἰ πέσοι τυχὸν ἐν αὐτοῖς τι τῶν κατὰ νόμον μεμολυσμένων, οὐκ ἐφιεὶς, οἶμαί που, τοὺς ὑπὸ νόμον, δυσαχθὲς καὶ δυσδιακόμιστον παντελῶς ἡγεῖσθαι τὸ χρῆμα, καὶ τὴν τοῦ νόμου τήρησιν ἀνεπιτήδευτον ἔχειν, τὸ ἔν γε τουτοισὶ βλάβος, εἰς αὐτὰ παθόντας τὰ καιριώτατα. Ὡς καὶ πόλεων ἔσθ' ὅτε, καὶ οἴκων ἀποφοιτᾷν, μεμολυσμένων αὐτοῖς τῶν ὑδάτων, καὶ τῆς ἀναγκαίας τε καὶ ἀπαραιτήτου παραιρουμένης χρείας. Παρῆκε δὴ οὖν ὁ νόμος τῆς ἱστορίας τὸ ἀκριβὲς, διὰ δέ γε τὸ τοῖς ὑπὸ νόμον ἀναγκαῖον καὶ χρήσιμον. {ΠΑΛΛ.} Πιθανὸς ὁ λόγος. {ΚΥΡ.} Ἐν ἴσῳ γε μὴν τοῖς ἄλλοις ἀκάθαρτον εἶναί φησι καὶ τῶν καθαρῶν ζώων τὸ θνησιμαῖον· προσεπήγαγε δὲ, ὅτι καταμιανεῖ καὶ αὐτὸ τὸν ἁπτόμενον· γράφει δὲ οὕτως· «Ἐὰν δὲ ἀποθάνῃ τῶν κτηνῶν, ὅ ἐστιν ὑμῖν τοῦ φαγεῖν, ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας, καὶ ὁ ἐσθίων ἀπὸ τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἕως ἑσπέρας, καὶ λούσεται ὕδατι, καὶ καθαρὸς ἔσται. Καὶ ὁ αἴρων ἀπὸ τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.» Ὅπερ ἐστὶν ἐναργῶς, καθάπερ ἐγῷμαι, τὸ, «Εἴ τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ μέθυσος, ἢ λοίδορος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.» Εἰ γὰρ δή τις ὅλως τῶν ἐν ὑπολήψει σεμνότητος, καὶ τῶν ἤδη κεκαθαρμένων, καὶ εἰς κοινωνίαν τὴν πνευματικὴν διὰ πίστεως εἰσδεδεγμένων, τὴν ἐκ τῆς ἁμαρτίας ὑπομένει νέκρωσιν, «βδελυρὸς ἔστω,» φησὶ, «καὶ ἀπηχθημένος·» νεκροῖς γὰρ ἔργοις μεμολυσμένος, καταμιαίνει που πάντως τὸν αὐτῷ κολλώμενον. Ἀλλ' εἰ καὶ πάθοι τις τὸν μολυσμὸν, καθαρὸς ἔστω δι' ὕδατος πρὸς ἑσπέραν. Καὶ τί δὴ τοῦτό ἐστι, προκαταμεμήνυκεν ἡμῖν ἐναργῶς ὁ λόγος. Ἄθρει δὲ ὅτι καὶ τὸν ἐσθίοντα τῶν θνησι 68.937 μαίων αὐτῶν, καὶ εἰ ἐπαφῷτό τις μόνον, ἀκάθαρτον ἔσεσθαί φησιν, οὔτε, τὸν μετασχόντα τῆς ἐκείνων νεκρότητος, μώμου καὶ γραφῆς ἀπαλλάττων, οὔτε μὴν ἀναίτιον εἶναι λέγων, καὶ εἰ ἀγχοῦ τις ἴοι καὶ πλησιαζόμενος. Χρῆναι γὰρ οἶμαι νηφαλέως ἀποφοιτᾷν, οὐχὶ δήπου μόνης τῆς πρὸς φαύλους ταυτοεργίας, ἀλλὰ καὶ αὐτοῦ τοῦ συνιέναι μόνον. «Ὁ γὰρ ἁπτόμενος πίσσης, μολυνθήσεται,» φησί. Καὶ ἀληθὴς ὁ λόγος· ὅτι δὲ εἰς ἠθῶν ποιότητα τὰ ἐκ τῶν παραδειγμάτων χρήσιμα τῷ νόμῳ παρείληπται, ἀναμάθοι τις ἂν ἐκ τῶν ἐπενηνεγμένων. Ἔφη γὰρ πάλιν· «Καὶ οὐ μὴ βδελύξεσθε τὰς ψυχὰς ὑμῶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, καὶ οὐ μιανθήσεσθε ἐν τούτοις, καὶ οὐκ ἀκάθαρτοι ἔσεσθε ἐν αὐτοῖς, ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.» Ὁποῖον γὰρ ἂν ἐποίησε μολυσμὸν τῇ τοῦ ἀνθρώπου ψυχῇ, τὸ ἐκτεθνάναι ζῶον, καὶ τοῦ τεθνεῶτος ἀποθίγειν; Τί γὰρ ἂν ἠδίκησε βρῶσις, ἡ εἰς κοιλίαν χωροῦσα καὶ ἐκπεμπομένη πρὸς ἀφεδρῶνα, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν; {ΠΑΛΛ.} Οὐδὲν, ὡς ἐγῷμαι· νοεῖς γὰρ ὀρθῶς. {ΚΥΡ.} Χρῆναι δὴ οὖν ἔγωγέ φημι, κατὰ τοὺς τῶν πλωτήρων εὐτεχνεστάτους, πάντα σείοντας κάλων, ἔξω φέρεσθαι μολυσμῶν, ἠρεμαῖαν δὲ ὥσπερ ἀκτὴν καὶ ἀκύμονα πρὸς τὴν Θεῷ φιλαιτάτην εἰσελαύνειν ζωήν. Προσιτὸς γὰρ ἡμῖν οὐχ ἑτέρως ἢ οὕτως ἂν γένοιτο καὶ μόνως, ἀληθὲς δὲ ὅτι τὸ χρῆμά ἐστιν, ἀταλαίπωρον ἰδεῖν. Γέγραπται γὰρ πάλιν ἐν τῇ Ἐξόδῳ· «Καὶ Μωσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοθὸρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ ἱερέως Μαδιὰμ, καὶ ἤγαγε τὰ πρόβατα ὑπὸ τὴν ἔρημον· καὶ ἦλθεν εἰς τὸ ὄρος Χωρήβ. Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἐν πυρὶ φλογὸς ἐκ τοῦ βάτου, καὶ ὁρᾷ ὅτι ὁ βάτος καίεται πυρὶ, ὁ δὲ βάτος οὐ κατεκαίετο. Εἶπε δὲ Μωσῆς· Παρελθὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο, ὅτι οὐ κατακαίεται ὁ βάτος. Ὡς δὲ εἶδε Κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν ὁ Κύριος ἐκ τοῦ βάτου, λέγων· Μωσῆ, Μωσῆ· ὁ δὲ εἶπε· Τί ἐστιν; Ὁ δὲ εἶπε· Μὴ ἐγγίσῃς ὧδε, λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί.» Συνίης οὖν ὅπως οὐκ ἂν ἀγχοῦ γένοιτό τις τοῦ πανάγνου Θεοῦ, μὴ οὐχὶ πάντα ῥύπον τῆς ἑαυτοῦ προαπονίζων ψυχῆς· νεκρότητος δὲ ἁπάσης τῆς ὡς ἐν πράγμασι νοουμένης, ἀπολύων τὸν πόδα, τοῦτ' ἔστι, τὴν εἰς τὰ πρακτέα βάδισιν νοητήν; Ἢ γὰρ οὐχὶ τὸ ὑπόδημα, νεκροῦ ζώου λείψανον; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Τύπος οὖν ἄρα νεκρότητος τὸ χρῆμά ἐστιν, ἣν εἴπερ τις ἀποφορτίσαιτο, τὰ δι' ὧν ἂν ἐξοίχοιτο διαῤῥήξας δεσμὰ, ἥξει τε ἀγχοῦ καὶ οἰκεῖος ἔσται Θεῷ, καὶ πρός γε τὸ σώζειν ἑτέρους δύνασθαι λοιπὸν, ἐπιτηδείως ἔχων. Προσεχειρίζετο γοῦν ὁ Μωσῆς εἰς ἀποστολὴν, καὶ πρὸς ἐκλύτρωσιν τῶν υἱῶν Ἰσραήλ. Ἱερὸς δὲ ἡμῖν ὑποπεφώνηκε λόγος· «Υἱὲ, ἐὰν σοφὸς γένῃ, σεαυτῷ σοφὸς ἔσῃ καὶ τῷ πλησίον σου.» {ΠΑΛΛ.} Εὖ λέγεις. 68.940 {ΚΥΡ.} Τί δὲ, οὐχὶ κἀκεῖνο δὴ τουτοισὶν ἐποίσομεν ἄν; {ΠΑΛΛ.} Τὸ ποῖον; {ΚΥΡ.} Καταφοιτήσειν μέλλοντος ἐν εἴδει πυρὸς ἐπὶ τοῦ ὄρους τοῦ Σινᾶ τοῦ πάντων κρατοῦντος Θεοῦ, προσετάττετο Μωσῆς εὐτρεπῆ πρὸς θεοπτίαν ἀποφῆναι τὸν Ἰσραήλ. Τόν γε μὴν τῆς ἑτοιμασίας τρόπον, αὐτὸς ὁ πάντων ἐθεσμοδότει Δεσπότης. Εἶπε γὰρ Κύριος πρὸς Μωσῆν· «Καταβὰς, διαμάρτυρε τῷ λαῷ, καὶ ἅγνισον αὐτοὺς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σήμερον, καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια αὐτῶν, καὶ ἕτοιμοι ἔστωσαν εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ, καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, ἐναντίον παντὸς τοῦ λαοῦ.» Προαγνίζεσθαι δὴ οὖν ἀναγκαῖον τοὺς οἵπερ ἂν εἶεν τῆς πρὸς Θεὸν οἰκειότητος ἐρασταὶ, καὶ οἷς ἂν γένοιτο σκοπὸς τὸ οἱονεὶ παρεστάναι καὶ λειτουργεῖν αὐτῷ διὰ τῆς εἰς πᾶν ἀγαθὸν ἀλκῆς τε καὶ προθυμίας. Εἴη δ' ἂν ὁ τοιόσδε λοιπὸν, οὐκ ἀνικάνως ἔχων, καὶ πρός γε τὸ δεῖν καὶ αὐτὸν ἤδη πως καταθρῆσαι Θεὸν, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· «Μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.» Προήκοντα δὲ καὶ εἰς τοῦτο λαμπρότητος κατόψει δὴ πάλιν καὶ αὐτὸν, εἴπερ ἕλοιο, τὸν θεσπέσιον Ἀβραάμ. Καὶ φέρε δὴ λέγωμεν ἀνὰ μέρος τὰ ἐπ' αὐτῷ. Γέγραπται γὰρ ὡδί· «Καὶ εἶπε Κύριος πρὸς Ἀβραάμ· Σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σὺ καὶ τὸ σπέρμα σου μετὰ σὲ, εἰς τὰς γενεὰς αὐτῶν. Καὶ αὕτη ἡ διαθήκη ἣν διατηρήσεις ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. Περιτμηθήσεται ὑμῶν πᾶν ἀρσενικὸν, καὶ περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν, καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν. Καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται ὑμῖν, πᾶν ἀρσενικὸν, εἰς τὰς γενεὰς ὑμῶν, καὶ οἰκογενὴς καὶ ὁ ἀργυρώνητος ἀπὸ παντὸς υἱοῦ ἀλλοτρίου, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματός σου, περιτομῇ περιτμηθήσεται ὁ οἰκογενὴς τῆς οἰκίας σου καὶ ὁ ἀργυρώνητος. Καὶ ἔσται ἡ διαθήκη μου ἐπὶ τῆς σαρκὸς ὑμῶν εἰς διαθήκην αἰώνιον, καὶ ἀπερίτμητος ἄρσην, ὃς οὐ περιτμηθήσεται τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς, ὅτι τὴν διαθήκην μου διεσκέδασεν.» Εἶτά φησιν, ὅτι «Καὶ ἔλαβεν Ἀβραὰμ Ἰσμαὴλ τὸν υἱὸν αὐτοῦ, καὶ πάντας τοὺς οἰκογενεῖς αὐτοῦ, καὶ πάντας τοὺς ἀργυρωνήτους αὐτοῦ, καὶ πᾶν ἄρσεν τῶν ἀνδρῶν τῶν ἐν τῷ οἴκῳ, καὶ περιέτεμε τὴν σάρκα τῆς ἀκροβυστίας αὐτῶν ἐν τῷ καιρῷ τῆς ἡμέρας ἐκείνης, καθὰ ἐλάλησεν αὐτῷ ὁ Θεός.» Ποῖον οὖν ἄρα τῆς ὑπακοῆς τὸ γέρας, ὤνησε δὲ κατὰ τίνα δὴ τρόπον ἡ περιτομὴ, διὰ τῶν ἐφεξῆς εἰσόμεθα. «Ὤφθη γὰρ αὐτῷ,» φησὶν, «ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν αὐτοὺς, προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε· Κύ 68.941 ριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου· ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον, καὶ λήψομαι ἄρτον, καὶ φάγεσθε, καὶ μετὰ τοῦτο παρελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν, οὗ ἕνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. Καὶ εἶπον· Οὕτω ποιήσομεν, καθὼς εἴρηκας.» Ἡ μὲν γὰρ ἐν σαρκὶ περιτομὴ, τύπος ἂν εἴη καὶ μάλα σαφὴς, τῆς νοητῆς καὶ ἐν πνεύματι, καθ' ἣν ἅπαντα μολυσμὸν τῶν ἡμετέρων διανοιῶν ἐξίστησιν ὁ Χριστός. «Περιτετμήμεθα γὰρ, κατά γε τὴν τοῦ μακαρίου Παύλου φωνὴν, περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τῆς σαρκός.» Ἀπημφιεσμένοι γὰρ ὥσπερ τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, καὶ τὰς τῆς σαρκὸς ἡδονὰς τῇ τοῦ πνεύματος ὀξύτητί τε καὶ ἐνεργείᾳ μονονουχὶ παρακεκομμένοι, ἀξίους ἑαυτοὺς ἀποφανοῦμεν ἤδη πως τοῦ καὶ θεοπτίας ἀξιοῦσθαι δεῖν, καὶ ἱερὸν γενέσθαι κατάλυμα τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος. «Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ, ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα, καὶ ἐν αὐτῷ καταλύσομεν,» ἔφασκεν ὁ Σωτήρ. Καὶ οὐ μέχρι τούτων, τῆς ἐπιεικείας ἡ ἀντέκτισις, ἀλλ' ὡς ἤδη παραδεχθέντες πρὸς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν, τὰ ἐν αὐτῷ γνωσόμεθα, δι' ἀποκαλύψεως δὲ δηλονότι τῆς παρ' αὐτῷ· καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Ἀβραὰμ τὰ περὶ τῆς τῶν Σοδόμων καταστροφῆς ἐδιδάσκετο. Φίλῳ γὰρ ὥσπερ ἀνεκοινοῦτο Θεός. Ἄθρει δὴ οὖν ὅτι μυρίων ὅσων ἡμῖν ἀγαθῶν ἐμποιήσειεν ἀντέκτισιν, τὸ ἐξοίχεσθαι μολυσμῶν. Τοιγάρτοι καὶ Παῦλος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«Παρακαλῶ ὑμᾶς, ἀδελφοὶ,» φησὶ, «διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.» Καὶ μὴν καὶ ὁ προφήτης Ἱερεμίας ἀνακέκραγε σαφῶς· «Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν, Ἱερουσαλὴμ, ἵνα σωθῇς.»{ΠΑΛΛ.} Προσιτέον δὴ οὖν οὐκ ἐν βεβηλώσει ψυχῆς τῷ παναγίῳ Θεῷ, ἀλλ' ὡς ἐν ἱερᾷ τε καὶ ἀμωμήτῳ ζωῇ. Κατ' εὐθὺ γὰρ ὧδε τοῦ πρέποντος ἥξομεν. {ΚΥΡ.} Πάνυ μὲν οὖν, ὦ Παλλάδιε, καὶ οὐ πολλοῦ τε, οἶμαι, δεήσει πόνου πρὸς τὸ δύνασθαι καταθρεῖν ἀληθῶς ἔχοντά σοι τὸν ἐπὶ τῷδε λόγον, εἰ τὰς τῶν ἁγίων πολυτείας πολυπραγμονεῖν ἕλοιο φιλομαθῶς καὶ ὁμοφρόνως· τὰ γὰρ τοῖς ἀρχαίοις συμβεβηκότα τυπικῶς, νουθεσίας ἡμῖν ἔφασκεν ἀναγεγράφθαι τρόπους ὁ θεσπέσιος Παῦλος. Οὐκοῦν ὅτι καθαροὺς καὶ ἐκνενιμμένους προσιέναι δεῖ τῷ Θεῷ, διαμάθοι τις ἂν κἀκ τῶνδε δὴ πάλιν. Δῖνα μὲν γὰρ ἡ ἐξ Ἰακὼβ, ἅτε παρθένος καὶ ἐν ὥρᾳ γάμου, τὰς τῶν ἐν Σικίμοις θυγατέρας κατοπτεύουσα, τῆς πατρῴας ἐξέθει σκηνῆς, ἀλλ' οὐκ ἠρέμει Συχὲμ ὁ Ἐμμὼρ υἱός. Ἐρᾷ γὰρ εὐθὺς τῆς νεάνιδος, καὶ ἀσχέτοις ἐπιθυμίαις ἐπὶ τὸ δοκοῦν ἡρπάζετο. Ἀγροικότερον δὲ πρὸς τοῦτο ἰὼν, κατεβιάζετο τὴν παρθένον τὴν Ἑβραίαν ὁ ἀλλόφυλός τε καὶ ἀπερίτμητος ἔτι. Δύσοιστον δὲ τὸ χρῆμα ἐδόκει τοῖς ἐξ Ἰακὼβ, καὶ τοῖς ἀνοσίως πεπαρῳνηκόσιν εἰς Ἑβραίαν καὶ ἀδελφὴν, τὸν πολέμου νόμον ἐπῄεσαν. Ἀσχάλλοντα δὲ καὶ περιδεῆ γεγονότα τὸν θεσπέσιον Ἰακὼβ, καὶ ἐν ὑποψίαις ὄντα τοῦ διόλ 68.944 λυσθαι παγγενῆ, προσίετο Θεὸς καὶ διεσώζετο πάλιν, καὶ τίνα δὴ τρόπον, ἄξιον ἰδεῖν. Γέγραπται τοίνυν ὡδί· «Εἶπε δὲ Ἰακὼβ πρὸς Συμεὼν καὶ Λευΐ· Μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι πᾶσι τοῖς κατοικοῦσι τὴν γῆν, ἔντε τοῖς Χαναναίοις, καὶ ἐν τοῖς  Φερεζαίοις, ἐγὼ δὲ ὀλιγοστός εἰμι ἐν ἀριθμῷ· καὶ συναχθέντες ἐπ' ἐμὲ, συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγὼ, καὶ ὁ οἶκός μου. Οἱ δὲ εἶπαν· Ἀλλ' ὡσεὶ πόρνῃ κατακέχρηνται τῇ ἀδελφῇ ἡμῶν. Εἶπε δὲ ὁ  Θεὸς πρὸς Ἰακώβ· Ἀναστὰς, ἀνάβηθι εἰς τὸν τόπον Βαιθὴλ, καὶ οἴκει ἐκεῖ. Καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ Θεῷ τῷ ὀφθέντι σοι, ἐν τῷ ἀποδιδράσκειν σε ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου. Εἶπε δὲ Ἰακὼβ τῷ οἴκῳ αὐτοῦ, καὶ πᾶσι τοῖς μετ' αὐτοῦ· Ἄρατε τοὺς θεοὺς τοὺς μεθ' ὑμῶν ἐκ μέσου ὑμῶν, καὶ καθαρίσθητε, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθὴλ, καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ Θεῷ τῷ ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ, καὶ διέσωσέ με ἐν τῇ ὁδῷ, ᾗ ἐπορεύθην. Καὶ ἔδωκαν τῷ Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν, καὶ κατέκρυψεν αὐτὰ Ἰακὼβ ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σηκίμοις, καὶ ἀπώλεσεν αὐτὰ, ἕως τῆς σήμερον ἡμέρας.» Ὁρᾷς ὅτι προσίετο μὲν ὁ πάντων Δεσπότης κατοῤῥωδοῦντα τὸν δίκαιον, καὶ ἀναδείμασθαι κελεύει θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας καὶ τῆς ἐσομένης αὐτῷ σωτηρίας καὶ ἀρωγῆς ἀνάθημα λαμπρόν. Ὁ δὲ, ὅτι τοῦτο δρᾷν ἀναγκαῖον εὖ μάλα διεγνωκὼς, προαποκαθήρασθαι δεῖν ἐπιτάττει τοὺς ψευδωνύμους ἐκ μέσου ποιοῦντας θεοὺς, καὶ στολὰς ἑτέρας μετημφιεσμένους. Ἀλλ', οἶμαι δὴ, τοῦτο κατασημήνειεν ἂν εὐθὺς, τὸ εἰλικρινὲς ἐν πίστει, καὶ τὸ ἀβέβηλον εἰς ζωήν· τὸ μὲν γὰρ μονοτρόπως Θεῷ προσκεῖσθαι φιλεῖν, οὐ μεμερισμένους τὴν διάνοιαν, οὔτε μὴν ἀπονενευκότας ἐπὶ τὸ χρῆναι νοσεῖν τῆς τῶν δαιμονίων ἀπάτης λείψανα, νοοῖτ' ἂν εἰκότως ἔν γε τῷ τοὺς ἀλλοτρίους ἐξῃρῆσθαι θεούς· ἐν δέ γε τῷ μεταμείβειν τὰς στολὰς, τὸ οἱονεὶ πολιτείαν μεταμφιάσασθαι καθαράν. Ἐδόκει γὰρ ὧδε γράφειν καὶ τῷ σοφωτάτῳ Παύλῳ. Ἢ οὐκ ἐπαΐεις ἐναργῶς λέγοντος· «Ἐκδύσασθε τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, καὶ ἐνδύσασθε τὸν νέον τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν;» ἀπέκθεσιν δὲ τῆς σαρκὸς, τῶν σαρκικῶν ἡδονῶν τὴν ἀπόθεσιν διακαλῶν. Γράφει δέ που καὶ Σολομών· «Ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σου λαμπρά.» Φαίην δ' ἂν ὅτι καὶ μάλα ὀρθῶς ἐννενοηκὼς, οὐκ ἂν εἰς τοῦτο προήκοι τερθρείας ὁ σοφὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῖν Σολομὼν, ὡς ἱματίων ἡμᾶς ἀναπείθειν μειρακιωδῶς ἐντρυφᾷν λαμπρότησιν, ἀμφίῳ δὲ ὥσπερ παρεικάζει λαμπρῷ τὴν οἱονείπως ἐκνενιμμένην καὶ ῥύπου παντὸς ἐλευθέραν ζωήν. Ἐπεὶ πῶς ἄν τις ἐνδύσαιτο τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν; Ἆρ' οὐχὶ φαίης ἂν, ὅτι τοῖς τῆς εὐαγγελικῆς πολιτείας αὐχήμασι κατημφιεσμένος, ἀποπεραίνει που πάντως τὸ χρῆμα, ὦ τᾶν; {ΠΑΛΛ.} Καὶ μάλα. 68.945 {ΚΥΡ.} Εἰ δὲ δὴ καὶ ἐπ' αὐτόν τις τὸν ἀοίδιμον Ἰωσὴφ ἴοι, εὑρήσει παρέντα τῆς ἐπιεικείας οὐδὲν, ἐννενοηκότα δὲ ὅτι συνεργάσεται πρὸς πᾶν ὁτιοῦν αὐτῷ, καὶ ἐπαμυνεῖ Θεὸς, εἰ παραιτοῖτο γενικῶς τὸ καταμολύνεσθαι δεῖν. Ἐξὸν γὰρ εὐημερεῖν καὶ κατευρύνεσθαι ταῖς τρυφαῖς, τοῖς τῆς νεότητος διαπύροις σκιρτήμασιν εἰς τὸ ἡδύ τε καὶ φίλον ἀνέντα τρέχειν, καὶ ἀνεπιπλήκτοις φέρεσθαι ταῖς ὁρμαῖς, τοῦτο μὲν οὐκ ἔδρα, πολλοῦ γε καὶ δεῖ, μοῖραν δὲ ὥσπερ ἐποιεῖτο κρείττονα τὴν παρὰ Θεῷ, καὶ τῆς ἐγκρατείας τοὺς πόνους προετίθει παντὸς τοῦ παραυτίκα καταπιαίνοντος. Ἤδει γὰρ ὅτι γλυκὺ μέν πώς ἐστιν ἐν ἀρχαῖς, τὸ σαρκὸς ἐρέθισμα, καὶ οἱονεὶ μέλιτι καταγοητεύει τὸν νοῦν, ὡς ἔν γε τούτοις ἡδονὴ, καταστρέφει γε μὴν εἰς τέλος οὐκέτι τὸ γλυκύ· ποιναὶ γὰρ εὐθὺς καὶ δίκαι, καὶ τί γὰρ οὐχὶ τῶν τοιῶνδε κακῶν, τῆς τοῦ πεπλημμεληκότος καταρτηθήσονται κεφαλῆς, βούλει λέγωμεν ὀλίγα ἄττα τῶν ἐπ' αὐτῷ γεγραμμένων; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} «Καὶ ἦν,» φησὶν, «Ἰωσὴφ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει σφόδρα. Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, καὶ ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ Ἰωσὴφ, καὶ εἶπεν· Κοιμήθητι μετ' ἐμοῦ. Ὁ δὲ οὐκ ἤθελεν, εἶπε δὲ τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ· Εἰ ὁ κύριός μου οὐ γινώσκει δι' ἐμὲ οὐδὲν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάντα ὅσα ἐστὶν αὐτῷ, ἔδωκεν εἰς τὰς χεῖράς μου, καὶ οὐχ ὑπερέχει ἐν τῇ οἰκίᾳ ταύτῃ οὐθὲν ἐμοῦ, οὐδὲ ὑπεξῄρηται ἀπ' ἐμοῦ οὐδὲν, πλὴν σοῦ, διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι, καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ; Ἡνίκα δὲ ἐλάλει τῷ Ἰωσὴφ ἡμέραν ἐξ ἡμέρας, καὶ οὐχ ὑπήκουεν αὐτῇ καθεύδειν μετ' αὐτῆς, τοῦ συγγενέσθαι αὐτῇ. Ἐγένετο δὲ τοιαύτη τις ἡμέρα, καὶ εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν οἰκίαν ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ οὐθεὶς ἦν τῶν ἐν τῇ οἰκίᾳ ἔσω, καὶ ἐπεσπάσατο αὐτὸν τῶν ἱματίων, λέγουσα· Κοιμήθητι μετ' ἐμοῦ. Καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς, ἔφυγε, καὶ ἐξῆλθεν ἔξω. Καὶ ἐγένετο ὡς εἶδεν ὅτι καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγε καὶ ἐξῆλθεν ἔξω, ἐκάλεσε τοὺς ὄντας ἐν τῇ οἰκίᾳ, καὶ εἶπεν αὐτοῖς, λέγουσα· Ἴδετε, εἰσήγαγεν ἡμῖν παῖδα Ἑβραῖον, ἐμπαίζειν ἡμῖν. Εἰσῆλθε πρὸς μὲ, λέγων· Κοιμήθητι μετ' ἐμοῦ, καὶ ἐβόησα φωνῇ μεγάλῃ. Ἐν δὲ τῷ ἀκοῦσαι αὐτὸν, ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια αὐτοῦ παρ' ἐμοὶ ἔφυγε, καὶ ἐξῆλθεν ἔξω.» Ὁρᾷς ὅπως τὸ μὲν γύναιον εἰς εὐνὴν, καὶ οὐχ ἑκόντα παρεβιάζετο, τῷ γεμὴν ἐρήρειστο πρὸς ἐγκράτειαν ὁ νοῦς ὑπ' οὐδενὸς τὸ σύμπαν ἡττώμενος; Βούπαις ἦν ἔτι, ἑπτακαίδεκά που μόλις ἐτῶν, ἐν πρώταις ὑπήνης ἐκβολαῖς, ἐν ἀκμαῖς ἡδονῶν, καὶ ἐν τοῖς ὅτι μάλιστα διαπύροις κινήμασι, καὶ ἵν' οὕτως εἴποιμεν, σκληραῖς καὶ ἀνουθετήτοις ἐπιθυμίαις. Φιλεῖ γὰρ ἀεί πως ἐν ἀθραύστοις ἔτι τοῦ ὀρεκτιᾷν ὁρμαῖς, τὸ ἔφ 68.948 ηβον εἶναι γένος, καὶ χαλινῶν τῶν εἰς ἐγκράτειαν οὐ λίαν ἀνέχεται. Ἀλλ' ἦν ἀκλόνητος ὁ θεσπέσιος Ἰω-σὴφ, οὐ τὸ τῆς νεότητος ἀνειμένον ἀπαιδαγώγητον ἔχων, οὐ δεδιὼς ὅτι ξένος ἦν καὶ οἰκέτης. Ἐκβεβίαστο γὰρ εἰς ἄμφω παρὰ τῶν ἀδελφῶν τοῖς Ἰσμαηλίταις καταπωλούμενος. Ἐπεὶ δὲ κρείττων ἦν ἡδονῆς τε ἅμα τῆς μυσαρωτάτης, καὶ τῶν εἰς ἀσέλγειαν κινημάτων, συκοφαντεῖ τὸ γύναιον, καὶ ἀντίστροφον τῷ νέῳ ποιεῖται τὴν γραφήν. Τὸν δὲ, οὐκ εἴκοντα τοῖς αὐτῆς αἰτήμασιν, ὑβριστὴν ἀπεκάλει. Καὶ δεσμώτης μὲν ἐντεῦθεν ὁ νεανίας ἦν· θείᾳ γε μὴν χάριτι διεσώζετο, καὶ μισθὸν ἐγκρατείας ἀποκεκέρδηκεν εὐθὺς, τὸ ἁπάσης κατάρξαι τῆς Αἰγυπτίων χώρας. Οὐκοῦν κἂν εἰ ἔχοι τὸ χρῆμα πόνους, κἂν ἱδρῶτες προκέοιντο βαρεῖς τῶν εἰς ἐγκράτειαν αὐχημάτων, οὐ πολὺς ὁ λόγος, τῷ γε ὅλως φιλοθεεῖν ᾑρημένῳ· ἕξει γὰρ, ἕξει καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἰσοπαλῆ τὸν ἔπαινον, καὶ ἰσοῤῥόπους τὰς ἀμοιβάς. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Δαβὶδ, ταῖς ἐπὶ τοῦτο τληπαθείαις ἀποθαυμάζει λέγων, τὸν ἀξιεπαινετώτατον νεανίαν, «Εἰς δοῦλον ἐπράθη Ἰωσὴφ, ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ.» Σίδηρον, οἶμαι, λέγων, τὴν σκληρὰν καὶ ἄθραυστον τῶν ἱδρώτων προσβολὴν, δι' ὧν ἂν γένοιτο καταστέλλειν ἁμαρτίας καὶ ῥύπου παντὸς ἀποφοιτᾷν, τῆς γε μὴν ἁγίας καὶ καθαρωτάτης ἐφικέσθαι ζωῆς, φημὶ δὴ τῆς εὐαγγελικῆς τε καὶ ἐν Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΣ.

### Ὅτι χρὴ καθαροὺς καὶ ἐκνενιμμένους παρίστα σθαι τῷ Θεῷ, καὶ ὅτι ἐν Χριστῷ πάλιν ἡμῖν ἡ καθάρσις.

Ἐκ παντὸς ἡμῖν, ὦ Παλλάδιε, συναγήγερται λόγου σαφής τε καὶ ἐναργὴς ἀπόδειξις, τοῦ δεῖν ἰέναι 68.949 παγκάλως εἰς οἶκον Θεοῦ, λαμπρούς τε καὶ ἐκνενιμμένους, οἰκειότητά τε τὴν πρὸς αὐτὸν δι' ἁγιασμοῦ κερδαίνοντας. Ἵλεῳ γὰρ τότε περιτευξόμεθα τῷ Θεῷ, καὶ ἵν' οὕτως εἴπωμεν, ὅλῳ βλέποντι τὰ καθ' ἡμᾶς ὀφθαλμῷ, καὶ τὴν τοῖς ἁγίοις πρεπωδεστάτην φειδὼ διανέμοντι. «Ἐπὶ τίνα δὲ ἐπιβλέψω,» φησὶν, «ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;» Ὁσίας γὰρ ὄντως ἀνατενεῖ χεῖρας, καὶ εἰς αὐτό που διακεκράξεται τὸ τῆς θεότητος οὖς, ὁ δὴ οὕτως ἔχων, ὡς καὶ εἰς πέρας ἥκων τῶν ὧν ἂν εὔξαιτο τυχὸν, ἐκ περιχαρείας εἰπεῖν· «Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.» Ἦ οὐ διεπύθου σαφῶς ἀναμελῳδοῦντος ἡμῖν τοῦ θεσπεσίου Δαβὶδ, ὅτι «Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν;» {ΠΑΛΛ.} Ἐπυθόμην; {ΚΥΡ.} Ὅτι μὲν ἔστιν ἀληθὴς ὁ λόγος, οὐκ ἐνδοιάσαι θέμις, πλὴν, ἐπί γε τὸ δεῖν ἀποτρίβεσθαι μολυσμοὺς, τίς ἂν γένοιτο πρὸς ἡμῶν ὁ τρόπος; συνήσει γὰρ δὴ παραπτώματα μὲν οὐδεὶς, πολλὰ δὲ πταίομεν ἅπαντες. Νοσεῖ δὲ ἡ φύσις τὸ εἰς ἁμαρτίαν εὔκολον, καὶ λίαν ἐστὶν εὐπάροιστος ἐπὶ τὸ πεφυκέναι ἀδικεῖν, καταλεαινούσης ἡμῖν τρόπον τινὰ τῆς ἐπὶ τὰ φαῦλα ῥοπῆς, τὴν ὁδὸν τῆς ἐκτόπου καὶ βδελυρᾶς ἡδονῆς. {ΠΑΛΛ.} Εὖ λέγεις· συναινέσαιμι γὰρ ἂν μελλήσας οὐδὲν, ὀρθοεπεῖν ῥηρημένῳ. {ΚΥΡ.} Ἤδη μὲν γὰρ καὶ ἡ ἀπὸ γῆς σὰρξ τὸν τῆς ἁμαρτίας ἐν ἑαυτῇ κατηῤῥώστησε νόμον, εὐπαράφορος δὲ λίαν ὁ ἀνθρώπινος νοῦς, ἐπὶ τὸ ἐκνεῦσαι δεῖν ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, κατὰ τὸ γεγραμμένον. Τοιγάρτοι καὶ λόγος ἡμῖν ἱερὸς ἐπιστυγνάζει δικαίως· «Πάντες γὰρ, φησὶν, ἐξέκλινον, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.» Ἐπειδὴ δὲ οὐκ ἦν ἀπόνευσις τοῦ κακοῦ, Σωτῆρα καὶ Λυτρωτὴν πέπομφεν ἡμῖν ἐξ οὐρανοῦ τὸν ἴδιον Υἱὸν ὁ Θεὸς καὶ Πατὴρ, δικαιοῦντα τῇ πίστει, καὶ ποινῆς ἀπαλλάττοντα, καὶ εὐσθενὲς μὲν λίαν ἀποτελοῦντα τὸ ἄναλκι, καταφωτίζοντα δὲ τὸ ἐσκοτισμένον, ἐπιστρέφοντα δὲ τὸ πλανώμενον, καὶ πλεονεξίας ἐξέλκοντα διαβολικῆς, τὸ ὑπεστρωμένον αὐτῷ. {ΠΑΛΛ.} Ἐν Χριστῷ δὴ οὖν τὸ ἐκ τῆς ἁμαρτίας αἶσχος ἀποτριψόμεθα, διεσμηγμένοι δὲ οὕτω, καὶ μώμου παντὸς ἰόντες ὡς ἀπωτάτω, προσελευσόμεθα δι' αὐτοῦ τῷ Θεῷ καὶ Πατρί. {ΚΥΡ.} Συνίης εὖ μάλα· διακεκραγότων καὶ αὐτῶν ἐπαΐοι τις ἂν τῶν ἁγίων προφήτων, τὴν οὕτως ἡμῖν ἀξιάγαστον καὶ πολύευκτον χάριν. Μιχαίας μὲν γὰρ ὁ σοφώτατος, ὧδέ πή φησι· «Τίς Θεὸς ὥσπερ σὺ, ἐξαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας τοῖς καταλοίποις τῆς κληρονομίας αὐτοῦ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ οὐ συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελητὴς ἐλέους ἐστίν;» Ἕτερος δὲ αὖ· «Μνήσθητι ταῦτα, Ἰακὼβ καὶ Ἰσραὴλ,μὴ ἐπιλανθάνου μου. Ἰδοὺ γὰρ ἀπήλειψα ὡς ἐν νεφέλῃ τὰς ἀνομίας σου, καὶ ὡς γνόφος τὰς ἁμαρτίας σου.» Καὶ πλεῖστα μὲν ἄν τις συλλέξαιτο τὰ 68.952 ἀπὸ τῆς θείας Γραφῆς, παραδεικνὺς εὖ μάλα τὸ ἔν γε δὴ τούτοις ἡμῖν ἀληθὲς, τὸ δὲ, οἷς ἂν ἕποιτο σαφής τε καὶ ἐναργὴς ἡ πίστις, ἐπισωρεύειν ἕτερα, περιττὸν οἶμαί που. {ΠΑΛΛ.} Ἀλλ' ἐναργὲς μὲν ὅτι τὸ χρῆμα, παντί τῳ σαφές. Ἑλοίμην δ' ἂν ἔγωγε, καὶ ἐκ νομικῶν εἰκόνων τὴν ἐν Χριστῷ διαθρῆσαι κάθαρσιν. {ΚΥΡ.} Ἄθρει δὴ οὖν, εἴ σοι φίλον, τῇδέ τε ἡμᾶς ἰέναι δοκεῖ· τοὺς γάρ τοι μεμολυσμένους, καὶ τοὺς τῆς παρανομίας ἐγκλήμασιν ὑπενηνεγμένους, θύειν ὁ νόμος ἐκέλευε, διχῇ διαστέλλων τῶν θυσιῶν τοὺς τρόπους. Αἱ μὲν γὰρ, ὑπὲρ ἡμῶν αὐτῶν σφαζόμενον καταγράφουσι τὸν Ἐμμανουὴλ, αἱ δὲ, καὶ ἡμᾶς αὐτοὺς ἀποθνήσκοντας τῷ κόσμῳ, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνακομίζοντας τῷ Θεῷ τὴν οἰκείαν ζωήν τε καὶ σωτηρίαν. Ἢ γὰρ οὐχὶ νεκροῦντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ περιφορᾶς κοσμικῆς, καὶ γεωδεστέρων ἡδονῶν τὸν νοῦν ἀπαλλάττοντες, τὴν θείαν τε καὶ εὐαγγελικὴν διαζήσομεν ζωήν; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Οὐκοῦν θυσία μὲν ἔστιν, ἡ ὡς ἐν θανάτῳ Χριστοῦ πνευματικὴ διακάθαρσις, εὐχὴ δὲ καὶ δῶρον, ὡς πρὸς ἡμῶν, τὸ ἀναθεῖναι Θεῷ τὴν εὐκοσμίαν τε καὶ ἐν ἁγιότητι ζωήν. Προδιαστέλλει γε μὴν ὁ νόμος καὶ διαμαρτύρεται σαφῶς, τὸ δεῖν ἀμωμήτους τὰς ἔν γε δὴ τούτοις ποιεῖσθαι προσαγωγὰς, χρησίμως τε καὶ ἀναγκαίως. Ἐπειδὴ δὲ τῶν προσφερομένων θυμάτων, ἃ μὲν ἐδήλου Χριστὸν, ὡς ὑπὲρ ἡμῶν σφαζόμενον, ἃ δὲ καὶ ἡμᾶς ἀνατυποῖ, μονονουχὶ καταθυμιῶντας τῷ Θεῷ τὴν οἰκείαν ζωήν. Ταύτητοί φησιν, ἀμώμητά τε εἶναι δεῖν αὐτὰ, καὶ κατ' οὐδένα τρόπον νοσοῦντα τὴν ἐμπηρίαν. Ἄμωμος γὰρ ὁ Χριστός· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, ἀλλ' οὐδ' ἂν ἡμᾶς αὐτοὺς παραδέξαιτο Θεὸς, ἐν μολυσμοῖς ὄντας ἔτι, καὶ τῆς ἁμαρτίας νοσοῦντας τὸ ἀτερπές. Γέγραπται τοίνυν ἐν τῷ Λευϊτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐ-τοῦ, καὶ πάσῃ Συναγωγῇ υἱῶν Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἄνθρωπος ἀπὸ τῶν υἱῶν Ἰσραὴλ, ἢ τῶν προσηλύτων τῶν προσκειμένων πρὸς αὐτοὺς ἐν Ἰσραὴλ, ὃς ἂν προσενέγκῃ τὰ δῶρα αὐτοῦ κατὰ πᾶσαν ὁμολογίαν αὐτῶν, ἢ κατὰ πᾶσαν αἵρεσιν αὐτῶν, ὅσα ἂν προσενέγκωσι τῷ Θεῷ εἰς ὁλοκαύτωμα· δεκτὰ ὑμῖν, ἄμωμα ἄρσενα ἐκ τῶν βουκολίων, καὶ ἐκ τῶν προβάτων, καὶ ἐκ τῶν αἰγῶν, πάντα ὅσα ἂν ἔχῃ μῶμον ἐν αὐτῷ, οὐ προσάξουσι Κυρίῳ, διότι οὐ δεκτὸν ἔσται ὑμῖν. Καὶ ἄνθρωπος ὃς ἂν προσενέγκῃ θυσίαν σωτηρίου τῷ Κυρίῳ, διαστείλας εὐχὴν, ἢ κατὰ αἵρεσιν ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν, ἐκ τῶν βουκολίων ἢ ἐκ τῶν προβάτων, ἄμωμον ἔσται εἰσδεκτὸν, πᾶς μῶμος οὐκ ἔσται ἐν αὐτῷ. Τυφλὸν ἢ συντετριμμένον, ἢ γλωσσότμητον, ἢ μυρμηκιῶντα, ἢ ψωραγριῶντα, ἢ λειχῆνας ἔχοντα, οὐ προσάξουσι ταῦτα τῷ Θεῷ, καὶ εἰς κάρπωσιν οὐ δώσετε ἀπ' αὐτῶν ἐπὶ τὸ θυσιαστήριον τῷ Κυρίῳ. Καὶ μόσχον ἢ πρόβατον ὠτότμητον, 68.953 ἢ κολοβόκερκον σφάγια ποιήσεις αὐτὰ σεαυτῷ· εἰς δὲ εὐχήν σου οὐ δεχθήσεται. Θλαδίαν καὶ ἐκτεθλιμμένον, καὶ ἐκτομίαν, καὶ ἀπεσπασμένον, οὐ προσάξετε αὐτὰ τῷ Κυρίῳ, καὶ ἐπὶ τῆς γῆς ὑμῶν οὐ ποιήσετε. Καὶ ἐκ χειρὸς ἀλλογενοῦς οὐ προσοίσετε τὰ δῶρα τοῦ Θεοῦ ὑμῶν ἀπὸ πάντων τούτων, ὅτι φθάρματά ἐστιν ἐν αὐτοῖς, καὶ μῶμος ἐν αὐτοῖς. Οὐ δεχθήσεται ταῦτα ὑμῖν.» Ἄθρει δὴ οὖν ὅτι παρεγγυᾷ σαφῶς καὶ ἀναφανδὸν ὁ νόμος, καὶ τοῖς ἐξ αἵματος Ἰσραὴλ, καὶ τοῖς ἔξωθέν τε καὶ εἰσκεκριμένοις εἰς λαοὺς, φημὶ δὴ τοῖς προσηλύτοις, τὸ χρῆναι μωμοσκοπεῖν εὖ μάλα τὰ ἱερά. Δεῖν γὰρ ἔφη προσκομίζεσθαι πρὸς ἡμῶν τὸ ἄρσεν τε καὶ ἄμωμον, τοῦτ' ἔστι, τὸ εὐσθενὲς, καὶ ἀνωτέρω παθῶν· ὁ γάρ τοι μαλακισμὸς, καὶ φρόνημα· τὸ θηλυπρεπὲς, καὶ μέν τοι καὶ τὸ νοσεῖν τὴν εἴς γε νοῦν ἔσω καὶ νοητὴν ἐμπηρίαν, ἀπαράδεκτον παντελῶς τῷ Θεῷ, καὶ ἀπόβλητον. Ἢ οὐκ ἀνίερον εἶναι φὴς τὸν ᾧπερ ἂν φαίνοιτο προσόντα ταυτί; {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; {ΚΥΡ.} Οὐκοῦν ἀπόβλητον μὲν τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄναλκι, καὶ τὸ οἱονεὶ παρειμένον, δεκτὸν δὲ τὸ εὐσθενὲς, ὡς ἐν ἀρσένων φύσει ζωγραφούμενον, εἰ παρεζευγμένον ἔχοι τὸ ἄμωμον. Εἶεν δι' ἂν εἰς τύπον ἡμῖν σαφῆ τὰ τοιάδε Χριστοῦ. Ἄρσην γὰρ ὁμοῦ καὶ ἄμωμος ὁ Ἐμμανουὴλ, εἴπερ ἐστὶν ἀληθῶς Θεοῦ δύναμις, καὶ οὐκ εἰδὼς ἁμαρτίαν. Ἄρσην δὲ καὶ ἑτέρως· προὖχον γὰρ ἀεὶ, καὶ ἐν ἀμείνοσι θατέρου τὸ ἄρσεν· καὶ πρός γε δὴ τούτῳ καὶ ἡγεμονικώτατον. Προέστηκε δὲ καὶ ἀσυγκρίτως ἐστὶν ἐν ἀμείνοσι, καὶ καθηγεῖται τῶν ὅλων, εἰ καὶ γέγονε καθ' ἡμᾶς ὁ Υἱὸς, καὶ ὁ ποιμὴν ἐν προβάτοις κατελογίσθη χρησίμως. Ἀνίερα δὲ καὶ ἀπόπεμπτα τῶν θυμάτων, τυφλὸν, καὶ συντετριμμένον, καὶ μὴν καὶ γλωσσότμητον, καὶ μυρμηκιῶν, καὶ ψωραγριῶν, καὶ λειχῆνας ἔχον, ὠτότμητόν τε καὶ κολοβόκερκον. Ἀλλὰ καὶ εἴ τῳ, φησὶ, καταθλασθείη τυχὸν τὰ ἀρσενικὰ, καὶ τὸ εἰς εὐνούχους ἤδη τελοῦν, ἀναγκαῖον ἔχοι πάθος. Τουτὶ γὰρ οἶμαι δηλοῦν, θλαδίαν καὶ ἐκτεθλιμμένον, ἐκτομίαν καὶ ἀπεσπασμένον. {ΠΑΛΛ.} Ἆρ' οὖν εἰς ἤθη καὶ τρόπους τοὺς καθ' ἡμᾶς μεταληπτέον ταυτί; {ΚΥΡ.} Πάνυ μὲν οὖν· εἴη γὰρ ἂν οὐχ ἑτέρως ἢ οὕτως ἡμῖν πνευματικὸς ὁ νόμος. Γένοιτο δ' ἂν οὐδεὶς παρὰ Θεῷ λόγος τῆς ὡς ἐν σκιαῖς λατρείας, ἀλλ' οὐδ' ἂν ὡρίσατό ποτε τοὺς ἐν αὐτῇ νόμους, μὴ οὐχὶ τῆς ἀληθείας προανατυπῶν ἐν αὐτῇ τὸ ἐκπρεπέστατον κάλλος. {ΠΑΛΛ.} Εὖ λέγεις. Πέραινε δὴ οὖν τὸν ἐφ' ἑκάστῳ λόγον, καὶ τίς ἂν γένοιτο διασάφει πάλιν. {ΚΥΡ.} Οὐκοῦν εἰμί τοι καὶ μάλα προθύμως. Τυφλὸν μὲν οὖν ἔοικε, τὸν ἄσοφόν τε καὶ ἀσύνετον λέγειν, καὶ φῶς οὐκ ἔχοντα θεῖον ἐν ἑαυτῷ τοῦτ' ἔστι, τὸν διὰ Χριστοῦ φωτισμὸν ἐν Πνεύματι, ἀνίερος δὲ παντελῶς, ὁ ἄνους τε καὶ ἄπιστος ἔτι· «Ἐὰν γὰρ μὴ πιστεύσητε, οὐ μὴ συνῆτε,» φησίν. Συντετριμμέ 68.956 νον δὲ αὖ, τὸν ὁλοτρόπως ἠῤῥωστηκότα, καὶ ὑγιὲς ἔχοντα παντελῶς οὐδὲν, οὔτε μὴν ὀρθοποδεῖν δυνάμενον, ἤγουν δρᾶσαι τι τῶν ἀγαθῶν ἰσχύοντα, εὐρωστίας δὲ τῆς ἐν Χριστῷ καὶ ἐν Πνεύματι παντελῶς ἡττώμενον, πεπόνθασι δέ τι τοιοῦτον, οἱ περὶ ὧν γέγραπται, δι' ἑνὸς τῶν ἁγίων προφητῶν· «Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν, καὶ ἀσθενήσουσιν ἐν αὐτῇ πατέρες καὶ υἱοὶ ἅμα· γείτων καὶ ὁ πλησίον αὐτοῦ ἀπολοῦνται.» Ἀλλ' ὅγε θεῖος ἡμῖν Μελῳδὸς, τοὺς ἐν πίστει τῇ ἐν Χριστῷ δεδικαιωμένους, εἰσκεκόμικεν ἱλαροὺς, ψάλλοντάς τε καὶ λέγοντας· «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, τὸν ἰώμενον πάσας τὰς νόσους σου, τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου.» Γλωσσότμητόν τε, καθάπερ ἐγῷμαι, τὸν ὀρθοεπεῖν οὐκ εἰδότα, οὔτε μὴν ἀναφωνεῖν ἰσχύοντα τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν κατὰ τὸ γεγραμμένον, τὸ ἐξ ἀγαθῆς συνειδήσεως ἐπερώτημα εἰς Θεὸν, πλὴν ὅτι καὶ τὴν τοιάνδε πάλιν ἀποκρούσονται νόσον, ἐν παρουσίᾳ Χριστοῦ, σαφηνιεῖ λέγων ὁ προφήτης· «Καὶ γλῶσσαι αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην.» Γλωσσότμητος οὖν ὁ ψελλίζων ἔτι, καὶ λαλεῖν οὔπω δεδιδαγμένος τὴν ἄνωθεν ἡμῖν καὶ παρὰ Πατρὸς εἰρήνην, τοῦτ' ἔστι, Χριστὸν, ἤτοι τὰ ἐπ' αὐτῷ. Μυρμηκιῶντάς γε μὴν καὶ ψωραγριῶντας, καὶ λειχῆνας ἔχοντας εἶναί φαμεν τοὺς, οἵπερ ἂν ἔχοιεν ἔν γε δὴ σφίσιν αὐτοῖς ἐμπαθῆ τὸν νοῦν, καὶ πολλὴν ἐγκατηῤῥωστηκότας τὴν ἐν ἁμαρτίαις φθορὰν, οὐ μὴν ὅτι χρὴ καὶ πρὸς τὸ μεῖον ἄγειν αὐτοὺς διενθυμουμένους, ἐφιέντας δὲ μᾶλλον διέρπειν ἐπὶ τὸ αἴσχιον, καὶ κατευρύνεσθαι πρὸς τὸ χεῖρον. Μυρμηκία τε γὰρ καὶ ἀγρία ψώρα, καὶ μὴν καὶ λειχὴν, ἀεὶ πρὸς ἐπίδοσιν ἰόντα φαίνεται, καὶ πρὸς τὸ χειρόνως ἔχειν διανένευκέ πως, καὶ ὅλην κατὰ βραχὺ διανέμεται τὴν σάρκα. Τοιαῦτα δὲ καὶ τὰ ἐν ταῖς ἡμετέραις ψυχαῖς οὐκ ἀνακοπτόμενα τῶν παθῶν, ἀσχέτῳ δὲ ὥσπερ ὁρμῇ πρὸς τὸ χεῖρον ἀεὶ διεκτρέχοντα. Ὠτότμητον δὲ, πρός γε δὴ τούτῳ τὸν κολοβόκερκον, τὸν δυσπειθῆ καὶ ἀνήκοον, καὶ τὸν μὴ μέχρι παντὸς εὐσχήμονα κατασημήνειεν ἄν. Ἢ οὐχὶ τὸ βλάβος εἰς ἀκοὴν, τοῖς γε τὸ οὖς ἀποκεκομμένοις; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Τὰ δὲ τῶν ζώων τὴν κέρκον οὐκ ἔχοντα, δοίης ἂν αὐτὸς ἔν γε τῷ καλλίστῳ σχήματι; Οὐδαμῶς· νοσεῖ γὰρ ἐφ' ἑαυτῶν πολὺ δὴ λίαν τὸ ἀπρεπές. Οὐκοῦν ἀσχήμων καὶ ἀκαλλὴς ὁ ὡς ἐν ζώῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τυχὸν τῷ τὴν κέρκον οὐκ ἔχοντι πλαγίως ὑποδηλούμενος. Ἀπόβλητον δὲ ποιεῖται τὸ ἄρσεν μὲν, ὅσον ἧκεν εἰς φύσιν, ἐνεργεῖν δὲ τὰ ἀρσένων οὐ δυνάμενον, θλαδίαν δὴ λέγω καὶ ἐκτομίαν· εἶεν δ' ἂν οἱ τοιοίδε πάλιν, οἱ ἐν ὑπολήψει μὲν ἀνδρείας τῆς εἰς ἀρετὴν, οὐ μὴν ἔτι καὶ ἐνεργοὶ πρὸς ἀρετῆς αὐχήματα, ξηροὶ δὲ ὥσπερ καὶ ἄκαρποι, καὶ τὸ δύνασθαι καρποφορεῖν πολυτρόπως παρῃρημένοι. Πλεῖστος γὰρ ὅσος ἡμᾶς ἀνοσίων παθῶν καταβιάζεται δῆμος εἰς τὸ ἄναλκί τε καὶ ἀδρανὲς, καὶ προσέτι τούτῳ τὸ μὴ ἰσχύσαι καρποφορεῖν. Ταύτητοι, καθάπερ ἐγῷμαι, καὶ πολλοῖς ὀνόμασι τὸ 68.957 εὐνουχισθὲν ὁ νόμος ἀποκαλεῖ· θλαδίαν γὰρ, φησὶ, καὶ ἐκτεθλιμμένον, καὶ ἐκτομίαν καὶ ἀπεσπασμένον· παμποίκιλα γὰρ τὰ ἐν ἡμῖν πάθη, διὰ πολλῆς ὥσπερ ἄγοντα τρίβου πρὸς τὸ ἄναλκί τε καὶ ἀδρανές.» {ΠΑΛΛ.} Πιθανὸς ὁ λόγος. {ΚΥΡ.} Μυσαρὸν δὲ ὅτι πρὸς τούτοις ἐστὶ, καὶ διὰ χειρὸς ἀλλοτρίας, τὰς ἱερουργίας καταθύειν Θεῷ, προσαπέφηνε λέγων· «Καὶ ἐκ χειρὸς ἀλλογενοῦς οὐ προσοίσετε τὰ δῶρα Κυρίῳ τῷ Θεῷ ὑμῶν.» Δι' οὗ σημαίνεται τυπικῶς, ὡς διὰ μόνου Χριστοῦ προσιτὸς ὁ Πατήρ· αὐτὸς γὰρ ἡμῶν ὁ ἄμωμος ἀληθῶς καὶ μέγας ἀρχιερεὺς, ὁ μεσίτης οἰκονομικῶς· ὡς γὰρ ὁ θεσπέσιος γράφει Παῦλος· «Ἐν αὐτῷ τὴν προσαγωγὴν ἐσχήκαμεν ἐν Πνεύματι πρὸς τὸν Πατέρα.» Μώμου δὴ οὖν ἀπηλλάχθαι πρέπει τοὺς οἵπερ ἂν ἕλοιντο τὰς ἑαυτῶν ψυχὰς καθιεροῦν τῷ Θεῷ καὶ Πατρὶ, μεσιτεύοντος τοῦ Χριστοῦ· «Ἅγιοι γὰρ ἔσεσθε,» φησὶ, «καθὼς ἐγὼ ἅγιός εἰμι.» {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Καταρυθμίσας δὲ τῆς θυσίας τοὺς τρόπους, ὡς ἐν βουσὶ καὶ προβάτοις, καὶ δι' ἑτέρων ἡμῖν ἐπινοιῶν ἔρχεται, τὸ δεῖν ἀμωμήτως προσιέναι Θεῷ τοῖς τοῦτο δρᾷν εἰωθόσιν, εὖ μάλα παρεγγυῶν· ἔφη γὰρ πάλιν ἐν τῷ Λευϊτικῷ· «Πᾶσαν θυσίαν ἣν ἂν προσφέρητε Κυρίῳ, οὐ προσοίσετε ζυμωτήν· πᾶσαν γὰρ ζύμην καὶ πᾶν μέλι οὐ προσοίσετε ἀπ' αὐτοῦ, καρπῶσαι Κυρίῳ, δῶρον ἀπαρχῆς προσοίσετε αὐτὰ Κυρίῳ, ἐπὶ τὸ θυσιαστήριον οὐκ ἀναβιβασθήσεται εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, καὶ πᾶν δῶρον θυσίας ὑμῶν ἁλὶ ἁλισθήσεται. Οὐ διαπαύσετε ἅλας διαθήκης Κυρίῳ ἀπὸ θυσιασμάτων ὑμῶν, ἐπὶ παντὸς δώρου ὑμῶν προσοίσετε Κυρίῳ τῷ Θεῷ ὑμῶν ἅλας.» Ζύμη μὲν οὖν πανουργίας ἂν εἴη τύπος, οὐχὶ πάντως γε καὶ μόνης τῆς κατεψεγμένης, ἀλλὰ καὶ τῆς ἑτέρας, φημὶ δὴ τῆς ἀγαθῆς καὶ ἐπαινουμένης, ἣν καὶ τῆς σοφίας ὁ λόγος, τοῖς ἀκάκοις ἔτι διδόναι κατεπαγγέλλεται. μέσον γάρ πώς ἐστι τὸ τῆς πανουργίας ὄνομα. Μέλι δὲ αὖ, ἡδονὴν μὲν ἔσθ' ὅτε τὴν σωματικὴν ἡμῖν πλαγίως ὑπαινίττεται, ὡς ἔν γε τῷ φάναι· «Μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης.» Ποτὲ δὲ καὶ ἀγαθῶν γλυκασμάτων εἰσφέρει τὴν ὑποτύπωσιν. Γέγραπται γὰρ, ὅτι «Φάγε μέλι, υἱέ· ἀγαθὸν γὰρ κηρίον, ἵνα γλυκανθῇ σου ὁ φάρυγξ.» Ἀποφάσκει δὴ οὖν ὁ νόμος, τὸ προσκομίζεσθαι δεῖν εἰς κάρπωμα καὶ θυσίαν, ζύμην τε καὶ μέλι. Δέχεται μὲν γὰρ παρὰ τοῦ προσάγοντος εἰς δῶρον καὶ ἀπαρχὴν, ἀνακομίζει δὲ οὐδαμῶς εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ. {ΠΑΛΛ.} Εἶτα τί τὸ αἴνιγμα διασάφει πάλιν. {ΚΥΡ.} Δυσέφικτον, ὦ Παλλάδιε, τὸ χρῆμά ἐστι. Τί γὰρ ἂν βούλοιτο δηλοῦν, τὸ ἀπόβλητα μὲν οὐδαμῶς ποιεῖσθαι ταυτὶ, μὴ μὴν ἔτι καὶ εἰς κάρπωμα καὶ θυ 68.960 σίαν ἀνακομίζειν αὐτὰ, πῶς οὐκ ἄναντες ἰδεῖν; Οἶμαι δὴ οὖν ὅτι καὶ πανοῦργον ἔσθ' ὅτε ψυχῆς ὁσίας καὶ ἀγαθῆς, εἰ δρῷτο κατὰ καιροὺς, καὶ πρόφασιν ἔχοι τὴν εἰς Θεὸν εὐσέβειαν, οὐκ ἀπόβλητον μὲν παρ' αὐτῷ, πλὴν οὐκ ἐν ἴσῳ λόγῳ κατατετάξεται τῆς εὐώδους ἀρετῆς, οὐδ' ἂν εἰς θυσίαν καταλογισθείη τὴν νοητήν. Ἁπλότης γὰρ μᾶλλον τιμιωτέρα παρὰ Θεῷ. Καταθαυμάζει μὲν γὰρ τὸ Γράμμα τὸ ἱερὸν τὸν θεσπέσιον Ἰακὼβ, οὕτω λέγον· «Καὶ ἦν Ἰακὼβ ἄπλαστος ἀνὴρ, οἰκῶν ἐν οἰκίᾳ.» Ἐξῄρηται μὲν γὰρ πάντων τῶν ἀκάκων ἡ πανουργία. Πρὸς δέ γε τοὺς ἁγίους ἀποστόλους αὐτὸς ἔφασκεν ὁ Σωτήρ· «Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί.» Ἀλλ' ἔστι τὸ μὲν ἀκέραιον τίμιον παρὰ Θεῷ, καὶ καθ' ἕτερόν που πάντων ἐν ἀμείνοσιν. Τὸ δέ γε πανοῦργον καὶ πονηρὸν, τῇ οἰκονομίᾳ πρέπον τῆς ἀποστολῆς, ᾧ προσεχρῆτο κατὰ καιροὺς καὶ ὁ μακάριος Παῦλος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πανταχῇ διαδιδράσκων τὸ πρόωρον παρ' ἐχθρῶν ὑπομεῖναι θάνατον. Οὐκοῦν τὸ πανοῦργον ἔν γε τοῖς κατὰ Θεὸν σπουδάσμασι, δεκτὸν μὲν ἂν γένοιτο, καταλογισθείη δ' ἂν οὐδαμῶς εἰς ἀρετῆς εὐωδίαν, εἰ δοκιμάζοιτο κατ' ἰδίαν φύσιν. Κατὰ τὸν ἴσον δὴ τρόπον καὶ τὸ μέλι, τῆς σαρκικῆς ἡδονῆς εἰς τύπον παραληφθὲν, ὑποφήνειεν ἂν, οἶμαί που, τὴν ἐγκόσμιον ταύτην, καὶ σαρκικῶν ἡδονῶν οὐκ ἀπηλλαγμένην ζωήν· τίμιος μὲν γὰρ ὁ γάμος, ταῖς τεκνογονίαις ὑπηρετῶν, καὶ ἀνυπαίτιος κατὰ νόμον, ὁ ἐν Χριστῷ κεχρημένος. Πλὴν οὐκ ἔσται τοῦτό τισιν εἰς ἀρετῆς δύναμιν, οὔτε μὴν ἐν ἴσῳ τετάξεται τοῖς τῆς ἐγκρατείας αὐχήμασιν· ἐπιστέλλει δὲ τοῖς ἐν γάμῳ καὶ ὁ μακάριος Παῦλος· «Μὴ χωρίζεσθε ἀπ' ἀλλήλων, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ καὶ τῇ δεήσει.» Καὶ πάλιν· «Ἐπὶ τὸ αὐτὸ ἦτε, φησὶν, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς, διὰ τὴν ἀκρασίαν ὑμῶν.» Προσεπήνεγκε δὲ τούτοις· «Ταῦτα δὲ λέγω κατὰ συγγνώμην, οὐ κατὰ ἐπιταγήν.» Ὁρᾷς οὖν ὅτι συγγνώμην δίδωσι τοῖς ἐν γάμῳ; Πῶς οὖν ἀρετὴ, τὸ συγγνώμῃ θεραπευόμενον; «Περὶ δὲ τῆς παρθένου,» φησὶν, «ὅτι μακαριωτέρα ἐστὶν ἐὰν οὕτως μείνῃ,» τοῦτ' ἔστιν, ἄγαμος. Οὐκοῦν οὐκ ἀπόβλητον μὲν τὸ μέλι. δεκτὸς γὰρ ὁ γάμος. Πλὴν οὐκ εἰς ὀσμὴν εὐωδίας, καθὰ καὶ τῆς ἀρετῆς οἱ τρόποι. Ἀλλὰ καὶ ἔν γε μὴν τοῖς θύμασιν ἐπιπάττονται ἅλες, χρῆναι γὰρ οἶμαι καταθύειν ἡμᾶς σοφῶς τε καὶ ἐμφρόνως, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν εὖ μάλα διηρτημένους. Τὸ γὰρ ἄχαρί τε καὶ ἄνοστον, πρέποι ἂν ἥκιστά γε τοῖς εὐσεβεῖν ἑλομένοις. Ταύτῃτοι καὶ ὁ Σωτήρ· «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς,» τοῖς ἁγίοις ἔφασκε μαθηταῖς. Ἐπιστέλλει δὲ καὶ ὁ Παῦλος· «Ὁ λόγος ὑμῶν ἐν χάριτί τε καὶ ἅλατι ἠρτυμένος, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν.» {ΠΑΛΛ.} Ἄραρεν οὖν ὅτι τὸ ἔμφρον τε καὶ ἐπίχαρι, διὰ τῶν ἁλῶν σημαίνεται. {ΚΥΡ.} Ὧδε ἔχει· χρῆναι δὲ οἶμαι λοιπὸν εὖ μάλα διῃρηκότας τοὺς ἐπί γε τὸ δεῖν καταθύειν τρόπους, ἐξ αὐτῶν ἤδη τῶν ἱερῶν καταθρεῖν Γραμμάτων, τὸ
68.961 ὅπως ἂν γένοιτο τοῖς τὴν ἁμαρτίαν διῃῤῥωστηκόσι, διεκδύναι τὴν νόσον, καὶ τὰ ἐκ τοῦ πλημμελεῖν διακρούσασθαι βλάβη· γέγραπται τοίνυν ἐν τῷ Λευϊτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, λέγων· Ψυχὴ ἐὰν ἁμάρτῃ ἔναντι Κυρίου ἀκουσίως, ἀπὸ πάντων τῶν προσταγμάτων Κυρίου, ὧν οὐ δεῖ ποιεῖν καὶ ποιήσῃ ἕν τι ἀπ' αὐτῶν· ἐὰν μὲν ὁ ἀρχιερεὺς ὁ κεχρισμένος ἁμάρτῃ τοῦ τὸν λαὸν ἁμαρτεῖν, καὶ προσάξει περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, μόσχον ἐκ βοῶν ἄμωμον τῷ Κυρίῳ περὶ τῆς ἁμαρτίας. Καὶ προσάξει τὸν μόσχον παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυρίου, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι Κυρίου, καὶ σφάξει τὸν μόσχον ἐνώπιον Κυρίου. Καὶ λαβὼν ὁ ἱερεὺς ὁ χριστὸς ὁ τετελειωμένος τὰς χεῖρας ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ εἰσοίσει αὐτὸ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου· καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον εἰς τὸ αἷμα, καὶ προσρανεῖ ἀπὸ τοῦ αἵματος ἑπτάκις ἔναντι Κυρίου, κατὰ τὸ καταπέτασμα τὸ ἅγιον. Καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τοῦ θυμιάματος τῆς συνθέσεως τοῦ ἐναντίον Κυρίου, ὅ ἐστιν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. Καὶ πᾶν τὸ αἷμα τοῦ μόσχου ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, ὅ ἐστι παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ πᾶν τὸ στέαρ τοῦ μόσχου τοῦ τῆς ἁμαρτίας, περιελεῖ ἀπ' αὐτοῦ τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐνδόσθια, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐνδοσθίων, καὶ τοὺς δύο νεφροὺς, καὶ στέαρ τὸ ἐπ' αὐτῶν, ὅ ἐστιν ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ αὐτὸ, ὃν τρόπον ἀφαιρεῖται αὐτὸ ἀπὸ τοῦ μόσχου τοῦ τῆς θυσίας τοῦ σωτηρίου, καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον τῆς καρπώσεως, καὶ τὸ δέρμα τοῦ μόσχου, καὶ πᾶσαν αὐτοῦ τὴν σάρκα σὺν τῇ κεφαλῇ καὶ τοῖς ἀκρωτηρίοις καὶ τῇ κοιλίᾳ καὶ τῇ κόπρῳ. Καὶ ἐξοίσουσιν ὅλον τὸν μόσχον ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρὸν οὗ ἐκχέουσι τὴν σποδιὰν, καὶ κατακαύσουσιν αὐτὸν ἐπὶ ξύλων ἐν πυρὶ, ἐπὶ τῆς ἐκχύσεως τῆς σποδιᾶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καυθήσεται.» Ἄρχοντος μὲν οὖν πέρι, συναφαμαρτεῖν αὐτῷ τοῦ πρέποντος, καὶ τοὺς ὑπὸ χεῖρα λαοὺς παρασκευάζοντος, τὰ τοιάδε φησίν· ἐπεχρησμῴδησε δὲ τούτοις εὐθύς· «Ἐὰν δὲ πᾶσα συναγωγὴ τῶν υἱῶν Ἰσραὴλ ἀγνοήσῃ καὶ λάθῃ ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς, καὶ ποιήσωσι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσωσι, καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμαρτία ἣν ἥμαρτον ἐν αὐτῇ, καὶ προσάξει ἡ συναγωγὴ μόσχον ἐκ βοῶν ἄμωμον περὶ τῆς ἁμαρτίας.» Ἱερουργεῖσθαι δὲ δεῖν αὐτὸν κατὰ τὸν ἴσον τῷ πρώτῳ τύπον, εὖ μάλα φησί. {ΠΑΛΛ.} Τίς οὖν ἂν εἴη πάλιν ὁ ἔν γε τουτοισὶ λόγος; {ΚΥΡ.} Σαφὴς, ὦ Παλλάδιε, καὶ οὐ χαλεπὸς ἑλεῖν, τοῖς γε ὅλως ἀρτίφροσιν. Ἐν Χριστῷ γὰρ ἡ κάθαρσις ἱερέων, καὶ λαοῦ, σμικροῦ καὶ μεγάλου, καὶ συλλήβδην ἁπάντων, καὶ εἰ καθ' ἕνα τυχὸν πλημμελοῦντες ἁλισκοίμεθα, διά τοι τὸ τὸν θεῖον οὐκ εἰδέναι νόμον, 68.964 ἤγουν ἀνεθελήτως ἐκβεβιάσθαι τυχὸν, εἴς γε τὸ ἥκιστα δοκοῦν τῷ πάντων Δεσπότῃ Θεῷ. Ταύτητοι καὶ ὁ θεσπέσιος ἡμῖν ἐπεφώνει Δαβίδ· «Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς.» Ὡς δὲ ἀγαθὸν ὄντα φύσει, χρηστόν τε καὶ φιλοικτείρμονα καὶ τῆς ἡμετέρας φύσεως οὐκ ἠγνοηκότα τὸ ἄναλκι, μονονουχὶ καὶ καταιτιᾶται σαφῶς ὁ μακάριος Ἰὼβ, μέλλοντά τε καὶ ἀναδυόμενον πρὸς τὸ ἀνεῖναί τισι τὰς ἁμαρτίας. Οὕτω δέ φησι· «Καὶ ἵνα τί οὐκ ἐποιήσω τῆς ἀνομίας μου λήθην, καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου;» Προσανακεκράγει δὴ οὖν ὁ νόμος, ὡς ἐν Χριστῷ τε καὶ μόνῳ δικαιωθήσονται διὰ πίστεως οἱ ταῖς ἁμαρτίαις ἐνισχημένοι. Αὐτὸς γάρ ἐστιν ὁ μόσχου δίκην ὑπὲρ ἡμῶν σφαγιαζόμενος παρὰ τὰς θύρας τῆς ἱερᾶς τε καὶ θείας σκηνῆς, ἵν' ἡμῖν ἀνευρύνῃ τὴν εἰς τὸ εἴσω πάροδον, αὐτὸς ὁ τὰς ἁμαρτίας ἡμῶν αἴρων, κατὰ τὴν τοῦ προφήτου φωνήν. Τουτὶ γὰρ οἶμαι δηλοῦν, τὸ ἐπιτίθεσθαι τὰς χεῖρας τῷ μόσχῳ, αὐτὸς ὁ διὰ τοῦ αἵματος εἰσπεφοιτηκὼς εἰς τὰ Ἅγια τῶν ἁγίων, καὶ λύτρωσιν ἡμῖν ἁγίαν εὑράμενος, καὶ μιᾷ προσφορᾷ τελειώσας εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν· αὐτός ἐστιν ὁ ἐν τῷ ῥαντισμῷ τοῦ ἰδίου αἵματος ἁγιάζων τὴν Ἐκκλησίαν, καὶ τοῦτο πλουσίως. «Βάψει» γὰρ, φησὶν, «ὁ ἱερεὺς τὸν δάκτυλον εἰς τὸ αἷμα, καὶ προσρανεῖ ἀπὸ τοῦ αἵματος ἑπτάκις τῷ δακτύλῳ ἔναντι Κυρίου.»–»Προσεληλύθαμεν» γὰρ, φησὶν, «Ἱερου-σαλὴμ ἐπουρανίῳ, καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι, παρὰ τὸν Ἄβελ.» Τοῦ μὲν γὰρ Ἄβελ τὸ αἷμα κατεκεκράγει πρὸς Θεὸν, καταδικάζον τοῦ φονευτοῦ, τὸ δὲ τίμιον αἷμα τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, λαλεῖ περὶ ἡμῶν τὰ ἀμείνω πρὸς Θεόν. Ἐκκέχυται γὰρ τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα. Προσεχεῖτο δὲ τοῦ μόσχου τὸ αἷμα τῇ βάσει τοῦ θυσιαστηρίου· καὶ γάρ ἐστιν ἅγιός τε καὶ ἱερὸς ἀληθῶς ὁ Χριστοῦ θάνατος. Καὶ ἀναφέρεται μὲν τὰ ἐντόσθια, πιμελὴ καὶ νεφροὶ καὶ λοβὸς ὁ τοῦ ἥπατος. Εὐώδη γὰρ πάντα τὰ ἐν Χριστῷ, τά τε ἐξωφανῆ, καὶ τὰ κεκρυμμένα· ὁ Λόγος γὰρ ἦν ἅγιος, καὶ οὐδὲν ἐν αὐτῷ τὸ μὴ καθαρόν. Κατακαίεταί γε μὴν ἔξω τῆς πύλης τὸ δέρμα καὶ τὰ λοιπά· οὐδὲ αὐτὸν ἡμῖν ἀπαράδεκτον τοῦ πάθους τὸν τόπον ἐῶντος τοῦ νόμου. Τοιγάρτοι καὶ πρὸς ἡμᾶς ὁ θεσπέσιος ἔφη Παῦλος· «Ἐξερχώμεθα οὖν ἔξω τῆς πύλης τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες,» τοῦτ' ἔστι, τὸν ὑπὲρ ἡμῶν τε καὶ δι' ἡμᾶς σταυρόν. Καὶ αὐτὸς δέ πού φησιν ὁ Σωτήρ· «Ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.» Ἔοικε δὲ τὸ ἔξω τῆς πύλης ὁ ἱερώτατος Παῦλος, τὸ ἔξω τοῦ κόσμου νοεῖν. Ζωῆς γὰρ ἡμᾶς ἐξίστησι κοσμικῆς τὸ θέλειν ἕπεσθαι τῷ Χριστῷ. Καὶ μαρτυρήσει πάλιν ὁ Παῦλος. Ἔφη γὰρ ὧδε περὶ Χριστοῦ· «Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.» Περιπατοῦντες δὲ ἐπὶ τῆς γῆς οἱ ἅγιοι, διαβιῶναι σπουδάζουσιν οὐκέτι μὲν ἐπιγείως, ἔχειν δὲ μᾶλλον ἐν οὐρανῷ τὸ πολί 68.965 τευμα. Κάθαρσις δὲ τοῖς μεμολυσμένοις, ἡ σποδιὰ μετὰ ὕδατος. Λυτήριον γὰρ ἁμαρτίας, τοῦ Σωτῆρος τὸ πάθος, ἁγιάζων ἡμᾶς δι' ὕδατος, δι' οὗ κερδανοῦμεν οὐ σαρκὸς ἀπόθεσιν ῥύπου, κατὰ τὸ γεγραμμένον, ἀλλὰ τῶν ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

ψυχαῖς μολυσμῶν τὴν ἀπόνιψιν· «Λούσασθε» γὰρ, φησὶν, «καὶ καθαροὶ γίνεσθε·» καὶ προφητικὸς ἡμῖν ἄνωθεν διεκελεύετο λόγος. {ΠΑΛΛ.} Ἐν μόσχῳ δὴ οὖν ὡς ἐν εἰκόνι καὶ τύποις, ὁ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν τοῦ Χριστοῦ σκιαγραφεῖται θάνατος. {ΚΥΡ.} Συνίης εὖ μάλα, καὶ πρός γε δὴ τούτῳ καταθαυμάσαις ἂν, οἶμαι, καὶ εἰς ἐκεῖνο βλέπων. {ΠΑΛΛ.} Τὸ ποῖον; {ΚΥΡ.} Εἰ μὲν γὰρ ἁμάρτοι, φησὶν, ὁ ἡγούμενος ὁμοῦ τῶν ὑπεζευγμένων, εἴ τ' οὖν αὐτὴ καθ' ἑαυτὴν ἡ ὑπὸ χεῖρα πληθὺς, μόσχος ἔσται τὸ θῦμα. Ἐναλοὺς δὲ πταίσμασιν ἰδικοῖς ὁ ἡγούμενος, προσκομιζέτω, φησὶ, χίμαρον ἐξ αἰγῶν. Εἰ δὲ δή τις εἴη τῶν ἐν λαοῖς, ἄρσεν μὲν οὐκέτι, θῆλυ δὲ ἔστω τὸ σφάγιον· Ἀναγνώσομαι δὲ, εἰ δοκεῖ, καὶ τοὺς ἐπὶ τοῖσδε νόμους, ἔφη γὰρ ὧδε· «Ἐὰν δὲ ὁ ἄρχων ἁμάρτῃ, καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου τοῦ Θεοῦ αὐτοῦ, ἣ οὐ ποιηθήσεται ἀκουσίως, καὶ πλημμελήσῃ, καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία, ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ προσοίσει τὸ δῶρον αὐτοῦ χίμαρον ἐξ αἰγῶν, ἄρσεν ἄμωμον, περὶ ἁμαρτίας· καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου, καὶ σφάξουσιν αὐτὸν ἐν τόπῳ, οὗ σφάζουσι τὰ ὁλοκαυτώματα ἐνώπιον Κυρίου, ἁμαρτίας ἐστί. Καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς ἁμαρτίας τῷ δακτύλῳ ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, καὶ τὸ πᾶν αἷμα αὐτοῦ ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, καὶ τὸ πᾶν στέαρ αὐτοῦ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον, ὥσπερ τὸ στέαρ θυσίας σωτηρίου, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἀφεθήσεται αὐτῷ.» Καὶ πρός γε δὴ τούτοις, «Ἐὰν δὲ ψυχὴ μία ἁμάρτῃ ἀκουσίως ἐκ τοῦ λαοῦ τῆς γῆς, ἐν τῷ ποιῆσαι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσῃ, καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία, ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ οἴσει χίμαιραν ἐξ αἰγῶν, θήλειαν ἄμωμον οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ.» Καὶ τῆς θυσίας τὸν τρόπον, ὅπως ἂν γένοιτο, διειπών· «Ἐὰν δὲ πρόβατον προσενέγκῃ,» φησὶ, «τὸ δῶρον αὐτοῦ περὶ τῆς ἁμαρτίας, θῆλυ ἄμωμον προσοίσει αὐτό.» Συνίης οὖν, ὦ Παλλάδιε, τοῦ μυστηρίου τὸ βάθος, ὡς ἐν ἐσόπτρῳ καὶ σκιαῖς τοῖς ἀρχαιοτέροις ἀνατυπούμενον; Ἰσομοιρεῖ γὰρ ὥσπερ τῷ μεγέθει τῶν πλημμελημάτων, ἡ τῶν θυμάτων προσαγωγή· καὶ μόσχος μὲν ἦν ὑπὲρ ἄρχοντός τε καὶ λαοῦ, κοινὴ τάχα που καὶ μίαν ἠῤῥωστηκότοιν τὴν ἁμαρτίαν. Ἔριφος δὲ εἷς, ὑπὲρ ἑνὸς, ἤτοι μιᾶς ψυχῆς· ἑαυτὸν γὰρ προσκεκόμικεν ὁ Χριστὸς, ἅμα μὲν ὑπὲρ πάντων, ὡς ἐν εἰκόνι τῷ μόσχῳ, βαρεῖ τε καὶ μεγάλῳ θύματι· «Ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, φησὶν, ὑπερεπερίσσευσεν ἡ χάρις.» Ἐρίφου δὲ καὶ προβά 68.968 του δίκην, ὑπὲρ ἑκάστου καὶ ἰδικῶς διὰ τὸ ὡμοιῶσθαι, φημὶ, τοῖς ὑφ' ἁμαρτίαν, καὶ ἐν τοῖς ἀνόμοις λελογίσθαι, κατὰ τὰς Γραφάς· ἀνόμου δὲ τύπος, ὁ ἔριφος, ὡς ἄκαρπος καὶ ξηρός. Παρίστησι γοῦν ὁ Χριστὸς, ὡς πρόβατα μὲν ἐκ δεξιῶν, τοὺς ἁγίους, ὡς ἐρίφους δὲ καὶ ἐξ εὐωνύμων τοὺς τῆς ἀνομίας ἐργάτας. Οὐκοῦν τὸ ἐπίδοξον αὐτοῦ καὶ ὑπερφυὲς κατίδοι τις ἂν ὡς ἔν γε τῷ μόσχῳ. Τὸ δὲ ὁμοιοῦσθαι τοῖς καθ' ἡμᾶς, λελογίσθαι δὲ ὅτι καὶ ἐν τοῖς ἀνόμοις, διὰ τοῦ χιμάρου νοήσεις. Ἐσφάζετο δὲ καὶ ὡς πρόβατον, διὰ τὴν ἔμφυτον ἡμερότητα, καὶ τὴν εἰς πραότητα θυσίας ὑπεροχήν. «Ὡς πρόβατον γὰρ ἤχθη,» φησὶ, «καὶ ὡς ἀμνὸς, ἐναντίον τοῦ κείροντος αὐτὸν, ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.» Ἀλλ' εἰ μὲν εἴη τυχὸν ἡγούμενος ὁ ταῖς πλημμελείαις ἔνοχος, ἄρσην ὁ χίμαρος ἦν. Εἰ δὲ δή τις ἐν λαοῖς καὶ καθ' ἕνα, θῆλυ τὸ σφάγιον, κἂν εἴ τε πρόβατον εἴη τυχὸν, εἴτ' οὖν ἐξ αἰγῶν, καὶ ἐν τῇ τῶν θυμάτων διαφορᾷ τῆς τοῦ Σωτῆρος ἡμῶν οἰκονομίας τὸ σοφὸν, τοῦ νόμου κατασημαίνοντος. Ἡγεμονεῦον μὲν γὰρ ἀεί πώς ἐστι, καὶ ἐν τιμῇ πρώτῃ τὸ ἄρσεν, ἑπόμενον δὲ καὶ ἐν δευτέροις τὸ θῆλυ. Ἀναλόγως δὴ οὖν τοῖς ἑκάστου πταίσμασι, καὶ ἡ διὰ Χριστοῦ κάθαρσις ἔν γε τοῖς προεστηκόσι καὶ ἡγουμένοις, καὶ τοῖς ὑπὸ χεῖρα, καὶ καθ' ἕνα τε καὶ ὑπεζευγμένοις. Εἶεν γὰρ οὐκ ἐν ἴσοις αἰτιάμασι πεσόντες εἰς ἁμαρτίαν, ἡγούμενος καὶ λαὸς, ἀλλ' ἐν μείζοσι που πάντως, ἡγούμενοι. Τοιγάρτοι πλουσιωτέρᾳ διασμήχονται χάριτι. {ΠΑΛΛ.} Συνίημι ὃ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φής· ἄμεινον γὰρ θατέρου, τὸ ἄρσεν. {ΚΥΡ.} Ἴδοις δ' ἂν ἐν Χριστῷ, τὸ ὡς ἐν δόξῃ διάφορον· ἄρχων μὲν γάρ ἐστι καὶ τῶν ὅλων καθηγητὴς ὁμολογουμένως, ὡς Θεὸς καὶ Κύριος. Γέγονε δὲ καὶ ὡς ἐν τάξει δεύτερος, διὰ τὸ ἀνθρώπινον, τέθειται δὲ καὶ ὑπὸ νόμον, ὡς ὑφηγούμενος. {ΠΑΛΛ.} Πιθανὸς ὁ νοῦς. {ΚΥΡ.} Καὶ ἑτέρους δὲ μολυσμῶν ἐπισυνάπτει τρόπους, καὶ τὸν ἐφ' ἑκάστῳ δὴ πάλιν, προκεχρησμῴδηκεν ἁγνισμὸν, ὡς ἐν Χριστῷ πληρούμενον. Ἔφη δὲ οὕτως· «Ἐὰν δὲ ψυχὴ ἁμάρτῃ, καὶ ἀκούσῃ φωνὴν ὁρκισμοῦ, καὶ οὗτος μάρτυς ἢ ἑώρακεν, ἢ σύνοιδεν, ἐὰν μὴ ἀπαγγείλῃ, λήψεται τὴν ἁμαρτίαν. Ἡ ψυχὴ ἐκείνη ἥτις ἐὰν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ θνησιμαίου, ἢ θηριαλώτου ἀκαθάρτου, ἢ τῶν θνησιμαίων βδελυγμάτων τῶν ἀκαθάρτων, ἢ τῶν θνησιμαίων κτηνῶν τῶν ἀκαθάρτων, ἢ ἅψηται ἀπὸ ἀκαθαρσίας ἀνθρώπου, ἀπὸ πάσης ἀκαθαρσίας αὐτοῦ, ἧς ἂν ἁψάμενος μιανθῇ, καὶ ἔλαθεν αὐτὸν, μετὰ τοῦτο δὲ γνῷ, καὶ πλημμελήσῃ, ἡ ψυχὴ ἡ ἄνομος, ἡ διαστέλλουσα τοῖς χείλεσι κακοποιῆσαι ἢ καλῶς ποιῆσαι κατὰ πάντα ὅσα ἐὰν διαστείλῃ ὁ ἄνθρωπος μεθ' ὅρκου, καὶ λάθῃ αὐτὸν πρὸ ὀφθαλμῶν, καὶ οὗτος γνῷ, καὶ ἁμάρτῃ ἕν τι τούτων· καὶ ἐξαγορεύσει τὴν ἁμαρτίαν περὶ ὧν ἡμάρτηκε κατ' αὐτῆς· καὶ οἴσει περὶ ὧν ἐπλημμέλησε Κυρίῳ, περὶ τῆς ἁμαρ 68.969 τίας ἧς ἥμαρτε, θῆλυ ἀπὸ τῶν προβάτων, ἀμνάδα ἢ χίμαιραν ἐξ αἰγῶν περὶ ἁμαρτίας, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία.» Ἄθρει δὴ οὖν ὅτι τὸν ὁρκισμοῦ φωνῆς ἐπαΐοντα, καὶ παρ' οὐδὲν ὅλως τὸ πρᾶγμα πεποιημένον, καὶ τὸν ἑτέροις ἔνοχον μολυσμοῖς, καὶ μὴν ἐπὶ τούτῳ, τὸν ἐπὶ τῇ ψευδορκίᾳ κατεγνωσμένον, ἐν ἴσῳ τε καὶ ἀπαραλλάκτῳ τίθησι πλημμελείας τρόπῳ· μολυσμὸς γὰρ ἀληθῶς ἐξαίσιος, καὶ εἰς αὐτό που τὸ λοῖσθον ἀναθρώσκει τῶν κακῶν, ἡ εἰς Θεὸν καταφρόνησις, καὶ ταῖς σαρκικαῖς ἀκαθαρσίαις ἐγγύς τε καὶ ἀδελφὸν τὸ πλημμέλημα, ἢ οὐκ ἐν ἴσῳ θετέον λόγῳ τὴν ἐπάρατον ψευδορκίαν καὶ ὁρκισμοῦ καταφρόνησιν; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν· ἰσοπαλῆ γάρ πως ἐπ' ἀμφοῖν ἀεὶ τὰ ἐγκλήματα. {ΚΥΡ.} Ἕψεται δὴ οὖν καὶ τούτοις ἡ λύσις δι' ἐξαγορεύσεώς τε καὶ μὴν καὶ ἀμνάδος, ἤτοι προβάτου σφαγῆς· «Λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος,» φησὶν, «ἵνα δικαιωθῇς.» Καὶ μὴν καὶ ὁ θεῖος ἀναφωνεῖ Δαβίδ· «Εἶπα· Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.» Πλὴν, οὐκ ἀπόχρη εἰς τὴν τελείαν ἀπόνιψιν τὸ ἐξαγορεῦσαι μόνον, ἀπαλλάττει δὲ παντελῶς ὁ Χριστοῦ θάνατος, παθόντος ὑπὲρ ἡμῶν, καὶ ταῖς ἁπάντων ἡμῶν ἁμαρτίαις ἑαυτὸν ὑποφέροντος ὡς ἐν εἴδει παντὶ τῶν ἡμέρων ζώων· ἐν μόσχῳ δὴ λέγω, καὶ μὴν καὶ προβάτῳ καὶ αἰγί. Ἀπροφάσιστον δὲ ὥσπερ καθιστὰς ὁ νόμος τὸ ῥᾴθυμον εἰς θυσίαν, τοῖς ἐν μολυσμοῖς καὶ ἀκαθαρσίαις, εἰ μὴ μόσχον τις ἔχοι καὶ πρόβατον, τοῖς κατὰ χεῖρα καὶ ἐν ἰσχύϊ τιμᾷν ἀναπείθει, λέγων· «Ἐὰν δὲ μὴ ἰσχύῃ ἡ χεὶρ αὐτοῦ τὸ ἱκανὸν εἰς τὸ πρόβατον, οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, δύο τρυγόνας, ἢ δύο νοσσοὺς περιστερῶν Κυρίῳ, ἕνα περὶ ἁμαρτίας, καὶ ἕνα εἰς ὁλοκαύτωμα, καὶ οἴσει αὐτὰ πρὸς τὸν ἱερέα, καὶ προσάξει ὁ ἱερεὺς τὸ περὶ τῆς ἁμαρτίας πρότερον, καὶ ἀποκνίσει ὁ ἱερεὺς τὴν κεφαλὴν αὐτοῦ ἀπὸ τοῦ σφονδύλου, καὶ οὐ διελεῖ, καὶ ῥανεῖ ἀπὸ τοῦ αἵματος τοῦ περὶ τῆς ἁμαρτίας, ἐπὶ τὸν τοῖχον τοῦ θυσιαστηρίου. Τὸ δὲ κατάλοιπον τοῦ αἵματος καταστραγγιεῖ ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου. Ἁμαρτίας γάρ ἐστι, καὶ τὸ δεύτερον ποιήσει ὁλοκαύτωμα ὡς καθήκει· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας, ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ.» Τρυγόνι μὲν δὴ καὶ περιστερᾷ παρεικαστέον εὖ μάλα τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, ὅτι τὸ μέν ἐστιν εὐφωνότατόν τε καὶ λαλίστατον ἐν στρουθίοις, τὸ δὲ ὅτι μάλιστα πρὸς ἄκρον ἥκει πραότητος. Ἄμφω δὲ ἦν ἐν Χριστῷ. Πᾶσαν μὲν γὰρ κατεκήλησε τὴν οἰκουμένην τοῖς εὐαγγελικοῖς κηρύγμασι, τρυγὼν ἡ ἄνωθέν τε καὶ ἐξ οὐρανοῦ, λιγυρὸν ὥσπερ ἐνιεῖσα μέλος, καὶ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς κατατρανοῦσα θέλησιν. Ὡς γὰρ ὁ θεσπέσιος Ἰωάννης φησὶν, «Ὃν ἀπέστειλεν ὁ Θεὸς,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ.» Ἐκάλει δὲ καὶ ἡμᾶς πρὸς μίμησιν τῆς ἐνούσης αὐτῷ πραότητός τε καὶ ἡμερότητος, οὕτω λέγων· «Ἄρατε τὸν ζυγόν μου 68.972 ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.» Λήψεται τοίνυν τὴν τρυγόνα, φησὶν, «ὁ ἱερεὺς, καὶ ἀποκνίσει τῷ ὄνυχι. Σφάζεται γὰρ οὕτω τὰ ἐλαφρὰ τῶν στρουθίων. Πλὴν, οὐκ εἰσάπαν ἀποτεμεῖ, δῆλον δὲ ὅτι τὴν κεφαλήν. Πέπρακται γὰρ οὕτως ὁ Χριστοῦ θάνατος, οὐκ εἰς μερισμὸν, ἀλλ' εἰς ἕνωσιν. Τοιγάρτοι καὶ ἐν ἀρχαῖς ἐπὶ τὸ Πάσχα τιθεὶς νόμον, καταθύεσθαι μὲν προστέταχε τὸν ἀμνὸν, πλὴν «Ἐν οἰκίᾳ βρωθήσεται,» φησὶ, «μιᾷ, καὶ οὐκ ἐξοίσετε τῶν κρεῶν αὐτοῦ ἔξω.» Μεμέρισται γὰρ οὐδαμῶς ὁ Χριστὸς, ἀλλ' εἷς ὁλοκλήρως καὶ ἐν ἑκάστῳ καὶ ἐν πᾶσίν ἐστι, καὶ αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, συλλέγων ἡμᾶς εἰς ἕνωσιν τήν τε πρὸς ἀλλήλους ἐν ὁμοψυχίᾳ, καὶ τὴν δι' ἑαυτοῦ πρὸς Θεὸν ἐν Πνεύματι. Ὅτι τοίνυν οὐ μερισμοῦ πρόξενος, ἀλλ' ἑνώσεως πρὸς ἡμᾶς ὁ Χριστοῦ γέγονε θάνατος, ἐδήλου πλαγίως τὸ θύεσθαι μὲν τὸ στρουθίον, οὐ μὴν καὶ εἰσάπαν ἀποκείρεσθαι τοῦ σπονδύλου τὴν κεφαλήν· ὅτι δὲ ἁγιάζει τὴν Ἐκκλησίαν τῷ ἰδίῳ αἵματι, κατασημήνειεν ἂν, τὸ τῷ αἵματι τοῦ στρουθίου καταραίνεσθαι τὴν σκηνὴν καὶ τὰ ἐν αὐτῇ. Μία δὲ τρυγὼν ὑπὲρ ἁμαρτίας, καὶ μία πάλιν, εἰς ὁλοκαύτωμα, νοεῖται δὲ δι' ἀμφοῖν ὁ Χριστὸς, καὶ ἀποθνήσκων ὑπὲρ ἡμῶν, καὶ εἰς ὀσμὴν εὐωδίας ὁλοκαυτούμενος τῷ Πατρὶ, καὶ μὴν καὶ ἀντάλλαγμα τῆς ἁπάντων ζωῆς ἑαυτὸν ἀνατιθείς. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ὑποβιβάζει γε μὴν ὁ νόμος καὶ εἰς τὸ λίαν εὐπόριστον τῆς θυσίας τὸν τρόπον· καὶ ἀναλόγως τοῖς ἑκάστου μέτροις ποιεῖσθαι προστάττει, τὸν ἐπὶ τοῖς ἀρίστοις ὄκνον ὑποτεμνόμενος πανταχῆ, καὶ ἀπροφάσιστον καθιστὰς τοῖς ἑλοῦσι τὸ ῥάθυμον. Γράφει δὲ ὧδε πάλιν· «Ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτοῦ ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν, καὶ οἴσει τὸ δῶρον αὐτοῦ, περὶ οὗ ἥμαρτε, τὸ δέκατον τοῦ οἶφι σεμιδάλεως περὶ ἁμαρτίας. Οὐκ ἐπιχεεῖ ἐπ' αὐτὸ ἔλαιον, οὐδὲ ἐπιθήσει ἐπ' αὐτῷ λίβανον, ὅτι περὶ ἁμαρτίας ἐστὶ, καὶ οἴσει αὐτὴν πρὸς τὸν ἱερέα, καὶ δραξάμενος ὁ ἱερεὺς ἀπ' αὐτῆς πλήρη τὴν δράκα αὐτοῦ, τὸ μνημόσυνον αὐτῆς ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων Κυρίου, ἁμαρτία ἐστί. Καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς, περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτεν ἀφ' ἑνὸς τούτων, καὶ ἀφεθήσεται αὐτῷ. Τὸ δὲ καταλειφθὲν ἔσται τῷ ἱερεῖ, ὡς θυσία τῆς σεμιδάλεως.» Ἀλλ' ἔν γε δὴ τούτοις, περὶ Χριστοῦ μὲν οὐκέτι, τὴν δὲ τοῦ προσάγοντος ζωὴν, καὶ τὴν ἐν Χριστῷ πρόσοδον, καὶ τὴν εἰς Θεὸν ἀφιέρωσιν, ὁ τῆς θυσίας ἡμῖν ὑποφαίνει τρόπος. Προσφέρεται μὲν γὰρ σεμίδαλις ἄρτου γένεσις. Ζωῆς δὲ τύπος, ὁ ἄρτος· ἀλλ' οὔτε λιβάνῳ καταπάττεσθαι δεῖν αὐτὴν, οὔτε μὴν ἐλαίῳ δεδεῦσθαι λέγει, σοφήν τε καὶ ἀναγκαίαν τοῦ τοιοῦδε τὴν ἀφορμὴν εὖ μάλα προαναφωνῶν, ὅτι περὶ ἁμαρτίας ἐστὶν, ἧς ἂν εἴη πάντη τε καὶ πάντως ἀπωτάτω τὸ ἱλαρὸν, ὡς ἐν ἐλαίῳ νοούμενον, καὶ μέν τοι τὸ εὐῶδες, ὡς ἐν λιβάνῳ τυχόν· εἴη δ' ἂν οὐκ ἀμφίλογον, ὅτι χρῆμα στυγνὸν καὶ ἄοσμον ἀληθῶς, ἡ ἐν ἡμῖν ἁμαρτία. Καταπλουτήσει δὲ ἐφ' 68.973 ἑαυτῇ, τῆς ἀρετῆς ἀεί πως τὸ ἱλαρὸν, δι' ἐλπίδος τῆς εἰς Θεὸν πολὺ τὸ εὐῶδες ἐχούσης, ὡς ἐν πιότητι δηλονότι τῇ νοητῇ. Τύπος οὖν ἄρα ζωῆς, τῆς μὴ ἐχούσης τὸ ἱλαρὸν καὶ εὐωδίας ἐρήμης, ἡ λιβάνου δίχα καὶ ἐλαίου σεμίδαλις, ἀλλ' ἐν Χριστῷ καὶ αὐτὴ μεταστήσεται πρὸς τὸ ἱλαρόν. Δέχεται δὲ καὶ τὸ εὐῶδες ἐν πίστει, καὶ προσφέρεται τῷ Θεῷ δι' αὐτοῦ, τοῦ διασμήχοντος τοὺς μεμολυσμένους, καὶ ἀπονίζοντος νοητῶς τοὺς ἐναλόντας ἀκαθαρσίᾳ. «Δράξεται γὰρ,» φησὶν, «ὁ ἱερεὺς ἀπὸ τῆς σεμιδάλεως, καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων Κυρίῳ.» Ἐν Χριστῷ γὰρ ἡμῶν ἡ προσαγωγὴ, καὶ δι' αὐτοῦ προσίεμεν οἱ μεμολυσμένοι. Δικαιούμεθα δὲ διὰ πίστεως, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνατιθέμεθα τῷ Πατρὶ, ἑαυτοὺς μὲν οὐκέτι, Χριστὸν δὲ τὸν ἐν ἡμῖν, εὐωδίαν ἔχοντες τὴν πνευματικήν. {ΠΑΛΛ.} Ἀτρεκὴς ὁ λόγος. {ΚΥΡ.} Καὶ πρός γε δὴ τούτοις, καὶ εἰ γένοιτό τινας προσκροῦσαι Θεῷ, καὶ ὑφελέσθαι τι τῶν ἡγιασμένων, εἴτ' οὖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνήνασθαι τὸ ἐπηγγελμένον, καὶ μηδὲ παραχρῆμα προσενεγκεῖν, καὶ τὸ ῥᾴθυμον ἐν τούτοις, λήθης ἔγκλημα παθεῖν, διακαθαίρει πάλιν. Γέγραπται γὰρ ὡδί· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Ψυχὴ ἢ ἂν λάθῃ αὐτὴν λήθῃ, καὶ ἁμάρτῃ ἀκουσίως ἀπὸ τῶν ἁγίων Κυρίου, καὶ οἴσει τῆς πλημμελείας αὐτοῦ τῷ Κυρίῳ κριὸν ἄμωμον ἐκ τῶν προβάτων, τιμῆς ἀργυρίου σίκλων, τῷ σίκλῳ τῶν ἁγίων, περὶ οὗ ἐπλημμέλησε· καὶ ὃ ἥμαρτεν ἀπὸ τῶν ἁγίων, ἀποτίσει αὐτὸ, καὶ τὸ ἐπίπεμπτον προσθήσει ἐπ' αὐτὸ, καὶ δώσει αὐτὸ τῷ ἱερεῖ, καὶ ὁ ἱερεὺς ἐξιλάσεται περὶ αὐτοῦ ἐν τῷ κριῷ τῆς πλημμελείας, καὶ ἀφεθήσεται αὐτῷ.» Πάνδεινον γὰρ ἀληθῶς, τὸ ὑφελέσθαι τι τῶν ἡγιασμένων καὶ ἀνατιθεμένων εἰς δόξαν Θεοῦ. Ἐν ἴσῳ δὲ τρόπῳ διαβεβλήσεται, καὶ οὐκ ἐν μικραῖς αἰτίαις, τὸ μὴ ἀποτίσαι τὰ ἐπηγγελμένα. «Τέκνον γὰρ,» φησὶν, «ἐὰν εὔξῃ εὐχὴν τῷ Κυρίῳ, μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτήν· ἀγαθὸν τὸ μὴ εὔξασθαί σε, ἢ τὸ εὔξασθαι, καὶ μὴ ἀποδοῦναι.» Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβίδ· «Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ὑμῶν.» Ἐκολάζοντο δὲ καὶ οἱ Ἠλεὶ παῖδες, ὑποκλέπτοντές τινα τῶν ἁγίων, καὶ σφετεριζόμενοι τὰ τοῦ Θεοῦ. Τίς οὖν ἂν γένοιτο καὶ τοῦδε τυχὸν ἡ ἄφεσις; Ἢ πῶς ἂν ἐκλύσοιεν αἰτίας τὸν πόδα, καὶ ἀπαλλάττοιτό τις; Πρῶτον μὲν εἰ πλουσιωτέραν τῶν ὑφαιρεθέντων ποιοῖτο τὴν ἀντέκτισιν· Προσθήσει γὰρ τὸ ἐπίπεμπτον, φησὶν, εἶτα κριὸν εἰς θυσίαν εἰ προσοίσειεν ὠνητόν. Τύπος ἂν εἴη τὸ χρῆμα, Χριστοῦ, ὃν οἱ τῶν Ἰουδαίων προεστηκότες ἐξεπρίαντο τρόπον τινὰ, τριάκοντα δηναρίων, ἃ τῷ προδότῃ κατέθεντο μαθητῇ. Οὐκοῦν ἐν Χριστῷ, καὶ τῶν εἰς Θεὸν αἰτιαμάτων, ἡ ἄφεσις. Ὅτι δὲ καὶ τῶν εἰς ἀνθρώπους ἀδικημάτων ἀπαλλάξειεν ἂν αὐτὸς, ἀταλαίπωρον ἰδεῖν, τὸν γείτονά τε καὶ ἐφεξῆς ἀνεγνωκόσι νόμον. Ἔχει δὲ οὕτω· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Ψυχὴ ἢ ἂν ἁμάρτῃ, καὶ παριδοῦσα παρίδῃ τὰς ἐντολὰς Κυρίου, καὶ ψεύσεται τὰ πρὸς τὸν πλησίον ἐν παραθήκῃ, ἢ περὶ κοινωνίας, ἢ περὶ ἁρπαγῆς, ἢ
68.976 ἠδίκησέ τι τὸν πλησίον, ἢ εὗρεν ἀπώλειαν, καὶ ψεύσηται περὶ αὐτῆς, καὶ ὀμόσῃ ἀδίκως περὶ ἑνὸς ἀπὸ πάντων, ὧν ἐὰν ποιήσῃ ὁ ἄνθρωπος, ὥστε ἁμαρτεῖν ἐν τούτοις. Καὶ ἔσται ἡνίκα ἐὰν ἁμάρτῃ, καὶ πλημμελήσῃ, καὶ ἀποδῷ τὸ ἅρπαγμα, ὃ ἥρπασεν, ἢ τὸ ἀδίκημα, ὃ ἠδίκησεν, ἢ τὴν παραθήκην, ἥτις παρετέθη αὐτῷ, ἢ τὴν ἀπώλειαν, ἣν εὗρεν ἀπὸ παντὸς πράγματος, οὗ ὤμοσε περὶ αὐτοῦ ἀδίκως, καὶ ἀποτίσει αὐτὸ τὸ κεφάλαιον, καὶ τὸ ἐπίπεμπτον προσθήσει ἐπ' αὐτὸ, τίνος ἐστὶν, αὐτῷ ἀποδώσει ᾗ ἡμέρᾳ ἐλεγχθῇ, καὶ τῆς πλημμελείας αὐτοῦ οἴσει τῷ Κυρίῳ κριὸν ἀπὸ τῶν προβάτων ἄμωμον, τιμῆς, εἰς ὃ ἐπλημμέλησε. Καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι Κυρίου, καὶ ἀφεθήσεται αὐτῷ περὶ ἑνὸς ἀπὸ πάντων ὧν ἐποίησε καὶ ἐπλημμέλησεν ἐν αὐτῷ.» Ὁρᾷς τῆς ἀποκαθάρσεως ἐν ἴσῳ τρέχοντα, καὶ πληρούμενον δι' ἀμφοῖν τὸν τρόπον; Ἐκτίσει γὰρ δὴ σὺν πλεονασμῷ, καὶ κριοῦ προσαγωγῇ· τά τε εἰς Θεὸν ἐγκλήματα, τά τε εἰς ἀδελφοὺς καὶ ὁμογενεῖς ἀποκρούεσθαι δεῖν ὁ νόμος εὖ μάλα διεκελεύετο. Μερικὴ δὲ οὔτι που δικαίωσις ἐν Χριστῷ, τελεία δὲ μᾶλλον τοῦ κατασπιλοῦν εἰωθότος ἀπόνιψις· τοιγάρτοι καὶ ἔφασκεν· «Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.» Εἰ δὲ τὸ κρίνεσθαι διαπέφευγεν, ὁ τὴν ἐν πίστει δικαίωσιν εἰσποιητὴν ἔχων διὰ Χριστοῦ, πᾶσά πως ἀνάγκη λέγειν ὡς διέδρα τὰ ἐγκλήματα· καὶ τρόπος αἰτιαμάτων ἰσχύσειεν ἂν οὐδεὶς, κατά γε τοιοῦδε, φημί. «Θεὸς γὰρ ὁ δικαιῶν, τίς ὁ κατακρίνων;» Οὐκοῦν τοῖς λελυπημένοις τῶν ἀδελφῶν, διὰ πραγμάτων ἀπολογούμενοι, τὴν ἐν Χριστῷ δικαίωσιν ἑτοιμοτάτην εὑρήσομεν. Οὕτω καὶ Ζακχαῖος ὁ τελώνης κεκλημένος εἰς ἀποστολὴν, οὐχ ὡς ἕψεται μόνον τῷ κεκληκότι κατεπηγγέλλετο, ἀλλὰ καὶ πάντα ὅσα ἂν ἠδίκησεν ἀποδώσειν ἐν τετραπλῷ. Χρῆναι γὰρ οἶμαι τοὺς μέλλοντας ἔν γε δὴ σφίσιν αὐτοῖς ἔνοικον διὰ τοῦ Πνεύματος ποιεῖσθαι Χριστὸν, προαπονίζεσθαι ῥύπους, καὶ προαποσμήχειν ἐγκλήματα, λαμπρὰν δὲ οὕτω καὶ ἀκηλίδωτον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποφαίνειν αὐτῷ τὴν ἰδίαν ψυχὴν, καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Μελῳδὸς ἐν καλῷ τῆς τοιαύτης ἀρετῆς γεγονὼς, ἀνεφώνει λέγων· «Ἑτοίμη ἡ καρδία μου, ὦ Θεὸς, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ.» Ὥσπερ γὰρ καθαροῖς μὲν οὖσι τοῖς ἐρίοις ἐνιζάνουσιν αἱ βαφαὶ, εἰ δὲ ῥύπου τι μέτεισι λείψανον, εὐαπόβλητον εὐθὺς τὸ εἰσκεκριμένον, καὶ ἀσφαλῆ τὴν ἕδραν οὐκ ἔχον ἐν αὐτοῖς· οὕτω καὶ ἡ Χριστοῦ μέθεξις, ταῖς μὲν ἁγίαις καὶ καθαραῖς εἰσδύεται ψυχαῖς, ταῖς δὲ μὴ οὕτως ἐχούσαις, οὐδ' ἂν ὅλως ἐνιζήσειεν· «Ἅγιον γὰρ πνεῦμα σοφίας φεύξεται δόλον,» κατὰ τὸ γεγραμμένον, «καὶ οὐ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίαις.» Οὐκοῦν θεραπεύοντες τοὺς ἠδικημένους, καὶ τοῖς εἰς φιλίαν κατορθώμασι τὰς τῶν ἀδελφῶν ἀποκείροντες λύπας, αἰτίας ἑαυτοὺς ἁπάσης ἀπαλλάξομεν, καὶ τὴν ἐν Χριστῷ κερδανοῦμεν ἄφεσιν. {ΠΑΛΛ.} Ὀρθότατα ἔφης. 68.977 {ΚΥΡ.} Βούλει δὴ τούτοις καὶ ἑτέρους ἐννοιῶν ἐπισυλλέγοντες τρόπους, τά τε ἐκ μολυσμῶν ἐγκλήματα, καὶ τὰ ἐφ' ἑκάστῳ τεθεσπισμένα πρὸς ἀποκάθαρσιν ἐξηγώμεθα; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν, ἀμφιλαφεστέραν γὰρ οὕτω τὴν ὄνησιν ἐξεργάσαιτ' ἂν ἡμῖν ὁ ἐπὶ τῷδε λόγος. {ΚΥΡ.} Γέγραπται τοίνυν ἐν τοῖς Ἀριθμοῖς· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐξαποστειλάτωσαν ἐκ τῆς παρεμβολῆς πάντα λεπρὸν, καὶ πάντα γονοῤῥυῆ, καὶ πάντα ἀκάθαρτον ἐπὶ ψυχῇ, ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ, ἐξαποστείλατε ἔξω τῆς παρεμβολῆς, καὶ οὐ μὴ μιανοῦσι τὰς παρεμβολὰς αὐτῶν, ἐν οἷς ἐγὼ καταγίνομαι ἐν αὐτοῖς.» Ὅτι μὲν οὖν τοῖς ἐξ ἀνάγκης καὶ ἀβουλήτως συμβαίνουσιν, οὐκ ἂν, οἶμαι, δόξειεν εἰκότως ἐπιτιμᾷν ὁ νόμος ἡμῖν, ἐν τούτοις, παντί τῳ σαφές· κολάζεται γὰρ ἀνθ' ὅτου, τὸ σώματος πάθος, καὶ τὴν ἐκ νόμου κατάῤῥησιν ὅπως ἂν ἔχοι δικαίαν, ὁ σαρκικαῖς ἀῤῥωστίαις περιπεσών; σοφὸν οὖν ἄρα καὶ ἀναγκαῖον εἰς εἰκόνα καὶ τύπον τῶν ἐν ψυχαῖς νοσημάτων, δέχεσθαι τὰ σωματικά. Εἴη γὰρ ἂν οὕτω πνευματικὸς ὁ νόμος, καὶ ψῆφος ὁσία τὰ ἐφ' ἑκάστῳ παρὰ Θεοῦ κατὰ καιροὺς κεχρησμωδημένα, οὐχὶ τοὺς ἀνεθελήτοις ἐναλόντας νόσοις, ταῖς δίκαις ὑπάγοντα, ἀλλ' οἷς ὁ τοῦ πλημμελῆσαι λόγος, ὁσίαν ἂν ἔχοι τὴν ἐπίπληξιν. {ΠΑΛΛ.} Ὡς εὖγε δὴ φής. {ΚΥΡ.} Ἀποπέμπεσθαι μὲν οὖν τῆς παρεμβολῆς προστέταχε λεπρὸν, ἰσχνοτάτην δὲ λίαν ἐπ' αὐτῷ ποιεῖται τὴν βάσανον, καὶ δοκιμάζεσθαι δεῖν ἐπιτάττει τὴν νόσον, οὕτω λέγων· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν καὶ Ἀαρὼν, λέγων· Ἀνθρώπῳ ἐάν τινι γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ οὐλὴ σημασίας τηλαυγὴς, καὶ γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ ἁφὴ λέπρας, ἀχθήσεται πρὸς Ἀαρὼν τὸν ἱερέα, ἢ ἕνα τῶν υἱῶν αὐτοῦ τῶν ἱερέων· καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν ἐν δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ ἡ θρὶξ ἐν τῇ ἁφῇ μεταβάλῃ λευκὴ, καὶ ἡ ὄψις τῆς ἁφῆς ταπεινὴ ἀπὸ δέρματος τοῦ χρωτὸς, ἁφὴ λέπρας ἐστὶ, καὶ ὄψεται ὁ ἱερεὺς, καὶ μιανεῖ αὐτόν. Ἐὰν δὲ καὶ τηλαυγὴς λευκὴ ᾖ ἐν τῷ δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ ταπεινὴ μὴ ᾖ ἡ ὄψις αὐτῆς ἀπὸ τοῦ δέρματος, καὶ ἡ θρὶξ αὐτοῦ οὐ μετέβαλε τρίχα λευκὴν, αὐτὴ δέ ἐστιν ἀμαυρὰ, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν ἑπτὰ ἡμέρας· καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ ἡ ἁφὴ μένει ἐναντίον αὐτοῦ, οὐ μετέπεσεν ἡ ἁφὴ ἐν τῷ δέρματι, καὶ ἀφοριεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας τὸ δεύτερον, καὶ ὄψεται ὁ ἱερεὺς αὐτὸν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὸ δεύτερον. Καὶ ἰδοὺ ἀμαυρὰ ἡ ἁφὴ, οὐ μετέπεσεν ἡ ἁφὴ ἐν τῷ δέρματι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς· σημασία γάρ ἐστι. Καὶ πλυνάμενος τὰ ἱμάτια αὐτοῦ, καθαρὸς ἔσται. Ἐὰν δὲ μεταβαλοῦσα μεταπέσῃ ἡ σημασία ἐν τῷ δέρματι, μετὰ τὸ ἰδεῖν αὐτὸν τὸν ἱερέα τοῦ καθαρίσαι αὐτὸν, καὶ ὀφθήσεται τὸ δεύτερον τῷ ἱερεῖ, καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς, καὶ ἰδοὺ μετέπεσεν ἡ σημασία ἐν τῷ δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς· 68.980 λέπρα ἐστίν.» Ἰσχνομυθία μὲν οὖν τὸ χρῆμά ἐστιν, ὦ Παλλάδιε, καὶ οὐχ ἕτοιμος ἑλεῖν ὁ ἐπὶ τοῖσδε λόγος. Ἀναγκαῖον δὲ οἶμαι συνενεγκόντα τὸν νοῦν, ὡς ἐν ὀλίγοις εἰπεῖν, τὸ τί ἂν βούλοιτο δηλοῦν ὁ νόμος. Προεξηγήσομαι δὲ τέως τοῦ πάθους τὴν διαφοράν. Λέπρα μὲν οὖν τοῖς ἀνθρωπίνοις σώμασι παγχάλεπόν ἐστι πάθος, καὶ δυσδιάφυκτον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ βορόν· συμβαίνει δὲ κατὰ νέκρωσιν. Κοιλαίνεται μὲν γὰρ τὸ τραῦμα εὐθὺς, δαπανωμένου τοῦ δέρματος, καὶ εἰς βάθος ἀεὶ συνιζάνοντος· ἅτε δὴ, καὶ διερπούσης ἀεὶ πρὸς τὸ κάτω τῆς φθορᾶς. Ὅθεν τοι, καθάπερ ἐγῷμαι, καὶ ἡ θρὶξ ἐπανθοῦσα τοῖς τόποις μαραινομένη, καταλευκαίνεται, καὶ οἱονεί τι φυτὸν τῇ ὑποκειμένῃ συγκαταφθείρεται γῇ. Λέπρα μὲν οὖν τὸ τοιόνδε πάθος. Λεύκη δὲ πάλιν, ἀῤῥώστημα σαρκικὸν τῇ λέπρᾳ προσεοικὸς, πλὴν οὐκ ἐνίησι τὸ λυποῦν εἰς βάθος, οὔτε μὴν εἰσπέμπει τοῖς ἔσω τῆς νόσου τὴν αἴσθησιν, ἐπινήχεται δὲ ὥσπερ ἄκρῳ τε, καὶ μόλις ἐπανθοῦσα τῷ σώματι, καὶ οὐδὲ τρίχα μεθίστησιν εἰς τὸ λευκὸν, οὔτε μὴν ἀκαθέκτως εὐρύνεται, ἀλλ' ὀλίγοις κομιδῇ τοῖς ἐπικουρήμασιν εὐκόλως ἀνασειράζεται, καὶ ὑπονοστεῖ πρὸς ὑγιὲς ἡ ἐπανθοῦσα σάρξ. Οὐκοῦν ἡ μὲν λέπρα, νέκρωσις ὁμολογουμένη, ἐν ὑποψίαις δέ πως τῆς λέπρας ἡ λεύκη, οὐ μὴν ἔτι καὶ τὸ αὐτὸ κατὰ ἀλήθειαν, λέπρα καὶ νέκρωσις. Καταψηφίζεται τοίνυν ὁ νόμος τοῦ λεπροῦ τὸ ἀκάθαρτον, ὡς ἤδη παθόντος τὴν νέκρωσιν. Ἀνίησι δὲ τοῦ ἐγκλήματος, τὸν λεύκην ἠῤῥωστηκότα, ὡς ἐν ὑποψίαις μὲν γεγονότα τοῦ λεπρᾷν, οὐ μὴν ἔτι καὶ λελεπρωμένον. Τοιγάρτοι, φησὶν, εἰ γένοιτο οὐλὴ σημασίας, καὶ ἁφὴ λέπρας, καὶ κοιλοτέρα ἡ ὄψις τοῦ δέρματος, καὶ μὴν καὶ τριχὸς εἰς λευκότητα μεταβολὴ, συναποθνησκούσης τάχα που τῇ ὑποκειμένῃ σαρκὶ, λέπρα δὴ πάντως ἔσται. Ἕρπει γὰρ εἰς βάθος ἡ νέκρωσις. Εἰ δὲ δὴ γένοιτό τις λεύκη σημασίας, δίχα κοιλότητος τῆς ἐν δέρματι, καὶ τριχὸς εἰς λευκότητα μεταβολῆς, δοκιμαζέσθω, φησὶ, παρὰ τοῦ ἱερέως, καὶ ἀφοριζέσθω δεύτερον· τὸ ἀπεικὸς γὰρ οὐδὲν, ὡς καὶ αὐτὴ τῶν ἡμερῶν ἡ παράτασις, τὸ ἀῤῥώστημα βασανίζουσα, παραδείξειεν ἂν ἔσθ' ὅτε τοῖς ἐρευνῶσι τὸ ἀκριβές. Ἡ μὲν γὰρ θρὶξ ὑπομένει τὸ ἑτερόχρουν, κοιλαινομένου τοῦ δέρματος, μετακεχώρηκε δὲ πρὸς λέπραν ἡ λεύκη. Οὐδενὸς δὲ τούτων γεγονότος, «Ἀνείσθω, φησὶ, τῆς αἰτίας.» Οὐ γάρ τοι λέπρα τὸ πάθος, ἀλλὰ τὸ λέπρᾳ προσεοικὸς, καὶ ἀγχοῦ δὴ μάλα, τοῦτ' ἔστιν, ἡ λεύκη. Ὁ μὲν οὖν ἐν προχείρῳ λόγος, καὶ ἡ τοῦ πράγματος διασάφησις ἀποχρῶσαν ἔχει τὴν παράθεσιν. Ἀλλὰ φέρε λέγωμεν τὰ πνευματικὰ, καὶ τῶν εἰς νοῦν τε καὶ κεκρυμμένων ἐννοιῶν ἁπτώμεθα. {ΠΑΛΛ.} Ὡς καλὸν τὸ χρῆμα καὶ ὀνησιφόρον. {ΚΥΡ.} Χρὴ τοίνυν ἡμᾶς τοὺς ἐν Χριστῷ ζωοποιουμένους, ζωοποίησιν δέ φημι τὴν πνευματικὴν, νεκρῶν ἔργων ἀποφοιτᾷν, καὶ ὡς ἀπωτάτω χωρεῖν, εἶεν δ' ἂν, οἶμαι, ταυτὶ, τὰ δι' ὧν ἂν γένοιτο κατανεκροῦσθαι ψυχὴν, καὶ ἀποψύχεσθαι νοῦν, ἀχαλίνως ἐκνενευκότα πρὸς τὰ σαρκός τε καὶ κόσμου. Εἰ γάρ ἐστιν ἀληθὲς, ὡς ὁ εἰς τὴν σάρκα σπείρων, ἐκ τῆς σαρκὸς θερίσει φθοράν· καὶ οἱ κατὰ σάρκα ζῶντες 68.981 Θεῷ ἀρέσαι οὐ δύνανται, ὅτι δὲ καὶ τεθνήξονται πῶς ἂν εἴη λοιπὸν ἢ πόθεν ἀμφίλογον; Νεκρὸς οὖν ἄρα, καὶ τοῖς τῆς νεκρότητος ἔργοις ἐνισχημένος, ὁ ψυχήν τε καὶ νοῦν ἐκμεμολυσμένος, καὶ μὴν καὶ φαυλότητος ἀνάπλεως κοσμικῆς. Καὶ νοητὴν ἀληθῶς, εἴπερ ἂν ἕλοιτό τις τὴν τοιάνδε λέπραν εἰπεῖν, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος. Ἀκάθαρτος οὖν ὁ τοιοῦτος ἐν ὀφθαλμοῖς τοῦ Χριστοῦ. «Καταμιανεῖ γὰρ αὐτὸν,» φησὶν, «ὁ ἱερεύς.» Ἀκούσεται γὰρ ἐπὶ τοῦ θείου βήματος, τοῖς ἄγαν φιλαμαρτήμοσιν ἐναρίθμιος ὤν· «Πορεύετε ἀπ' ἐμοῦ, ἐργάται ἀνομίας, οὐκ οἶδα ὑμᾶς.» Λεύκῃ γε μὴν καὶ οὐλῇ σημασίας παρεικαστέον τοὺς ἐν ψιλαῖς ταῖς ἐπιθυμίαις κειμένους ἔτι, καὶ οὔπω πρὸς ἔργον ἥκοντας λογισμοῦ. Ἦ οὐχὶ δὴ φὴς ὑπάρχειν ἀληθὲς, ὡς προαναθρώσκουσιν ἐν ἡμῖν καὶ οἱονεὶ προανίσχουσι τῶν ἀποτελεσμάτων αἱ ἡδοναὶ καὶ λογισμοὶ, καλοῦντες ἐπί τι τῶν διαβεβλημένων ἐκ νόμου; {ΠΑΛΛ.} Φημί· μεμνήσομαι γὰρ τοῦ μακαρίου Δαβὶδ λέγοντος· «Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα.» {ΚΥΡ.} Ὀρθότατα ἔφης· πρὸ γάρ τοι τῶν ἀποτελεσμάτων, γίνεται δὴ πάντως ἐν πλημμελείαις ὁ νοῦς, προωδινήσας τὴν ἡδονὴν, πλὴν ἐν μόναις ἔτι ταῖς ἐπιθυμίαις τῆς ἁμαρτίας κειμένης, ἕστηκεν ἐν μεταιχμίῳ, πρὸς ἄμφω βλέπων ὁ νοῦς· καὶ ἐλευθέραν ἔχων ἐφ' ὅπερ ἂν ἕλοιτο τὴν ῥοπὴν, καὶ πεπονθὼς οὔπω τὴν νέκρωσιν, ἀγχοῦ δὲ δὴ σφόδρα γεγονὼς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ κακοῦ, καὶ ἐν ὠδῖσιν ἔχων τὸ πάθος. Τοιουτονί τι σαφῶς καὶ ὁ τοῦ Σωτῆρος ἡμῖν ὑπεφώνησε μαθητής. «Μηδεὶς γὰρ,» φησὶ, «πειραζόμενος λεγέτω, ὅτι Ἀπὸ Θεοῦ πειράζομαι. Ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα. Ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος. Εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα, τίκτει ἁμαρτίαν. Ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα, ἀποκύει θάνατον.» {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Οὐκοῦν τὸ ἐκτεθνάναι τυχὸν, ὡς ἐν λέπρᾳ, φημὶ τῇ νοητῇ, καὶ ὡς ἐν πάθει τῷ κατὰ νέκρωσιν τὴν ἐξ ἁμαρτίας, οὐκ ἐν μόναις ἂν γένοιτο ταῖς ἐπιθυμίαις, ἀλλ' ἐν ταῖς ἐκβάσεσι τῶν ἀποτελεσμάτων, καὶ ἕως μὲν ἔστιν ἐν ὠδῖσιν ἔτι τοῦ νοῦ τὸ κακὸν, οὔπω νέκρωσις, οὔπω θάνατος, οὐ γὰρ πᾶσα ἁμαρτία πρὸς θάνατον, ὡς ὁ τοῦ Σωτῆρος εἴρηκε μαθητὴς, ἀλλ' ἐν ὑποψίαις ἔτι τοῦ παθεῖν τὰ νεκροῦν εἰδότα. Ἐν δοκήσει δέ πως ἢ ἀγχοῦ τῆς λέπρας, τὴν λεύκην ἐλέγομεν. Ὄψεται, φησὶν, ὁ ἱερεὺς, τὸν τῷ πάθει κάτοχον, φημὶ δὴ τῇ λεύκῃ, καὶ εἰ μὲν ὁρῷτο μὴ μεταβάλλουσα πρὸς λέπραν, οὐ καταμιανεῖ αὐτὸν, ἀφοριεῖ δὲ μᾶλλον· οὐ γὰρ ἀνεπίπληκτον παρὰ Θεῷ, κἂν γοῦν ἐν ἐπιθυμίαις καὶ ἀγχοῦ γενέσθαι τοῦ κακοῦ. Εἰ δὲ παραιτοῖτο, φησὶ, τὸ πάθος τὴν μεταβολὴν, οὐκ εἰς τὸ χεῖρον ἐκνενευκὸς, καθαρὸς ἔστω, φησίν. Ἄριστον δὴ οὖν καὶ σωτήριον ἀληθῶς τὸ, παραιτεῖσθαι τὴν νέκρωσιν, τὴν ὡς ἐν ἔργοις φημὶ, 68.984 καὶ αὐτοῖς ἤδη πως τοῖς ἀποτελέσμασι τὸν νοῦν ἀποψύχουσαν. Σοφὸν δὲ πρὸς τούτῳ, τὸ ἀπονεύειν εὖ μάλα πειρᾶσθαι τὰ πάθη, καὶ εἰ ἐν ψιλαῖς ἔτι ταῖς ἐπιθυμίαις ὁρῷτο συμβαίνοντα· τουτὶ γὰρ, οἶμαι, ἐστὶ τὸ λέπρας αὐτῆς καὶ λεύκης ἀποφοιτᾷν. Διεπύθου γὰρ ὅτι πλείστης ὅσης τὰ καθ' ἡμᾶς ἐποπτείας ἀξιοῖ Θεὸς κατὰ φύσιν ὑπάρχων ὁ Ἐμμανουὴλ, ὁ μέγας ἡμῶν Ἀρχιερεὺς, καὶ προσίεται μὲν τὸ φαῦλον ἐκνενιμμένους, ἐκπέμπει δὲ δὴ τῆς τῶν ἁγίων παρεμβολῆς, εἰ καταθεῷτο μεμολυσμένους. {ΠΑΛΛ.} Ἀληθὴς ὁ λόγος. {ΚΥΡ.} «Ἅγιοι γὰρ ἔσεσθε,» φησὶν, «ὅτι ἐγὼ ἅγιός εἰμι.» Ἐπιτήρει δὲ, ὅτι πλυνάμενον τὰ ἱμάτια τὸν τῆς αἰτίας ἀπηλλαγμένον, καθαρὸν ἔσεσθαί φησι, τὴν δι' ὕδατος κάθαρσιν προαναφωνῶν ὁ νόμος, καὶ ὡς ἐν τύποις ἡμῖν τοῖς ἐν αἰσθήσει σωματικῇ, τὸ τοῦ ἁγίου βαπτίσματος καταγράφων μυστήριον. {ΠΑΛΛ.} Συνίημι. {ΚΥΡ.} Θέα δὴ οὖν, ὦ Παλλάδιε, τὸ πολὺ λίαν ἐντενὲς τοῦ νόμου. Μετατάττει γὰρ ὥσπερ τὰς ἐννοίας ἡμῶν ἐπὶ τὸ ἐναντίως ἔχον, καὶ τὸ τελοῦν εἰς ὄνησιν διὰ παντὸς ὥσπερ ὑποφαίνει τρόπου. {ΠΑΛΛ.} Πῶς δὴ φής; {ΚΥΡ.} Ἔφη γὰρ πάλιν· «Καὶ ἁφὴ λέπρας, ἐὰν γένηται ἐν ἀνθρώπῳ, καὶ ἥξει πρὸς τὸν ἱερέα, καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδοὺ οὐλὴ λευκὴ ἐν τῷ δέρματι, καὶ αὕτη μετέβαλε τρίχα λευκὴν, καὶ ἀπὸ τοῦ ὑγιοῦς τῆς σαρκὸς τῆς ζώσης ἐν τῇ οὐλῇ, λέπρα παλαιουμένη ἐστὶν ἐν τῷ δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς, καὶ ἀφοριεῖ αὐτὸν, ὅτι ἀκάθαρτός ἐστιν. Ἐὰν δὲ ἀνθοῦσα ἐξανθήσῃ λέπρα ἐν τῷ δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ καλύψῃ ἡ λέπρα πᾶν τὸ δέρμα τῆς ἁφῆς ἀπὸ κεφαλῆς ἕως ποδῶν αὐτοῦ, καθ' ὅλην τὴν ὅρασιν τοῦ ἱερέως, καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδοὺ ἐκάλυψεν ἡ λέπρα πᾶν τὸ δέρμα τοῦ χρωτὸς αὐτοῦ, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεὺς τὴν ἁφὴν, ὅτι πᾶν μετέβαλε λευκὸν, καὶ καθαρός ἐστι. Καὶ ᾗ ἂν ἡμέρᾳ ὀφθῇ ἐν αὐτῷ χρὼς ζῶν, μιανθήσεται· καὶ ὄψεται ὁ ἱερεὺς τὸν χρῶτα τὸν ὑγιῆ, καὶ μιανεῖ αὐτόν. Ὁ χρὼς ὁ ὑγιὴς, ἀκάθαρτός ἐστι· λέπρα ἐστίν. Ἐὰν δὲ ἀποκαταστῇ ὁ χρὼς ὁ ὑγιὴς, καὶ μεταβάλῃ λευκὴ, καὶ ἐλεύσεται πρὸς τὸν ἱερέα· καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδοὺ μετέβαλεν ἡ ἁφὴ εἰς τὸ λευκὸν, καὶ καθαριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν, καὶ καθαρός ἐστι.» {ΠΑΛΛ.} Καὶ τίς ἂν νοοῖτο πρὸς ἡμῶν ἔν γε τούτῳ τῆς ἀντιστροφῆς ὁ τρόπος; {ΚΥΡ.} Οὐ γὰρ δὴ συνίης ὅτι λέπραν μὲν εἶναι διεβεβαιούμεθα, τὴν ἐκ μέρους νέκρωσιν ἐν ζώσῃ σαρκὶ, καὶ ἀπόβλητος ἦν ὁ τῇ νόσῳ κάτοχος, ὡς μεμολυσμένος; {ΠΑΛΛ.} Συνίημι. {ΚΥΡ.} Ἄθρει δὴ οὖν, ὅτι περιτρέπεταί πως ἡμῖν τὸ χρῆμα δὴ πάλιν εἰς τὸ ἐναντίως ἔχον. Εἰ γὰρ δὴ γένοιτο, φησὶν, ὅλος διόλου λεπρὸς, καὶ νεκρώσει κάτοχος, οὐδὲν ἔχων ὑγιὲς, ἀνείσθω δὴ τότε τῶν εἰς 68.985 μολυσμὸν ἐγκλημάτων, καθαρός ἐστι. Χρωτὸς δὲ δὴ ζῶντος εἰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὲν εἴη τι λείψανον ἐν αὐτῷ, Καταγραφέτω, φησὶν, ὁ ἱερεὺς αὐτοῦ τὴν ἀκαθαρσίαν· μιανεῖ γὰρ αὐτὸν ὁ χρὼς ὁ ζῶν, καὶ λεπρός ἐστιν· ἰσομοιρήσει καὶ τόδε τοῖς εἰς λέπραν αἰτιάμασιν. {ΠΑΛΛ.} Οὐκ ἂν ἔχοιμι νοεῖν ὅ τί ποτέ ἐστιν, ὃ φής. Εἰ γὰρ ἡ ἐκ μέρους λέπρα καταμιανεῖ τινας, πῶς ἀποφήνειε καθαροὺς ἡ εἰσάπαν καὶ ὁλοτελής; {ΚΥΡ.} Ἰσχνομυθία μὲν οὖν, ὦ Παλλάδιε, τὸ χρῆμά ἐστιν, οἰησόμεθα δὲ οὔτι που μαχομένην ὥσπερ καὶ ἀντεξάγουσαν ἡμῖν τὴν θεωρίαν, εἰσφέρειν τοῦ νόμου τὸ ἀκριβές. Ἐφήρμοσται δέ τις ἑκάστῳ λόγος σοφός τε καὶ ἀναγκαῖος, καὶ ἀδιαβλήτως ἔχων· καὶ φέρε λέγωμεν, εἰ δοκεῖ. {ΠΑΛΛ.} Πάνυ μὲν οὖν· ἐρεῖς γὰρ ὡς ἥδιστα δεδιψηκότι μοι. {ΚΥΡ.} Κατὰ διττὸν, οἶμαι, τρόπον τὸν εὐνομώτατον παρά γε τῷ φιλαρέτῳ Θεῷ κατορθώσομεν βίον. Ἢ γὰρ, ζῶντες αὐτῷ τὴν ἐκ παθῶν τε καὶ ἁμαρτίας παραιτούμεθα νέκρωσιν, καὶ τοῦτό ἐστι τὸ μὴ παθεῖν τὴν λέπραν· ζῶντι γὰρ σώματι νεκρότης ἐπισυμβαίνουσα μερικὴ, τὴν λέπραν ἀποτελεῖ· ἤγουν καθ' ἕτερον τρόπον διὰ νεκρώσεως ἀγαθῆς, καὶ τοῦ μηκέτι ζῆν ἀνέχεσθαι κοσμικῶς, καθάπερ τινὰ στέφανον, τὴν ἐφ' ἅπασι τοῖς ἀρίστοις ἀναδησόμεθα ψῆφον. Γράφει γὰρ ὧδέ τισιν ὁ θεσπέσιος Παῦλος· «Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς εἶναι νεκροὺς μὲν τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ.» Οὐκοῦν ζῶντες μὲν ἐν Χριστῷ, διά γε τοῦ κατορθοῦν ἐπείγεσθαι τὸ αὐτῷ δοκοῦν, τὸ κατανεκροῦσθαι μισήσομεν, δῆλον δὲ, ὅτι πρὸς πάθη καὶ ἁμαρτίας· ἀποθανόντες δὲ τῇ ἁμαρτίᾳ, κατὰ τὸ γεγραμμένον, τὸ ζῆν ἐν αὐτῇ διωσόμεθα, φρονοῦντες ὀρθῶς. {ΠΑΛΛ.} Φράζε δή μοι ταυτὶ καὶ ἔτι σαφῶς· συνίημι γὰρ οὐ λίαν. {ΚΥΡ.} Οὐ γὰρ, ὦ Παλλάδιε, ταύτητοί φαμεν, τὸν ὑπὲρ ἡμῶν θάνατον ἀνατλῆναι Χριστὸν, ἵνα οἱ ζῶντες, μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι, τουτέστι Χριστῷ; {ΠΑΛΛ.} Φαμὲν ὁμολογουμένως. {ΚΥΡ.} Ζῶμεν οὖν ἄρα Χριστῷ, πολιτευόμενοι μὲν εὐαγγελικῶς, καταμυσαττόμενοι δὲ τὴν ἐξ ἁμαρτίας νέκρωσιν, ἤτοι τὸν ἐκ παθῶν θάνατον. Καὶ γοῦν ὁ θεσπέσιος Πέτρος ἐπιστέλλει περὶ Χριστοῦ· «Ὃς τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τοῦ ξύλου, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν.» Οἶμαι γὰρ δεῖν, τοὺς οἷς ἂν εἴη λόγος τοῦ διαβιῶναι λαμπρῶς, παντὸς τοῦ κατανεκροῦν εἰδότος ἰέναι μακρὰν, καὶ κατορθοῦν εὖ μάλα τὸ ἀπαλλάττεσθαι μολυσμῶν. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Οὐκοῦν, πάθοι ἂν ἥκιστά γε τὸ ὡς ἐν λέπρᾳ 68.988 πάθος, ὁ Χριστῷ μὲν ζῆν ᾑρημένος, καὶ τοῖς εὐαγγελικοῖς θεσπίσμασι κατακολουθῶν, διωθούμενος δὲ τὴν ἐξ ἁμαρτίας νέκρωσιν. {ΠΑΛΛ.} Πείθομαι. {ΚΥΡ.} Καὶ εἷς μὲν οὑτοσὶ τρόπος, εὐαρεστεῖν ἡμᾶς δύνασθαι τῷ Θεῷ, ἕτερός γε μὴν ἐπιτελοῖτ' ἂν ὀρθῶς ὡδίπη πάλιν. Χρὴ γὰρ ἡμᾶς νεκροῦντας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, δοκεῖν πως ἤδη καὶ ἐκτεθνάναι τῇ ἁμαρτίᾳ, καὶ τοῦτο εἰσάπαν, οὐκέτι ζῶντας ἐν αὐτῇ. Καὶ πληροφορήσει λέγων ὁ θεσπέσιος Παῦλος· «Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; Μὴ γένοιτο, οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;» Ὥσπερ οὖν ἕν γε τῷ ζῆν ἑλέσθαι Χριστῷ, τὸ νεκροῦσθαι μερικῶς ὑπετίθει ταῖς δίκαις ὁ νόμος, οὕτω καὶ ἐν τῷ τεθνάναι τῇ ἁμαρτίᾳ, τὸ ζῆν ἐν αὐτῇ, μολυσμὸς ἂν εἴη πάλιν, καὶ τῆς ἐκ νόμου γραφῆς οὐκ ἀπηλλαγμένος. Ταύτητοί φησιν, ὡς εἰ γένοιτο λέπρα καθόλου τοῦ σώματος, καὶ οἱονεὶ νέκρωσις κατὰ παντὸς ἰοῦσα μέλους, κατασημήνειεν ἂν, τὸν ἀποθανόντα τῇ ἁμαρτίᾳ· καὶ μολυσμὸς οὐκέτι τῷ σώματι. Καθαρὸς γάρ ἐστι, φησὶν, ὅλος διόλου τεθνεὼς τῇ ἁμαρτίᾳ, καὶ τόπον οὐδένα παραχωρήσας αὐτῇ, καὶ οἱονεί πως ἐν ἑαυτῷ τὸ ἐναυλίζεσθαι δούς· «Εἰ δὲ δὴ,» φησὶ, «χρὼς ἐν αὐτῷ ζῶν ὁρῷτο πάλιν, μιανεῖ αὐτὸν ὁ χρὼς ὁ ζῶν.» Τὸ γάρ τοι ζῆν ὅλως τῇ ἁμαρτίᾳ κἂν γοῦν ἐκ μέρους, βδελυρὸν ἀποφαίνει τὸν ἠῤῥωστηκότα· «Μικρὰ γὰρ, φησὶ, ζύμη ὅλον τὸ φύραμα ζυμοῖ·» καὶ ἀληθὴς ὁ λόγος. Εἰ δὲ ἀποκατασταίη, φησὶν, ὁ χρὼς ὁ ζῶν, καὶ μεταχοροίη πρὸς λέπραν, λελύσθω τὰ ἐγκλήματα, καθαρός ἐστιν. Ἀπήλλακται γὰρ καὶ τοῦ μερικῶς ἔτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ζῆν τῇ ἁμαρτίᾳ, πρὸς νέκρωσιν τὴν ἐπαινουμένην μετοιχομένου τοῦ νοῦ, καὶ παγκάλην ἀληθῶς ἔχοντος τὴν μετάστασιν. Οὐκοῦν, ἀνακεφαλαιώσομαι γὰρ ἅπερ ἔφην, εἰ ζῶμεν Θεῷ, μηδὲν ἔστω νεκρὸν ἐν ἡμῖν, εἰ ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, μηδὲν αὐτῆς ἔστω ζῶν ἐν ἡμῖν. Οἶμος γὰρ ἤδε λαμπρὰ πολιτείας ἡμῖν ἁγιοπρεποῦς, καὶ οὐδὲν ἐχούσης ὃ διαβεβλήσεται. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἰσχνότερον δὲ διαιρῶν ὁ νόμος τὰ τοιάδε τῶν παθῶν· «Κἂν εἰ γένοιτο,» φησὶν, «ὑποψία καὶ δόκησις, τοῦ λελεπρῶσθαι τυχὸν, ἢ ἐναπουλωθέντι τραύματι, ἤγουν ἐν μορίῳ σώματος κατακεκαυμένῳ ποτὲ, ταῖς αὐταῖς ἀκριβείαις τε καὶ ἐπισκέψεσι κεχρήσθω πάλιν ὁ ἱερεύς. Κἂν εἰ τὸ δοκοῦν ἐξανθῆσαι λευκὸν, μὴ μετατεθείη πρὸς λέπραν, καθαρὸς ἔστω,» φησίν· «εἰ δὲ δὴ γένοιτο σαφὴς μετάστασις τῆς λευκῆς εἰς λέπραν, ἀκάθαρτος ἔσται καὶ βδελυρός.» Ὑπαινίττεται δέ πως καὶ διὰ τούτων ἡμῖν ὁ νόμος, ὅτι τὰ ἐν ψυχαῖς ἀῤῥωστήματα, μυρία δὲ ὅσα ταυτὶ, τεθεραπευμένα ταῖς ἐπιεικείαις, καὶ κατὰ καιροὺς οἱονεὶ πρὸς ἀπούλωσιν ἀνενηνεγμένα, ταῖς πρὸς ἡμῶν ῥᾳθυμίαις εἰ ἀνασκαλεύοιτό πως, ἐποπτεύσει μὲν ὁ 68.989 Χριστὸς, ὁ μέγας ἡμῶν ἀρχιερεὺς, ὀρθὸν δὲ δὴ λίαν ἐξοίσει τὸ κρίμα. Εἰ γὰρ δὴ μέχρι μόνων προήκει, φησὶ, λογισμῶν ἡ νόσος, ἀνεπιτίμητος μὲν ὁ παθὼν οὐδαμῶς, ἀφορισθήσεται γὰρ, πλὴν οὐκ ἀπόβλητος παντελῶς, οὔτε μὴν εἰσάπαν νενεκρωμένος. Εἰ δὲ δὴ λογισμῶν καὶ ἐπιθυμίας αὐτῆς διᾴττοι τὸ πάθος, πεπονθὸς ἤδη πως τὴν εἰσάπαν εἴς γε τὰ χείρω μεταβολὴν, ταῖς ἐκ μολυσμῶν ὑποθήσει δίκαις τὸν αὖθις ἠῤῥωστηκότα. Παραφυλακτέον δὴ οὖν ὅτι μάλιστά γε τὰ ἤδη κατηυνασμένα μὴ ἀφυπνίζειν τῶν παθῶν, μήτε μὴν ἀνανεοῦν τὰ εἰς νοῦν τραύματα, καὶ παλινδρομεῖν εἰς τὰ ἐν ἀρχαῖς. Εἰ δὲ μὴ, καὶ ἡμεῖς ἀκούσομεν διακεκραγότος ἁγίου· «Γέγονεν αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας, Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα, καὶ ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.» {ΠΑΛΛ.} Ὀρθῶς μοι δοκεῖς καὶ σφόδρα εἰκότα λέγειν. {ΚΥΡ.} Λέπρας μὲν οὖν πέρι καὶ τῆς ἐν οὐλαῖς τε καὶ τραύμασι, ταυτὶ πρὸς ἡμᾶς ὁ νόμος. Προσεπάγει δὲ δὴ καί φησι· «Καὶ ἀνδρὶ ἢ γυναικὶ ἐὰν γένηται ἐν αὐτοῖς ἁφὴ λέπρας ἐν τῇ κεφαλῇ, ἢ ἐν τῷ πώγωνι, καὶ ὄψεται ὁ ἱερεὺς τὴν κεφαλήν. Καὶ εἰ μέν τις εἴη κοιλότης,» φησὶν, «ἐν αὐτῇ, τοῦ δέρματος τηκομένου καὶ ὑφιζάνοντος, καὶ μὴν καὶ τριχὸς εἰς λευκότητα μεταβολὴ, λεπρὸς ὁ τοιόσδε καὶ ἀκάθαρτος ἔσται,» φησὶν, «ὁμολογουμένως. Εἰ δὲ δὴ τῶν τοιούτων γένοιτο μηδὲν, ξυράσθω τὴν κεφαλὴν ἤτοι τὸν πώγωνα,» φησὶν, «ὁ τὴν λεύκην ὑπομεμενηκώς. Ἐψιλωμένος δὲ οὕτω τὴν τρίχα, προσίτω τῷ ἱερεῖ, καὶ δοκιμαζέσθω τότε. Τῆς μὲν γὰρ σημασίας ἤτοι τῆς λευκῆς οὐ διαχεομένης εἰς τὸ εὐρὺ, μενούσης δὲ ὥσπερ κατὰ χώραν, ἤγουν εἰς τὸ μεῖον ὑπενηνεγμένης, καθαρὸς ἔστω πάλιν. Οὐ γάρ τοι λέπρα τὸ πάθος, ὑποψία δὲ μᾶλλον καὶ δόκησις. {ΠΑΛΛ.} Τίς οὖν ἂν εἴη καὶ τούτων ὁ νοῦς; {ΚΥΡ.} Διττὸς ἐν ἡμῖν ὁ μολυσμὸς, ὦ Παλλάδιε, σαρκός τε καὶ πνεύματος. Καὶ κατασπιλοῖ μὲν τὴν σάρκα τὰ ταύτης ἔκτοπά τε καὶ ἀνόσια πάθη, ψυχήν τε καὶ νοῦν· μάλιστα μὲν οὖν τῶν ἄλλων ἡ ἐξ ὀρθότητος τῆς δογματικῆς ἐπὶ τὰ χείρω παραφορὰ, καὶ τῆς ὑγιοῦς πίστεως ἡ παραφθορά· καὶ προσέτι δὲ δόλοι καὶ ἀπάται, ψευδορκίαι, ψιθυρισμοὶ, φυσιώσεις, ἔριδες, ζῆλοι, καὶ ὅσα τούτοις ἀγχοῦ τε καὶ ἀδελφὰ, καὶ ἰσομοιροῦσαν ἔχει τὴν ἐπὶ φαυλότητα καταβοήν. Ἔοικε τοίνυν ὁ νόμος ἡμῖν ἐν τούτοις ψυχικῶν τάχα που διαμεμνῆσθαι παθῶν, καὶ ὅσα συμβαίνειν ἔθος κατὰ νοῦν ἀῤῥωστήματα, ταῦτα βούλεσθαι δηλοῦν· ἡ κεφαλή τε γὰρ, νοῦ τύπος· καὶ μὴν καὶ πώγων, διανοίας ἔμφρονος. Τελειότητος γὰρ καὶ αὐτὸ σημεῖον. Ἐποπτεύει τοίνυν τὰ καθ' ἡμᾶς καὶ περιεργάζεται λεπτῶς ὁ πάντων ἀρχιερεὺς, τουτέστι Χριστὸς, καὶ εἰς αὐτὸν ἐμβλέψεται τὸν νοῦν, καὶ τὰ ἔσω τε, καὶ κεκρυμμένας δοκιμάσει φρένας· κἂν εἰ μέν τις γένοιτο καταφθορά τε καὶ μεταποίησις, ἢ ἀπό γε τοῦ πιστεύειν ὀρθῶς ἐπὶ τὸ μὴ οὕτως ἔχον, ἤγουν εἰς ἠθῶν φαυλότητα καὶ κακοβουλίαν τὴν αὐ 68.992 τῷ μάλιστα κατεστυγημένην, ἀποσοβήσει δὴ πάλιν. ὡς μεμολυσμένους, καὶ τὴν εἰσάπαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταμιαίνουσαν ἐποίσει ψῆφον. Τοῦτο εἶναί φημι, τὸ παθεῖν τὴν λέπραν εἰς κεφαλὴν, ἢ πώγωνα. Εἰ δὲ δὴ γένοιτο μὲν ὡς ἐν ἀρχαῖς τοῦ παθεῖν ὁ νοῦς, οὐ μὴν ἀπονενευκὼς ὁρῷτο παντελῶς, εἰς τὸ νοσεῖν ἅπερ ἔφην, ἀφορίζεται μὲν συμμέτροις ἐπιτιμήσεσιν ὑπενηνεγμένος, ἔσται δὲ οὐχὶ παντελῶς ἀκάθαρτος, οὔτε μὴν ἀλλότριος Θεοῦ, πλυνάμενος δὲ τὰ ἱμάτια, καθαρὸς ἔσται, τουτέστι, δέξεται πρὸς ἐπικουρίαν, τὴν ἐν Χριστῷ δικαίωσιν. Ἡ δέ γε τῶν τριχῶν ξύρησις, παρατιθεῖσα τῷ ἱερεῖ τὸ τραῦμα γυμνὸν, ὑποσημήνειεν ἂν τὸ οἱονεὶ πάντα ἐκ μέσου χωρεῖν, καὶ γυμνὴν καὶ ἀπαραπόδιστον τοῖς τῆς θεότητος ὀφθαλμοῖς, τὴν ᾧ ἂν βούλοιτο καθορᾷν παρακεῖσθαι θέαν. «Οὐ γάρ ἐστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ,» κατὰ τὸ γεγραμμένον. {ΠΑΛΛ.} Ἀληθές. Ἔφη γάρ που διὰ φωνῆς ἁγίου· «Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν, μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;» {ΚΥΡ.} Ἄθρει δὴ, ὦ Παλλάδιε, πολὺ δὴ μᾶλλον ἰσχνολογοῦντα τὸν νόμον· καὶ τῶν ἀναγκαίων εἰς εἴδησιν μεθέντα μηδὲν, ὃ μὴ τοῖς ἰδίοις κανόσιν ὑποτιθεὶς, ὀνίνησι τοὺς ἀκροωμένους. «Παραπτώματα μὲν γὰρ οὐδεὶς συνήσει,» κατὰ τὸ γεγραμμένον, «πολλὰ δὲ πταίομεν ἅπαντες.» Νοσεῖ γὰρ ἡ φύσις τὸ ἄναλκι, καὶ τὸ εὐόλισθον εἰς τὸ πλημμελές· καὶ, «Καθαρὸς οὐδεὶς ἀπὸ ῥύπου, καὶ,» καθὰ Γράμμα φησὶν ἱερὸν, «οὐδ' ἂν μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς.» Ταύτῃτοι καὶ ὁ θεσπέσιος ἡμῖν ἀναμέλπει Δαβίδ· «Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.» Ὅρα τοίνυν τὸν νόμον ἀνέντα χρηστῶς τῶν τοιούτων παραπτωμάτων ἡμῖν τὴν γραφὴν, καὶ ἐξ ἡμερότητος καθαρίζοντα τοὺς ἐξ ὀλισθήματος ἀνθρωπίνου πικροῖς μονονουχὶ καὶ ἀνεθελήτοις ὑπενηνεγμένους πταίσμασιν. Ἔφη γὰρ ὧδε· «Καὶ ἀνδρὶ ἢ γυναικὶ ἐὰν γένηται ἐν δέρματι σαρκὸς αὐτοῦ αὐγάσματα αὐγάζοντα λευκανθίζοντα, καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδοὺ ἐν δέρματι τῆς σαρκὸς αὐτοῦ αὐγάσματα αὐγάζοντα λευκανθίζοντα, ἀλφός ἐστιν, ἐξανθήσει ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτοῦ, καθαρός ἐστι.» Καίτοι τῆς ἀκριβείας ἐρευνωμένης, πάθος ἂν εἴη σαρκὸς, καὶ λέπρας ἀγχοῦ, τὸ παθεῖν ἀλφόν. Ἀλλ' οὐ νοσεῖ τὴν νέκρωσιν, οὔτε μὴν τὸ ἄγαν ἀπεγνωσμένον. Τοιαῦτα δέ πώς ἐστι καὶ τὰ ἐν ἡμῖν παραπτώματα, πάθη μὲν οὖν ὁμολογουμένως, πλὴν, οὐκ εἰς θάνατον καὶ ψυχῆς καταφθοράν. Ἀκριβολογεῖται δὲ οὐ λίαν ὁ κριτὴς, ὅτι «Αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν,» καὶ τὸ τῆς ἡμετέρας φύσεως οὐκ ἠγνόησεν ἀσθενές. Κατανεύει δὴ οὖν τὴν ἄφεσιν ἐξ ἐμφύτου φιλανθρωπίας. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ, Ἀλφὸς καθαρός ἐστιν. Ἀλλὰ καὶ εἰς νοῦν ἔσθ' ὅτε συμβαίνει καὶ τοῖς ἀγαθοῖς τὰ σμικρὰ τῶν αἰτιαμάτων, οἷον φέρε εἰπεῖν, παροξυσμοὶ βραχεῖς, σύμμετροι κινήσεις αἱ πρὸς ὀργὰς, ὀλιγοψυχίαι πρὸς ἀδελφοὺς, καὶ κενῶν ἔσθ' ὅτε δοξα 68.993 ρίων ἔφεσις, καὶ τὰ τοιάδε τῶν παθῶν, καὶ αὐτοῖς ἔσθ' ὅτε τοῖς ἀδιάβλητον ἔχουσι τὴν ζωὴν, καὶ καθαροῖς ἀληθῶς, συμβαίνειν ἔθος. Ἀνθρώπινα γὰρ, καὶ οἱονείπως πᾶσι κοινὰ, τοῖς τὸν ἐν σαρκὶ καὶ αἵματι διαζῶσι βίον. Ὑπογράφει δὴ οὖν ὁ νόμος καὶ ταυτὶ πάλιν αἰνιγματωδῶς, οὕτω τέ φησιν· «Ἐὰν δέ τινι μαδίσῃ ἡ κεφαλὴ αὐτοῦ, φαλακρός ἐστι, καθαρός ἐστιν. Ἐὰν δὲ κατὰ πρόσωπον μαδίσῃ ἡ κεφαλὴ αὐτοῦ, ἀναφάλαντός ἐστι, καθαρός ἐστιν.» Ἡ τριχῶν ἀνεθέλητος ἀποβολὴ, κεφαλῆς ἂν εἴη πάθος, νοῦ δὲ εἰς τύπον ὠνομάσθαι τὴν κεφαλὴν, ἀρτίως ἐλέγομεν· νοῦ γὰρ ἐνδιαίτημα κεφαλὴ, κατά γε τό τισι δοκοῦν. {ΠΑΛΛ.} Μεμνήσομαι. {ΚΥΡ.} Οὐκοῦν τὰ κεφαλῆς πάθη σωματικῆς, ἐμφαίνειν ἂν εἰκότως τὰ εἰς νοῦν ἀῤῥωστήματα, σμικρὰ δὲ δὴ πάλιν, καὶ τὰ οἷς ἂν ἕποιτο ἀνεῖσθαι πρέπειν. Ἀπαλλάττει δὴ οὖν ὁ νόμος παντὸς ἡμᾶς ἀνθρωπίνου πάθους, καὶ μολυσμῶν ἀνεθελήτων, οἵπερ ἂν ἡμῖν ἐπισυμβαίνοιεν, ἐπεί τοι τὸ ἄναλκι νοσεῖν ἀνάγκη τῇ φύσει, καὶ ἀπηλλάχθαι παθῶν εἰσάπαν οὐ τοῦ παρόντος καιροῦ, πρέποι δ' ἂν αἰῶνι τῷ μέλλοντι, καθ' ὃν ἐκ βάθρων ἡ ἁμαρτία κατασεισθήσεται, καὶ εἰς ἀλώβητον παντελῶς μεταχωρήσομεν βίον. «Πλὴν εἰ γένοιτο,» φησὶν, «οὐλὴ σημασίας πυῤῥίζουσα ἐν τῷ φαλακρώματι, ἢ ἐν τῷ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναφαλαντώματι, λεπρός ἐστι, καὶ μιαρὸς ἔσται.» Μετατρέχει γὰρ ἔσθ' ὅτε καὶ τὰ σμικρὰ τῶν παθῶν εἰς ἐγκλημάτων δύναμιν, καὶ καταμιαίνει δεινῶς μὴ ἀνακοπτόμενα πρὸς ἡμῶν, ἀνειμένην δὲ ὥσπερ καὶ ἀνεπίπληκτον παντελῶς τὴν εἴς γε τὰ χείρω λαχόντα πάροδον, οἷόν τί φημι· ὀργίζεταί τις ἔσθ' ὅτε μικρὰ, καὶ ἠῤῥώστηκεν ἐν ἀνθρώπῳ τὸ πάθος, ἀνακοπτέσθω ταῖς ἐπιεικείαις, ἵνα μὴ τοῦ μικροῦ παραπτώματος εἰς αὔξην ἰόντος, κατὰ βραχὺ γραφὴ πρὸς θάνατον τοῖς παθοῦσιν εὑρίσκηται. Τοῦτό ἐστι τὸ ἐν φαλακρώματι τυχὸν ἐξανθῆσαι λέπραν, τὴν ἐκ τοῦ μηδενὸς ἐπὶ τὰ χείρω ῥοπὴν, ὡς ἐν τύπῳ συμβαίνουσαν. Ὀρθῶς δὴ οὖν εἰρήσθω φημὶ τῷ μακαρίῳ Δαβὶδ τὸ, «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε.» {ΠΑΛΛ.} Ὡς βαθὺς ὁ λόγος. {ΚΥΡ.} Πάνυ μὲν οὖν. Ὑπαισθάνῃ γάρ με, καθάπερ ἐγῷμαι, λεπτοεποῦντα λίαν, καὶ ἀνιδρωτὶ τὰ τοιαῦτα τῶν θεωρημάτων ἢ νοεῖν ἢ φράζειν οὐκ ἔχοντα. Ὅτι δὲ οὐκ ἔνεστι τοὺς τὰ ἐκφανῆ τῶν πλημμελημάτων ἀνοσίως ἠῤῥωστηκότας δύνασθαι λαθεῖν, ἀγνοουμένων ἔσθ' ὅτε τῶν ἐλαχίστων, καὶ κεκρυμμένων, κἀντεῦθεν εἴσῃ τοι. Τοὺς μέν τοι φαλάκρωμα πεπονθότας, καθαροὺς εἶναι, φησὶν, ἀναμνήσει, καλῶς ἡμῖν ἀνιεὶς τὰ τῶν πταισμάτων μικρὰ, καθάπερ ἐλέγομεν ἀρτίως. Ἀλλ' εἰ γένοιτό τισιν ἐν φαλακρώματι λέπρα, τουτέστιν, ὅταν ἐκ μικρῶν ἐπὶ τὰ χείρω φέρηται τὸ πάθος, τότε δὴ, τότε καταφανῆ καὶ ἀσχήμονα γενέσθαι λέγει, καὶ λόγον οὐκ ἔχοντα τὸν τοῖς ἐγκλήμασι συνειπεῖν 68.996 δυνάμενον Διὰ τοῦτό φησι· «Καὶ ὁ λεπρὸς, ἐν ᾧ ἐστιν ἡ ἁφὴ, τὰ ἱμάτια αὐτοῦ ἔστω παραλελυμένα καὶ ἡ κεφαλὴ αὐτοῦ ἀκατακάλυπτος, καὶ περὶ τὸ στόμα αὐτοῦ περιβαλέσθω, καὶ ἀκάθαρτος κεκλήσεται πάσας τὰς ἡμέρας, ὅσας ἐὰν ᾖ ἐπ' αὐτοῦ ἡ ἁφὴ, ἀκάθαρτος ὢν ἀκάθαρτος ἔσται, κεχωρισμένος καθήσεται, ἔξω τῆς παρεμβολῆς αὐτοῦ ἔσται ἡ διατριβή.» Τὸ μὲν γὰρ παραλελύσθαι τὰ ἱμάτια, καὶ ἀκατακάλυπτον εἶναι τὴν κεφαλὴν, ὑπεμφήνειεν ἂν καὶ μάλα σαφῶς. τὸ ἀκρύπτως ἀσχημονεῖν. Τὸ δέ γε περιβεβλῆσθαι περὶ τὸ στόμα, τὸ, οἱονείπως ἀπολογίαν οὐκ ἔχειν, καὶ εἰπεῖν δύνασθαι μηδὲν, ἐγκαλοῦντος Θεοῦ τὴν ἀκαθαρσίαν. Τὸ δέ γε τῆς παρεμβολῆς ἐξοίχεσθαι δεῖν, τύπος ἂν εἴη πάλιν, τοῦ μηκέτι τοῖς τῶν ἁγίων αὐτὸν συναυλίζεσθαι χοροῖς, πληθύος δὲ ὥσπερ τῆς ἱερᾶς ἐξωστρακισμένον, ἀμέτοχον ἔσεσθαι παντὸς ἀγαθοῦ. {ΠΑΛΛ.} Ὡς δεινὸν τὸ χρῆμα καὶ ἀπευκτόν. {ΚΥΡ.} Παντάπασι μὲν οὖν, ὦ Παλλάδιε, τοιγάρτοι καὶ ἔφασκεν ὁ θεῖος ἡμῖν Δαβίδ· «Ἁμαρτίας νεότητος μου, καὶ ἀγνοίας μου, μὴ μνησθῇς, κατὰ τὸ ἔλεός σου μνήσθητί μου, ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.» Διὰ πάντων δὲ ὥσπερ ἱεὶς ὁ νόμος, τῆς ἐνούσης ἀκριβείας αὐτῷ τὴν ἔνδειξιν, καὶ μέχρι σκευῶν, ἐρίου δὴ λέγω, καὶ κρόκης, καὶ στήμονος, καὶ δερματίνου σκεύους· «Εἰ λέπρα γένοιτο,» φησὶν, «καὶ τούτων ἑνὶ συμβαίνοι τὸ πάθος, καταθρείτω πάλιν ὁ ἱερεὺς, καὶ ἀφοριζέτω τὴν ἁφήν· καὶ εἰ μή τις γένοιτο μεταδρομὴ τῆς σημασίας ἐπὶ τὸ ἄμεινον, δαπανάσθω πυρί.» Λέπρα γὰρ ἔμμονός ἐστι, φησί. Πλὴν, ἀποπλύνεσθαι δεῖν ἐπιτάττει τὸ πεπονθός· καὶ εἰ μετὰ τοῦτο φαίνοιτο τὸ πάθος ἐμπεφυκὸς, πυρὶ δίδωσι λοιπὸν, ὡς ἀχρεῖον παντελῶς, ἐρίῳ που πάλιν τάχα καὶ κρόκῃ, στήμονί τε καὶ δέρμασι παρεικάζων τὰ καθ' ἡμᾶς. Ὅτι γὰρ ἐρίων ἢ κρόκης, ἤγουν τῶν ἑτέρων, οὐδεὶς ἂν γένοιτο παρὰ Θεῷ λόγος, πῶς ἂν ἢ πόθεν ἐνδοιάσειέ τις; Παγχάλεπον οὖν ἐγκλημάτων εἶναι δώσομεν, τὸ μετὰ κάθαρσιν καὶ ἀπόνιψιν, ἣν ἂν ὁ Χριστὸς ἐν ἡμῖν ἐργάσαιτο, μὴ ἀποφέρεσθαι μολυσμῶν, ἀλλὰ ἔμμονον εἰς αὐτοὺς ποιεῖσθαι τὴν στάσιν. Εἰ γὰρ μηδὲν ὀνίνησιν ἀπονίζων ἡμᾶς ὁ Χριστὸς, πυρὶ παραδίδωσι κολασθησομένους, καθάπερ ἀμέλει καὶ ὁ κατὰ νόμον ἱερεὺς, οὐδὲν ὠφελήσας τὴν κρόκην, ἤτοι τὸν στήμονα, διὰ τῆς ἐκπλύσεως, κατεπίμπρα λοιπόν. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Λέπραν δὴ οὖν ὁ νόμος, τὴν ὡς ἐν ἔργοις νέκρωσιν ὑποφαίνει καλῶς, ἀφ' ὧν ἄν τις ἴδοι σαφῶς τε καὶ αἰσθητῶς τὰς τῶν ἀφανεστέρων ἐννοίας ἀνακομίζων ἀστείως, καὶ σαρκικοῖς παραδείγμασι καταλευκαίνων τὰ νοητά. Πλουσίαν δὲ ὥσπερ ἡμῖν τῶν ἐν ψυχαῖς μολυσμῶν παρατιθεὶς τὴν γνῶσιν, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθιστὰς ἐναργῆ, καθάπερ ἐν ἀῤῥωστήμασι σώματος τὰ νοητῶς συμβαίνοντα, προσεφώνει πάλιν ἐν τῷ Λευϊτικῷ· «Ἀνδρὶ, ἀνδρὶ, ᾧ ἂν γένηται ῥύσις ἐκ τοῦ σώματος αὐτοῦ, ἡ ῥύσις αὐτοῦ ἀκάθαρτός ἐστι. 68.997 Καὶ οὗτος ὁ νόμος τῆς ἀκαθαρσίας αὐτοῦ, ῥέων γόνον ἐκ σώματος αὐτοῦ, ἐκ τῆς ῥύσεως ἧς συνέστηκε τὸ σῶμα αὐτοῦ, διὰ τῆς ῥύσεως, αὕτη ἡ ἀκαθαρσία αὐτοῦ ἐν αὐτῷ, πᾶσαι αἱ ἡμέραι ῥύσεως σώματος αὐτοῦ ᾗ συνέστηκε τὸ σῶμα αὐτοῦ διὰ τῆς ῥύσεως, ἀκαθαρσία αὐτοῦ ἐστι. Πᾶσα κοίτη ἐφ' ἧς ἂν κοιμηθῇ ἐπ' αὐτῆς ὁ γονοῤῥυὴς, ἀκάθαρτός ἐστι, καὶ πᾶν σκεῦος ἐφ' ὃ ἂν καθίσῃ ἐπ' αὐτὸ ὁ γονοῤῥυὴς, ἀκάθαρτον ἔσται. Καὶ ἄνθρωπος, ὃς ἐὰν ἅψηται τῆς κοίτης αὐτοῦ, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. Καὶ ὁ καθήμενος ἐπὶ τοῦ σκεύους, ἐφ' ὃ ἂν καθίσῃ ὁ γονοῤῥυὴς, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. Καὶ ὁ ἁπτόμενος τοῦ χρωτὸς τοῦ γονοῤῥυοῦς, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. Ἐὰν δὲ προσεγγίσῃ ὁ γονοῤῥυὴς ἐπὶ τὸν καθαρὸν, πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.» Καὶ πρός γε δὴ τούτοις φησὶ βδελυρὸν ἔσεσθαι καὶ ἀπηχθημένον πᾶν σκεῦος ᾧπερ ἂν ἐνιζήσειεν ὁ γονοῤῥυὴς, κἂν εἰ ἀπονίψαιτο τὰς χεῖρας ὕδατι, καὶ τοῦτο ἔσται μεμολυσμένον. Κἂν εἰ ἅψαιτό τις τοῦ χρωτὸς αὐτοῦ, συμμεθέξει πάντως τῆς ἀκαθαρσίας τὴν γραφὴν, κἂν εἰ προσεγγίσειέ τις τῶν οὔπω μεμολυσμένων, ὑπομενοῦσι δὴ πάντως τῆς ἀκαθαρσίας τὴν γραφήν. Τοιγάρτοι καὶ ἀναμὶξ τοῖς λεπροῖς ἐξέθη τε καὶ ἐξῳκίζετο τῆς παρεμβολῆς, ἀπρόσιτος ὢν καὶ ἄμικτος καὶ αὐτῇ καταμιαίνων τῇ χειρὸς ἁφῇ τοὺς προστυγχάνοντας ἁπλῶς. {ΠΑΛΛ.} Καὶ ποῖον ἂν εἴη τὸ ἐν ψυχῇ πάθος, τῇ σωματικῇ γονοῤῥοίᾳ προσεοικός; Πνευματικὸς γὰρ ὁ νόμος· ἢ οὐχ ὧδε ἔχει; {ΚΥΡ.} Πάνυ μὲν οὖν· ἔφης γὰρ ὀρθῶς. Πλὴν ἐκεῖνο διανοοῦ, ἡ τοῦ σώματος ῥύσις, τὴν τῆς φύσεως ἐπιτηδειότητα πρὸς καρπογονίαν ἀδικεῖ τρόπον τινὰ, καθιεῖσα πρὸς τὸ μηδὲν τῶν σπερμάτων τὰς χορηγίας, καὶ τοὺς ἐν τοῖς μορίοις χαλῶσα τόνους, ἀνεθέλητον ἤδη πως ἐργάζεται τὴν καταφθορὰν, ὡς ἐν μολυσμοῖς εἶναι μακροῖς καὶ διηνεκέσι τοὺς τῷ πάθει κατειλημμένους. Ἴσθι δὴ οὖν ὡς ἐξ ἀῤῥωστίας σωματικῆς καὶ ἐναργοῦς, εἰκόνος ἐπὶ τὰ εἰς νοῦν συμβαίνοντα· καταφθείρεται γὰρ καὶ αὐτὸς ἐφ' ἃ μὴ προσῆκεν ὁ νοῦς ἀσωτότατα διαπονούμενος, καὶ ἐπ' οὐδενὶ τῶν ἀναγκαίων τῆς ἰδίας ἐνεργείας ἐνιεὶς τὸ σπούδασμα, ὡς καρπὸν μὲν οὐδένα γνήσιον ἔχειν, ὑποφέρεσθαι δὲ ἀεί πως πρὸς τὸ ἀδικοῦν, καὶ ἀκαθέκτως νοσεῖν τὴν εἰς τὰ αἰσχίω κάθοδον. {ΠΑΛΛ.} Οἷον δὴ τί φῄς; {ΚΥΡ.} Οὐ γὰρ, ὦ φιλότης, ἐκτίσθαι τὸν ἄνθρωπον ἐπὶ ἔργοις ἀγαθοῖς ὁ θεῖος ἡμῖν ἔφη Παῦλος; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Φύσιν οὖν ἄρα διεκληρώσατο πρὸς πᾶν ὁτιοῦν τῶν ἐπαινουμένων ὀρθῶς ἔχουσαν καὶ ἐπιτηδείως· ἢ γὰρ, οὐχὶ σοφίας μὲν δεκτικὸν, καὶ ἁπάσης ἐπιστήμης τὸ ζῶον εἶναι φῄς; Σωφροσύνην δὲ καὶ ἀνδρίαν, καὶ μὴν καὶ δικαιοσύνην κατορθώσειεν ἂν εὐκόλως, εἰ διαπεραίνειν ἕλοιτο τὰ εἰκότα καὶ τοῖς θείοις ἕπεσθαι νόμοις; 68.1000 {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Εἰ δὲ τὰ τοιάδε μεθεὶς, σοφὸς μὲν οὐκέτι, μωρὸς δ' ἂν γένοιτο καὶ ἀκάρδιος, οὐ τοῖς εἰς ἀλήθειαν παιδαγωγεῖν εἰωθόσι τῶν οἰκείων θελημάτων ἐπιδοὺς τὴν ῥοπὴν, ἐκτετιμηκὼς δὲ μᾶλλον τὸ ἔξω φέρεσθαι τοῦ εἰκότος, καὶ τοῖς τὰ ὀρθὰ διαστρέφειν μεμελετηκόσι συγκαταθρώσκειν πρὸς ὄλεθρον, οὔτε τὴν ἀρίστην καὶ ἀμωμήτως ἔχουσαν περὶ Θεοῦ δόξαν ἔχων, οὔτε μὴν ἀδιαβλήτως τὴν τῶν πρακτέων διάττων ὁδὸν, ἆρ' οὐκ ἀτρεκὲς ἤδη πως γονοῤῥυᾶ νοητῶς τὸν τοιόνδε λέγειν, ὡς τὰ δι' ὧν ἦν εἰκὸς καρποφορεῖν δύνασθαι τῷ Θεῷ, δαπανῶντα πρὸς τὸ μηδέν; {ΠΑΛΛ.} Φαίην ἂν, ἴσθι τοι. {ΚΥΡ.} Τί δὲ, εἰ τὸ ἐργάζεσθαι τὴν δικαιοσύνην ἀφεὶς, καὶ τοῖς τῆς ἀνδρείας ἐναβρύνεσθαι καλοῖς, ἄδικός τε καὶ παρειμένος εἰς ἡδονὰς ὁρῷτο δὴ πάλιν, ἆρ' οὐκ ἂν οἰήσῃ τῷ γονοῤῥυεῖ τὰ ἴσα νοσεῖν, τὴν ἐπιτηδειότητα τῆς φύσεως, ἣν ἂν ἔχοι πρὸς τὸ ἀγαθὸν, δαπανῶντα πρὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ αἰσχίω, καὶ πνευματικῆς εὐκαρπίας τὴν ἐπ' οὐδενὶ τῶν χρησίμων ζημίαν ἀνθηρημένον; {ΠΑΛΛ.} Οἰηθείην ἄν. {ΚΥΡ.} Ἰέναι δὴ οὖν ὁ νόμος ἀπωτάτω προστέταχε τοῦ γονοῤῥυοῦς, ὡς ἀποφοιτᾷν ὅτι μάλιστα διδάσκων ἡμᾶς τῶν εἰς φαυλότητα νενευκότων, καὶ ἀποσείεσθαι γεννικῶς οὓς ἂν καὶ αὐτὸς καταμυσάττοιτο Θεὸς, ὡς διηνεκῆ νοσοῦντας τὸν μολυσμόν. Χρῆμα γὰρ ἀληθῶς οὐκ ἀζήμιον τὸ κολλᾶσθαι πονηροῖς. Ἀτρεκὲς γὰρ ὅτι, κατὰ τὸ γεγραμμένον· «Ὁ ἁπτόμενος πίσσης, μολυνθήσεται.» Καταμιαίνει γε μὴν πᾶν σκεῦος, οὗπερ ἂν ἅπτοιτο τυχὸν ὁ γονοῤῥυὴς, καὶ κοίτην αὐτοῦ, καὶ χρῶτα καὶ ἀγγεῖα, καὶ ὕδωρ καὶ σκεύη ξύλινα· δι' αἰνιγμάτων ὑποδηλῶν, ὅτι τῆς ἐνούσης ἀκαθαρσίας αὐτῷ μετάσχοι τις ἂν, κἂν εἰ μόνον ἀγχοῦ κατὰ διάθεσιν γένοιτο τὴν πνευματικήν. Γέγραπται γὰρ, ὅτι «Σεαυτὸν ἁγνὸν τήρει, καὶ μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις.» Πλὴν, καὶ τὰ τῶν παθῶν ἀπεγνωσμένα, καὶ τὰ ἐν τῷ βάθει κεκρυμμένα τῶν ἡμετέρων διανοιῶν ἀῤῥωστήματα, καὶ πᾶσαν ἁπλῶς τὴν ἐν ἡμῖν μαλακίαν, ἐξίστησιν ὁ Χριστὸς, καὶ ἡ δι' αὐτοῦ κάθαρσις, οὐχ οἵουτε ὄντος τοῦ νόμου τοῦτο δρᾷν. «Δικαιοῦται γὰρ οὐδεὶς ἐν νόμῳ,» κατὰ τὸ γεγραμμένον, ἴδοις δ' ὅτι καὶ τοῦτό ἐστιν οὐ διεψευσμένον τοῖς ἐφεξῆς γεγραμμένοις προσβάλλων· ἔφη γὰρ πάλιν· «Ἐὰν δὲ καθαρισθῇ ὁ γονοῤῥυὴς ἐκ τῆς ῥύσεως αὐτοῦ, καὶ ἐξαριθμήσεται αὐτῷ ἑπτὰ ἡμέρας εἰς τὸν καθαρισμὸν αὐτοῦ, καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα ὕδατι, καὶ καθαρὸς ἔσται. Καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται ἑαυτῷ δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν, καὶ οἴσει αὐτὰ ἔναντι Κυρίου ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ δώσει αὐτὰ τῷ ἱερεῖ, καὶ ποιήσει αὐτὰ ὁ ἱερεὺς, μίαν περὶ ἁμαρτίας, καὶ μίαν εἰς ὁλοκαύτωμα, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι Κυρίου ἀπὸ τῆς ῥύσεως αὐτοῦ.» Καθαίρει μὲν οὖν τὸν γονοῤῥυᾶ, καὶ ἀπαλλάττει τοῦ πάθους, 68.1001 πλὴν ἐν Χριστῷ, δι' ὕδατός τε καὶ αἵματος. Ἐξαριθμήσεται γὰρ ἑαυτῷ, φησὶν, ἑπτὰ ἡμέρας εἰς τὸν καθαρισμὸν αὐτοῦ, καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ καθαρὸς ἔσται. Καὶ τὸ μὲν εἰς ἑβδόμην ἡμέραν παρατείνεσθαι τὸν καθαρισμὸν, σημαίνει που πάντως, τὸ διὰ παντὸς τοῦ βίου, καὶ ἐν παντὶ τῷ τῆς ζωῆς χρόνῳ διασμήχεσθαι δεῖν ταῖς ἐπιεικείαις τοὺς ἐκ φαυλότητος κοσμικῆς μεταφοιτᾷν ἑλομένους ἐπὶ τὸ δρᾷν ἑλέσθαι τὰ πρεπωδέστερα. Τοιγάρτοι τῆς ἑβδομάδος μέτρον χρόνου πλήρωσιν ἔχει καὶ ἀνακύκλησιν εἰς τὸ ἀπ' ἀρχῆς, ὡς εἰς πέρας ἤδη καταίροντος τοῦ καιροῦ. Προσιέναι δὲ δεῖν καὶ ἀναγκαίως ἐπάγεσθαι ταῖς πρὸς ἡμῶν ἐπιεικείαις εὖ μάλα φησὶ, τὴν διὰ Χριστοῦ κάθαρσιν, καὶ τὸν δι' ὕδατος ἁγνισμὸν, ὡς ἐν ἀπονίψει σώματός τε καὶ ἱματίων νοουμένου λοιπὸν τοῦ ἁγίου βαπτίσματος, συνθέοντος δηλονότι καὶ τοῦ δι' αἵματος ἁγνισμοῦ. «Τῇ γὰρ ἡμέρᾳ, φησὶ, τῇ ὀγδόῃ, λήψεται ἑαυτῷ δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν.» Κατασημήνειε δ' ἂν ἡ ἡμέρα πάλιν ὀγδόη τῆς μετὰ σαρκὸς οἰκονομίας ἡμῖν τὸν καιρὸν, ὅτε τὴν ὑπὲρ ἡμῶν ὑπέμεινε σφαγὴν ὁ Ἐμμανουὴλ, ἡ εὔγλωττος ἀληθῶς καὶ εὐηχεστάτη τρυγὼν, ἣ καὶ τῷ αἵματι τῷ ἰδίῳ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. Ὅτι δὲ τὸ εὐῶδες ἅπαν ὁ Χριστοῦ θάνατος ἔχει (πέπρακται γὰρ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, καὶ εἰς ἀναίρεσιν ἁμαρτίας), ἐμφήνειεν ἂν τὸ δύο μὲν εἶναι τὰς τρυγόνας, καταθύεσθαι δὲ μίαν μὲν ὑπὲρ ἁμαρτίας, εἰς ὁλοκαύτωμα δὲ τὴν ἑτέραν· ὅτι δὲ καὶ ἱλασμὸς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν γέγονεν ὁ Χριστὸς, κατὰ τὰς Γραφὰς, παρέδειξεν εἰπών· «Καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι Κυρίου ἀπὸ τῆς ῥύσεως αὐτοῦ.» {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ὧδε μὲν οὖν τὸν γονοῤῥυῆ διακαθαίρεσθαι δεῖν, ὁ θεῖος ἡμῖν κατεχρησμῴδησε νόμος. Καταμιαίνει δὲ αὐτὸν, ᾧπερ ἂν γένοιτο καὶ ἀνεθέλητος ῥύσις, ἤγουν θελητὴ, καὶ πηγὴν ἔχουσα τὴν ἔμφυτον κίνησιν. Καὶ θελητὴ μὲν, ὡς ἐν ὁμιλίαις ταῖς πρὸς γυναῖκα, φημὶ, καὶ κατὰ νόμον τοῦ γάμου· ἀνεθέλητος δὲ αὖ, ὡς ἐν φαντασίαις τάχα που νυκτεριναῖς. Ἔφη γὰρ πάλιν ὡδί· «Καὶ ἄνθρωπος, ᾧ ἂν ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος, καὶ λούσεται πᾶν τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. Καὶ γυνὴ, ᾗ ἐὰν κοιμηθῇ ἀνὴρ μετ' αὐτῆς κοίτην σπέρματος, καὶ λούσονται τὰ σώματα ὕδατι, καὶ ἀκάθαρτοι ἔσονται ἕως ἑσπέρας.» Ἴσα γὰρ ἐπ' ἀμφοῖν τὰ ἐγκλήματα, καὶ τὸ παραλλάττον οὐδέν. Ἐν μὲν οὖν τῇ γονοῤῥοίᾳ, τὸ οἱονεὶ μακρόν πως ἡμῖν καὶ διηνεκὲς ἐγράφετο πάθος· ἐν δὲ τῷ προκειμένῳ, καταδηλοῦν ἔοικεν ὁ τοῦ νόμου σκοπὸς, ὡς ἔσται μεμολυσμένος καὶ εἰ μή τις τυχὸν τὴν εἰσάπαν καὶ ὁλόκληρον ἀῤῥωστοίη καταφθορὰν, ὁρῷτο δὲ πεπονθὼς, κἂν γοῦν ἐκ μέρους καὶ σπανιάκις. Τοιοῦτόν τι καὶ ὁ τοῦ Σωτῆρος ὑπέφηνε μαθητής· «Ὅταν γὰρ, φησὶν, ὅλον τὸν νόμον τελέσῃ τις, πταίσῃ δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος. Ὁ γὰρ εἰπὼν, Μὴ μοιχεύσῃς, εἶπε καὶ, Μὴ φονεύσῃς. Εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις 68.1004 δὲ, γέγονας παραβάτης νόμου.» Πεπλημμεληκότι γὰρ ἅπαξ, ἤγουν ὅτι παρανενόμηκεν ὅλως, κἂν γοῦν ἐφ' ἑνὶ καὶ ἐκ μέρους, ἕψεταί που πάντως αὐτῷ τὸ ἐγκαλεῖσθαι δεῖν. Μιαρὸς οὖν ἄρα κατὰ τὸν νόμον, κἂν εἰ μή τις ἴοι πρὸς ἔσχατον μολυσμοῦ, καταφωρῷτο δὲ πεπονθὼς κἂν γοῦν ἐκ μέρους αὐτόν. Πλὴν, οὐκ ἀπόβλητος παντελῶς, καθαίρεται δὲ καὶ αὐτὸς δι' ὕδατος ἐν Χριστῷ. Τοιγάρτοι τῆς ἐπιδημίας καιρὸν, ὑπεμφήνειεν ἂν εὖ μάλα, τὸ μέχρις ἑσπέρας ἀκάθαρτον εἶναι λέγειν τὸν μεμολυσμένον. Ἐπὶ συντελείᾳ γὰρ, μόνον δὲ οὐχὶ καὶ ἐπ' αὐταῖς ἥκοντος ἤδη δυσμαῖς τοῦ αἰῶνος τούτου, παραγέγονεν ὁ Χριστὸς, δι' οὗ καὶ ἐν ᾧ πάντα μὲν ῥύπον ἐκνενίμμεθα τὸν ἐξ ἁμαρτίας, ἀπηλλάγμεθα δὲ μικρῶν καὶ μεγάλων αἰτιαμάτων οἱ ταῖς πλημμελείαις ἐνισχημένοι. Ὅτι δὲ πρὸ τῶν τῆς ἐπιδημίας καιρῶν οὐκ ἦν ἀπονίψασθαι μολυσμὸν (ἐδικαιοῦτο γὰρ οὐδεὶς ἐν νόμῳ, κατὰ τὰς Γραφὰς), ἀναμάθοις ἂν διὰ τοῦ φάναι σαφῶς, ὅτι «Ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.» {ΠΑΛΛ.} Συνίημι ὃ φὴς, καὶ ἀληθὴς ὁ λόγος. {ΚΥΡ.} Προσεπάγει δὲ τούτοις ὁ νόμος τὰ περὶ γυναικὸς, τῆς ῥεούσης αἵματι, καὶ ἀσχέτῳ καταφορᾷ τὸ καταμιαίνεσθαι δεῖν νοσούσης ἐφ' ἑαυτῇ· καὶ ὥσπερ ἐπὶ τοῦ γονοῤῥυοῦς πᾶν σκεῦος κατεμολύνετο, καὶ κοίτη πᾶσα, καὶ πᾶν ἱμάτιον, καὶ πᾶς ὁ ἁπτόμενος ἀγχοῦ τε ἰών· οὕτω καὶ ἐπ' αὐτῆς. Ἀπαλλάττει δὲ καὶ αὐτὴν κατὰ τὸν ἴσον ἐκείνῳ τρόπον, ὕδατι διανίζων, καὶ τρυγόνων καταθυομένων, καὶ μέντοι καὶ ἱλασμοῦ τοῦ μεσιτεύοντος ἱερέως. Ἀνακομίζων δὲ ὥσπερ εἰς ἐννοίας ἡμᾶς τὰς πνευματικὰς ὁ νόμος, καὶ τοῖς τῆς σαρκὸς ἀῤῥωστήμασιν ἐμφιλοχωρεῖν οὐκ ἐῶν (παρελήφθη γὰρ εἰς τύπον τῶν εἰς νοῦν ἔσω καὶ νοητῶν), ἐπάγει σαφῶς· «Καὶ εὐλαβεῖς ποιήσετε τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν, καὶ οὐκ ἀποθανοῦνται διὰ τὴν ἀκαθαρσίαν αὐτῶν, ἐν τῷ μιαίνειν αὐτοὺς τὴν σκηνήν μου τὴν ἐν αὐτοῖς·» κεκαθαρμένοι γὰρ δὴ καὶ ἡγιασμένοι διὰ Χριστοῦ, τότε δὴ, τότε λαμπροὶ προσίεμεν ἀληθῶς, καὶ οὐ μιανοῦμεν ἔτι τὴν ἁγίαν σκηνήν· προσκυνήσομεν δὲ καθαροὶ καθαρῶς τῷ παναγίῳ Θεῷ φοιτῶντες ἐν ἐκκλησίαις. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Ὅτι τοι προκατηῤῥώστησε μὲν ἡ ἀνθρώπου φύσις τὸν μολυσμὸν, διασμήχοιτο δ' ἂν οὐχ ἑτέρως, πλὴν ὅτι διὰ Χριστοῦ τοῦ κατ' ἀλήθειαν ἱεροῦ καὶ ἁγίου θύματος, εἴσῃ τοι, καὶ μάλα σαφῶς, καὶ ἕτερον ἐπὶ τῷδε τῷ νόμῳ χρησμῴδημα πολυπραγμονῶν. Γέγραπται γὰρ πάλιν ἐν τῷ Λευϊτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Γυνὴ ἐάν τις σπερματισθῇ, καὶ τέκῃ ἄρσεν, ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας, κατὰ τὰς ἡμέρας τοῦ χωρισμοῦ τῆς ἀφέδρου αὐτῆς, ἀκάθαρτος ἔσται· καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ 68.1005 περιτεμεῖ τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ· καὶ τριάκοντα καὶ τρεῖς ἡμέρας καθήσεται ἐν αἵματι ἀκαθάρτῳ αὐτῆς. Παντὸς ἁγίου οὐχ ἅψεται, καὶ εἰς τὸ ἁγιαστήριον οὐκ εἰσελεύσεται, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς. Ἐὰν δὲ θῆλυ τέκῃ, καὶ ἀκάθαρτος ἔσται δὶς ἑπτὰ ἡμέρας, κατὰ τὴν ἄφεδρον αὐτῆς, καὶ ἑξήκοντα ἡμέρας καὶ ἓξ καθεσθήσεται ἐν αἵματι ἀκαθάρτῳ αὐτῆς. Καὶ ὅταν ἀναπληρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς ἐφ' υἱῷ ἢ ἐπὶ θυγατρὶ, προσοίσει ἀμνὸν ἐνιαύσιον ἄμωμον εἰς ὁλοκαύτωμα, καὶ νεοσσὸν περιστερᾶς ἢ τρυγόνα περὶ ἁμαρτίας, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου πρὸς τὸν ἱερέα, καὶ προσοίσει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὸν ἔναντι Κυρίου, καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεὺς, καὶ καθαριεῖ αὐτὴν ἀπὸ τῆς πηγῆς τοῦ αἵματος αὐτῆς.» {ΠΑΛΛ.} Τίς οὖν ἄρα ἐστὶν ἡ τεκοῦσα γυνή; καὶ τίς ἂν εἴη πάλιν ὅγε ἐπ' αὐτῇ τοῦ νόμου σκοπός; {ΚΥΡ.} Ἰσχνομυθεῖν, ὡς ἔοικεν, ἀναγκαῖον ἡμᾶς. Δριμὺ γὰρ λίαν τῆς ἐντολῆς τὸ χρῆμα, καὶ οὐχ ἕτοιμον ἑλεῖν, πλὴν ὡς ἔνι διερευνήσωμεν. Ἐκεῖνό γε μήν· ὦ Παλλάδιε, καὶ πρό γε τῶν ἄλλων κατατέθηπά τοι. {ΠΑΛΛ.} Τὸ τί δὴ φής, {ΚΥΡ.} Ἰόντος γὰρ δὴ τοῦ νόμου κατὰ γυναικὸς ἁπάσης τικτούσης ἄρσεν ἢ θῆλυ, καὶ γενικωτάτην ἡμῶν ποιουμένου τὴν κατάῤῥησιν, ὑπεξῄρηται τῆς δυσφημίας ἡ ἁγία Παρθένος, ἧς ἐκφῦναί φαμεν τὸν κατὰ σάρκα Χριστόν. Θέα γὰρ, εἴ τοι δοκεῖ, τοῦ νόμου τὸ ἀκριβές. Γυνὴ γὰρ, φησὶν, καὶ οὐ πᾶσαι τυχὸν ἀδιακρίτως, ἀλλ' εἴ τις ἐὰν σπερματισθῇ καὶ τέκῃ ἄρσεν, ἀκάθαρτος ἔστω. Ἀλλ' ἐκ Πνεύματος ἁγίου τὸ θεῖον συνέστη σῶμα, πλαστουργούμενον ἀῤῥήτως ἐν τῇ ἁγίᾳ Παρθένῳ, καὶ τῶν τῆς φύσεως νόμων ὀλίγα πεφροντικός. Ἥκιστα γὰρ δὴ σπερματικῆς ἐδεῖτο καταβολῆς ὁ τῶν ἁγίων πρωτότοκος, ἡ ἀπαρχὴ τῶν λαχόντων τὴν ἐκ Θεοῦ διὰ Πνεύματος ἀναγέννησιν. Περὶ ὧν εἴρηται σαφῶς· «Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.» Διέδρα δὴ οὖν τὴν ἐκ νόμου καταβοὴν ἡ ἁγία Παρθένος, σπερματισθεῖσα μὲν οὐδαμῶς, ἐνεργείᾳ δὲ τῇ διὰ ἁγίου Πνεύματος τὸ θεῖον ἀποκυήσασα βρέφος. Ἡ δὲ τίκτουσα καὶ ἀκάθαρτος διὰ τοῦτο γυνὴ, εἴη ἂν, κατά γε τὸ εἰκὸς καὶ τὸν ἀμωμήτως ἔχοντα νοῦν, ἡ ἀνθρώπου φύσις. Τὸ γάρ τοι τῆς γυναικὸς πρόσωπον αὐτῇ περιθήσομεν εἴς γε τὸ παρὸν τῇ φύσει. Κατηγορεῖται δὲ νόμῳ, καὶ μολυσμοῖς ἔνοχος ὀνομάζεται, διά τοι τὸ τίκτειν εἰς φθορὰν, καὶ οὐκ εἶναι μὲν ἐν οἷς ἦν εὐθὺς τὸ εἶναι λαχοῦσα παρὰ Θεῷ (γέγονε γὰρ ἐπὶ ἀφθαρσίᾳ)· παρενηνέχθαι δὲ μᾶλλον εἰς τὸ καταφθείρεσθαι δεῖν, κατεγνωσμένη διὰ τὴν παράβασιν, καὶ τὴν ἐκ θείας ἀρᾶς ἀνατλᾶσα δίκην παρὰ φύσιν ἡ φύσις. «Ὁ γὰρ Θεὸς θάνατον οὐκ ἐποίησε,» κατὰ τὸ γεγραμμένον, «οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων, καὶ οὐκ ἔστιν ᾄδου βασίλειον ἐπὶ γῆς. Ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου· φθόνῳ δὲ διαβόλου, θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον.» Καταμολύνει δὴ 68.1008 οὖν τὴν φύσιν ἡ ἐπείσακτος φθορὰ, καὶ ὁ φθόνῳ διαβολικῷ κατακρατήσας θάνατος, ῥίζαν ἔχων τὴν ἁμαρτίαν. Καταμιαίνει δὲ καὶ ἑτέρως, τὸ ὡς ἐν φιληδονίᾳ σαρκικῇ σπείρεσθαι τὰ γεννώμενα. Καὶ δή τι τοιοῦτον ὑποδηλοῦν ἔοικεν ὁ θεσπέσιος Δαβὶδ ψάλλων τε καὶ λέγων· «Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.» Ἀκάθαρτος οὖν ἡ φύσις, ὡς ἐκ παραβάσεώς τε καὶ ἐξ ἀρᾶς ὑπομένουσα τὴν φθορὰν, παρά γε τὸ Θεῷ δοκοῦν. Ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, τὸ (σιξ) ἀληθὴς ὁ λόγος. {ΠΑΛΛ.} Τίνα δὴ οὖν τρόπον ἀπαλλάττοιτο ἄν τις ἀκαθαρσίας, προστίθει λοιπόν. {ΚΥΡ.} Αὐτὸς ἡμῖν, ὦ Παλλάδιε, κατέδειξε τὴν ὁδὸν καταδικάζων ὁ νόμος. «Ἀφοριζέσθω γὰρ, φησὶν, ὡς ἀκάθαρτος, ἑπτὰ ἡμέρας.» Ἀπαριθμείτω δὲ καὶ ἑτέρας τρεῖς καὶ τριάκοντα, καὶ καθίσεται ἐν αἵματι ἀκαθάρτῳ αὐτῆς, ἐπ' ἄρσενι δὲ δηλονότι τῷ γεννήματι· εἰ δὲ δὴ θῆλυ τέκοι, φησὶ, διπλοῦς ὁ ἀφορισμὸς, διπλῆ καὶ ἡ τῶν ἑτέρων ἡμερῶν ἀπαρίθμησις. Οὐκοῦν εἰ μὲν ἄρσεν εἴη τὸ ἀποτεχθὲν, ἀκάθαρτος ἡ τεκοῦσα, καὶ ἐν μολυσμοῖς ἑπτὰ καὶ τριάκοντα καὶ τρεῖς ἡμέρας, τουτέστι, τεσσαράκοντα· εἰ δὲ θῆλυ, δὶς ἑπτὰ, καὶ ἑξήκοντα καὶ ἓξ, τουτέστιν, ὀγδοήκοντα. {ΠΑΛΛ.} Καὶ τίς ἂν εἴη λοιπὸν καὶ ὁ τοῦδε λόγος; {ΚΥΡ.} Ἐκ παραδειγμάτων ἡμᾶς σαρκικῶν ἀνακομίζει πάλιν ὁ νόμος εἰς κατάληψιν τῶν ἀφανεστέρων, καὶ ὥσπερ τινὰ πίνακα πνευματικῆς θεωρίας ἀναγράφει τὰ αἰσθητά. Φασὶ τοιγαροῦν οἱ ταῦτα σοφοὶ, ὡς εἰ μὲν ἄρσεν εἴη τὸ ἐν μήτρᾳ καταβληθὲν, εἰδοποιεῖσθαι μόλις ἡμερῶν αὐτὸ τεσσαράκοντα δεδαπανημένων· εἰ δέ γε θῆλυ, βραδεῖαν ἔχει τὴν εἰς τοῦτο πάροδον, ὡς ἀσθενές τε καὶ ἄναλκι. Δεῖσθαι δὲ δὴ καὶ αὐτό φασιν, εἰς εἰδοποίησιν ἐναργῆ, τῶν δὶς τεσσαράκοντα ἡμερῶν, τουτέστιν, ὀγδοήκοντα. Ἀκάθαρτος οὖν ἡ ἀῤῥενοτόκος ἐν ἡμέραις τεσσαράκοντα· ἡ δέ γε θήλεος μήτηρ, ἐν ὅλαις ἦν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀγδοήκοντα τὸν ἀριθμὸν ἡμέραις ἐν μολυσμοῖς καὶ ἀκαθαρσίαις, τουτέστιν, ἄχρι μορφώσεως ἀκριβοῦς τῶν ἐν μήτρᾳ, καὶ μὴν καὶ ἀφίξεως τῆς εἰς εἶδος τὸ ἀνθρώπινον. Ἐπὶ δέ γε τῷ καθαρισμῷ, κατά γε τὸ τῷ νόμῳ δοκοῦν, ἀμνὸς καὶ τρυγὼν ἐσφάζετο παρὰ τὴν θύραν τῆς ἁγίας σκηνῆς, μεσιτεύοντος ἱερέως καὶ τελοῦντος τὰ ἱερά· περιτέμνεσθαι δὲ δεῖν καὶ τὸ ἄρσεν ἔφη κατὰ τὸ τῷ νόμῳ δοκοῦν, τουτέστι, κατὰ τὴν ὀγδόην. Τοιόσδε μὲν οὖν ὁ τοῦ γράμματος νοῦς. Ἡμεῖς δὲ πρὸς θεωρίαν ἀναθέοντες τὴν πνευματικὴν, φέρε δὴ λέγωμεν τίνα δὴ τρόπον ἡ εἰς φθορὰν ἡμᾶς καὶ ἀκαθαρσίαν τεκοῦσα φύσις διεκρούσατο μολυσμοὺς, καὶ διέδρα τὴν ἀκαθαρσίαν καὶ τὴν ἐκ τοῦ νόμου κατάῤῥησιν· μακροὺς μὲν γὰρ ἤδη διατετέλεκε χρόνους ἐν ἀφορισμῷ, τουτέστιν, ἐκ προσώπου Θεοῦ. Χρόνοι δὲ ἦσαν οἱ πρὸ τῆς ἐπιδημίας, καθ' οὓς βεβασίλευκεν 68.1009 ὁ θάνατος ἀπὸ Ἀδὰμ καὶ μέχρι Μωσέως, κατεκράτησε δὲ τῶν ἐπὶ τῆς γῆς ἡ πολύμορφος ἁμαρτία. Ἐπειδὴ δὲ κατὰ τὴν ὀγδόην, τουτέστι, μετὰ τὸν τοῦ νόμου καιρὸν καὶ τὸν ἀρχαῖον ἐκεῖνον Σαββατισμὸν, ἀχειροποιήτῳ περιτομῇ περιτετμήμεθα διὰ Πνεύματος, μεμορφώμεθα δὲ καὶ εἰς Χριστὸν, τῆς θείας αὐτοῦ φύσεως γενόμενοι κοινωνοί· διεκρουσάμεθα δὴ τὰ ἐγκλήματα, κατηφάνισται δὲ καὶ ὁ ῥύπος, καὶ ἅπας ἡμῶν οἴχεται μολυσμός· τικτόμεθα γὰρ οὐκ εἰς φθορὰν ἔτι, διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, ἀλλ' εἰς ζωήν τε καὶ ἀφθαρσίαν, διὰ τὴν ἐν Χριστῷ δικαίωσιν, τὴν ὑπὲρ ἡμῶν ὑπομείναντος σφαγὴν, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀληθινοῦ, ὡς τρυγόνος θείας καὶ νοητῆς· σεσώσμεθα γὰρ οὐχ ἑτέρως. Ἢ γὰρ οὐχ ὧδε ἔχει; {ΠΑΛΛ.} Παντάπασι μὲν οὖν· σαφὲς γὰρ λίαν τὸ αἴνιγμα.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΕΚΚΑΙΔΕΚΑΤΟΣ.

### Ὅτι χρὴ προσάγειν ἡμᾶς θυσίας πνευματικὰς καὶ δωροφορίας Θεῷ.

Ἀπόχρη μὲν οὖν, καθάπερ ἐγῷμαι, τὰ εἰρημένα πρὸς τὸ δεῖν ἰέναι γεννικῶς εἰς ἀπότριψιν ἁμαρτίας, καὶ εἰς ἀποκάθαρσιν τὴν διὰ Χριστοῦ, πάντα μὲν ῥύπον τὸν ἐν ἡμῖν διασμήχειν οἵου τε, καὶ τῇ τοῦ Πνεύματος ἐνεργείᾳ συντήκοντος, ἐκνενιμμένους δὲ καὶ ἁγίους ἀποφαίνειν εἰδότος. Τοιγάρτοι καὶ ἱερὸς ἡμῖν ὁ λόγος τοιοῦτος, τὴν τοῦ Πνεύματος ἐνέργειαν εἰς ἡμᾶς ἐσομένην προανακεκράγει λέγων· «Ὅτι ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. Ἰδοὺ ἔρχεται, λέγει Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; ὅτι αὐτὸς εἰσπορεύεται, ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων, καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων, ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον.» Συνᾴδει δὲ τούτοις καὶ ὁ θεσπέσιος 68.1012 Ἡσαΐας λέγων, ὅτι «Ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως, καὶ ἐν πνεύματι καύσεως.» Ἆρ' οὖν, ὦ Παλλάδιε, τῆς ἐν Χριστῷ νοουμένης δικαιοσύνης ὁ τρόπος διαπεραίνοιτο ἂν πρὸς ἡμῶν, ὡς ἔν γε δὴ μόνῳ τῷ διασμήχεσθαι δεῖν; καὶ τὸ ἀρχαίους ἡμᾶς ἀποτρίψασθαι μολυσμούς; ἀρκέσειεν ἂν, εἰπέ μοι, πρὸς δόξαν ἡμῖν ἁγιοπρεπῆ, καὶ ταῖς ἀνωτάτω στεφανώσει τιμαῖς; ἤγουν, ἔσται πως τὰ καθ' ἡμᾶς ἐν ἀμείνοσι, καὶ τοῖς εἰς ἄκρον ἐπαίνοις κατασεμνυνοῦμεν εἰκότως τὰς ἑαυτῶν κεφαλὰς, οἱάπερ τινὰ δωροφορίαν πνευματικὴν, καὶ ἱερὸν ἀληθῶς ἀνάθημα προσκομίζοντες τῷ Θεῷ, τὴν ἐν ἁγιασμῷ καὶ ὁσιότητι ζωὴν, καὶ πνευματικὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λατρείαν εὖ μάλα διαπεραίνοντες; {ΠΑΛΛ.} Οὕτω φημί. {ΚΥΡ.} Καὶ γάρ τοι τὸ χρῆμά ἐστι τοῖς ἱεροῖς συμβαῖνον νόμοις, καὶ Θεῷ κεχαρισμένον, καὶ τῶν ὅτι μάλιστα δεδοκιμασμένων· καταλήγειν μὲν ἔργου παντὸς προστέταχεν ἐν Σαββάτῳ, δρᾷν δὲ δὴ ὅλως ἠφίει τινὰς οὐδ' ὅπως τι οὖν, οὕτω λέγων ἐν τῇ Ἐξόδῳ· «Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν. Ἓξ ἡμέρας ἐργᾷ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, Σάββατα, ἀνάπαυσις Κυρίῳ τῷ Θεῷ σου, οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον.» Τὸν ἐν πνεύματι δηλονότι Σαββατισμὸν τοῦ τύπου κατασημαίνοντος, ὅτε καὶ εἰς κατάληξιν καὶ ἀνακωχὴν παντὸς ἔργου σαρκικοῦ, καὶ μοχθηρῶν σπουδασμάτων, δι' αὐτοῦ κεκλήμεθα τοῦ Χριστοῦ, τὸ τῆς ἁμαρτίας ἄχθος ἀποσεισάμενοι, καὶ τὴν ἐκ τῆς φαυλότητος ἀγαπῶντες ἀπόστασιν, καὶ τῶν ἔξω νόμου τὴν ἀργίαν· ἀπελείπετο μὲν γὰρ ὁ τοιόσδε Σαββατισμὸς τοῖς ἐξ Ἰσραήλ. Εἰσβεβήκασι γὰρ οὐδαμῶς εἰς τὴν κατάπαυσιν τοῦ Χριστοῦ, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Ἡμᾶς δὲ κατέπαυσεν ὁ Χριστὸς, καὶ Σαββατίζειν ἀνέπεισε νοητῶς, ἀνιεμένους εἰς ἀρετὴν, καὶ καλὴν πλημμελημάτων ἀργίαν ἐπιτηδεύοντας. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Ἀλλ' ἐθεσμοθέτει μὲν καὶ πάλαι Θεὸς, τὸ δεῖν ἅπαντας ἀργεῖν ἐν Σαββάτῳ. Πλὴν οἱ τῇ θείᾳ λειτουργίᾳ κατεστεμμένοι, καὶ τῇ ἁγίᾳ σκηνῇ προσεδρεύειν ἐπιτεταγμένοι, πάλιν ἐτέλουν τὰ ἱερά· καὶ βεβηλοῦντες τὸ Σάββατον, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, ἦσαν ἀναίτιοι, τὴν ἐπὶ τῷ λελύσθαι τὸν νόμον οὐχ ὑπομένοντες γραφήν. Οὐκοῦν ἐπιγείων μὲν σπουδασμάτων καὶ ἡμεῖς αὐτοὶ καταλήξομεν ἐν Χριστῷ, τὸν νοητὸν πληροῦντες Σαββατισμὸν, ἀφεξόμεθα δὲ οὐχὶ τῶν ἱερῶν ἔργων, τοῦ χρῆναι, φημὶ, προσκομίζειν Θεῷ θυσίας πνευματικὰς καὶ νοητὰς δωροφορίας. Ἑπόμενοι δὲ ὥσπερ τοῖς ἴχνεσι τοῦ Χριστοῦ, κατὰ τὸ γεγραμμένον, ἑαυτοὺς ἱερεύσομεν, οὐ μηλοσφαγίαις καὶ μόσχων αἵμασι τὸν τῶν ὅλων τιμῶντες Θεὸν, ἑαυτοὺς δὲ μᾶλλον εἰς ὀσμὴν εὐωδίας ἀνατιθέντες αὐτῷ. Ἀρέσομεν γὰρ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλὰς, κατά γε τὴν τοῦ Ψάλλοντος φωνήν. {ΠΑΛΛ.} Ὀρθῶς διανοῇ· πλὴν ἴθι δὴ πάλιν, καὶ ἐξ 68.1013 ἱερῶν Γραμμάτων τῆς ὧδε λαμπρᾶς καὶ ἀξιαγάστου λατρείας ἀνατύπου τὰς γραφάς. {ΚΥΡ.} Ἔφη τοίνυν Θεὸς ἐν τῷ Λευϊτικῷ, δῆλον δὲ ὅτι πρὸς πάντας τοὺς ἐξ Ἰσραήλ· «Ἄνθρωπος ἐξ ὑμῶν ἐὰν προσαγάγῃ δῶρα τῷ Κυρίῳ, ἀπὸ τῶν κτηνῶν καὶ ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προβάτων προσοίσετε τὰ δῶρα ὑμῶν· ἐὰν ὁλοκαύτωμα τὸ δῶρον αὐτοῦ, ἐκ τῶν βοῶν ἄρσεν ἄμωμον προσάξει, πρὸς τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου προσοίσει αὐτὸ δεκτὸν ἐναντίον Κυρίου, καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ καρπώματος δεκτὸν αὐτῷ, ἐξιλάσασθαι περὶ αὐτοῦ. Καὶ σφάξει τὸν μόσχον ἔναντι Κυρίου, καὶ προσοίσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα, καὶ προσχεοῦσι τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ τὸ ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἐκδείραντες τὸ ὁλοκαύτωμα, μελιοῦσιν αὐτὸ κατὰ μέλη, καὶ ἐπιθήσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς πῦρ ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐπιστοιβάσουσι ξύλα ἐπὶ τὸ πῦρ· καὶ ἐπιστοιβάσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὰ διχοτομήματα, καὶ τὴν κεφαλὴν, καὶ τὸ στέαρ ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρὸς τοῦ ὄντος ἐπὶ τοῦ θυσιαστηρίου, τὰ δὲ ἐγκοίλια καὶ τοὺς πόδας πλυνοῦσιν ὕδατι, καὶ ἐπιθήσει ὁ ἱερεὺς τὰ πάντα ἐπὶ τὸ θυσιαστήριον· κάρπωμά ἐστι, θυσία, ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.» Ἆρ' οὐκ ἐναργὴς ὁ τύπος τῆς τῶν ἁγίων ζωῆς, καὶ οἰκειότητος ὁλοτελοῦς, τῆς πρὸς Θεὸν ἐν πνεύματι καὶ ἁγιασμῷ; Μορφούμεθα γὰρ ὡς ἐν τοῖς ἡμέροις τῶν ζώων, μόσχῳ τε, φημὶ, καὶ προβάτῳ, κόσμῳ μὲν ἀποθνήσκοντες διὰ τοῦ τὴν σάρκα κατανεκροῦν, ἵνα Θεῷ ζήσωμεν διὰ τῆς εὐαγγελικῆς πολιτείας, ἀναβαίνοντες δὲ ὥσπερ εἰς θυσίαν τὴν πνευματικὴν ἀληθῶς καὶ εὐοσμοτάτην δι' Υἱοῦ τῷ Πατρί. Καὶ φέρε σοι πάλιν τὰ ἐφ' ἑκάστῳ λέγωμεν, ἰσχνοεποῦντες ὡς ἔνι. Δῶρον μὲν γὰρ ὥσπερ τι τῷ πάντων κρατοῦντι Θεῷ τὴν ἰδίαν ἕκαστος ἀνατίθησι ζωὴν, πλὴν ὡς ἑκάστῳ δίδοται, καὶ ὡς ἂν ἔχοι μέτρον. Ὁ μὲν γὰρ, οὕτως· ὁ δὲ, οὕτως, ἴδιον ἔχων ἐκ Θεοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χάρισμα, κατὰ τὴν τοῦ σοφωτάτου Παύλου φωνήν. Ἐν γὰρ τοῖς μεγέθεσι τῶν ζώων, ἤτοι ταῖς κατ' εἶδος διαφοραῖς, τὸ ἀνίσως τε καὶ ἀνομοίως ἔχον, κατ' ἰσχὺν τάχα που τὴν πνευματικὴν καὶ κατά γε τὴν τῆς διανοίας, πλαγίως ὑποσημαίνεται. Εἴτ' οὖν ὡς ἐν μόσχῳ μέγας εἴη τυχὸν, καὶ μὴν καὶ ἄγαν εὐσθενὴς, ἤγουν ὡς ἔν γε προβάτῳ τὸ μεῖον ἔχων, καὶ τοῦ τελείου κατόπιν ἰὼν, ἑαυτὸν εἰς δωροφορίαν προσκομίζει Θεῷ, καὶ τοῦτο εἰς ὁλοκαύτωμα, τουτέστιν, εἰς ὁλόκληρον ἀφιέρωσιν, οὐ μεμερισμένην ἔχων πρὸς τὰ ἐν κόσμῳ τὴν ζωὴν, ἀλλ' ὅλην ἐξ ὅλου δεκτήν τε [καὶ] ἱερὰν τῷ Θεῷ. Τοιόσδε τις ἔστω τῆς θυσίας ὁ τρόπος· Ἄρσεν τε καὶ ἄμωμον ἔστω τὸ θῦμα, φησί. Σύμμορφοι γὰρ ἀεί πώς εἰσιν οἱ ἅγιοι τοῦ Χριστοῦ, ὅς ἐστιν ἄρσην τε καὶ ἄμωμος ἀληθῶς, τοῦ μὲν ἄρσενος, τὸ ἡγεμονικὸν, τοῦ δὲ ἀμώμου, τὴν ὑπερφυᾶ καὶ ἀνυπέρβλητον ἁγιότητα καταγράφοντος. Εἷς γὰρ ἡμῶν καθηγητὴς καὶ πάναγνος ἀσυγκρίτως, ὁ Ἐμμανουήλ. Ἄλλως τε (χρῆναι γὰρ δεῖ[ν] κἀκεῖνο εἰπεῖν, καὶ οἰήσομαι δεῖν) 68.1016 ἄρσενάς τε καὶ ἀμώμους πρέποι ἂν εἶναι τοὺς Θεῷ καθιερωμένους, οὐδὲν ἔχοντας τὸ θηλυπρεπὲς, οὐ παρειμένους εἰς ῥᾳθυμίαν· ἀλλὰ πολὺ λίαν διανενευκότας εἰς τὸ ἀνδρίζεσθαι δεῖν, ἄρσενά τε καὶ οἱονεὶ διεγηγερμένον τὸν ἔν γε δὴ σφίσιν αὐτοῖς διασώζοντας νοῦν. Καὶ μέντοι πρὸς τόδε φαίην ἂν, ὅτι καθαρούς τε καὶ ἀμώμους εἶναι χρὴ, κατά γε τὸ ἐγχωροῦν τῇ ἀνθρωπίνῃ φύσει. Ψάλλει γάρ που καὶ μάλα ἐμφρόνως ὁ θεσπέσιος Δαβίδ· «Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.» Συμμεμέτρηται γάρ πως παρὰ Θεῷ τῆς ἀνθρωπίνης ἐπιεικείας ὁ τρόπος, ὑπερανισχούσης δηλονότι τῆς τῶν ἁγίων ἀγγέλων, καὶ πολὺ τὸ καθ' ἡμᾶς ὑπεραιρούσης μέτρον. Οὐκοῦν ἄρσεν τε καὶ ἄμωμον τὸ ἱερὸν ἔστω θῦμα. Ἀποφέρεται δέ πως πρὸς αὐταῖς ταῖς θύραις τῆς ἁγίας σκηνῆς. Τελειούμεθα γὰρ οὐχ ἑτέρωσέ ποι, ἢ ὅτι πάντη τε καὶ πάντως ἐν ἐκκλησίαις ἐσόμεθα εὐπαράδεκτοι τῷ Θεῷ καὶ Πατρὶ, προσκομίζοντος ἡμᾶς ὡς ἱερέως Χριστοῦ. Δι' αὐτοῦ γὰρ τὴν προσαγωγὴν ἐσχήκαμεν, καὶ αὐτὸς ἡμῖν ἐνεκαίνισε τὴν εἰς τὸ εἶναι πάροδον, πρόδρομος ὑπὲρ ἡμῶν εἰσελάσας εἰς τὰ Ἅγια τῶν ἁγίων, καὶ καταδείξας ἡμῖν τὴν ἀληθῆ τρίβον. Ἐπιθεῖναί γε μὴν τῷ μόσχῳ τὰς χεῖρας προστέταχε, διά γε δὴ τούτου πλαγίως ὑποσημαίνων, ὡς ἀνθ' ἑαυτῶν ἐν τύπῳ προσάγουσιν εἰκόνα τινὰ τοῦ χρῆναι βιοῦν ἁγίως, διὰ τοῦ τεθνάναι τῷ κόσμῳ τὴν τοῦ κτήνους σφαγὴν εὖ μάλα ποιούμενοι. Ἄθρει δὴ οὖν ὅπως ἡμῖν ἡ σκιὰ διαμορφοῖ τὴν ἀλήθειαν. Ἐσφάζετο μὲν γὰρ ὁ μόσχος ἔναντι Κυρίου, προσεχεῖτο δὲ τὸ αἷμα τῷ θυσιαστηρίῳ. Τὸ γάρ τοι τεθνάναι τῷ κόσμῳ, καὶ τῶν σαρκικῶν ἡ νέκρωσις κινημάτων, ἥδιστον τῷ Θεῷ, καὶ τῆς ἄνωθεν ἐποπτείας ἄξιον· καὶ τάχα που ψάλλει τι τοιοῦτον ὁ θεῖος ἡμῖν Δαβὶδ, ᾠδί πη λέγων· «Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.» Ἀνάθημα γὰρ ὥσπερ ἱερὸν ἔσται τῷ Θεῷ, τῶν ὁσίων ὁ θάνατος· καὶ οὔτι που πάντων τῶν κατὰ σάρκα, φημί· κατασημήνειεν δὲ μᾶλλον ὁ λόγος ἡμῖν, ὃν ὑπομένειν ἔθος αὐτοὺς, κόσμῳ μὲν ἀποθνήσκοντας, Θεῷ δὲ ζῶντας ἐν ὁσιότητι καὶ ἁγιασμῷ· ἀμήχανον γὰρ τὴν ἁγίαν ἡμᾶς κατορθῶσαι ζωὴν, μὴ οὐχὶ προεκτεθνεῶτας τῷ κόσμῳ. Γράφει γὰρ ὁ Πέτρος περὶ Χριστοῦ· «Ὃς τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τοῦ ξύλου, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν.» Οὐκοῦν ἡ τοῦ μόσχου σφαγὴ, καταδηλοῦν ἔοικε τὸ ἀπογενέσθαι ταῖς ἁμαρτίαις, καὶ τὸ ὑπομεῖναι θάνατον τὸν παρὰ Θεῷ τίμιον, ὃν καὶ ἐφορᾷν ἀξιοῖ. «Σφάξουσι γὰρ, φησὶ, τὸν μόσχον ἔναντι Κυρίου.» Ἡ δέ γε τοῦ αἵματος χύσις ἐπὶ τὸ θυσιαστήριον, τὴν τῆς ζωῆς ἀφιέρωσιν καὶ ψυχῆς ἀνάθεσιν εἰς δόξαν Θεοῦ κατασημήνειεν ἂν, οἶμαί που. Ἐκδέρεται δὲ τὸ θῦμα, καὶ τέμνεται κατὰ μέλος· τοῦ μὲν ἐκδέρεσθαι, τὴν οἱονεὶ γύμνωσίν τε καὶ ἀποκάλυψιν τῶν ἐν ἡμῖν ὑποφαίνοντος· τοῦ δὲ μελίζεσθαι, τὸ μέχρις ἁρμῶν τε καὶ μυελῶν τὸν τοῦ Θεοῦ καθικνεῖσθαι λόγον, εὖ μάλα παραδεικνύντος. 68.1017 «Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, φησὶ, καὶ ἐνεργὴς, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.» Ἀνακαίοντος δὲ τοῦ ἱερέως τὸ πῦρ, ἐπιτίθεται τῷ θυσιαστηρίῳ τὰ διχοτομήματα, σὺν τῇ κεφαλῇ καὶ τοῖς ποσὶ, καὶ μέντοι καὶ ἐνδοσθίοις, ἐκνενιμμένοις ὕδασιν. Εὐώδη γὰρ ἅπαντα τὰ τῶν ἁγίων, οὐδὲν ἀπόβλητον παρὰ Θεῷ τῶν ἐκείνοις ἐνεῖναι πεπιστευμένων. Εἶεν δ' ἂν εἰς τύπον τὰ μὲν κρέα, τῆς οἱονεὶ παχυτέρας αὐτῶν καὶ ἐνσωμάτου ζωῆς· σεμνὴ γὰρ αὐτὴ καὶ πάναγνος· κεφαλὴ δὲ, νοῦ σημεῖον, λογισμῶν δὲ καὶ ἐπιθυμιῶν, τὰ ἐντόσθια· πόδες δὲ αὖ, πρακτικῆς καὶ τῆς ὡς ἐν ἔργοις πορείας αἴνιγμα λεπτόν. {ΠΑΛΛ.} Ὡς δριμὺς ὁ λόγος! {ΚΥΡ.} Ἔχει δ' οὖν ὅμως τὸ ἀληθὲς, καίτοι διάττων ἡμῖν ὡς ἐν ὁμίχλῃ καὶ σκότῳ· βαθὺς γὰρ ὁ νόμος. «Ἐὰν δὲ ἀπὸ τῶν προβάτων, φησὶ, τὸ δῶρον αὐτοῦ τῷ Κυρίῳ, ἀπό τε τῶν ἀρνῶν καὶ τῶν ἐρίφων εἰς ὁλοκαύτωμα· ἄρσεν ἄμωμον προσάξει αὐτὸ, καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ σφάξουσιν αὐτὸ, ἐκ πλαγίων τοῦ θυσιαστηρίου πρὸς βοῤῥᾶν, ἔναντι Κυρίου.» Μελίζεται δὲ καὶ αὐτὸ, ἐκνενιμμένων τῶν ἐντοσθίων κατὰ τὸν ἴσον τῷ μόσχῳ τρόπον. Ἀνακομίζεσθαι δὲ δεῖν ἐπὶ τὸ θυσιαστήριον ἐθεσμοθέτει πάλιν· ὁ αὐτὸς δ' ἂν εἴη τῆς θεωρίας καὶ ἐπὶ τῷδε λόγος. Πλὴν ἔχει τι παρηλλαγμένον· ἐσφάζετο γὰρ ὁ ἀμνὸς ἐκ πλαγίων τοῦ θυσιαστηρίου πρὸς βοῤῥᾶν. {ΠΑΛΛ.} Τίς οὖν ἄρα ἐστὶ καὶ ὁ τοῦδε λόγος; {ΚΥΡ.} Ἢ οὐκ οἶσθα, ὅτι νοτιωτέρα πώς ἐστι τῶν Ἰουδαίων ἡ γῆ, τὰ δέ γε πρὸς θάλασσαν τὴν βορειοτέραν αἱ ἀναρίθμητοι τῶν ἐθνῶν ἀγέλαι διεμοιρήσαντο, κατὰ χώρας καὶ πόλεις συνῳκισμέναι; {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Αἴνιγμα δὴ οὖν τοῦ καὶ αὐτὰς τὰς εἰς βοῤῥᾶν ἀγέλας, ἱερὰς ἔσεσθαι τῷ Θεῷ, τὸ ὡς ἐν μέρει τῷ βορειοτέρῳ καταθύεσθαι τὸν ἀμνόν. Τοῦτό τοι καὶ ὁ Σωτὴρ περὶ τῆς ἐξ ἐθνῶν ἀγέλης προανεφώνει λέγων· «Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.» {ΠΑΛΛ.} Συνῆκα ὃ φής. {ΚΥΡ.} Ῥᾳθυμίας δὲ ἀμείνους καὶ ὄκνου παντὸς ἐπέκεινα τιθεὶς ὁ τῶν ὅλων Θεὸς τοὺς οἵπερ ἂν ἕλοιντο πληροῦν τὰ νενομισμένα, καταλεαίνει τρόπον τινὰ τῆς καρποφορίας τὴν ὁδὸν, καὶ ἐν τοῖς ἔτι προβάτου μείοσι τὰ τῆς θυσίας ἀποπεραίνεσθαι δεῖν ἐπιτάττει, λέγων· «Ἐὰν δὲ ἀπὸ τῶν πετεινῶν κάρπωμα προσφέρῃ δῶρον τῷ Κυρίῳ, καὶ προσοίσει ἀπὸ τῶν τρυγόνων, ἢ ἀπὸ τῶν περιστερῶν τὸ δῶρον αὐτοῦ, καὶ προσοίσει αὐτὸ ὁ ἱερεὺς πρὸς τὸ θυσιαστήριον, καὶ ἀποκνίσει τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, καὶ στραγγιεῖ τὸ αἷμα πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου. Καὶ 68.1020 ἀφελεῖ τὸν πρόλοβον σὺν τοῖς πτεροῖς, καὶ ἐκβαλεῖ αὐτὰ παρὰ τὸ θυσιαστήριον κατ' ἀνατολὰς εἰς τὸν τόπον τῆς σποδοῦ, καὶ ἐκκλάσει αὐτὸ ἐκ τῶν πτερύγων, καὶ οὐ διελεῖ, καὶ ἐπιθήσει αὐτὸ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρός. Κάρπωμά ἐστι θυσίας, ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.» Ἄθρει δὴ πάλιν, ὡς ἄριστά τε καὶ εὐτέχνως τὸ ἐν συμμορφίᾳ φαίνεσθαι τοῦ Χριστοῦ, τοῖς ἁγίοις τετήρηται. Ἔστι μὲν γὰρ ἀληθῶς ἡ ἄνωθέν τε καὶ λαλιστάτη τρυγὼν αὐτὸς, ὁμοίως δὲ καὶ ἡ πραοτάτη περιστερά. Καὶ γοῦν ἐν μὲν τῷ Ἄσματι τῶν ᾀσμάτων γέγραπται περὶ αὐτοῦ· «Φωνὴ τρυγόνος ἠκούσθη ἐν τῇ ἐρήμῳ·» πραότητος δὲ τῆς ἄγαν καὶ ἀνωτάτω τύπον ὥσπερ τινὰ καὶ ὑπογραμμὸν ἑαυτὸν ἡμῖν παρετίθει, λέγων· «Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ.» Ἀλλ' ἰδοὺ καὶ αὐτοῖς τοῖς ἁγίοις, διά τοι τὸ ἐν μορφῇ γενέσθαι Χριστοῦ, τὸ ἐν ἴσοις ὥσπερ ἀγαθοῖς εὐπρεπές τε καὶ ἀξιάγαστον εὖ μάλα τετήρηται· τρυγόνες γὰρ καὶ αὐτοὶ νοοῖντ' ἂν εἰκότως, τὸν θεῖόν τε καὶ ἱερὸν τοῖς ἀκροωμένοις ἱεῖσαι λόγον, ᾠδάς τε καὶ μέλη τὰ εἰς δόξαν Θεοῦ ποιεῖσθαι σπουδάζουσαι. Τοιγάρτοι καὶ λέγουσιν· «Ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.» Καὶ μέντοι καὶ τὸν ἐν Χριστῷ διαζῶσι βίον, καὶ τὴν πραοτάτην τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐαγγελικῆς πολιτείας ἵενται τρίβον, τοῖς παίειν ἐθέλουσιν εἰς τὴν δεξιὰν σιαγόνα, παραφέροντες καὶ τὴν ἀριστερὰν, καὶ τοῖς ἀγγαρεύουσι μίλιον, ἓν ἐθελοντὶ δωρούμενοι τὸ, εἴπερ ἕλοιντο, διαστείχειν καὶ δύο. Οὐκοῦν σφᾶς αὐτοὺς, εἰς ὀσμὴν εὐωδίας, καὶ εἰς ὁλοκαύτωμα καθιεροῦσι Θεῷ, καὶ ὡς ἐν εἴδει τρυγόνων καὶ περιστερῶν. Εἶτα τὴν κεφαλὴν ἀποκνίσας ὁ ἱερεὺς ἐπιτίθησι τῷ θυσιαστηρίῳ, προσχεύσας τὸ αἷμα. Ἅγιος γὰρ ἀληθῶς, καὶ ὅτι μάλιστα τῶν ἱερωτάτων ἁγίων ὁ νοῦς, ἀνακεῖσθαι πρέποι τῷ πανάγνῳ Θεῷ. Ἐννοιῶν γάρ ἐστιν ἐπίμεστος ἀγαθῶν, καὶ τῆς ἀληθοῦς θεογνωσίας εὐωδιάζει τὸ μύρον «Λογισμοὶ γὰρ δικαίων, κρίματα,» κατὰ τὸ γεγραμμένον· ἁγία δὲ ὅτι καὶ ἡ ζωὴ τῶν ἐν φόβῳ Θεοῦ, σαφὲς ἂν γένοιτο, διὰ τὸ δεῖν τῷ ἁγίῳ θυσιαστηρίῳ προσχεῖσθαι τὸ αἷμα. Ζωῆς γὰρ τύπος τὸ αἷμα· καὶ ἀφαιρεῖται μὲν τῶν στρουθίων ὁ πρόλοβος, τουτέστιν, ἡ φύσα, σὺν τοῖς πτεροῖς· ἐκβάλλεται δὲ ὡς ἀχρεῖον παντελῶς. Σημεῖον δ' ἂν γένοιτο καὶ τοῦτο σαφὲς, τοῦ καὶ τρυφῆς ἀνωτέρω τῆς σωματικῆς τὸν τῶν ἁγίων ἀναπεφάνθαι βίον, ὡς δοκεῖν ἤδη πως, μηδὲ τῆς τὰ σιτία χωρούσης ἐπιδεῖσθαι γαστρός. Τοιουτοσὶ γάρ πώς ἐστι τῶν ὅτι μάλιστα φιλοπονωτάτων ὁ βίος· οἳ σιτίων ὁμοῦ καὶ αὐτῆς τάχα που τῆς γαστρὸς ἀλογήσαντες, κατατήκουσι τὴν σάρκα, καὶ κατανεκροῦσιν ἡδονὰς, ἐλεύθεροι δὲ καὶ ἀπηλλαγμένοι παντὸς γεγόνασι κοσμικοῦ τε καὶ περιττοῦ. Τοῦτο γὰρ, οἶμαι, ἐστὶν ἡ τῶν πτερῶν ἀποβολή. Ἀναγκαία μὲν γὰρ τοῖς ὀρνέοις ἡ πτέρωσις· ἀλλὰ καὶ ἡμῖν αὐτοῖς, τὰ δι' ὧνπερ ἂν εἰς ἰδίαν χρείαν τουτὶ τὸ ἀπὸ τῆς γῆς ὑπηρετοῖτο σῶμα· ἄμφια δὲ δὴ λέγω, καὶ τροφῆς ὄργανα, καὶ πρός γε δὴ τούτοις 68.1021 εὖ μάλα καὶ τὰ δι' ὧν ἂν γένοιτο ταυτὶ, πορισμοὶ χρημάτων, τῇ τῆς ἐνδείας ἐφόδῳ μαχόμενοι, εὐναί τε μαλακαὶ, καὶ τὰ τούτοις ἀγχοῦ. Ἀλλ' εἰ καὶ χρειώδη ταῦτα καὶ ἀναγκαῖα τοῖς ἐπὶ γῆς καὶ ἐν σώμασιν, ἀλλ' οὖν τοῖς ἁγίοις λελόγισται παρ' οὐδὲν, ὄχλον δὲ ὥσπερ εἰκαῖον ἁπλῶς τὴν τῶν τοιούτων κτῆσιν ἀποπεμψάμενοι, μονονουχὶ γυμνοῖς καὶ ἀναμφιάστοις σώμασι διατελοῦσιν ἐν κόσμῳ, τὸ προστυχὸν καὶ εὐπόριστον τῇ τῆς σαρκὸς ἀνάγκῃ σὺν ὄκνῳ δωρούμενοι. Ἀποτετιλμένων δὲ τῶν πτερῶν, καὶ ἐξῃρημένης τῆς φύσης, ἤτοι τοῦ προλόβου, καὶ ἐκκλάσει, φησὶν, ἀπὸ τῶν πτερυγίων, καὶ οὐ διελεῖ, καὶ ἀνοίσει λοιπὸν ἐπὶ τὸ θυσιαστήριον. Καὶ ἡ μὲν τῶν πτερυγίων ἔκκλασις, τύπος ἂν εἴη καὶ ὑπόδειγμα σαφὲς τοῦ μὴ φρονεῖν τὰ ὑπέρογκα, μήτε μὴν ὑψοῦ πέτασθαι τῶν ἁγίων τὸν νοῦν, συνεπάγεσθαι δὲ μᾶλλον τοῖς ταπεινοῖς, καὶ οἱονεὶ τὰ κάτω ζητεῖν. Μετέωρος γὰρ ἀείπως ἐστὶ τῶν ἀλαζόνων ὁ νοῦς, καὶ πρὸς τὰ ἄνω φέρεται, συνιζῆσαι τοῖς χθαμαλωτέροις οὐκ ἀνεχόμενος, καὶ τὸ μέτριόν τε καὶ ταπεινὸν ἀτιμάζων φρόνημα. Οὐκοῦν ἡ τῶν πτερυγίων ἔκκλασις, ἀλαζονείας ἀπόθεσιν αἰνιγματωδῶς ὑποφαίνει· ὅτι δὲ καὶ εἰσάπαν, καὶ, ἵν' οὕτως εἴπωμεν, ὁλοτρόπως ἀνέθεσαν τῷ Θεῷ τὴν οἰκείαν ζωὴν, οὐ μεμερισμένοι πρὸς τὰ ἐν κόσμῳ, τὸ μὴ διαιρεῖσθαι δηλοῖ· μεμερίσθαι δὲ τοὺς ἐν γάμῳ, καὶ ὁ σοφὸς ἔφη Παῦλος. Ἱερὸς οὖν ἄρα τῶν ἁγίων ὁ νοῦς, ζωή τε ἁγία, καὶ τρυφῆς ἀμείνων σωματικῆς, καὶ μερίμνης κοσμικῆς ἐλευθέρα, καὶ φρονήματι τῷ μετρίῳ περικαλλής· ἀμέριστος δὲ καὶ πρὸς τὰ ἐν κόσμῳ. Τοιγάρτοι καὶ εἰς ὀσμὴν εὐωδίας ἀνατίθεται τῷ Θεῷ. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Καταβιβάζει δὲ τῆς θυσίας τοὺς τρόπους, καὶ πρὸς τὰ ἔτι μείω τε καὶ παντὶ τῷ ἔτει λοιπὸν ἐγκείμενα, καὶ οὐ σὺν ἱδρῶτι ληπτὰ κατευρύνων, οἶμαί που, μικρῷ καὶ μεγάλῳ τῆς εὐδοκιμήσεως τὴν ὁδόν· γέγραπται γὰρ, ὅτι «Πλατεῖα ἡ ἐντολή σου σφόδρα.» Καὶ οὐ τῷ μεγέθει τῆς καρποφορίας πάντη τε καὶ πάντως τὸ γνήσιον κρίνεται, παρά γε τῷ φιλαρέτῳ Θεῷ, ἀλλ' ἐν ἴσῳ τοῖς προὔχουσιν ὁ βραχὺς, τὰ ἐνόντα διδοὺς, καὶ οἷς ἂν ἔχοι καὶ δύναιτο τιμᾷν ᾑρημένος. Ἔφη τοίνυν ὧδε πάλιν· «Ἐὰν δὲ ψυχὴ προσφέρῃ δῶ-ρον θυσίαν τῷ Κυρίῳ, σεμίδαλις ἔσται τὸ δῶρον αὐτοῦ· καὶ ἐπιχεεῖ ἐπ' αὐτὸ ἔλαιον, καὶ ἐπιθήσει ἐπ' αὐτὸ λίβανον, θυσία ἐστί· καὶ οἴσει πρὸς τοὺς υἱοὺς Ἀαρὼν τοὺς ἱερεῖς, καὶ δραξάμενος ἀπ' αὐτῆς πλήρη τὴν δράκα ἀπὸ τῆς σεμιδάλεως σὺν τῷ ἐλαίῳ, καὶ πᾶν τὸ λίβανον αὐτῆς, καὶ ἐπιθήσει ὁ ἱερεὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ μνημόσυνον αὐτῆς ἐπὶ τὸ θυσιαστήριον, θυσία ἐστὶν, ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.» Συνίης οὖν ὅπως τὸ τοῦ προσκομίζοντος ὑπέμνησε ταπεινόν· ψυχὴν γὰρ ἁπλῶς, κἂν εἰ πολὺ τὸ ἄσημον ἔχοι κατὰ τόνδε τὸν βίον, ὁ θεῖος ἡμῖν ὀνομάζει νόμος, τὸ τῆς ἀνωτάτω φύσεως περὶ πάντας ἶσον καὶ ἀπροκλινὲς κἀν τούτῳ δεικνὺς, καθάπερ ἀμέλει καὶ ἐν τῷ φάναι πάλιν, ὅτι «Πᾶσαι αἱ ψυχαὶ, ἐμαί εἰσιν.» Ἀπροσωπόληπτον γὰρ τὸ θεῖον, καθάπερ ἔφην ἀρτίως. Οὐκοῦν εἴπερ ἕλοιτό τις τῶν οὐκ ἐχόντων, φησὶ, τὸ ἐπιφανὲς ἐν κόσμῳ, δωροφορεῖν τῷ Θεῷ, σεμίδαλις ἔσται τῆς θυσίας ὁ τρόπος. πλὴν ἐλαιόδευτος καὶ ἀναμὶξ λιβάνῳ· ὅτι 68.1024 δὲ ζωῆς μὲν εἰς τύπον ἡ σεμίδαλις, ἱλαρότητος δὲ τῆς ὡς ἐν ἐλπίδι, τὸ ἔλαιον, λίβανός γε μὴν, εὐωδίας τῆς ὡς ἐν ἔργοις καὶ κατορθώμασιν, καὶ βίῳ συννομωτάτῳ, πολὺς ἡμῖν διεσάφησε λόγος. Χρῆναι δὲ οὖν εὖ μάλα φησὶν ὁ νόμος, τοὺς οἵπερ ἂν ἕλοιντο κατευφραίνειν ἐν ἑαυτοῖς τὸν τῶν ὅλων Θεὸν, ἀνατιθέναι τε καὶ ἀφιεροῦν αὐτῷ τὴν οἰκείαν ζωὴν, οὐκ ἐπὶ τοῖς ἱδρῶσι τοῖς ὑπὲρ ἀρετῆς στυγνάζοντας· («Μὴ γὰρ δὴ γογγύζετε,» φησὶν ὁ θεσπέσιος Παῦλος), εὐωδίας δὲ τῆς νοητῆς ἐκμεμεστωμένην· ἀνοίσει γὰρ τότε τὸ μνημόσυνον αὐτῆς ὁ ἱερεὺς τῷ Θεῷ. Προσελευσόμεθα γὰρ ἐν Χριστῷ τῷ Θεῷ καὶ Πατρὶ διὰ τῆς πνευματικῆς θυσίας, τὸ καὶ ἐν μνήμῃ κεῖσθαι τῇ παρ' αὐτῷ κερδαίνοντες. Δι' ὧν γὰρ εὐδοκιμεῖν εἰθίσμεθα, διὰ τούτων αὐτῶν ἀποφανούμεθα, ὅτι καὶ μνήμης ἄξιοι, καὶ ἐν γνώσει Θεοῦ γεγόναμεν ἐν Χριστῷ. {ΠΑΛΛ.} Ἀστειότατα ἔφης. {ΚΥΡ.} Ἐπισυνάπτει δὲ τούτοις· «Ἐὰν δὲ προσ-φέρῃς δῶρον, θυσίαν πεπιλημένην ἐν κλιβάνῳ, δῶρον Κυρίῳ ἐκ σεμιδάλεως, ἄρτους ἀζύμους πεφυραμένους ἐν ἐλαίῳ, καὶ λάγανα ἄζυμα διακεχρισμένα ἐν ἐλαίῳ. Ἐὰν δὲ θυσία ἀπὸ τηγάνου τὸ δῶρον αὐτοῦ, σεμίδαλις πεφυραμένη ἐν ἐλαίῳ, ἄζυμα ἔσται· καὶ διαθρύψεις αὐτὰ κλάσματα, καὶ ἐπιχεεῖς ἐπ' αὐτὰ ἔλαιον, θυσία ἐστὶ Κυρίῳ. Ἐὰν δὲ θυσία ἀπὸ ἐσχάρας τὸ δῶρόν σου, σεμίδαλις ἐλαίῳ ποιηθήσεται. Ἐὰν δὲ προσφέρῃς θυσίαν τῶν πρωτογεννημάτων τῷ Κυρίῳ, νέα πεφρυγμένα χίδρα ἐρικτὰ τῷ Κυρίῳ, καὶ προσοίσεις τὴν θυσίαν τῶν πρωτογεννημάτων, καὶ ἐπιθήσεις ἐπ' αὐτὰ λίβανον· θυσία ἐστί. Καὶ ἀνοίσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς ἀπὸ τῶν χίδρων σὺν τῷ ἐλαίῳ, καὶ πάντα τὸν λίβανον αὐτῆς· κάρπωμά ἐστι τῷ Κυρίῳ. {ΠΑΛΛ.} Ὡς βαθὺ τὸ χρῆμα τοῦ νόμου! Φράζε δὴ οὖν, ὅπως καὶ τοῖς ὧδε λεπτοῖς τὸν νοῦν ἐνιέντες, οὐκ ἀπὸ σκοποῦ βαδιούμεθα. {ΚΥΡ.} Ἐκεῖνο, οἶμαί που, ἄξιον, τὸ τοῦ νόμου προμηθὲς καὶ λίαν εὐτεχνές· εἴσῃ γὰρ δὴ διὰ τρόπου παντὸς, καὶ προσίεται μὲν τὸ βραχὺ κομιδῇ, χαρίζεται δὲ καὶ αὐτῷ πανταχῇ τὸ εὐῶδες καὶ ἱλαρόν· διεπύθου γάρ που καὶ αὐτοῦ λέγοντος τοῦ Χριστοῦ· «Καὶ ὃς ἂν ποτίσῃ ἕνα τῶν ἀδελφῶν τούτων τῶν μικρῶν ποτήριον ψυχροῦ, μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.» Τοιουτονί τι κἀνθάδε διαλογίζεσθαι χρὴ, καὶ τὴν τοῦ νομοθέτου χρηστότητα ταῖς αὐτῷ πρεπούσαις κατακροτεῖν εὐφημίαις. Προσίεται γὰρ, ὡς ἔφην, κἂν εἰ ἕλοιτό τις καὶ τοῖς ἄγαν εὐτελεστάτοις πληροῦν τὰ νενομισμένα. Εἴτε γὰρ ἄρτος εἴη, φησὶν, εἴτε καὶ λάγανον ἓν, εἴτ' οὖν ἐκ κλιβάνου καὶ ἀπὸ τηγάνου, καὶ μὴν καὶ ἐσχάρας, καὶ ἥκιστα μὲν ἐκ πυρῶν, χίδρα δὲ εἴη καὶ ἐρικτὰ, τουτέστιν, ἐξ ὀσπρίων ἄλευρον, ἐλαίῳ δεδεύσθω τὸ προσκομισθὲν, καὶ καταπλουτείτω πάλιν ἐφ' ἑαυτῷ τὸν λίβανον. Ἔοικε δέ πως ἕν γε δὴ τούτοις ὁ λόγος, τὰς διὰ πυρώσεώς τε καὶ πόνων καὶ μέντοι καὶ συντριβῆς εὐδοκιμήσεις 68.1025 ἡμῖν τῶν ἁγίων ὑποδηλοῦν. Κλίβανος γὰρ καὶ ἐσχάρα, καὶ μὴν καὶ τὸ μύλῳ καταλεπτύνεσθαι, σημεῖά που πάντως εἶεν ἂν συντριβῆς τε καὶ πόνου δοκιμαζομένων ὡς διὰ πυρός. Τοιγάρτοι καὶ κεκράγασι, τὴν οὕτως εὐκλεᾶ διαστείχοντες τρίβον· «Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεὸς, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.» Ψάλλει δέ που καὶ ὁ θεσπέσιος ἡμῖν Δαβίδ· «Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.» Ἀλλ' ὅτι τοῖς ὧδε πεπονηκόσι, τὸ ἐν εὐωδίᾳ γενέσθαι Χριστοῦ, πάντη τε καὶ πάντως ἕποιτο ἂν εἰκότως· καὶ μὴν ὅτι καὶ τὸ ἐλεεῖσθαι δεῖν, καὶ τῇ τοῦ Πνεύματος χάριτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλουσίως καταπιαίνεσθαι, σαφὲς ἂν γένοιτο τὴν τοῦ λιβάνου τε καὶ ἐλαίου περινοοῦντι χρείαν. Ἢ γὰρ οὐχὶ λεπτῶν αἰνιγμάτων ὑποψίαι πως ἡμῖν καὶ σκιαὶ τὰ ἐν νόμῳ; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ἑαυτοὺς μὲν ἄρα προσοίσομεν τῷ Θεῷ, κατανεκρούμενοι τῇ ἁμαρτίᾳ, καὶ τὸν ἱερὸν τουτονὶ νοητῶς ὑπομένοντες θάνατον, ζῶντές γε μὴν τῇ δικαιοσύνῃ, κατὰ τὸ γεγραμμένον, καὶ ὡς ἐν τάξει χαριστηρίων τὴν ἰδίαν αὐτῷ ζωὴν ἀπονέμοντες εὐκλεᾶ τε καὶ ἀνεπίπληκτον, καὶ τοῖς εἰς φιλοθεΐαν αὐχήμασιν εὐπρεπῆ. Τοῦτό τοι σαφῶς καὶ δι' ἑτέρων εἰσόμεθα νόμων. Γέγραπται γὰρ ἐν τῷ Λευϊτικῷ· «Ἐὰν δὲ θυσία σωτηρίου τὸ δῶρον αὐτοῦ τῷ Κυρίῳ, ἐὰν μὲν ἐκ τῶν βοῶν αὐτὸ προσαγάγῃ, ἐάν τε ἄρσεν, ἐάν τε θῆλυ, ἄμωμον προσάξει αὐτὸ ἔναντι Κυρίου· καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου, καὶ σφάξει αὐτὸ ἐναντίον Κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ προσχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων κύκλῳ. Καὶ προσάξουσιν ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου κάρπωμα Κυρίῳ, τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας· καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ· καὶ ἀνοίσουσιν αὐτὰ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὰ ὁλοκαυτώματα ἐπὶ τὰ ξύλα, τὰ ἐπὶ τοῦ πυρὸς ἐπὶ τοῦ θυσιαστηρίου· κάρπωμα, ὀσμὴ εὐωδίας Κυρίῳ.» Ἄμωμος τοίνυν ὁ μόσχος· καθαροὺς γὰρ εἶναι πρέπει, καὶ μώμου παντὸς ἰόντας ὡς ἀπωτάτω, τοὺς εἰς ὀσμὴν εὐωδίας ἀναβαίνοντας τῷ Θεῷ. Ἐσφάζετο δὲ πρὸς αὐταῖς ταῖς θύραις τῆς ἁγίας σκηνῆς, ἐπενηνεγμένων αὐτῷ τῶν χειρῶν τοῦ προσάγοντος. Καὶ τίς ὁ τοῦδε λόγος, εἴρηται σαφῶς. Ἀνεκομίζετο δὲ εἰς θυσίαν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ οἱ δύο νεφροὶ, συνεξαιρουμένης αὐτοῖς τῆς ἐνούσης πιμελῆς, καὶ ὁ λοβὸς τοῦ ἥπατος. Καὶ ὑποφήνειεν ἂν, καθάπερ ἐγῷμαι, τὸ ἐπὶ τῆς κοιλίας στέαρ, τὴν οἱονεὶ φρενὸς εὐεξίαν, καὶ τὴν πιότητα τῶν σπλάγχνων ἐντεθραμμένων ἄριστα ταῖς διὰ τοῦ Πνεύματος νοηταῖς χορηγίαις. Εὐτροφία μὲν γὰρ τοῖς ἀλόγοις ζώοις, καὶ μὴν καὶ τοῖς ἀνθρωπίνοις σώμασι τὸ καταπιαίνεσθαι προξενεῖ. Θείων δὲ χαρισμάτων πλουσιωτάτη μέθεξις, παντὸς ἀγαθοῦ τὴν 68.1028 τῶν ἁγίων ἐμπίπλησι φρένα. Τοιγάρτοι καὶ ἱεροὶ καὶ εἰς ὀσμὴν εὐωδίας γένοιντο ἂν ἐξαίρετοι τῷ Θεῷ. Νεφροὶ δὲ δὴ πάλιν, εἰς τύπον ἂν εἶεν τῆς εἰς νοῦν ἔσω διακριτικῆς ἐνεργείας· καθ' ἣν ἀπόβλητον μὲν, τὸ πεφυκὸς ἀδικεῖν, αἱρετὸν δὲ καὶ ἀξιόληπτον ποιεῖται τὸ ὠφελοῦν. Γράφει δὲ καὶ ὁ θεσπέσιος Παῦλος· «Πάντα δοκιμάζοντες, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.» Οὐκοῦν ἐπειδήπερ διακριτικὸν ἐν σώματι μόριον ὁ νεφρὸς (ἀποκρίνει γὰρ εὖ μάλα τὰ περιττὰ, τὸ χρηστόν τε καὶ ὠφελοῦν ἐνιεὶς τῇ φύσει, καὶ διανέμων εὐτέχνως, οἷς ἂν καὶ ὅσον διανέμεσθαι πρέποι), μεταληπτέον εἰκότως εἰς νοῦ διάκρισιν τοὺς νεφρούς. Ἱεροὶ τοιγαροῦν καὶ ἀνάθημα Θεῷ, τῶν ἁγίων οἱ νεφροὶ, τουτέστιν, ἥνπερ ἂν ἔχοιεν ἐν νῷ διάκρισιν. Δόκιμοι γὰρ τραπεζῖται καὶ ἀκριβεῖς, οἱ Θεῷ προσκείμενοι, κατακιβδηλεύοντες μὲν τὸ φαῦλον ἀεὶ, ψήφῳ γε μὴν τῇ παγκάλῳ τιμᾷν εἰωθότες τὸ τελοῦν εἰς ὄνησιν. Ὧδε γὰρ οἶμαι καὶ τὸν θεσπέσιον Μελῳδὸν εὐδοκιμεῖν εἰωθότα διακεκραγέναι πρὸς τὸν Θεόν· «Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε.» Ὁ δέ γε λοβὸς τοῦ ἥπατος, οὐδὲν ἧττον ἡμῖν ὑποφαίνει, ἢ ψυχῆς ἐνέργειαν, ἤτοι φρενὸς κίνησιν, καθ' ἣν ἵεται πρὸς ἐπιθυμίας. Ἐξηκριβωκότες δὲ τὰ τοιάδε τινὲς, οὐδὲν ὀκνοῦντές φασιν, ὡς ἐν ἥπατι τὰς ἐπιθυμίας ἅπαν ἔχει ζῶον. Ἀναθετέον δὴ οὖν καὶ τὸν λοβὸν τοῦ ἥπατος τῷ Θεῷ, τουτέστιν, αὐτὴν οἱονείπως ἁπάσης ἐπιθυμίας ἡμῶν τὴν πηγὴν, κατά γε τὸν ψάλλοντα Μελῳδόν· «Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου.» Σεμνύνεταί δέ τις ἐφ' ἑαυτῷ, καὶ τὴν ὧδε σεπτὴν καὶ ἀξιάγαστον ἀναμέλπει φωνὴν, εἰ πρός γε δὴ μόνον τὸ τῷ Θεῷ δοκοῦν τὰς ὀρέξεις ἔχοι, καὶ καταφωρῷτο διψῶν, ἃ ἂν βούλοιτο δρᾷν αὐτός. {ΠΑΛΛ.} Σύμφημι· νοεῖς γὰρ ὀρθῶς. {ΚΥΡ.} Ἐπὶ προβάτῳ δὲ αὖ, καὶ μὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

καὶ αἰγὶ, τὸν αὐτὸν ὁρίζει νόμον, καὶ ἐν ἴσῳ τρόπῳ καὶ ἐπ' αὐτοῖς τὰ τῆς θυσίας ἐπράττετο, τῆς τῶν ζώων ὡς ἐν μεγέθει διαφορᾶς, τῶν καρποφορεῖν εἰωθότων, τὸ ἐν εὐσεβείᾳ τε καὶ εὐδοκιμήσει μέτρον ὑποφαινούσης ἀστείως· ὁ μὲν γὰρ, πλουσίως καὶ ὑπερφερῶς, ὡς ἔν γε τῷ μόσχῳ, περινοεῖν ἄξιον· ὁ δὲ μέσως, ὡς ἐν προβάτῳ, ὁ δὲ καὶ ὑφειμένως ἔτι· μείων γὰρ αἲξ προβάτου· καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ τὴν εὔκαρπον ἀναφῦναι γῆν ἑκατὸν, καὶ ἑξήκοντα, καὶ τριάκοντα, κατά γε τὴν ἐν τοῖς Εὐαγγελίοις παραβολήν. {ΠΑΛΛ.} Πείθομαι. {ΚΥΡ.} Ὅτι δὲ καὶ ἀναλόγως τοῖς ἑκάστου κατορθώμασιν ἡ τῆς ἀμοιβῆς ἀντέκτισις, καὶ ἰσοπαλεῖς τοῖς ἱδρῶσιν αἱ ἀμοιβαὶ τοῖς ἀνδραγαθεῖν ᾑρημένοις ἐκνεμηθήσονται παρὰ Θεοῦ, πληροφορήσει μὲν καὶ αὐτὸς ὁ Σωτὴρ, τὴν τῶν ταλάντων διανομὴν οὐκ ἐν ἴσῳ τρόπῳ γενέσθαι λέγων, καθιστὰς δὲ τῶν εὐδοκιμούντων, τὸν μὲν ἐπὶ δέκα πόλεων, τὸν δ' ἐπὶ πέντε. Ταλαντεύεται γὰρ ὥσπερ ὁ ἑκάστου βίος, καὶ ἰσοστατήσει που πάντως ταῖς ἡμῶν ἐπιεικείαις ἡ ἀντέκτι
68.1029 σις· οὐδὲν δὲ ἧττον ἡμῖν, ὅπερ ἔφην, καὶ αὐτὸς ὁ διὰ Μωσέως ὑποδείξει νόμος. Ἔφη γὰρ πάλιν ἐν τοῖς Ἀριθμοῖς· «Καὶ εἶπε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ὅταν εἰσέλθητε εἰς τὴν γῆν τῆς κατοικήσεως ὑμῶν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ποιήσετε ὁλοκαυτώματα Κυρίῳ, ὁλοκάρπωμα ἢ θυσίαν, μεγαλύναι εὐχὴν ἢ καθ' ἑκούσιον, ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν ποιῆσαι ὀσμὴν εὐωδίας τῷ Κυρίῳ, εἰ μὲν ἀπὸ τῶν βοῶν ἢ ἀπὸ τῶν προβάτων· καὶ προσοίσει ὁ προσφέρων τὸ δῶρον αὐτοῦ Κυρίῳ θυσίαν σεμιδάλεως δέκατον τοῦ οἰφὶ ἀναπεποιημένης ἐν ἐλαίῳ ἐν τετάρτῳ τοῦ ἲν, καὶ οἶνον εἰς σπονδὴν τὸ τέταρτον τοῦ ἲν ποιήσετε ἐπὶ τῆς ὁλοκαυτώσεως, ἢ ἐπὶ τῆς θυσίας· τῷ ἀμνῷ τῷ ἑνὶ ποιήσεις τοσοῦτον, κάρπωμα, ὀσμὴν εὐωδίας τῷ Κυρίῳ· καὶ τῷ κριῷ, ὅταν ποιῆτε αὐτὸν εἰς ὁλοκαύτωμα ἢ εἰς θυσίαν, ποιήσεις θυσίαν σεμιδάλεως δύο δέκατα ἀναπεποιημένης ἐν ἐλαίῳ τὸ τρίτον τοῦ ἵν· καὶ οἶνον εἰς σπονδὴν τὸ τρίτον τοῦ ἲν προσοίσετε εἰς ὀσμὴν εὐωδίας Κυρίῳ. Ἐὰν δὲ ποιῆτε ἀπὸ τῶν βοῶν εἰς ὁλοκαύτωσιν ἢ εἰς θυσίαν μεγαλύναι εὐχὴν ἢ εἰς σωτήριον Κυρίῳ, καὶ προσοίσει ἐπὶ τοῦ μόσχου θυσίαν σεμιδάλεως τρία δέκατα ἀναπεποιημένης ἐν ἐλαίῳ ἥμισυ τοῦ ἲν, καὶ οἶνον εἰς σπονδὴν τὸ ἥμισυ τοῦ ἲν, κάρπωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ. Οὕτω ποιήσεις τῷ μόσχῳ τῷ ἑνὶ, ἢ τῷ κριῷ τῷ ἑνὶ, ἢ τῷ ἀμνῷ τῷ ἑνὶ ἐκ τῶν προβάτων ἢ ἐκ τῶν αἰγῶν, κατὰ τὸν ἀριθμὸν, ὧν ἐὰν ποιήσητε, οὕτως ποιήσετε τῷ ἑνὶ, κατὰ τὸν ἀριθμὸν αὐτῶν, πᾶς ὁ αὐτόχθων ποιήσει οὕτως τοιαῦτα προσενέγκας καρπώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ. Ἐὰν δὲ προσήλυτος ἐν ὑμῖν προσγένηται ἐν τῇ γῇ ὑμῶν, ἢ ὃς ἂν γένηται ἐν ὑμῖν, ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει κάρπωμα, ὀσμὴν εὐωδίας Κυρίῳ, ὃν τρόπον ποιεῖτε ὑμεῖς, οὕτω ποιήσει ἡ συναγωγὴ Κυρίῳ. Νόμος εἷς ἔσται ὑμῖν καὶ τοῖς προσηλύτοις τοῖς προσκειμένοις ἐν ὑμῖν· νόμος αἰώνιος εἰς τὰς γενεὰς ὑμῶν, ὡς ὑμεῖς, καὶ ὁ προσήλυτος ἔσται ἔναντι Κυρίου, νόμος εἷς ἔσται, καὶ δικαίωμα ἓν ἔσται ὑμῖν καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν ὑμῖν.» {ΠΑΛΛ.} Εἶτα ὅποι ποτὲ ἰσομοιροῦν καὶ ἀνάλογον, ὡς φὴς, ὃ ἂν ἐργάσαιτό τις, καταθηρήσαιμεν; {ΚΥΡ.} Οὐ γὰρ ἐπαΐεις, ὦ τᾶν, τοῦ νόμου λέγοντος ἐναργῶς, ὡς εἴπερ τις ἕλοιτο πληροῦν εὐχὰς καὶ ὁλοκαυτώματα, εἰ μὲν ἀμνὸν καταθύοι, δέκατον μὲν τοῦ οἰφὶ σεμιδάλεως, οἴνου δὲ καὶ ἐλαίου τὸ τέταρτον τοῦ ἲν (μέτρα δὲ οἶμαι ταυτὶ κατὰ γλῶτταν Ἑβραίαν) προσεπαγέτω τῷ θυμιάματι· εἰ δὲ κριὸς εἴη, φησὶν, ἐν πλεονασμῷ τὰ ἑπόμενα, τουτέστι, τὸ τρίτον· τρίτου γὰρ ἐν μείοσι, τὸ ὡς ἐν τετάρτῳ μέτρον. Μόσχου δὲ ἀναφερομένου, σεμίδαλίς τε καὶ τὰ λοιπὰ τοῦ τρίτου πάλιν ἐπέκεινα, καὶ ἐν ἡμίσει λοιπόν. {ΚΥΡ.} Ἐπυθόμην· τί οὖν τοῦτό γε; {ΚΥΡ.} Οἶσθα δέ που πάντως, ὅτι ζωῆς μὲν τύπος, ἡ ἐκ πυρῶν σεμίδαλις, ἱλαρότητος δὲ τὸ ἔλαιον· γέ 68.1032 γραπται γὰρ, ὅτι «Τοῦ ἱλαρύναι πρόσωπον ἐν ἐλαίῳ.» Εὐφρασίας δὲ τῆς νοητῆς, τῆς ἄνωθεν καὶ διὰ τοῦ Πνεύματος σημεῖον, ὁ οἶνος· «Οἶνος γὰρ,» φησὶν, «εὐφραίνει καρδίαν ἀνθρώπου.» {ΠΑΛΛ.} Συνίημι. {ΚΥΡ.} Οὐκοῦν ἀναλόγως, οἷς ἄν τις καρποφορήσειε,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἡ τῆς ζωῆς ἐπιχορηγία παρὰ Θεοῦ σὺν ἱλαρότητι καὶ εὐφρασίᾳ. Καὶ οὐ δήπου φαμεν, ὡς ἔν γε τῷ ζῆν, ἤτοι τῷ ζωοποιεῖσθαι παρὰ Θεοῦ τὸ μεῖζον, ἢ μεῖον. Λῆρος γὰρ τοῦτο. Ζωὴν δὲ λέγοντες, τὴν ἔν γε τῷ ζῆν λαμπρότητά φαμεν, καθ' ἣν ὁ μέν τις τυχὸν ὑπερέξει τοῦ δεῖνος· ὁ δὲ αὖ, ἐν μείοσι μὲν, ἢ ἐν οἷς ἂν εἶεν ἕτεροι. Πλὴν οὐκ ἔξω τιμῆς τε καὶ δόξης· «Ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.» Εἰκὼν οὖν ἄρα κἀνθάδε τῆς ὡς ἐν εὐκλείᾳ ζωῆς τῶν ἁγίων, ἡ τῶν θυμάτων διαφορὰ, τῇ τῶν ἑπομένων ποσότητι, τὸ τῆς εὐκλείας ἡμῖν καταγράφουσα μέτρον· ὅτι δὲ ἔμελλον οἱ ἐξ ἐθνῶν, ὁμοῦ τοῖς ἐξ αἵματος Ἰσραὴλ, τοῖς τοῦ Σωτῆρος ζυγοῖς ὑπενεγκεῖν τὸν αὐχένα, καὶ διὰ τῶν αὐτῶν ἰέναι θυσιῶν καὶ πνευματικῶν εὐδοκιμήσεων παρέδειξε προσθεὶς, οὐχ ἑτέροις δεῖν τὸν προσήλυτον κεχρῆσθαι νόμοις. Μία γὰρ ἡ πάντων ὁδὸς, εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν καὶ Πατέρα· καὶ ἔστιν αὕτη Χριστός. Ὡς γὰρ ὁ θεσπέσιος ἔφη Πέτρος, «Οὐκ ἔστιν ὄνομα ἕτερον ὑπὸ τὸν οὐρανὸν, τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.» {ΠΑΛΛ.} Ὡς ἄριστά τε ἡμῖν καὶ εὐτέχνως ἄγαν ὁ λόγος ἔχει. {ΚΥΡ.} Ὅτι γὰρ ψευδοεπήσομεν ἥκιστά γε, διαφόρους εἶναι διαβεβαιούμενοι τοὺς τῆς εὐδοκιμήσεως τρόπους, ἀπονεμηθήσεσθαι δὲ παρὰ Θεοῦ τοῖς ἑκάστου μέτροις ἰσοστάθμους τὰς ἀμοιβὰς, σαφηνιεῖ λέγων καὶ ὁ σοφώτατος Παῦλος· «Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει.» Προανακεκράγει δέ που καὶ ὁ Δαβίδ· «Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι.» Ἦ γὰρ οὐχ ἑτέραν εἶναι φὴς τὴν Παύλου, φέρε εἰπεῖν, δικαιοσύνην, παρὰ τὴν ὁτουοῦν τῶν οὔπω τοσούτων, ὁποῖός περ ἂν ἡμῖν ὑπάρχων νοοῖτο (πρὸς ἀλκὴν δέ φημι τὴν πνευματικὴν), ὡς ἀνακραγεῖν δύνασθαι σαφῶς· «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ;» {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Τί δέ; οὐχ ἑτέραν εἶναι δώσομεν τὴν καθαριότητα τῶν χειρῶν Ἰωάννου, παρὰ τὴν ἑτέρου, τοῦ πρὸς ἀρχὴν ἀναθρώσκοντος πολιτείας εὐαγγελικῆς, {ΠΑΛΛ.} Δώσομεν· πῶς γὰρ οὔ; {ΚΥΡ.} Εἶτα, εἰπέ μοι, δίκαιος ὢν ὁ τῶν ὅλων κριτὴς, ταῖς τῶν ἁγίων εὐδοκιμήσεσι σύνδρομόν τε καὶ εἰσάπαν ἐμφερῆ παρ' ἡμῶν ἐξαιτήσει τὴν δικαιοσύνην, ἤγουν δοκιμάσας τῆς ἐνούσης ἡμῖν εὐσθενείας τὸ μέτρον, οὐδὲν ὧν ἄν τις ἔχοι καὶ δύναιτο κατορθοῦν, ἐξαιτήσει πλεῖον; 68.1033 {ΠΑΛΛ.} Οὕτω φημὶ καὶ αὐτός· οὕτω γὰρ ἔφασκεν ὁ Χριστὸς, ὅτι «Ὧ πολὺ παρέθεντο, πολὺ ζητήσουσι παρ' αὐτοῦ·» Δῆλον δὲ ὅτι καὶ τὸ ἔμπαλιν ἀληθές· βραχὺ γάρ που πάντως παρὰ τοῦ τὸ ἔλαττον εἰληφότος. {ΚΥΡ.} Ἄθρει δὴ οὖν τὸ χρῆμα ἐν νόμῳ γραφόμενον, καὶ ἀναλόγως τοῖς ἑκάστου μέτροις, τὰ παρ' αὐτοῦ ζητοῦντα Θεόν. Ἡμερότητος δὲ τῆς ἐπέκεινα λόγου καὶ φιλανθρωπίας ὑπάρχων πηγὴ καὶ γένεσις, ἀποπέμπεται μὲν οὐδένα τῶν διὰ πίστεως προσδεδραμηκότων αὐτῷ, προσίεται δὲ μεθ' ὧν ἂν ἕκαστος ἔχοι, καὶ δωροφορίας δέχεται πνευματικὰς, τὸ ἰσχύος ἐπέκεινα παραιτούμενος πανταχῆ. Ἔχει δὲ οὕτως ἡμῖν ὁ ἐπὶ τῷδε νόμος, ἐν τῷ Λευϊτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς αὐτοῖς· Ἄνθρωπος ὃς ἂν εὔξηται εὐχὴν ὥστε τιμὴν τῆς ψυχῆς αὐτοῦ τῷ Κυρίῳ, ἔσται ἡ τιμὴ τοῦ ἄρσενος ἀπὸ εἰκοσαετοῦς ἕως ἑξηκονταετοῦς. ἔσται αὐτοῦ ἡ τιμὴ πεντήκοντα δίδραχμα ἀργυρίου τῷ σταθμῷ τῷ ἁγίῳ, τῆς δὲ θηλείας ἔσται ἡ συντίμησις τριάκοντα δίδραχμα. Ἐὰν δὲ ἀπὸ πενταετοῦς ἕως εἴκοσι ἐτῶν, ἔσται ἡ τιμὴ τοῦ ἄρσενος εἴκοσι δίδραχμα, τῆς δὲ θηλείας, δέκα δίδραχμα. Ἀπὸ δὲ μηνιαίου ἕως πενταετοῦς, ἔσται ἡ τιμὴ τοῦ ἄρσενος πέντε δίδραχμα ἀργυρίου, τῆς δὲ θηλείας, τρία δίδραχμα ἀργυρίου. Ἐὰν δὲ ἀπὸ ἑξηκονταετῶν καὶ ἐπάνω, ἐὰν μὲν ἄρσεν ᾖ, ἔσται ἡ τιμὴ αὐτοῦ πέντε καὶ δέκα δίδραχμα ἀργυρίου· ἐὰν δὲ θήλεια, δέκα δίδραχμα ἀργυρίου· ἐὰν δὲ ταπεινὸς ᾖ τῇ τιμῇ, στήσεται ἐναντίον τοῦ ἱερέως, καὶ τιμήσεται αὐτὸν ὁ ἱερεὺς καθάπερ ἰσχύει ἡ χεὶρ τοῦ εὐξαμένου, οὕτως τιμήσεται αὐτὸν ὁ ἱερεύς.» Προσίεσαν μὲν γάρ τινες,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑαυτοὺς εἰς ἁγιασμὸν καὶ ἀνάθημα καταγράφοντες τῷ Θεῷ, καὶ ἀνατιθέντες ἀσμένως τὴν τῷ νόμῳ διωρισμένην τῶν διδράχμων ποσότητα. Εἰ δὲ δή τις εἴη τῶν οὐ λίαν εὐσθενῶν, ἤγουν τῶν ἀσημοτέρων, οὐκέτι μὲν κατὰ νόμους ἡ ἔκτισις ἦν. Δοκιμάζοντος δὲ τοῦ κατὰ καιροὺς ἱερατεύοντος, ὄφλημά τι τοῖς αὐτοῦ μέτροις τὸ ἰσοπαλὲς ὡρίζετο. Αὕτη μὲν οὖν ἡ ἐμφανεστέρα τοῦ γράμματος ἀφήγησις καὶ ἔννοια· ἀναμνῆσαι δὲ δεῖν ἀναγκαῖον ὑπολαμβάνω τοὺς τοῖς ἱεροῖς προσεδρεύοντας λόγοις ὅτι μάλιστα φιλομαθῶς, ὡς τοῖς Φαρισαίοις ποτὲ προσελάλει Χριστὸς, καὶ ταυτησὶ σαφῶς τε καὶ ἐναργῶς διεμέμνητο τῆς ἐντολῆς. Οἱ μὲν γὰρ, εἰς ἐξίτηλόν τινα καὶ οὐχὶ τῷ νόμῳ διεγνωσμένον μεθορμισάμενοι βίον, καὶ διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων, κατὰ τὸ γεγραμμένον, προσίεσαν λέγοντες, «Διατί οἱ μαθηταί σου παραβαίνουσι τὴν ἐντολὴν τῶν πρεσβυτέρων; Οὐ γὰρ νίπτονται τὰς χεῖρας, ὅταν ἄρτον ἐσθίουσι.» Παραχρῆμα δὲ πρὸς αὐτοὺς ὁ Σωτήρ· «Διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ; Ὁ γὰρ Θεὸς εἶπε, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται· ὑμεῖς δὲ λέγετε, Ὃς ἐὰν εἴπῃ τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ, Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, οὐ μὴ τιμήσει τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα· καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ, διὰ τὴν 68.1036 παράδοσιν ὑμῶν.» Ἐρασιχρήματοι μὲν γὰρ καὶ φιλοκερδεῖς ἄγαν ὄντες οἱ Φαρισαῖοι, πλείστους μὲν ὅσους ὁρᾷν ἐπεθύμουν πρὸς τὴν κατὰ νόμον ἰόντας ἀπογραφὴν, ἵνα δὴ σφίσιν ἁδρύνοιτο τὰ βαλάντια, τὰ παρ' ἑκάστου τῶν προσιόντων ἀπλήστῳ χειρὶ συλλέγουσιν. Ἀλλ' ἦν εἰκὸς ἀναδύεσθαί τινας τὴν ἀπογραφὴν, ὄκνου πρόφασιν ἔχοντας οὐκ ἀγεννῆ τὴν πτωχείαν, καὶ τόγε δὴ χρῆναι δεῖν γηροκομεῖν πατέρας ἤγουν καὶ μητέρας, ἐξ ὧν αὐτοὶ καὶ οὐ σὺν ἱδρῶτι βραχεῖ πορίσαιντο· μόλις ταυτὶ μαθόντες οἱ ἀλιτήριοι Φαρισαῖοι, προὔτρεπον ἑτοίμους ἰέναι πρὸς τὴν ἀνάθεσιν, οὐ τὰ εἰκότα φρονοῦντες ἔτι, καὶ τὸ νόμῳ δοκοῦν ἐκτετιμηκότες, τὸ ἀποπεραίνειν εὖ μάλα, φημὶ, τὴν εἰς γονέας αἰδῶ, καὶ φειδοῦς μεταποιεῖσθαι τῆς εἰς αὐτοὺς, ἐῤῥῶσθαι δὲ μᾶλλον ἐπιφωνοῦντας ἤδη πως, τὰ νενομισμένα πληροῦν. Ἐπειδὴ γὰρ ἔγκλημα καὶ γραφὴ κατὰ νόμους ἦν τὸ σφετερίσασθαί τι τῶν εἰς δόξαν Θεοῦ προσενηνεγμένων, δῶρον δὲ ἦν ὄνομα τοῖς ἀναθήμασιν, ἐδίδασκον λέγειν ἐξαιτοῦσι τὰς ἐπικουρίας τοῖς γεγεννηκόσι· «Δῶρον ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς,» τουτέστιν, ὅπερ ἄν σοι δῴην ἐγὼ, τοῦτό ἐστιν ἀνάθημα, καὶ λελυπηκὼς ἴσθι τοι τὸν νόμον, τὰ εἰς δόξαν Θεοῦ παρακλέπτων καὶ ἀνοσίως λαμβάνων. Ἀκαταιτίατον δὲ τὴν εἰς γονέας ἀπανθρωπίαν διεβεβαιοῦντο ὑπάρχειν οἱ τῶν αἰσχίστων αὐτοῖς εὑρημάτων εἰσηγηταὶ, Θεῷ μᾶλλον ἀναθεῖναι τὰ ὄντα κατὰ
τὸν νόμον ᾑρημένοις. Τοῦτο, οἶμαι, ἐστὶ τὸ, «Ὃς ἂν εἴπῃ τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ ὑτοῦ, Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, οὐ μὴ τιμήσει τὸν πατέρα αὐτοῦ, ἢ τὴν μητέρα αὐτοῦ.» Ἐξέστω γὰρ δὴ τὸ μὴ τιμᾷν πατέρα, μήτε μὴν αἰδῶ ποιεῖσθαι μητρὸς, τοῖς λέγουσι· «Δῶρον ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς,» τοῦτ' ἐστιν, ὅπερ ἄν σοι δοὺς, ὠφελήσαιμι τυχὸν, τοῦτο θεῖόν ἐστι δῶρον, καὶ τῶν ἱερῶν ἀναθημάτων ἔσῃ κλοπεύς. {ΠΑΛΛ.} Ὀρθῶς τε καὶ ἀληθῶς εἰρῆσθαί φημι. {ΚΥΡ.} Ἐπειδὴ δὲ ὁ τῆς ἱστορίας ἡμῖν οὐκ ἀσυμφανῶς ἔχει λόγος, ἴωμεν ἐπὶ τὰ πνευματικὰ, καὶ τῆς τῶν αἰσθητῶν ἐπέκεινα θεωρίας ἁψώμεθα. {ΠΑΛΛ.} Ἴωμεν. {ΚΥΡ.} Ἕκαστος ἡμῶν, ὦ Παλλάδιε, τῶν ἐν πίστει δεδικαιωμένων καὶ ἡγιασμένων ἐν Πνεύματι, ἱερὸν ἀνάθημα γέγονε τῷ Θεῷ. Ὀφείλομεν δὲ τῷ Χριστῷ τὴν οἰκείαν ζωὴν ἕκαστος. Ὡς γὰρ ὁ θεσπέσιος ἔφη Παῦλος, «Τιμῆς ἠγοράσθημεν, καὶ οὐκ ἐσμὲν ἑαυτῶν.» Καὶ, «Εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.» Κατεκτήσατο γὰρ ἡμᾶς δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρὶ, τιμὴν ὥσπερ τινὰ καταθεὶς τὴν ὑπὲρ ἡμῶν, τὸ ἴδιον αἷμα. Προσίεμεν οὖν ἄρα τῷ πάντων Σωτῆρι Χριστῷ διὰ πίστεως καὶ ἁγιασμοῦ, τῶν εἰς ἡμᾶς παρ' αὐτοῦ γεγονότων, προσάγοντες τὴν ἀντέκτισιν, τῆς ἐν εὐσεβείᾳ ζωῆς τὴν ἀνάθεσιν. Ἀλλὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διάφορος καὶ οὐχ εἷς νοοῖτ' ἂν ὑπάρχειν, καὶ μάλα εἰκότως, τῆς προσαγωγῆς ὁ τρόπος. Οἱ μὲν γὰρ, οὐκ ἄγαν εὐσθενῶς, οἱ δὲ, θερμοτέραις 68.1037 ὥσπερ προθυμίαις εἰς τοῦτο διᾴττουσιν, καὶ σφριγώσῃ διανοίᾳ, καὶ νῷ διεγηγερμένῳ, καὶ ἀκμαιοτάταις ὁρμαῖς ἴενται πρὸς κατόρθωσιν, ὧν ἂν δεήσῃ πληροῦν, καὶ ἀποπεραίνειν δύνασθαι τὸ αὐτῷ δοκοῦν. Εἶεν δ' ἂν οὗτοι, κατά γε τὸ ἐκ τῆς ἱστορίας ὑποδηλούμενον οἱ ἀπὸ εἰκοσαετοῦς καὶ ἕως ἑξήκοντα ἔτους· ἀνέρχεται μὲν γὰρ ἕως ἑξηκοστοῦ λοιπὸν ἔτους, εὐσθενὲς εἶναι τὸ σῶμα, καὶ ἐν τοῖς ἀκμαιοτάτοις κινήμασι. Βέβηκε δὲ ἤδη καὶ ἔῤῥωταί πως ὁ νοῦς, καὶ μάλα ἐπιτηδείως ἔχει πρὸς παραδοχὴν, ὧν ἂν ἕλοιτο μαθεῖν. Ὁ δὲ εἰδὼς τὸ πλάσμα ἡμῶν, κατὰ τὸ γεγραμμένον, ἔγνω που πάντως τοιάνδε τινὰ καὶ ἐν ψυχαῖς ἡλικίαν. Ἐξ ὁμοιώσεων γὰρ ὁ λόγος τῶν σωματικῶν διέρπει που πάντως ἐπὶ τὰ νοητά. Εἴτ' οὖν ἄρσεν εἴη τυχὸν, εἴτ' οὖν θήλεια, τῆς νοητῆς ἡλικίας ἐν ἀκμαῖς ἔτι κείμενοι, προσκομιζόντων τὰ ὡρισμένα, τουτέστιν, ἄρσην, ὡς ἐν διδράχμοις πεντήκοντα τὸν ἀρτίως ἔχοντα, καὶ ὅτι μάλιστα τελεώτατον, τῆς πνευματικῆς λατρείας καρπὸν, ὃς διὰ τῶν ἑπτάκις ἑπτὰ, πρὸς λῆξιν ἤδη τὴν ἀνωτάτω, καὶ εἰς τελειότητα μεμαρτυρημένος ὁρᾶται σαφῶς. Ἡ δέ γε θήλεια πάλιν, ὡς ἐν διδράχμοις τριάκοντα· μεῖον μὲν γὰρ ἢ τὸ ἄρσεν εὐδοκιμεῖ, προσκομίζει δὴ οὖν ὅμως ὡς κατ' ἰδίαν φύσιν, τὸν ἐν τελειότητι καὶ πόνῳ καρπὸν, ὡς διὰ τριῶν δεκάδων ὑποδηλούμενον. Ὁ δὲ ἀπὸ πενταετοῦς, καὶ ἕως εἰκοσαετοῦς, εἰ μὲν ἄρσεν εἴη, διδράχμων εἴκοσι ποιεῖται κατάθεσιν. Εἰ δέ γε θήλεια, δέκα. Ἐκ πέντε γὰρ, οἶμαι, καὶ μόλις ἐτῶν, ἄρχεταί πως ὁ νοῦς ἀναμύειν ὥσπερ εἰς σύνεσιν, νηπιοπρεπῆ μὲν ἔτι καὶ ἀσθενῆ, πλὴν ἰοῦσαν ὡς ἐπὶ τὸ ἄμεινον, ἐπίδοσιν δὲ τὴν εἰς τὸ ἀείπως εὐσθενὲς τὸ σῶμα ποιεῖται Ἢ οὐ συνιεῖς ὃ λέγω; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Συμμεμέτρηται μὲν οὖν ταῖς πνευματικαῖς εὐρωστίαις καὶ ὁ παρ' ἑκάστου καρπός. Κατόπιν δὲ πανταχοῦ τὸ θῆλυ τοῦ ἄρσενος, καὶ ἐν ἡμίσει πολλάκις. Ὅτι γὰρ τὸ σκεῦος ἀσθενὲς, μεμαρτύρηκε σαφῶς ὁ θεσπέσιος Παῦλος. Λείπεται δὲ τῆς ἀνδρῶν εὐφυΐας, καὶ σιωπᾷ μὲν ἐν ἐκκλησίαις. Οὐ γὰρ πεπίστευται λόγον, εὐσθενὲς δὲ οὔτι που πρὸς κατόρθωσιν ἀρετῆς, ὡς ἂν ὁρῷτο ἄρσεν. Ἀπὸ δέ γε μηνιαίου, φησὶ, καὶ ἕως πενταετοῦς, πέντε μὲν δίδραχμα τὸ ἄρσεν· τρία δὲ αὖ, τὸ θῆλυ. Καί τοι τίς γένοιτο παρὰ βρεφῶν ὁ καρπός; Οὐκοῦν πως ἀρτιγενὲς ἐν Χριστῷ παιδίον ὁ λόγος ἡμῖν ὑπαινίττεται, οἷς καὶ τὸ γάλα πρέπειν εἰς τροφὴν ὁ ἱερὸς ἔφη Παῦλος. Τῶν γὰρ ἄρτι κεκλημένων διὰ τῆς πίστεως, καὶ νηπιαζόντων ἔτι, βραχὺς ὁ καρπός· καὶ τοῦτο εἰδότες οἱ θεσπέσιοι μαθηταὶ, τοῖς ἐξ ἐθνῶν ἐπιστέλλουσι, καὶ τῆς πλείστης ὅσης εὐαγγελικῆς ἐντολῆς δοθείσης παρὰ Χριστοῦ, φυλάττεσθαι δεῖν ἀπό τε πορνείας καὶ πνικτοῦ καὶ αἵματος. Ταῦτα δὲ δρῶντας εὐπράξειν ἔφασκον. Οὐ γάρ τοι τοῖς ἄγαν φορτικοῖς καταβαρύνεσθαι χρὴ τὸν τρυφερὸν ἔτι καὶ νηπιάζοντα νοῦν. Προσετίθη δὲ ὁ νόμος, ἐξαιτεῖσθαι δεῖν τοὺς ἀπὸ ἑξακονταετοῦς καὶ ἐπάνω, ἄρσενα μὲν, δέκα καὶ πέντε δίδραχμα, θήλειαν δὲ, δέκα. Τὸ γὰρ ἤδη νενευ 68.1040 κὸς εἰς τὸ ἄναλκί τε καὶ ἀδρανὲς, οὐκ ἂν γένοιτό πως ἐν εὐκαρπίᾳ πολλῇ, καθάπερ ἀμέλει καὶ τὰ γηράσκοντα τῶν φυτῶν, παλαιουμένης αὐτῶν τῆς ῥίζης, κατοκνοῦντα φαίνεται πρὸς τὴν ὡρίμων ἐκβολήν. Οὐκοῦν ὁ δίκαιος ἀληθῶς καὶ φιλοικτίρμων Θεὸς, ἀναλόγως ταῖς ἑκάστου προθυμίαις, καὶ τῇ κατὰ νοῦν ἐπιτηδειότητι, δέχεται τοὺς καρποὺς, οὔτε τὸ ἄναλκι καὶ ἀφηβηκὸς, ἔξω τε λόγου τιθεὶς, καὶ ἀποπέμπων ὡς ἀδρανὲς, οὔτε μὴν ἀγέραστον τὸ εὐσθενὲς ἀνιεὶς, ἀνευρύνων δὲ ὥσπερ τοῖς ἐθέλουσι τὸ εὐδοκιμεῖν, καθ' ὃν ἂν ἕκαστος ἔχοι τρόπον. Τοὺς δέ γε τὴν ἕξιν ἀσθενεστέρους, τάχα δέ που καὶ ὀλιγογνώμονας, αὐτὸς ἕξει, τὴν καρποφορίαν ἐπιμετρῶν ἑκάστῳ τὸ κατ' ἰσχύν. Τοῦτο γὰρ, οἶμαι, ἐστὶ τὸ, «Στήσεται ἐναντίον τοῦ ἱερέως, καὶ τιμήσει αὐτὸν ὁ ἱερεὺς, καθ' ὅσον ἰσχύει ἡ χεὶρ τοῦ εὐξαμένου.» {ΠΑΛΛ.} Ὡς ἰσχνὸς ὁ λόγος! {ΚΥΡ.} Ἀνακομιστέον δὴ οὖν, ὦ Παλλάδιε, τῷ Θεῷ, καθάπερ ὀσμὴν εὐωδίας, καὶ ὀφλημάτων ἐν τάξει, πολιτείαν ἁγιοπρεπῆ, καὶ τῆς ἐξαιρέτου ζωῆς τὰ αὐχήματα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Γεγραφότος δὲ δὴ τῶν ἁγίων διεπύθου τινὸς, «Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης.» Βουθυσίαις μὲν γὰρ οἱ πάλαι καὶ λιβανωτοῖς ᾤοντο τιμᾷν· πολιτείας γὰρ ἥδε τῆς κατὰ νόμον ὁδός· ἡμεῖς δὲ λοιπὸν οἱ ἐν Χριστῷ διὰ πίστεως, τὴν ἀμείνω καὶ προφερεστέραν ἰόντες τρίβον, τὴν ἐν πνεύματί τε καὶ ἀληθείᾳ προσκύνησιν ἀναθήσομεν τῷ Θεῷ, πάντα μὲν ὥσπερ σείοντες κάλων, εἴς γε τὸ δύνασθαι γεννικῶς διαπεραίνειν ἃ χρῆν, ἀναθήμασι δὲ τοῖς πνευματικοῖς τε καὶ ἱεροῖς καταγεραίρειν Θεόν. Φημὶ γὰρ ἔγωγε διαμεμνῆσθαι δεῖν λέγοντος ἐναργῶς διὰ τοῦ πανσόφου Μωσέως, «Τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου φυλάξῃ,» τουτέστιν, ὅπερ ἂν εὔξῃ, διαπεραίνειν ἐπείγου καὶ μάλα γοργῶς. Χρῆμα γὰρ ἐν τούτοις ὁ μελλησμὸς οὐκ ἀζήμιον. «Ἐὰν γὰρ εὔξῃ, φησὶν, εὐχὴν τῷ Κυρίῳ, μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτήν· ἀγαθὸν τὸ μὴ εὔξασθαί σε, ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι.» {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Καὶ μέντοι τῆς εὐτεχνίας τὸν εὐφυᾶ σκοπὸν, τῆς ἐπί γε τῷ δεῖν ἀποπεραίνειν εὐχὰς καὶ ὁμολογίας, ἀναμάθοι τις ἂν οὐχ ἑτέρωθεν ἀπλανῶς, πλὴν ὅτι διὰ τοῦ νόμου. Γέγραπται γὰρ, ὅτι «Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.» Ἦ γὰρ οὐχὶ νόμῳ τῷ θείῳ φωταγωγούμεθα, καὶ οἶμον ὀρθήν τε καὶ ἀπλανῆ διάττοι τις ἂν, λύχνον ὥσπερ τινὰ τὰς ἐκεῖθεν ἔχων αὐγάς;» {ΠΑΛΛ.} Πῶς γὰρ οὔ; Ψάλλει γάρ που καὶ ὁ θεσπέσιος Δαβίδ· «Ἡ ἐντολὴ Κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς.» {ΚΥΡ.} Τίνα δὴ οὖν τρόπον εὐδοκιμήσομεν, τὸν εὐκλεᾶ τε καὶ πάναγνον διαζῶντες βίον, καὶ λαμπρὸν ἀνάθημα τῷ Θεῷ, τοὺς τῆς ἄγαν ἐπιεικείας ἀπονέμοντες τρόπους, εἴσῃ τοι καὶ μάλα σαφῶς, καὶ δι' ἑτέρων ἡμῖν θεσπισμάτων ἐπισκήπτοντος τοῦ Θεοῦ. 68.1041 Ἔχει δὲ οὕτως ἐν τοῖς Ἀριθμοῖς· «Καὶ ἐλάλησε 68.1041 Κύριος πρὸς Μωσῆν λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· Ἀνὴρ ἢ γυνὴ ὃς ἂν μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι ἁγνίαν Κυρίῳ, ἀπὸ οἴνου καὶ σίκερα ἁγνισθήσεται. Καὶ ὄξος ἐξ οἴνου καὶ ὄξος ἐκ σίκερα οὐ πίεται, καὶ ὅσα κατεργάζεται ἐκ σταφυλῆς οὐ πίεται, σταφυλὴν πρόσφατον καὶ σταφίδα οὐ φάγεται πάσας τὰς ἡμέρας τῆς εὐχῆς τοῦ ἁγνισμοῦ αὐτοῦ, ἀπὸ πάντων ὅσα γίνεται ἐξ ἀμπέλου, οἶνον ἀπὸ στεμφύλων ἕως γιγάρτου οὐ φάγεται πάσας τὰς ἡμέρας τοῦ ἁγνισμοῦ. Ξυρὸν οὐκ ἐπελεύσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι, ὅσας ηὔξατο Κυρίῳ. Ἅγιος ἔσται τρέφων κόμην, τρίχα κεφαλῆς πάσας τὰς ἡμέρας τῆς εὐχῆς Κυρίῳ. Ἐπὶ πάσῃ ψυχῇ τετελευτηκυίᾳ οὐκ εἰσελεύ-σεται ἐπὶ πατρὶ καὶ μητρὶ, καὶ ἐπ' ἀδελφῷ καὶ ἐπ' ἀδελφῇ, οὐ μιανθήσεται ἐπ' αὐτοῖς, ἀποθανόντων αὐτῶν, ὅτι εὐχὴ Θεοῦ αὐτοῦ ἐπ' αὐτῷ ἐπὶ κεφαλῆς αὐτοῦ, Πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ ἅγιος ἔσται Κυρίῳ. Ἐὰν δέ τις θανάτῳ ἀποθάνῃ ἐπ' αὐτῷ ἐξά-πινα, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ· καὶ ξυρήσεται τὴν κεφαλὴν αὐτοῦ ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ, τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρηθήσεται· καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ οἴσει δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν πρὸς τὸν ἱερέα, ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ ποιήσει ὁ ἱερεὺς μίαν περὶ ἁμαρτίας, καὶ μίαν εἰς ὁλοκαύτωμα· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ ὧν ἥμαρτε περὶ τῆς ψυχῆς, καὶ ἁγιάσει τὴν κεφαλὴν αὐτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ ἡγίασε Κυρίῳ, πάσας τὰς ἡμέρας τῆς εὐχῆς, καὶ προσάξει ἀμνὸν ἐνιαύσιον εἰς ὁλοκαύτωμα πλημμελείας. Καὶ αἱ ἡμέραι αἱ πρότεραι ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ κεφαλὴ εὐχῆς αὐτοῦ.» {ΠΑΛΛ.} Οὐκ ἄτραχυ μὲν τὸ χρησμῴδημα συνιδεῖν, ἥκιστά γε μὴν, οὐχὶ τοῦ νόμου λεπτὴν παθόντος τὴν βάσανον. Τὸ γὰρ μὴ ψιλοῦσθαι τὴν τρίχα, μακρὰν δὲ ἀνεῖναι καὶ κατασείεσθαι κόμην, οἴνου τε καὶ ὄξους καὶ σταφίδος, καὶ μὴν καὶ γιγάρτων ἀποφοιτᾷν, ποῖον ἂν ἔχοι λατρείας τρόπον; {ΚΥΡ.} Οὐδένα μὲν, ὦ Παλλάδιε, κατά γε τὸ ἀληθὲς, εἴπερ τις ὅλως αὐτὸ κατὰ φύσιν ὅ τί ποτέ ἐστιν καταθροῖτο τὸ χρῆμα. Οὐκ ἀθαύμαστός γε μὴν ὁ τοῦ νόμου σκοπὸς, τὰ Ἑλλήνων ἔθη μεταχαράττοντος εὐτέχνως ἐπὶ τὰ πρεπωδέστερα, καὶ μετατιθέντος ἀστείως εἰς εἰκόνα ζωῆς εὐαγγελικῆς, καὶ τὸ εἰκαῖον εἶναι δοκοῦν. Οὐκοῦν εἴ τῳ περ εἴη σκοπὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀφαγνίσασθαι τῷ Θεῷ κατὰ τὴν μεγάλην εὐχὴν, τουτέστι κατά γε τὸν τῆς ἀνωτάτω πολιτείας τρόπον, καὶ δικαιοσύνης ἐντελοῦς ὀρθὴν καὶ ἀμώμητον τρίβον, οἴνου καὶ σικέρατος οἰχέσθω μακρὰν, τουτέστι, παντὸς τοῦ καταμεθύσκειν ἰσχύοντος, καὶ καταθολοῦν εἰωθότος, ἀπαλλαττέτω τὸν νοῦν. Εἶεν δ' ἂν, οἶμαι, ταυτὶ φρόνημα κοσμικὸν, γεώδεις ἐπιθυμίαι, μέριμναι σαρκὸς, εἰκαῖοι περισπασμοί· ταῦτά τοι παθόντας τῶν ἱερέων τινὰς λόγος ἐθρήνει προφητικὸς, ὡδί πως ἔχων· «Ὅτι ἱερεὺς καὶ προφήτης ἐξέστησαν διὰ τὸν οἶνον, ἀπὸ τῆς μέθης τοῦ σίκερα.» Καὶ μὴν καὶ περὶ ἑτέρων ὁ 68.1044 προφήτης φησίν· «Ἐκ γὰρ ἀμπέλου Σοδόμων, ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας, ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν, θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν.» Ποτίζειν δὲ λέγονται καὶ ἕτεροί τινες τὸν πλησίον, ἀνατροπὴν θολεράν. Ἐξείργει δὴ οὖν παντὸς τοῦ καταμεθύσκειν εἰδότος τῶν ἡγιασμένων τὸν νοῦν. Καὶ μέν τοι καὶ ὄξους ἀμέτοχον εἶναι δεῖν εὖ μάλα φησὶν, ὄξος, οἶμαί που, τὰς παρὰ φύσιν τε καὶ ἐκτετραμμένας ὀνομάζων ἡδονάς. Σταφίδος δὲ καὶ γιγάρτων ἀπαγορεύει χρῆσιν, οὐδ' ὅσον εἰπεῖν εἰς ἀρχαῖα λείψανα τῶν ἐν ἡμῖν ἡδονῶν, καθικνεῖσθαί που τὸν νοῦν ἐφιείς. Οἶνος μὲν δὴ καὶ πάντα τὰ ἐξ αὐτοῦ διαβέβληνται νόμῳ, ταυτησὶ, καθάπερ ἐγῷμαι, καὶ οὐχ ἑτέρας ἕνεκα τῆς αἰτίας. Τί δ' ἂν εἴη λοιπὸν καὶ τό γε δὴ χρῆναι μακρὰν τῷ Θεῷ καθεῖναι τὴν κόμην, φέρε δὴ λέγομεν, ἐκεῖνο τῶν ἄλλων προηγορευκότες. Ἑλλήνων μὲν γὰρ ἀνούστατοι παῖδες, ταῖς παρὰ φύσιν αὐτοῖς ἑπόμενοι συνηθείαις, καὶ κτηνῶν ἀλόγων διαβιοῦντες δίκην, ἀνίεσαν κόμην, δαιμονίοις αὐτὴν σκηπτόμενοι τρέφειν· καὶ ὁ μέν τις αὐτὴν νύμφαις ὀρειάσιν, ὁ δεῖνα δὲ αὖ ποταμῷ κατὰ καιροὺς ἀπεκείροντο· καὶ λατρείας ἦν τρόπος τὸ χρῆμα αὐτοῖς. Μωσῆς γε μὴν ὁ σοφώτατος, μᾶλλον δὲ διὰ Μωσέως ὁ πάνσοφός τε καὶ ἀριστοτέχνης Θεὸς, δυσαπόνιπτον ἔχουσι τοῖς ἐξ Ἰσραὴλ τὴν ἐν Αἰγύπτῳ πλάνησιν, τὰ ἴσα νομοτεθεῖ, διὰ τῶν ἀρχαίων ἠθῶν τε καὶ τρόπων κατὰ βραχὺ μεθιστὰς, εἴς γε τὸ δαίμοσι μὲν οὐκέτι, Θεῷ δὲ τῷ πάντων, ὡς διὰ τύπου καὶ σκιᾶς, ἀνάπτειν τὸ σέβας. Τοιγάρτοι καὶ τοὺς περὶ τῶν θυσιῶν ἐτίθει νόμους, καὶ τὰς δι' αἵματος θυσίας ἀνεθελήτως ἐδέχετο. Καὶ γοῦν ἔφασκεν ἐναργῶς διὰ φωνῆς Ἡσαΐου, «Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;» Οὐκοῦν συνήθεια μὲν ἀλογωτάτη παρ' Ἕλλησιν ἦν, διδάσκει δὲ τὰ ἀμείνω καὶ καταρυθμίζει λόγῳ πρὸς τὸ εὖ ἔχον ὁ νόμος, καὶ τὸ εἰκαῖον εἶναι δοκοῦν. Βούλει δὲ, ὡς ἔνι, καὶ τὰ ἐφ' ἑκάστῳ λέγωμεν; {ΠΑΛΛ.} Μάλιστά γε. {ΚΥΡ.} Ἦ οὐκ οἶσθα, μεμνήσομαι γὰρ, εἰς νοῦ τύπον ὁ λόγος ἐτίθει τὴν κεφαλὴν, ὡς ἐνδιαίτημα νοῦ; Δέχεται γὰρ οὕτως ἡ θεόπνευστος Γραφή. {ΠΑΛΛ.} Σύμφημι· τί οὖν τοῦτό γε; {ΚΥΡ.} Ὅτι τρίχες μὲν, καρποὶ κεφαλῆς, καὶ ἐμφύτων βλαστημάτων ἀνίσχουσι δίκην· ἔννοιαί γε μὴν, καὶ τὰ ἐκ νοῦ πάντα, καρπὸς ἂν εἶεν αὖ νοῦ, νόμον ἡμῖν ἀναβρύουσαι, καὶ οἱονείπως αὐτῷ καλή τε καὶ εὐανθὴς ἐμπρέπουσα κόμη. Χρὴ τοιγαροῦν ἡμᾶς, οὐ γυμνὸν καὶ ἐψιλωμένον ἐννοιῶν ἀγαθῶν ἐν ἑαυτοῖς ἔχειν τὸν νοῦν, ἀλλ' οἱονεὶ βρύοντα καὶ κομῶντα Θεῷ τὴν ὁτιοῦν τῶν ἀρίστων εἴδησιν ἀκριβῆ, δι' ἧς καὶ αὐτὸ τὸ θεῖον, ὅ τί ποτέ ἐστι, περιεργάσεται κάλλος, καὶ περιαθρήσει λαμπρῶς τὰ ὡς ἐν βάθει κεκρυμμένα, καὶ τοὺς τῆς ἄγαν ὀρθότητος καταπλουτήσει λόγους, ὡς ἀνυπαίτιον παντελῶς τὴν ἐπὶ Θεῷ δύνασθαι γνῶσιν ἑλεῖν, καὶ ἀπλανεστάτην ἰέναι τρίβον, τὴν ἐφ' ἅπασι λέγω τοῖς τεθαυμασμένοις. Ἦ οὐκ εἰς λῆξιν 68.1045 ἐπαίνου παντὸς διᾴττειν ἤδη πως τόν γε τοιοῦτον ἐρεῖς; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Τί δὲ, οὐχὶ τὸ ξυρᾶσθαι καὶ καταψιλοῦσθαι τὴν κεφαλὴν τεμνομένης ἐν Χριστῷ [γρ. Χρωτὶ] τῆς τριχὸς, ἀτιμίας ὑπόληψιν ἐργάσαιτ' ἂν, οἷσπερ ἂν ὅλως συμβαίνοι τυχὸν, ἰέναι; {ΠΑΛΛ.} Συνίημι. {ΚΥΡ.} Εἰ γὰρ Θεοῦ λέγοντος πρὸς τὴν τῶν Ἰουδαίων μητέρα, φημὶ δὲ τὴν Ἱερουσαλὴμ, «Ξύρησαι καὶ κεῖρε ἐπὶ τὰ τέκνα τὰ τρυφερά σου. Ἐμπλάτυνον τὴν χηρείαν σου ὡς ἀετὸς, ὅτι ᾐχμαλωτεύθησαν ἀπὸ σοῦ.» Ὑβρίστρια γὰρ καὶ ἀτιμοποιὸς ἡ ξύρησις, καὶ τοῖς πενθοῦσι πρεπωδεστάτη.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

{ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Γυμνὸς οὖν ἄρα καὶ ἀτιμότατος νοῦς, καὶ αἰσχύνης ἔμπλεως οὐκ ἔχων ἐν ἑαυτῷ τὰ δι' ὧν θαυμάζεται. Εἶεν δ' ἂν ἐν τούτοις καὶ μάλα εἰκότως οἵ τε ὀλιγογνώμονες, καὶ παρεφθαρμένην ἔχοντες ἐπὶ Θεῷ τὴν δόξαν, ὡς λίθοις προσκυνεῖν, ἤγουν ἀσυνέτως ἀποτολμᾷν ἀπονέμειν τῇ κτίσει τὸ σέβας, παρὰ τὸν κτίστην καὶ ποιητὴν, καὶ τὰ εἰσάπαν διεστραμμένα φρονεῖν τε καὶ λέγειν, καὶ τὴν μὲν ἀληθῆ καὶ ἀμώμητον ἀποσείεσθαι πίστιν, ἐπιθρώσκειν δὲ μᾶλλον, οἷς ἂν ἐξ ἠλιθιότητος παραφθέγξαιτό τις, διάτοι τὸν νοῦν ἀγαθοῖς οὐκ ἔχειν κατακομῶντα λογισμοῖς. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Ἔστω δὴ οὖν τοῖς εἰς ὀρθότητα λογισμοῖς μεμεστωμένος ὁ νοῦς, καὶ ἐννοιῶν εὑρήμασι τοῖς εἰς πᾶν ὁτιοῦν τῶν τεθαυμασμένων, οἱά τινι κόμῃ κατεστεμμένος. Ἔμφρων γὰρ ὁ τοιοῦτός ἐστιν ὅτι μάλιστά γε, καὶ ἐπιτηδείως ἔχων εἴς γε τὸ χρῆναι λοιπὸν τὸν ἐν Χριστῷ διὰ πίστεως εἰσοικίσασθαι φωτισμόν. Εὐφυᾶ δὲ οὕτω καὶ ἀπόλεκτον ἐξησκηκότα ζωὴν, τὸν νῷ τοιῷδε διαπρεπῆ, παντὸς τοῦ καταμιαίνειν πεφυκότος οἴχεσθαι μακρὰν τὸ θεῖον ἡμῖν ἐπιτάττει χρησμῴδημα, καὶ σαρκικῶν μὲν ἔργων ἀποχωρεῖν, τὰ δὲ ὅσα βλέπει πρὸς νέκρωσιν καὶ φθορὰν, ὡς ἀπωτάτω ῥίπτειν. Τοιγάρτοι μὴ χρῆναι τοῖς τεθνεῶσιν ἐπιφοιτᾷν, μήτε μὴν ἐπὶ νεκρῷ καταμιαίνεσθαι φιλεῖν, τοῦτό που πάντως ἡμῖν ὑπαινίττεται. Ἐξείργει δὲ τοῦ τοιοῦδε παντελῶς ὁ νόμος, καὶ τῆς εἰς γονέας αἰδοῦς ἄμεινον τιθεὶς τὸ τῷ Θεῷ δοκοῦν. «Ἐπὶ πατρὶ γὰρ, φησὶ, καὶ ἐπὶ μητρὶ οὐκ εἰσελεύσεται.» Κατορθουμένης γὰρ ἀρετῆς, ἐῤῥέτω φιλοσαρκία, τῆς ἐξ αἵματος οἰκειότητος ἐν λόγῳ τῷ προὔχοντι καὶ ἀμείνονι ἔστω Θεός. Τοῦτό τοι καὶ αὐτὸς ἔφασκεν ὁ Χριστός· «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος, καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.» Ὅτι δὲ τὰ Θεοῦ, τῆς εἰς γονέας αἰδοῦς ἐν ἀμείνοσι, καὶ αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ Σωτήρ. Προσῄει μὲν γάρ τις τῶν ἤδη τελούντων 68.1048 ἐν μαθηταῖς, λέγων· «Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου.» Ὁ δὲ, «Ἀκο-λούθει μοι, φησὶ, καὶ ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς·» νεκροὺς, οἶμαι, λέγων τοὺς τὰ ἐν κόσμῳ φρονεῖν ἑλομένους, καὶ τῶν τῆς νεκρότητος ἔργων οὐκ ἀπεσχημένους. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Τρόπος μὲν γὰρ δὴ πολιτείας τῆς πανάγνου καὶ ἐξῃρημένης οὑτοσὶ, κατὰ τὸν νόμον, μᾶλλον δὲ ὡς ἐν πνεύματί τε καὶ ἀληθείᾳ· σκιὰ γὰρ ὁ νόμος. Ἀλλ' εἰ γένοιτο, φησὶν, ἐπὶ νεκρῷ καταμιανθῆναί ποτε τὸν ἡγιασμένον, ἀποκειρέσθω δή ποτε, καὶ ψιλούσθω τὴν κεφαλὴν, ἀνίερον ἔχων ἤδη πως τὴν κόμην. Καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ οἴσει ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. Προσκομιζέτω δὲ, φησὶ, καὶ ἀμνὸν ἐνιαύσιον· καὶ αἱ ἡμέραι αἱ πρῶται ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ κεφαλὴ εὐχῆς αὐτοῦ. Εἰ γὰρ γένοιτο τὸν ἡγιασμένον καταῤῥαθυμῆσαι τοῦ πρέποντος, καὶ τοῖς εἰς νεκρότητα καταμιανθῆναι τρόποις, ἀπονενευκότα πρὸς τὰ σαρκὸς, ἕψεταί που πάντως αὐτῷ τὸ ἀπεμπωλῆσαι δεῖν τῆς πανάγνου πολιτείας τὰ αὐχήματα, καὶ ἀτιμοτάτην ὥσπερ ἐργάσεται τὴν ἑαυτοῦ κεφαλήν. Ὑπαινίττεται γάρ τι τοιοῦτον ἡ ξύρησις. Εἰκῆ δὲ πεπονηκὼς τὸν παρῳχηκότα χρόνον, τὴν τῶν ἱδρώτων θρηνήσει ζημίαν. Τοῦτο γὰρ, οἶμαι, ἐστὶ τὸ, Αἱ ἡμέραι αἱ πρῶται ἄλογοι ἔσονται. Τοιοῦτόν τί φησι καὶ διὰ φωνῆς Ἐζεχιήλ· «Δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτὸν, ἐν ᾗ ἡμέρᾳ ἁμάρτῃ, καὶ ἀνομία ἀνόμου οὐ μὴ κακώσει αὐτὸν, ᾗ ἂν ἡμέρᾳ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ.» Οὐκοῦν εἰ γένοιτο μεταξὺ καταμιαίνεσθαί πως τοὺς ἡγιασμένους, ζημίαν μὲν ὑποστήσονται τῶν ἤδη προειργασμένων, οὐ μὴν δυσδιάφυκτον τὴν ἐντεῦθεν νοσοῦσι ζημίαν· διασμήχονται γὰρ ἐν Χριστῷ, καθάπερ ἐν τάξει τρυγόνος καὶ περιστερᾶς, ἑαυτὸν ὑπὲρ ἡμῶν προσάγοντος τῷ Θεῷ καὶ Πατρὶ, καὶ ὡς ἀμνοῦ καταθυομένου, καὶ δικαιοῦντος ἡμᾶς τῷ θανάτῳ τῆς ἰδίας σαρκός. Ταύτητοι προστέταχε, τὸν τὴν ξύρησιν ὑπομείναντα θυσίας προσάγειν ἐν τύπῳ Χριστοῦ, τοῦ δικαιοῦντος τὸν ἀσεβῆ, καὶ ῥωννύντος τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσθενὲς, καὶ ἀνιστάντος τὸ πεπτωκὸς, καὶ ἐπιστρέφοντος τὸ πλανώμενον, καὶ ἀπονίζοντος τὸ μεμολυσμένον. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Οἶμαι δ' ἔγωγε, μικρὸν ἐνιέντας τοῖς προκειμένοις τὸν νοῦν, καὶ ἕτερον ἡμᾶς δύνασθαι καταθρῆσαι βάθος λεπτῶν τε καὶ κεκρυμμένων ἐννοιῶν. Παραθήγει γὰρ εἴς γε δὴ τοῦτο ἡμᾶς οὐκ ἀπερισκέπτως ὁ νόμος, περὶ τοῦ τὴν τρίχα τρέφοντος Θεῷ· «Ἐὰν δὲ ἀποθάνῃ ἐξάπινα, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ, καὶ ξυρήσεται τὴν κεφαλὴν αὐτοῦ, ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ, τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρηθήσεται, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ οἴσει δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν, πρὸς τὸν ἱερέα. Καὶ ἁγιάσει, φησὶ, τὴν κεφαλὴν αὐτοῦ ἐν ἐκείνῃ ἡμέρᾳ.» Προσάγειν δὲ καὶ ἐνιαύσιον ἀμνὸν ἐπετάττετο. {ΠΑΛΛ.} Ἐπαπορήσειε δ' ἂν εἰκότως ὁ χριστομαθὴς, τί δ' ἂν εἴη λοιπὸν τὸ αἴνιγμα· καὶ πρὸς τί βλέπει μαθητιῶντι φράσον. 68.1049 {ΚΥΡ.} Οὐκοῦν ἐρῶ μὲν, ὡς ἔνι· σὺ δὲ δὴ αὖ, εἴ τι παρεκθέοιμι τῆς ὁδοῦ, συγγνώμων ἔσο· δριμὺς γὰρ ὁ λόγος, καὶ ἀμυδρὸν τὸ αἴνιγμα. {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Ἀνατυπούσης ἡμῖν, ὦ Παλλάδιε, τῆς τοῦ σώματος κεφαλῆς, ὡς ἐφ' ἑαυτῇ, τὸν νοῦν· ὧδε γὰρ ἐδόκει τῷ θείῳ τε καὶ ἱερῷ Γράμματι· τὰς ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ φυσικῶς ἀνισχούσας ἐννοίας, δι' ὧν εἰς εἴδησιν τὴν ἐφ' ὅτῳ οὖν τῶν ὄντων χειραγωγούμεθα, θριξί τε καὶ κόμαις παρεικάζομεν. Ταυτὶ γὰρ ἡμῖν τὰ ἐκ κεφαλῆς ἀναβρύοντα. {ΠΑΛΛ.} Μεμνήσομαι. {ΚΥΡ.} Ἀκειρεκόμης οὖν ἄρα καὶ ἐν ἡμῖν οἱονείπως ὁ νοῦς, καὶ Θεῷ κατάκομος, ἐννοιῶν ὑπάρχων ἐπίμεστος ἀγαθῶν. Γυμνὸς δὲ δὴ αὖ καὶ ἐψιλωμένος, καὶ ἀτιμώτατον φαλάκρωμα νοσῶν, εἰ μήτε ὀρθὰς ἐπὶ Θεῷ τὰς διαλήψεις ἔχοι, μήτε μὴν ἐφ' ἅπασι τοῖς πρακτέοις ἀρίστην τε καὶ ἀκατάψεκτον καταπλουτήσει τὴν εἴδησιν. {ΠΑΛΛ.} Ἀληθές· ταυτὶ γὰρ ἡμῖν καὶ ἀρτίως διεγυμνάζετο. {ΚΥΡ.} Οὐκοῦν πρὸ μὲν τῆς τοῦ Σωτῆρος ἐπιδημίας κέκληται πρὸς θεογνωσίαν διὰ Μωσέως ὁ Ἰσραήλ. Ταύτῃτοι καὶ ἡγιάζετο. Ηὔξατο δὲ τρόπον τινὰ τῷ Θεῷ τὴν εἰς ἁγνείαν εὐχήν. Ὅτι γὰρ ἔσται νομοφύ-λαξ, ἐπηγγέλλετο σαφῶς ἐν τῷ ὄρει Χωρὴβ, οὕτω λέγων· «Καὶ πάντα ὅσα εἶπε Κύριος ὁ Θεὸς, ποιήσομεν καὶ ἀκουσόμεθα.» Ἦν οὖν ἄρα νομικῆς παιδεύσεως τὸν νοῦν ἔχων ἀνάπλεω, καὶ οἱονεὶ κομῶντα Θεῷ, τῆς διὰ Μωσέως ἐντολῆς τὰ αὐχήματα. Ἀλλ' ἐμιάνθησαν ἐπὶ νεκρῷ· Ἀπεκτόνασι γὰρ τὸν Ἐμμα-νουήλ· καὶ ἅγιος μὲν ἀληθῶς ὁ Χριστοῦ θάνατος, μολυσμὸς δὲ τοῖς ἀπεκτονόσιν ἦν τὰ τῆς κυριοκτονίας ἐγκλήματα. Ξυρᾶσθαι δὴ οὖν ὁ νόμος αὐτοῖς ἐπιτάττει λοιπὸν, οἷά τινα κόμην, τὴν ἐν νόμῳ παίδευσιν, μονονουχὶ δὲ καὶ ἀποκείρεσθαι τὰ ἐν τύποις κατὰ τὴν ἑβδόμην, τουτέστι, τὰ πρὸ τῆς ὀγδόης, καθ' ἣν ἀνεβίω Χριστὸς, ἀνακαινίζων ἡμᾶς εἰς ἀφθαρσίαν, καὶ εἰς νέαν τε καὶ εὐαγγελικὴν ἀναπλάττων ζωήν. Ἀποκειράμενος τοίνυν τὰ πρὸ τῆς ὀγδόης, ἀνακομᾷ πάλιν καὶ ἁγιάζει τὴν κεφαλὴν μετὰ τὴν ὀγδόην. Ἀνακομᾷ δὲ, οὐκέτι τύποις καὶ σκιαῖς, καθὰ καὶ πρώην, ὁ νοῦς, ἀλλ' αὐτοῖς τοῖς ἐν πίστει καὶ ἀληθείᾳ δόγμασιν. Ἢ γὰρ οὐκ οἰήσῃ δεῖν τοὺς ἐν πίστει δεδικαιωμένους ἀποψιλοῦσθαι μὲν ὥσπερ τῆς ἐν νόμῳ λατρείας τὴν εὐδοκίμησιν, ἀναφῦναι δὲ αὖ, καὶ εἰς νοῦν ἔσω καὶ καρδίαν ἑλεῖν, τῆς εὐαγγελικῆς πολιτείας τὴν εἴδησιν, ὡς ἀμείνω παρὰ πολὺ καὶ προφερεστέραν τῆς ὡς ἐν ἀρχαῖς; {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Οὐ γὰρ δὴ σαφῶς καὶ ἀναφανδὸν ἀνακεκράγει λέγων νομομαθὴς ὢν ὁ Παῦλος, περὶ τῶν ἀρχαίων ἐκείνων καὶ νομικῶν αὐχημάτων· «Ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν, ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι τὰ πάντα ζημίαν εἶναι, διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύ 68.1052 βαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐν νόμῳ, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ;» {ΠΑΛΛ.} Ἐπυθόμην. {ΚΥΡ.} Ἐπετίμα δὲ καὶ ἑτέροις, ὡς τὴν ἐν νόμῳ τετιμηκόσι περιτομὴν μετὰ τὸ Χριστοῦ μυστήριον. «Κατηργήθητε γὰρ ἀπὸ Χριστοῦ, φησὶν, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε. Ἡμεῖς δὲ διὰ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα.» Ἠχρειῶσθαι δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὴν ἀρχαίαν ἐκείνην ἔφασκεν ἐντολὴν, οὐκ ἀμωμήτως ἔχουσαν, ἀντεισῆχθαι δὲ τὴν ἑτέραν, τουτέστι τὴν εὐαγγελικήν. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ἀργοτέραν οὖν ἄρα τὴν ἐν νόμῳ παίδευσιν ἀποφαίνει τὸ αἴνιγμα, ξυρᾶσθαι κελεῦον τὸν εὐξάμενον Ἰσραὴλ, ὡς μολυσμὸν ὑπομείναντα τὸν ἐπὶ νεκρῷ, τουτέστι, τὸν τοῖς τῆς κυριοκτονίας ἐνισχημένον ἐγκλήμασι, κόμην δὲ ὥσπερ ἑτέραν ἁγιάζειν Θεῷ μετὰ τὴν ὀγδόην, τουτέστι, μετὰ τὴν ἀνάστασιν, τῶν εὐαγγελικῶν θεσπισμάτων τὴν ἀκριβῆ καὶ τετορευμένην ἀστειότητά τε καὶ παίδευσιν. Τῷ γε μὴν τρέφοντι τὴν τρίχα, μετὰ τὴν ὀγδόην, τρυγόνας προσάγειν καὶ περιστερὰς ὁ νόμος προστέταχε, μήνυσιν ὥσπερ καὶ τοῦτο τιθεὶς τοῦ καθαίροντος τοὺς μεμολυσμένους, τουτέστι, Χριστοῦ. Σημαίνεται γὰρ δι' ἀμφοῖν, ὡς εὐφωνότατος μὲν ἐν τρυγόνι, πραότατος δὲ διὰ τῆς περιστερᾶς· καὶ τοιούτου νόμου βραδυγλώσσου τε ὄντος, καὶ τὸ πρᾶον οὐκ ἔχοντος. Ἐπιτίθησι γὰρ εὐθὺς τοῖς πλημμελοῦσι τὰς δίκας. Ἀναφέρεται δὲ καὶ ἀμνὸς τοῖς στρουθίοις ὁμοῦ, ἵνα διὰ πάντων νοοῖτο Χριστὸς, ὡς διὰ μὲν τῶν στρουθίων, ἄνωθεν καὶ ἐξ οὐρανοῦ, διὰ δὲ τοῦ ἀμνοῦ, κάτωθεν καὶ ἀπὸ γῆς. Θεὸς γὰρ ὑπάρχων κατὰ φύσιν ὁ Λόγος, γέγονε σάρξ. Ἀλλ' ἦν καὶ ἔστι καὶ οὕτω Θεός· καὶ ἀπαλλάττει μὲν ἡμᾶς τῆς κατὰ νόμον σκιᾶς, ἐνίησι δὲ ταῖς ἁπάντων καρδίαις τῶν ἑαυτοῦ θεσπισμάτων τὴν εἴδησιν· καὶ ἁγίους ἀληθῶς ἀποφαίνει, τῷ ἰδίῳ καθαίρων αἵματι, κατὰ τὰς Γραφάς. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Εἰ δὲ δὴ, φησὶν, ἀποπεραίνοιτο καλῶς ὁ τῆς εὐχῆς τρόπος, τῷ κομῶντι μετὰ τὴν ὀγδόην, τελειούσθω τότε· καὶ ὅπως ἔσται τὸ χρῆμα, νομοθετεῖ λέγων· «Καὶ οὗτος ὁ νόμος τοῦ εὐξαμένου· Ἧ ἂν ἡμέρᾳ πληρώσῃ ἡμέρας εὐχῆς αὐτοῦ, προσοίσει αὐτὸς παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ προσάξει τὸ δῶρον αὐτοῦ Κυρίῳ ἀμνὸν ἐνιαύσιον ἄμωμον ἕνα εἰς ὁλοκαύτωσιν, καὶ ἀμνάδα ἐνιαυσίαν μίαν ἄμωμον εἰς ἁμαρτίαν, καὶ κριὸν ἕνα ἄμωμον εἰς σωτήριον, καὶ κανοῦν ἀζύμων σεμιδάλεως, ἄρτους ἀναπεποιημένους ἐν ἐλαίῳ, καὶ λάγανα ἄζυμα κεχρισμένα ἐν ἐλαίῳ, καὶ θυσίαν αὐτῶν, καὶ σπονδὴν αὐτῶν, καὶ προσοίσει ὁ ἱερεὺς ἔναντι Κυρίου, καὶ ποιήσει τὸ περὶ ἁμαρτίας αὐτοῦ, καὶ τὸ ὁλοκαύτωμα αὐτοῦ, καὶ τὸν κριὸν ποιήσει θυσίαν σωτηρίου τῷ Κυρίῳ ἐπὶ τοῦ κανοῦ τῶν ἀζύμων. Καὶ ποιήσει ὁ 68.1053 ἱερεὺς τὴν θυσίαν αὐτοῦ, καὶ τὴν σπονδὴν αὐτοῦ, καὶ ξυρήσεται ὁ ηὐγμένος παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου τὴν κεφαλὴν τῆς εὐχῆς αὐτοῦ, καὶ ἐπιθήσει τὰς τρίχας ἐπὶ τὸ πῦρ, ὅ ἐστιν ὑπὸ τὴν θυσίαν τοῦ σωτηρίου. Καὶ λήψεται ὁ ἱερεὺς τὸν βραχίονα ἑφθὸν ἀπὸ τοῦ κριοῦ, καὶ ἄρτον ἕνα ἄζυμον ἀπὸ τοῦ κανοῦ, καὶ λάγανον ἄζυμον ἓν, καὶ ἐπιθήσει ἐπὶ τὰς χεῖρας τοῦ ηὐγμένου μετὰ τὸ ξυρήσασθαι αὐτὸν τὴν κεφαλὴν αὐτοῦ, καὶ προσοίσει αὐτὰ ὁ ἱερεὺς ἐπίθεμα ἔναντι Κυρίου. Ἅγιον ἔσται τῷ ἱερεῖ ἐπὶ τοῦ στηθηνίου τοῦ ἐπιθέματος, καὶ ἐπὶ τοῦ βραχίονος τοῦ ἀφαιρέματος, καὶ μετὰ ταῦτα, πίεται ὁ ηὐγμένος οἶνον. Οὗτος ὁ νόμος τοῦ εὐξαμένου, ὃς ἂν εὔξηται δῶρον αὐτοῦ Κυρίῳ περὶ τῆς εὐχῆς, χωρὶς ὧν ἂν εὕρῃ ἡ χεὶρ αὐτοῦ κατὰ δύναμιν τῆς εὐχῆς αὐτοῦ, ἣν ἂν εὔξηται κατὰ νόμον ἁγνείας.» Ἀποφορτισάμενος γὰρ ὥσπερ τῆς Μωσαϊκῆς ἱστορίας τὸ πάχος, καὶ λατρείας τῆς ἐν τύπῳ καὶ σκιαῖς, οἱονεί τινος κόμης μακρᾶς καὶ διαβριθοῦς, ἀπαλλάξας τὸν νοῦν, ὁ ἐποφλήσας Θεῷ τὴν εἴς γε τὸ δεῖν ἁγνίσασθαι προσευχὴν, τρίχα δὲ ὥσπερ ἀναβλαστοῦσαν ἔχων τῶν διὰ Χριστοῦ θεσπισμάτων τὴν ἁγνοποιὸν ἀληθῶς εἴδησίν τε καὶ παίδευσιν, ἅγιος ἔσται καὶ ἱερὸς, καὶ πρός γε δὴ τούτῳ καὶ ἀξιόληπτος. Ἀνοίσειε δ' ἂν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ, καὶ θυσίαν ὥσπερ ἀναθήσει δεκτὴν, τῆς ἑαυτοῦ πολιτείας τὴν εὐκλεᾶ καὶ ἀμώμητον ἀστειότητα. «Προσοίσει γὰρ, φησὶ, τὸ δῶρον αὐτοῦ, ἀμνὸν ἐνιαύσιον, εἰς ὁλοκαύτωμα, καὶ ἀμνάδα πάλιν εἰς ἁμαρτίαν, καὶ μὴν καὶ κριὸν εἰς σωτήριον, καὶ κανοῦν ἀζύμων, ἐλαίῳ δεδευμένων, καὶ λάγανα ἄζυμα κεχρισμένα ἐλαίῳ.» Καὶ διὰ μὲν τοῦ ἀμνοῦ νοοῖτ' ἂν εἰκότως τοῦ τὴν θυσίαν προσάγοντος ἡ ἐν Χριστῷ νηπιότης, διὰ δέ γε τοῦ κριοῦ τὸ ἐν φρεσί τε καὶ ὡς ἐν καρποφορίᾳ τέλειον. «Ἀδελφοὶ γὰρ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φησὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.» Διὰ μέσου δὲ ἀμνὰς, ὑπὲρ ἁμαρτίας. Δι' οὗ δὴ πάλιν ἡμῖν καταθρῆσαι ῥᾷον, ὅτι καὶ τῶν ἄγαν ἁγνιζομένων ὁ βίος, καὶ ὡς ἐν ἁπλότητι καὶ ἀκακίᾳ τῇ ἐν Χριστῷ νοουμένῃ, καὶ ἐν ἀρτιότητι νοῦ τετελειωμένων, οὐκ ἀμώμητος παντελῶς, δεῖται δὲ δὴ πάντως καθαρισμοῦ. Κεκτήσεται μὲν γὰρ τὸ ἀκατάσκεπτον παντελῶς οὐδεὶς, τετήρηται δὲ μόνῳ καὶ ὡς ἴδιον ἀνακείσεται τῷ Ἐμμανουὴλ τὸ σὺν ἀληθείᾳ φράσαι, «Ἔρχεται γὰρ ὁ ἄρχων τοῦ αἰῶνος τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν.» Οὐκοῦν ἐν μὲν τῷ ἀμνῷ, καὶ τῇ ἀμνάδι, καὶ τῷ κριῷ, κατίδοι τις ἂν ὅπερ ἔφην· ἐν δέ γε τοῖς ἄρτοις τοῖς οὐκ ἐζυμωμένοις ὁ ἄδολός τε καὶ καθαρὸς σημαίνεται βίος. Ἐπιστέλλει γάρ που καὶ ὁ σοφώτατος Παῦλος τοῖς ἡγιασμένοις· «Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι.» Ἐν δέ γε τῷ λαγάνῳ τὸ ἥδυσμα καὶ οἱονεὶ τὸ γλυκὺ τῆς τῶν ἁγίων ζωῆς. Ἑαυτοὺς οὖν ἄρα προσοίσομεν, ὡς ἐν ἀμνῷ μὲν διὰ τὸ νήπιον ἐν Χριστῷ· ὡς ἐν ἀμνάδι δὲ αὖ, διὰ τὸ τῆς φύσεως ἀσθενὲς καὶ εὐπάροιστον εἰς τὸ πλημμελές· ἀσθενείας γὰρ τύπος τὸ θῆλυ· ὡς ἐν κριῷ δὲ δὴ, τέλειοι, καὶ εἰς 68.1056 μέτρον ἡλικίας ἐλάσαντες, τῆς ἐν Χριστῷ· καὶ ὡς ἐν ἄρτοις μὲν τοῖς ἀζύμοις, καθαροί· ἡδεῖς δὲ ὡς ἐν λαγάνοις, πλὴν ἠλεημένοι διὰ Χριστοῦ. Δεδικαιώμεθα γὰρ, οὐκ ἐξ ἔργων δικαιοσύνης, ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος. Ἐπεχεῖτο δὴ οὖν ταύτῃτοι καλῶς τοῖς ἄρτοις τὸ ἔλαιον. Μεσιτεύει δὲ πάλιν ὁ ἱερεὺς, καὶ προσκομίζει μὲν πρῶτον τὸ περὶ τῆς ἁμαρτίας, εἶτα τὸ ὁλοκαύτωμα, καὶ τρίτον ἐπὶ τῷδε τοῦ σωτηρίου τὸν κριόν. Μεσιτεύοντος γὰρ τοῦ Χριστοῦ, καὶ προσάγοντος ἡμᾶς τῷ Θεῷ καὶ Πατρὶ, δεκτοὶ μὲν ἐσόμεθα, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων προσκομίζοντες λιτὰς, καὶ τῶν ἀρχαίων αἰτιαμάτων ἐξαιτοῦντες τὴν ἄφεσιν. Ὁλοκαυτούμεθα δὲ νοητῶς, τουτέστιν, εἰσάπαν καὶ ὁλοκλήρως, ἅγιοί τε καὶ ἱεροὶ, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνακεισόμεθα τῷ Θεῷ, πρὸς τὰ ἐν κόσμῳ μὴ μεμερισμένοι· ὅλον γὰρ ἐδαπανᾶτο τῷ πυρὶ τὸ ὁλοκαυτούμενον. Ἀναθήσομεν δὲ καὶ τὰ χαριστήρια, τὰ ὑπέρ γε τῆς ἑαυτῶν σωτηρίας καὶ ζωῆς, οὐ φθαρτοῖς καὶ γηΐνοις τιμῶντες Θεόν· ξένιον καὶ ὥσπερ αὐτῷ προσάγοντες ἀξιόληπτον τὴν καθαράν τε καὶ ἄζυμον, καὶ ἡδεῖαν ζωὴν καὶ ἁγίαν· τοιουτοσὶ γάρ πως ὁ τῶν ἁγίων βίος. Προσκεκομικότος δὲ τοῦ ἱερέως τὴν θυσίαν κατὰ τὸν νόμον, «Ψιλούσθω, φησὶ, τὴν κεφαλὴν ὁ εὐξάμενος, παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐπιτιθέτω τὰς τρίχας ἐπὶ τὸ πῦρ.» {ΠΑΛΛ.} Καὶ τί δὴ τοῦτο εἶναι φής; {ΚΥΡ.} Εὐχῆς ἀπόδοσιν, καὶ οἱονεὶ τῶν ἐπηγγελμένων τὸ πέρας· οὐ γὰρ ὥσπερ ὁ μιανθεὶς ἐπὶ νεκρῷ τὴν ἀτιμοτάτην ἤδη καὶ βέβηλον κατεξυρᾶτο τρίχα· οὕτω κἀνθάδε τὸν τῆς ξυρήσεως ἐκδεξόμεθα τρόπον. Ἀλλ' ὥσπερ ἤδη τετελειωμένος ἐν Χριστῷ, καὶ κόμην ἑτέραν τετροφὼς μετὰ τὴν ὀγδόην ἀνατίθησι τῷ Θεῷ καθάπερ ἐν τύπῳ τὰ ἐπηγγελμένα. Σημεῖον δὲ τοῦ δεδέχθαι παρὰ Θεοῦ τὴν δωροφορίαν, τὸ δαπανᾶσθαι πυρὶ τὴν τρίχα· εἶδος γὰρ τοῦ πυρὸς ἀεὶ τῇ θείᾳ περιτίθησι φύσει τὸ Γράμμα τὸ ἱερόν. Καὶ γοῦν ὁ θεσπέσιος ἔφη Μωσῆς· «Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστί·» τὸ παναλκὲς, οἶμαί του, τῆς θείας καὶ ἀκηράτου φύσεως παρεικάζων πυρί. Ἄθρει δὲ ὅπως παρὰ τὰς τῆς σκηνῆς θύρας, ἡ ἐν τελειώσει ξύρησις, τουτέστιν, ἁπάσης ἡμῶν δικαιοσύνης καὶ ἁγνισμοῦ πέρας. Μόναι γὰρ ἡμᾶς, αἵπερ ἂν γένοιντο πρὸς ἡμῶν ἁγνεία τε καὶ δικαιοσύνη, πῶς ἂν εἰσοίσειαν εἰς τὰ Ἅγια τῶν ἁγίων, τὸ ἀκαταιτίατόν τε καὶ ἀπλημμελὲς οὐκ ἔχουσαι παντελῶς; «Καθαρὸς γὰρ ἀπὸ ῥύπου παντελῶς οὐδείς·» εἰσκομίζει δὲ ὁ Χριστὸς, ἀμνησικάκως ἐλευθερῶν, καὶ πάσης ἡμᾶς ἀνιεὶς ἁμαρτίας. Πρόδρομος γὰρ ὑπὲρ ἡμῶν εἰσελήλακεν, οὐχ ἑαυτῷ που πάντως, ἀλλὰ τοῖς ἔξω θυρῶν, καὶ ἐπ' αὐτῷ πως ἤδη γεγονόσιν οὐδῷ τῆς ἁγίας σκηνῆς, καταλεαίνων τὴν εἰσδρομήν. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Αὐτὸς γὰρ ἡμῖν ἐγκαινίσαι λέγεται πρόσφα 68.1057 τόν τε καὶ ζῶσαν ὁδόν. Μετὰ δέ γε τὸ ξυρᾶσθαι πρὸς αὐταῖς ἥκοντα ταῖς θύραις τῆς ἁγίας σκηνῆς, καὶ μὴν καὶ πυρὶ δαπανῆσαι τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τρίχα· «Λήψεται,» φησὶν, «ὁ ἱερεὺς τὸν βραχίονα ἑφθὸν ἀπὸ τοῦ κριοῦ, ἄρτον τε καὶ λάγανον, καὶ ἐπιθήσει ἐπὶ τὰς χεῖρας τοῦ εὐξαμένου, καὶ αὖθις ἀναλαβὼν προσοίσει,» φησὶν, «ἐπίθεμα ἔναντι Κυρίου, καὶ ἅγιον ἔσται τῷ ἱερεῖ, καθὰ καὶ τὸ στηθύνιον τοῦ ἀφαιρέματος.» {ΠΑΛΛ.} Εἶτα, τί ἂν βούλοιτο δηλοῦν ὁ νόμος; {ΚΥΡ.} Εἰς τύπον μὲν δὴ τοῦ ἰσχύοντος, ἤτοι τῶν ἐν ἰσχύϊ κατορθωμάτων, ὁ βραχίων ἀεὶ παρά γε τῇ θεοπνεύστῳ Γραφῇ νοεῖται, ζωῆς δὲ δὴ πάλιν ἁγίας τε καὶ καθαρᾶς, ὁ ἄζυμος ἄρτος, καὶ μὲν καὶ τὸ εὔχαρί τε καὶ τὸ ἡδὺ παραδείξειεν ἂν ἐφ' ἑαυτῷ, τὸ λάγανον ἐλαίῳ ματτόμενον, καὶ εἰς πλακοῦντα τελοῦν. Τοῦ δὲ μεσιτεύοντος ἱερέως τὸ πρόσωπον, περιθείη τις ἂν καὶ μάλα εἰκότως τῷ Ἐμμανουήλ. Ὁ τοίνυν ἁγνείαν τὴν ἀνω-τάτω κατωρθωκὼς, καὶ ἀνάθημα λαμπρὸν προσκεκομικὼς τῷ πανάγνῳ Θεῷ, τὰ ἐξ ἰσχύος ἔργα, δῆλον δὲ ὅτι τῆς πνευματικῆς, ὡς ἐν βραχίονι τοῦ κριοῦ, καὶ ζωὴν ἄμωμον, ὡς ἐν ἄρτῳ τῷ ἀζύμῳ νοουμένην, καὶ μέν τοι καὶ τὸ ἡδὺ καὶ τὸ ἐπίχαρι τῆς ἐν ἁγιασμῷ ζωῆς, ὡς ἐν τῷ λαγάνῳ, μονονουχὶ χερσὶν ἰδίαις ἐπιτιθεὶς, ἀναφέρει Θεῷ, διὰ μεσίτου Χριστοῦ, ὃς οἱονεί πως ἀπὸ χειρὸς εἰς χεῖρας δέχεται τὰς δωροφορίας, ταῖς ἀνωτάτω τιμαῖς, κἂν τούτῳ δὴ μάλιστα, τὸν γνήσιον ἀληθῶς καταγεραίρων προσκυνητήν. Ταύτητοί φησιν, ὅτι χερσὶν ἐπιθεὶς ἰδίαις, ὁ τὴν ἁγίαν οὕτω καὶ πάναγνον ἀποπεραίνων εὐχὴν, ἐπιδώσει τῷ ἱερεῖ ἐπίθεμα καὶ ἐξαίρετον, καὶ ἐκνεμηθὲν αὐτῷ, καθὰ καὶ τὸ στηθύνιον τοῦ κριοῦ, κατά γε τῷ νομοθέτῃ δοκοῦν. Ὥσπερ δὴ τὸν βραχίονα μήνυσιν εἶναί φαμεν τῶν ἐξ ἰσχύος κατορθωμάτων, ἤγουν τῆς ἰσχύος αὐτῆς, οὕτω καὶ τὸ στηθύνιον τοῦ κριοῦ, φρενός τε καὶ νοῦ. Κεκτήμεθα γὰρ ἐν σπλάγχνοις καὶ ἐν τῷ στήθει τὰς φρένας. Ἀδιαφορεῖ δὲ πολλάκις ἡ θεία Γραφὴ, καὶ ποτὲ μὲν εἰς νοῦ τύπον τὴν κεφαλὴν, ποτὲ δὲ τὸ στῆθος εἰς φρενὸς ποιεῖται δήλωσιν. Ἱερὰ δὴ οὖν καὶ ἐξαίρετα, μόνον δὲ οὐχὶ καὶ ἀπὸ χειρὸς εἰς χεῖρα προσκομιζόμενα, καὶ εὐπαράδεκτα δι' αὐτοῦ τῷ Θεῷ καὶ Πατρὶ, τῶν ἁγνιζομένων ἰσχὺς ἡ πνευματικὴ, καὶ μέν τοι καὶ φρένες. Εἴπερ ἔστιν ἀληθὲς εἰπεῖν, ὡς οὐκ ἂν ἑτέρως γένοιτό ποτε κατορθοῦν δύνασθαι τοὺς ἁγίους τὰ ἁνδάνοντα Θεῷ, μὴ οὐχὶ δι' ἰσχύος τῆς πνευματικῆς, καὶ μέν τοι καὶ φρενὸς ἀγαθῆς. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἑφθὸν δὲ προστέταχε λαμβάνεσθαι τὸν βραχίονα, τὸ οἱονεί πως ὠμὸν, καὶ τὸ τοῦ καθήκοντος παράλογον τῆς τῶν ἁγίων ἰσχύος ἀποσοβῶν· οὐ γὰρ ἀποτόμους εἶναι χρὴ τοὺς ἀνακειμένους Θεῷ, οὔτε μὴν ἀκράτῳ κεχρῆσθαι τῷ νῷ, ἀλλ' εὐαφῶς τε καὶ ἁπαλῶς καὶ λίαν εὐτέχνως κατορθοῦν ἐπείγεσθαι τὰ εἰς ἀρετήν. Εἶεν δ' ἂν ὧδε καὶ οὐχ ἑτέρως τῶν ἁγίων τὰ κατορθώματα χρηστὰ καὶ ἐδώδιμα τῷ Θεῷ, τὸ 68.1060
ὠμὸν οὐκ ἔχοντα καὶ ἀπηχθημένον. Διεπύθου δέ που τὸν ἐν ἁγνείαις ἐπὶ τὴν σωτήριον τροφὴν, ὥσπερ ἰδίαν ὀνομάζοντος τοῦ Χριστοῦ καὶ λέγοντος τοῖς ἁγίοις μαθηταῖς· «Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε.» Διαμέμνησο δὲ ὅτι καὶ καταθύεσθαι μὲν ἐκέλευε τὸν ἀμνὸν, εἰς τύπον Χριστοῦ, προσενομοθέτει δὲ λέγων· «Οὐ φάγεσθε ἀπ' αὐτῶν ὠμὸν, οὐδὲ ἑψημένον ἐν ὕδατι, ἀλλ' ἢ ὀπτὰ πυρί·» τὸ ἀπαράδεκτον, οἶμαί που, καὶ τὸ οἱονείπως εἰς πέψιν οὐκ εὐχερὲς, ὠμὸν εἶναι λέγων. Χρῆναι δὴ οὖν ἄρα φησὶν ἑφθὸν λαμβάνεσθαι τὸν βραχίονα· τοῦ ἀνέφθου σημαίνοντος τὸ μήτε ἡδὺ, μήτε βρώσιμον, ταύτητοι καὶ ἀπαράδεκτον. {ΠΑΛΛ.} Ὡς ἰσχνὸς ἄγαν καὶ ἀληθὴς ὁ λόγος. {ΚΥΡ.} Ἀποδοτέον οὖν ἄρα τὰς ὁμολογίας Θεῷ, καὶ ἅπερ ἂν εὔξαιτό τις, διαπεραινέτω μελλήσας οὐδὲν, ὡς τό τοι μὴ δρᾷν τὰ τοιάδε γοργῶς, τῶν ὅτι μάλιστα δεινῶν καὶ σφαλερωτάτων φαίην ἂν ἔγωγε, καὶ αὐτὸ δὲ τὸ Γράμμα τὸ ἱερόν. Εἰ γὰρ εἶναι λογιούμεθα φρονοῦντες ὀρθῶς τῶν ἄγαν ἐκτοπωτάτων, τὸ ψευδοεπείας ἁλῶναι γραφῇ, πῶς οὐκ ἂν γένοιτο τῶν λίαν αἰσχρῶν, ὁμολογῆσαι μέν τι καὶ ὑποσχέσθαι Θεῷ, ψεύσασθαι δὲ μετὰ τοῦτο τὴν ὑπόσχεσιν; Παντὸς μὲν οὖν εὐξαμένου καὶ μελλήσαντος, καὶ γοῦν καὶ εἰσάπαν ἀναδυομένου τὴν ἔκτισιν, καταγράφει τὴν ἁμαρτίαν. Ἀνίησι δὲ τῶν αἰτιαμάτων τοὺς ἔχοντας μὲν παντελῶς ἴδιον οὐδὲν, δεσμῷ δὲ ὥσπερ ἀναγκαίῳ κατεζευγμένους,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ὑφ' ἑτέρου πράττοντας χεῖρα. Γέγραπται δὲ οὕτως ἐν τοῖς Ἀριθμοῖς· «Καὶ ἐλάλησε Μωσῆς πρὸς τοὺς ἄρχοντας τῶν φυλῶν τῶν υἱῶν Ἰσραὴλ, λέγων· Τοῦτο τὸ ῥῆμα ὃ συνέταξε Κύριος· Ἄνθρωπος ὃς ἂν εὔξηται εὐχὴν Κυρίῳ, ἢ ὀμόσῃ ὅρκον, ἢ ὁρισμῷ ὁρίσηται περὶ τῆς ψυχῆς αὐτοῦ, οὐ βεβηλώσει τὸ ῥῆμα αὐτοῦ. Πάντα ὅσα ἐξέλθῃ ἐκ τοῦ στόματος αὐτοῦ ποιήσει. Ἐὰν δὲ εὔξηται γυνὴ εὐχὴν Κυρίῳ, ἢ ὁρίσηται ὁρισμὸν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νεότητι αὐτῆς, καὶ ἀκούσῃ ὁ πατὴρ αὐτῆς τὰς εὐχὰς αὐτῆς, καὶ τοὺς ὁρισμοὺς αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, καὶ παρασιωπήσῃ ὁ πατὴρ αὐτῆς· καὶ στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς, καὶ πάντες οἱ ὁρισμοὶ αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, μενοῦσιν αὐτῇ. Ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ ὁ πατὴρ αὐτῆς, ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ πάσας τὰς εὐχὰς αὐτῆς, καὶ τοὺς ὁρισμοὺς αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ στήσονται, καὶ Κύριος καθαριεῖ αὐτὴν, ὅτι ἀνένευσεν ὁ πατὴρ αὐτῆς.» Ἀλλ' εἰ καὶ γένοιτο, φησὶν, γυνὴ συνηρμοσμένη κατὰ νόμους ἀνδρὶ, ὁ αὐτὸς κρατείτω νόμος. Χήρας δὲ καὶ ἐκβεβλημένης ἵστησι τοὺς ὁρισμοὺς, καὶ διαπεραίνεσθαι δεῖν πάντη τε καὶ πάντως τὰς ὑποσχέσεις εὖ μάλα φησὶ, πανταχῇ τὸ ἐλεύθερον καὶ ἔξω ζυγοῦ ταῖς αἰτίαις ὑποτιθεὶς, εἰ μὴ δρᾷν ἕλοιτο τὰ ἐπηγγελμένα· τόγε μὴν οὐχ ὧδε ἔχον, ἄπρακτόν τε καὶ ὑφ' ἑτέροις, ἀνιεὶς εἰκότως. Τοῖς γάρτοι κυρίοις, πατρί τε, φημὶ, καὶ ἀνδρὶ, συνθεμένοις μὲν καὶ οἱονεὶ συννεύσασι 68.1061 ταῖς τῶν ὑπὸ χεῖρα καὶ ἐξουσίαν εὐχαῖς, τὴν τῆς δυσσεβείας ἐπιφέρει γραφὴν, εἰ μὴ πληροῦν ἕλοιντο τὰ ἐπηγγελμένα. Ἀποφάσκουσι δὲ καὶ τὸ ἀνεῖσθαι δεῖν ἁμαρτιῶν ἀπονέμει· προαιρέσεως γὰρ, καὶ οὐκ ἀνάγκης καρποὶ τὰ εἰς Θεὸν ἀναθήματα.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΠΝΕΥΜΑΤΙ ΚΑΙ ΑΛΗΘΕΙΑ ΠΡΟΣΚΥΝΗΣΕΩΣ ΚΑΙ ΛΑΤΡΕΙΑΣ ΛΟΓΟΣ ΕΠΤΑΚΑΙΔΕΚΑΤΟΣ.

### Περὶ ἑορτῶν ἁγίων.

Ἁγνείας μὲν δὴ πέρι, καὶ τῶν ἐν εὐχαῖς, καὶ μέντοι καὶ ἱερέων εἰρήσθω τάδε. Χρῆναι δὲ οἶμαι λοιπὸν προσενεγκεῖν εὖ μάλα, τίς ἂν γένοιτο παρὰ Θεοῦ τῶν πόνων ἔκτισις, καὶ πρὸς ὅ τι τετραμμένοι, καταπιανθεῖεν ἂν ταῖς εἰς λῆξιν ἡκούσαις τιμαῖς, καὶ ἐλπίδος ἔσονται τῆς εἰς αἰῶνας μέτοχοι. {ΠΑΛΛ.} Ὡς εὖ γε δὴ φής. {ΚΥΡ.} Πρέποι γὰρ ἂν, ὦ Παλλάδιε, τοῖς τὴν εὐκλεᾶ καὶ ἀπόλεκτον ἐξησκηκόσι ζωὴν, καὶ πολιτείας τῆς ὧδε διαφανοῦς εἰς τοῦτο ἥκουσι μέτρον, ὡς τὴν ἁπασῶν ἀρίστην ψῆφον ἑλεῖν, ἐν εὐημερίαις εἶναι μακραῖς, ἑορτάζοντάς τε καὶ διευθυμουμένους, καὶ πανηγύρεως ἀρχὴν ἔχοντας τὸν Ἐμμανουὴλ, καὶ ἐν ἐλπίσι κειμένους ταῖς ἐρηρεισμέναις. {ΠΑΛΛ.} Πρέποι γὰρ ἂν, καὶ ἀληθὴς ὁ λόγος. {ΚΥΡ.} Βούλει δὴ οὖν, τὰς ἐν τύπῳ καὶ κατὰ νόμον πολυπραγμονῶμεν ἑορτὰς καὶ τῶν ἐν αὐταῖς θυσιῶν τοὺς τρόπους ἀφηγησώμεθα, μεταστοιχειοῦντες, ὡς ἔνι, πρὸς τὸ ἀληθὲς τῶν ἐν αὐταῖς ἐννοιῶν τὴν δύναμιν; {ΠΑΛΛ.} Βουλοίμην ἄν· πῶς γὰρ οὔ; {ΚΥΡ.} Οὐκοῦν ἐπεί τοι σαφῶς ἄριστά τε διεσκέφθαι δοκῶ, φιλοκρινεῖν ὅτι πρέποι καὶ τάδε διενθυμούμενος, φέρε δὴ, φέρε καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο διερευνήσωμεν, πηνίκα τε καὶ ἐπὶ τίσιν ἑορτάζειν ἡμᾶς τὸ Γράμμα δεῖν ἔφη τὸ ἱερόν. Ἴοι γὰρ ἂν οὕτω καὶ κατ' εὐθὺ τοῦ πρέποντος ἡμῖν ὁ λόγος· καὶ μέντοι πρὸς τῷδε, τὸ ἀτέχνως πεποιῆσθαι δοκεῖν οὐκ ἀγεννῶς διακρούσεται. 68.1064 {ΠΑΛΛ.} Ἴθι δὴ οὖν ὅποι φίλον· ὀνήσεις γὰρ καὶ μάλα πλουσίως. {ΚΥΡ.} Συναγηγερμένων ποτὲ κατὰ τὴν ἔρημον ὑπὸ τὸ ὄρος τὸ Χωρὴβ, τῶν ἐξ Ἰσραὴλ, τὸν τῶν πρακτέων ἡμῖν ὁριστὴν διετύπου νόμον ὁ τῶν ὅλων Θεὸς, μυρία δὲ ὅσα καὶ ἐπωφελῆ θεσπίσματα προστεταχὼς, προσετίθει λοιπὸν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ἑορτάσατέ μοι.» Τίνες δ' ἂν εἶεν τοιοίδε καιροὶ, διεσάφει πάλιν. Ἔφη γὰρ εὐθύς· «Τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξασθε ποιεῖν· ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα, καθάπερ ἐνετειλάμην σοι κατὰ τὸν καιρὸν τοῦ μηνὸς τῶν νέων· ἐν αὐτῷ γὰρ ἐξῆλθες ἐξ Αἰγύπτου· οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενός· καὶ ἑορτὴν τοῦ θερισμοῦ πρωτογενημάτων ποιήσεις ἔργων σου, ὧν ἐὰν σπείρῃς ἐν τῷ ἀγρῷ σου, καὶ ἑορτὴν συντελείας ἐπ' ἐξόδῳ τοῦ ἐνιαυτοῦ, ἐν τῇ συναγωγῇ τῶν ἔργων σου, τῶν ἐκ τοῦ ἀγροῦ σου. Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικὸν ἐνώπιον Κυρίου τοῦ Θεοῦ σου.» Ὅτι μὲν οὖν τὸ χρῆναι πληροῦν τὰς ἑορτὰς τῷ Θεῷ, πρέποι ἂν ὅτι μάλιστα τοῖς ἀνδριζομένοις, καὶ οὐχὶ δὴ μᾶλλον τοῖς ἀναπεπτωκόσι καὶ ἄναλκιν ἔν γε δὴ σφίσιν ἔχουσι νοῦν, καὶ τεθρυμμένον ἀεὶ πρὸς τὰ σαρκός τε καὶ κόσμου, παρέδειξεν εἰπών· «Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικὸν ἐνώπιον Κυρίου τοῦ Θεοῦ σου.» Ἐποπτείας γὰρ ἄξιον τῆς ἄνωθεν καὶ παρὰ Θεοῦ τὸ ἀρσενικὸν, κατά γε τοὺς ἤδη προειρημένους τρόπους. Πλὴν ἐνομοθέτει χρησίμως τὸ χρῆναι πληροῦν ἑορτὰς ἁγίας. Ἔδει γὰρ, ἔδει τοῖς εἰς ἀρχὴν ἀναβαίνουσι παιδαγωγίας ὀρθῆς, καὶ ὑπὸ ζεύγλην ἤδη πως ἰοῦσι τὴν ὑπὸ Θεῷ, τῆς ἐν νόμῳ πολιτείας τὸ τέλος, ὅτι πάντη τε καὶ πάντως ἐκτελευτήσειεν ἂν αὐτοῖς εἰς τρυφάς τε καὶ εὐθυμίας, δῆλον δὲ ὅτι τὰς πνευματικὰς, εὖ μάλα παραδηλοῦν. Ταύτῃτοι προσηγορευκὼς τὸν νόμον, καὶ ἀποκρίνας ἀστείως τὸ πεφυκὸς ἀδικεῖν, ἐπαινέσας δὲ τὸ τελοῦν εἰς ὄνησιν, καὶ τῆς ἁνδανούσης αὐτῷ πολιτείας καὶ ζωῆς, παραθεὶς τὴν ὁδὸν, ὅτι καὶ καταλήξει ποτὲ πρὸς τρυφὰς ὁ πόνος αὐτοῖς, ἐφῆκε νοεῖν. Οὐκοῦν πρώτη μὲν ἑορτὴ κατὰ μῆνα τὸν νέον· δευτέρα δὲ ὥσπερ καὶ γείτων εὐθὺς ἡ τοῦ θερισμοῦ τῶν πρωτογενημάτων, τρίτη δὲ καὶ ἐπ' ἐσχάτοις ἡ ἐπ' ἐξόδῳ τοῦ ἐνιαυτοῦ, συγκεκομισμένων ἡμῖν τῶν καρπῶν, ἐν ἑβδόμῳ τοῦ ἔτους μηνί. Ἢ οὐχ ὧδε ἔφη τὸ Γράμμα τὸ ἱερόν; {ΠΑΛΛ.} Σύμφημι. {ΚΥΡ.} Οὐκοῦν ἀναγκαῖον, τὸ ἐφ' ἑκάστῳ καιρῷ παρακομίζειν εἰς μέσον, καὶ ὅπως τε καὶ ἐπὶ τίσι τελεῖσθαι πρέποι, διαθρεῖν ὡς ἔνι. Ἀπαίρειν μὲν γὰρ τῆς Αἰγυπτίων ἐκέλευε τότε τοὺς ἐξ Ἰσραὴλ ὁ φιλοικτίρμων Θεὸς, καὶ τῆς ἀφορήτου θητείας ἀποφορτίζεσθαι τὸν ζυγὸν, καὶ πρὸς τὴν τῆς ἐπαγγελίας μεθορμίσασθαι γῆν. Ἀντανίστατο δὲ τοῖς τεθεσπισμένοις ὁ Φαραὼ, καὶ ἀγροικὸν μὲν ἐφίει φωνὴν κατὰ τῆς ἀῤῥήτου δόξης, «Οὐκ οἶδα,» λέγων, «τὸν Κύριον.» Οὐκ ἀνήσειν δὲ τοὺς ἐξ Ἰσραὴλ διεβεβαιοῦτο πλειστά-κις· καὶ δὴ καὶ πληγαῖς συχναῖς καὶ ἀλλεπαλλήλοις κατηκίζετο. Ἐπειδὴ δὲ ἦν ἀτεράμων ἔτι, καὶ ἄθραυστον 68.1065
ἐμελέτα κατὰ τοῦ Θεοῦ τὴν ἀπόνοιαν, τοῖς τῶν Αἰγυπτίων πρωτοτόκοις ἐφίει τὸν ὀλοθρευτὴν, καὶ τὸν ἐν μιᾷ νυκτὶ κατεψηφίζετο θάνατον, ὁ πάντων ἔχων τὴν ἐξουσίαν. Προενόει δὲ ὅπως αἱ τῶν Ἰουδαίων ἀγέλαι μὴ ὑπενεχθεῖεν τῷ κακῷ, καὶ ὡς ἀπωτάτω γένοιντο τῆς τοῦ διαφθείροντος χειρὸς, εἴτ' οὖν ὀργῆς. Ἀλλ' οὐκ ἦν ἑτέρως τοῦτο πρᾶξαί τισι, πλὴν ὅτι διὰ Χριστοῦ, ὅς ἐστι ζωὴ καὶ ζωοποιὸς, ἅτε δὴ ζωῆς τῆς κατὰ φύσιν ἐκπεφυκὼς, τοῦ Πατρός. Προανετύπου τοίνυν ὁ νόμος τὸ ἐπ' αὐτῷ μυστήριον, ὧδέ τε φησίν· «Εἶπε δὲ Κύριος πρὸς Μωσῆν καὶ Ἀαρὼν ἐν γῇ Αἰγύπτου, λέγων· Ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτός ἐστιν ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ. Λάλησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ, λέγων· Τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ' οἴκους πατριῶν, ἕκαστος πρόβατον κατ' οἰκίαν. Ἐὰν δὲ ὀλιγοστοὶ ὦσιν ἐν τῇ οἰκίᾳ, ὥστε μὴ εἶναι ἱκανοὺς εἰς πρόβατον, συλλήψεται μεθ' ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ, κατὰ ἀριθμὸν ψυχῶν, ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συναριθμήσεται εἰς πρόβατον. Πρόβατον τέλειον, ἄρσεν, ἐνιαύσιον ἔσται ὑμῖν. Ἀπὸ τῶν ἀμνῶν καὶ τῶν ἐρίφων λήψεσθε, καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου, καὶ σφάξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν. Καὶ λήψονται ἀπὸ τοῦ αἵματος, καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν, καὶ ἐπὶ τὴν φλιὰν, ἐν τοῖς οἴκοις ἐν οἷς ἐὰν φάγωσιν αὐτὰ ἐν αὐτοῖς. Καὶ φάγονται τὰ κρέα τῇ νυκτὶ ταύτῃ ὀπτὰ πυρὶ, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄζυμα ἐπὶ πικρίδων ἔδονται. Οὐκ ἔδεσθε ἀπ' αὐτῶν ὠμὸν, οὐδὲ ἑψημένον ἐν ὕδατι, ἀλλ' ἢ ὀπτὰ πυρί· κεφαλὴν σὺν τοῖς ποσὶ καὶ τοῖς ἐνδοσθίοις. Οὐκ ἀπολείψεται ἀπ' αὐτοῦ ἕως πρωΐ· καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ. Τὰ δὲ καταλειπόμενα ἀπ' αὐτοῦ ἕως πρωῒ, ἐν πυρὶ κατακαύσετε. Οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν, καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς, Πάσχα ἐστὶ Κυρίῳ. Καὶ διελεύσομαι ἐν γῇ Αἰγύπτῳ ἐν τῇ νυκτὶ ταύτῃ, καὶ πατάξω πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἐν πᾶσι τοῖς θεοῖς τῶν Αἰγυπτίων ποιήσω τὴν ἐκδίκησιν, ἐγὼ Κύριος. Καὶ ἔσται τὸ αἷμα ὑμῖν ἐν σημείῳ ἐπὶ τῶν οἰκιῶν ὑμῶν, ἐν αἷς ὑμεῖς ἐστε ἐκεῖ, καὶ ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς, καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ τοῦ ἐκτριβῆναι, ὅταν παίω ἐν γῇ Αἰγύπτῳ καὶ ἔσται ἡμέρα ὑμῖν αὕτη μνημόσυνον, καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν Κυρίῳ εἰς πάσας τὰς γενεὰς ὑμῶν, νόμιμον αἰώνιον ἑορτάσετε αὐτήν. Ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε, ἀπὸ δὲ τῆς ἡμέρας τῆς πρώτης, ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν ὑμῶν. Πᾶς ὃς ἂν φάγῃ ζύμην, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραὴλ, ἀπὸ τῆς ἡμέρας τῆς πρώτης, ἕως τῆς ἡμέρας τῆς ἑβδόμης. Καὶ ἡ ἡμέρα ἡ πρώτη, κληθήσεται ἁγία, καὶ ἡ ἡμέρα ἡ ἑβδόμη, κλητὴ ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐταῖς, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ, τοῦτο μόνον ποιηθήσεται ὑμῖν.» Βούλει δὴ οὖν λεπτῶς καὶ ἐπιδρομάδην 68.1068 ἕκαστα διαστείχοντες, τὰ εἰκότα λέγωμεν· Δώσομεν γὰρ σοφοῖς ἀφορμὴν, καὶ γνωριοῦμεν δικαίοις, κατὰ τὸ γεγραμμένον. Προσθεῖεν δ' ἂν καὶ αὐτοὶ τὰ παρά γε δὴ σφῶν αὐτῶν, καὶ ἀμείνους ἔσονται παρὰ πολύ. {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Οὐκοῦν ἐν ἔτους ἀρχῇ καὶ ἐν πρώτῳ μηνὶ, τὸ Χριστοῦ μυστήριον ἐκφαίνεται· νέος γὰρ ἡμῖν αἰὼν, ὁ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας καιρὸς, μετατιθεὶς ἅπαντα πρὸς τὸ ἄμεινον, καὶ εἰς καινότητα κτίσεως μεταστοιχειῶν εὖ μάλα, τὸ παλαιούμενον καὶ γηράσκον, καὶ ἐγγὺς ἀφανισμοῦ. «Καινὴ γὰρ κτίσις, τὰ ἐν Χριστῷ, καὶ τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά.» Ζῶμεν δὲ καὶ ἡμεῖς, οὐκέτι Μωσαϊκῶς, ἀπενηνεγμένοι δὲ μᾶλλον εἰς εὐαγγελικὴν ζωὴν, καινουργοῦντος ἡμᾶς διὰ Πνεύματος τοῦ Χριστοῦ. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἕκαστος δὲ λαμβάνει τὸ πρόβατον, καὶ συλλέγονται κατὰ πληθὺν οἱ δαιτυμόνες εἰς οἶκον ἕνα. Μεμερισμένοι γὰρ ὥσπερ καὶ ἡμεῖς εἰς τὸ ὑφεστάναι καθ' ἕνα φυσικῶς, εἰς ἑνότητα τὴν πνευματικὴν συνδεδραμήκαμεν ἐν Χριστῷ. Ψυχὴ γὰρ ἐν ἡμῖν λοιπόν ἐστι μία, καὶ καρδία μία. Πρόβατον δὲ τὸ θυόμενον, ἤγουν ἐξ αἰγῶν, καὶ πρόβατον μὲν, διά τοι τὸ ἀσυγκρίτως ἥμερόν τε καὶ ἄκακον, καὶ πρός γε δὴ τούτῳ τὸ ἔγκαρπον· «Ὡς πρόβατον γὰρ ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος.» Ἀμνὸς δὲ, ὅτι τέθυται δι' ἡμᾶς, καὶ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν παρεδόθη, κατὰ τὰς Γραφάς. Ἔριφος δὲ ὑπὲρ ἁμαρτιῶν τὸ θῦμα, κατὰ τὸν νόμον, τέλειόν τε ἄρσεν τὸ πρόβατον· τοῦ μὲν τελείου σημαίνοντος, ἤτοι τὸ μώμου παντὸς ἐλεύθερον, εὔρωστόν τε καὶ ὑγιές. Ἄμωμος γὰρ Χριστὸς, καὶ παντὸς ἐπέκεινα πάθους, ἤτοι τὸ τέλειον ἀληθῶς· παντέλειος γὰρ ὁ Ἐμμανουὴλ, οἴκοθεν ἔχων καὶ φυσικῶς, τὰ δι' ὧν ἐστι Θεὸς, τοῦ γε μὴν ἄρσενος ὅτι πάντων ἐστὶ καθηγητής. Ἡγεμονικώτατον δὲ τὸ ἄρσεν ἀεὶ, καὶ ἐν δευτέρᾳ τάξει τὸ θῆλυ πανταχῆ. Καὶ λαμβάνεται μὲν τὸ πρόβατον, ἀπὸ δεκάτης τοῦ μηνός· ἱερουργεῖται δὲ πρὸς ἑσπέραν τῇ τεσσαρεσκαιδεκάτῃ. Οὐ γάρ τοι νεοφανὲς τὸ Χριστοῦ μυστήριον, οὐδὲ τότε πρῶτον διεγνωσμένον, ὅτε καὶ ἐμπαροινεῖν ἐδόκει τοῖς Ἰουδαίοις αὐτῷ. Ἀρχαιοτέρα δὲ πολὺ τοῦ πάθους ἡ γνῶσις προῆν, προαναφωνούντων ἁγίων, καὶ διακεκραγότος τοῦ νόμου, καὶ τὸ ἐπ' αὐτῷ μυστήριον, τῆς ἁγίας ἡμῖν προανατυπούσης Γραφῆς. Οὐκοῦν εἴχομεν παρ' ἑαυτοῖς ὡς ἐν προγνώσει τέως, τεθυμένον μὲν οὔπω τὸν ἀμνὸν, σφαγήσεται δὲ ὅτι πρὸς ἑσπέραν, οὐκ ἠγνοηκότες. Ἐπ' ἐσχάτοις γὰρ τοῦ αἰῶνος καιροῖς, καὶ πρὸς αὐταῖς ἤδη πως διήκοντος ταῖς τοῦ χρόνου δυσμαῖς ὁ Χριστοῦ πέπρακται θάνατος. Σφάζεται δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπὸ παντὸς τοῦ πλήθους· ἀπέθανε γὰρ ὑπὲρ πάντων, ἵν' εἰδεῖεν οὗτοι ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας προσάγοντες ἀμνὸν, ὅτι τιμῆς ἠγοράσθησαν, οὐκ εἰσὶν ἑαυτῶν, ἀλλ' εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι, καὶ ἐγερθέντι. Ἐπειδὴ γὰρ 68.1069 ὑπὲρ τῶν ἡμετέρων πλημμελημάτων παρεδόθη, διὰ ἡμᾶς τεθνάναι λέγεται. Ταύτῃ τοι καὶ ἡμεῖς οἱ σφάζοντες. Οἱ γὰρ δι' οὓς ἀπέθανεν ἀναγκαίως, μονονουχὶ τοῦ πάθους εἶεν ἂν ἐργάται σαφῶς, εἰ καὶ δρῷτό τι δι' ἑτέρων. Ὅτι δὲ σώζει τοὺς κεχρισμένους ὁ τοῦ αἵματος ῥαντισμὸς, παρέδειξεν εὐθὺς, χρῆναι τῷ αἵματι καταχρίειν εἰπὼν τῶν δωματίων τὰς εἰσβολὰς, σταθμῶν δὴ λέγω καὶ θυρῶν φλιάς. Ἀποφράττει γὰρ ὥσπερ καὶ ἀνέμβατον ἐργάζεται τῷ θανάτῳ τὴν εἰσβολὴν τὸ Χριστοῦ μυστήριον. Ἄραρεν οὖν, ὅτι τῷ τιμίῳ κατακεχρισμένοι καὶ ἡμεῖς αἵματι, θανάτου κρείττους ἐσόμεθα, καὶ φθορᾶς ἀλογήσομεν, δι' οὐδενὸς ποιούμενοι λόγου τὸν ὀλοθρευτήν. Ἐκρύεται γὰρ ἡμᾶς τὸ αἷμα τῆς ζωῆς, τουτέστι, Χριστοῦ. Χρῆναι δέ φησιν, ἐν νυκτὶ μιᾷ τὰ τοῦ ἀμνοῦ δαπανᾶσθαι κρέα· εἷς γὰρ ἀληθῶς, ὁ τοῦ σωτηρίου πάθους καιρὸς, καὶ ἅπαξ ἀποθανὼν, οὐκέτι ἀποθνήσκει, κατὰ τὸ γεγραμμένον, θάνατος αὐτοῦ οὐκέτι κυριεύσει· ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Ὀπτὰ δὲ τὰ κρέα, καὶ ἐπ' ἄρτοις ἀζύμοις ἐσθίεται καὶ πικρίσι, τοῦ μὲν ὀπτοῦ, τὴν οἱονεί πως διὰ παθημάτων τοῦ Ἐμμανουὴλ ὑπεμφαίνοντος τελείωσιν. «Ἔδει γὰρ, ἔδει, φησὶ, τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, διὰ παθημάτων τελειῶσαι.» Τοῦ γε μὴν ἐπ' ἀζύμων ἐσθίεσθαι καὶ πικρίδων, αἰνιγματωδῶς ὑπογράφοντος, ὅτι δεήσει καὶ ἡμᾶς αὐτοὺς, οἷς ἂν παρακέοιτο πρὸς μέθεξιν ὁ Χριστὸς, ζύμης ἀπηλλάχθαι τῆς νοητῆς, τουτέστι, κακίας καὶ δόλου, ἀγαπᾷν δὲ ὅτι μάλιστα καὶ τὸ τληπαθεῖν ὑπὲρ τῆς εἰς αὐτὸν ἀγάπης, καὶ πικρῶν ἀνέχεσθαι πόνων, κατόπιν ἰόντας τοῦ δι' ἡμᾶς εἰς θάνατον εἰσελθόντος. Εἰς τοῦτο γὰρ παραθήγων ἡμᾶς, «Οὐκ ἔστι, φησὶ, μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ.» «Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐπεκάλεσαν, πολλῷ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ. Ἀποφάσκει δὴ οὖν ὁ νόμος, τὸ δεῖν ἐσθίειν ὠμὸν, καὶ μέν τοι ἑψημένον ὕδατι, καί τοι μηδενὸς ἂν, οἶμαι, φαγόντος ὠμὸν, κἂν εἰ μὴ ἔφη τυχὸν ὁ νόμος. Ὑποφαίνει τοίνυν αἰνιγματωδῶς, ὅτι τὸ τοῦ Χριστοῦ μυστήριον, οὔτε τὸ ἀπρόσβλητον ἔχει διὰ ψευσμάτων ὑπερβολὴν οὔτε μὴν τὸ ὑδαρὲς καὶ ἐκλελυμένον. Ἑλλήνων μὲν γὰρ οἱ λογάδες ποιηταί τε καὶ συγγραφεῖς, καὶ ὅσον ἧκεν εἰς λόγους σοφοὶ, τὰ τῶν παρὰ σφίσι θεῶν ἀναγράφοντες ὄργια, ψευδοεποῦσιν ἀγρίως, καὶ οἱονεί πως ὠμά τε καὶ ἀπαράδεκτα ταῖς ἀνθρώπων διανοίαις παραφέρουσι διηγήματα, καὶ πολὺ τὸ ὑδαρὲς, ἔν γε δὴ σφίσιν αὐτοῖς, κατηῤῥωστηκότα. Μοιχεῖαί τε γὰρ καὶ γυναίων ἔρωτες, καὶ μειρακίων διαφθοραὶ, καὶ αἰδοίων ἀποκοπαὶ, καὶ παρθένων εἰς δένδρα μεταφυτεύσεις, καὶ ἕτερα ἄττα πρὸς τούτοις πάναισχρά τε καὶ ἀκαλλῆ, μυθάρια τὰ παρ' αὐτοῖς νοούμενα, ἀλήθεια δέ ἐστι, πάντα τὰ ἐν Χριστῷ, εὐπαράδεκτά τε καὶ ἐδώδιμα νῷ, καὶ τὸ χαῦνον, ἢ ὑδαρὲς οὐκ ἔχοντα. Συνάγει γὰρ μᾶλλον εἰς εὐκοσμίαν τοὺς ἐθέλοντας νοεῖν, ἤπερ ἀνίησιν εἰς τρυφὰς καὶ φιλοσαρκίαν, καθάπερ ἀμέλει καὶ τὰ Ἑλ 68.1072 λήνων ψυχρὰ καὶ γραώδη διηγήματα. Συνίης οὖν ἄρα σαφῶς ὅ φημι; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Ὅτι δὲ χρὴ τὸν Χριστοῦ γεγονότα μέτοχον, διά γε τοῦ μεταλαχεῖν τῆς ἁγίας αὐτοῦ σαρκός τε καὶ αἵματος, καὶ τὸν αὐτοῦ νοῦν ἔχειν, καὶ διὰ τῶν ἔσω κατορθωμάτων ἰέναι φιλεῖν, συνιέντα εὖ μάλα τὸ ἐπ' αὐτῷ, ὑπέφηνεν ἂν εὐθὺς, δεῖν ἐσθίεσθαι λέγων κεφαλὴν σὺν τοῖς ποσὶ καὶ τοῖς ἐνδοσθίοις. Ἦ γὰρ, οὐχὶ νοῦ μὲν εἰς τύπον ἐλέγομεν εἶναι τὴν κεφαλὴν, πόδας δὲ αὖ πανταχῆ, τῆς ὡς ἐν ἔργοις πορείας σημαντικούς; παρεδήλου δὲ πάλιν τὰ εἴσω τε καὶ κεκρυμμένα τῶν θυομένων τὰ ἐντόσθια; {ΠΑΛΛ.} Ἐδόκει μὲν ὧδε νοεῖν ὀρθῶς. Πλὴν, ἐκεῖνο φράσον, τίς ἂν εἴη Χριστοῦ μὲν ὁ νοῦς, τίς δὲ ἡ πορεία, καὶ μέντοι τὰ κεκρυμμένα; {ΚΥΡ.} Νοῦς μὲν ἂν εἴη Χριστοῦ, τὸ μόνα φρονεῖν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ ὅσαπερ ἂν εἰς δόξαν βλέποι τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τὸ βούλεσθαι κατορθοῦν τὸ τῷ γεννήσαντι δοκοῦν. Καταβέβηκα γὰρ, φησὶν, ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.» Τοῦτό τοι φρονεῖν καὶ κατορθοῦν ᾑρημένοι καὶ οἱ θεσπέσιοι μαθηταὶ διαῤῥήδην ἔφασκον· «Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.» Καὶ γοῦν ἐδίδασκον λέγειν ἐν προσευχαῖς· «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ θέλημά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.» Ὁρᾷς ὅτι σύμφοροί τε καὶ ὁμογνώμονες Χριστοῦ γεγονότες, καὶ τὸν αὐτοῦ νοῦν ἔχειν διαβεβαιοῦνται σαφῶς; Τοῦτο, οἶμαι, ἐστὶ τὸ τὴν κεφαλὴν ἐσθίεσθαι τοῦ ἀμνοῦ. Πορεία γε μὴν ἡ Χριστοῦ, τὸ κατ' αὐτὸν ἀνατλῆναι γεννικῶς, καὶ μὴ κατοκνῆσαι τὸν θάνατον, ἵν' ὡς Παῦλός φησιν, ἁμαρτωλοὺς σώσῃ· ἑτοιμοτάτους δὲ εἶναι καὶ ἡμᾶς αὐτοὺς εἰς τοῦτο προσήκει, καὶ αὐτὴν ὑπὲρ ἀδελφῶν δαπανῶντας ἑτοίμως τὴν ἐν σώματι ζωήν. Καὶ γοῦν ἔφη τις τῶν ἁγίων μαθητῶν· «Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς ὑπὲρ αὐτοῦ τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε.» Παῦλός γε μὴν ἐπιτιμᾷ τισιν ὡδί πη λέγων· «Τί κλαίετε συνθρύπτοντές μου τὴν καρδίαν; Ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.» Καὶ αὐτὸς δὲ Χριστὸς τοῖς ἰδίοις ἴχνεσι κατακολουθεῖν ἐπιτάττων· «Ὃς οὐ λαμβάνει,» φησὶ, «τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.» Ἁγία δὲ καὶ ἑτέρως πανταχῇ, καὶ διὰ πάσης ἀρετῆς, ἡ Χριστοῦ πορεία καὶ ὁδός. Ἐντόσθια δὲ νοήσεις τὸν ἐπ' αὐτῷ κεκρυμμένον τε καὶ ἐν παραβύστῳ λόγον. Θεὸς γὰρ ὢν κατὰ φύσιν, καὶ ἐκ Θεοῦ πεφηνὼς ὁ Μονογενὴς, γέγονε σὰρξ, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ εἰκὼν καὶ ὁμοίωσις ὑπάρχων τοῦ γεγεννηκότος, καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καὶ εἰς δούλου μορφήν. Εἰσδεξώμεθα δὴ οὖν ἐν ἰδίαις ψυχαῖς, οὐχὶ μόνα τὰ ἀν 68.1073 θρώπινα, καὶ ἐξωφανῆ τὸν Ἐμμανουὴλ, ἀλλὰ καὶ αὐτῶν τῶν ἐντοσθίων, τουτέστι, τῶν κεκρυμμένων αὐτοῦ μυστηρίων τὸν οἰκεῖον ἀναπιμπλάντες νοῦν, εὐτροφίαν ἕξομεν τὴν πνευματικήν. Δαπανᾶσθαί γε μὴν αὐτῇ δεῖν ἔφη τῇ μιᾷ νυκτὶ τὸν ἀμνὸν, οὐδενὸς τὸ σύμπαν περιλελειμμένου, καὶ εἰς τὸ πρωῒ μένοντος. Συντρίβεσθαι δὲ καὶ ὀστοῦν οὐκ ἐᾷ, τοῦ μὲν πρώτου κατασημαίνοντος, ὡς εἰς αἰῶνα τὸν μέλλοντα, καθ' ἕτερόν τινα τρόπον ἁγιάσει τε καὶ εὐλογήσει Χριστὸς τοὺς ἀνακειμένους αὐτῷ διὰ πίστεως καὶ ἁγιασμοῦ, καὶ οὐχὶ δὴ πάντως ἀποθρέψει πάλιν τῇ ἰδίᾳ σαρκὶ, καὶ ζωοποιήσει τῷ αἵματι, καθάπερ ἀμέλει καὶ νῦν, ἀλλ' ὡς ἤδη κατηργημένου θανάτου, καὶ λυθείσης εἰσάπαν τῆς φθορᾶς, νοητὸς ἔσται τις ὁ τοῦ ἁγιάζοντος τρόπος. Οὐκοῦν τὸ πρωῒ κατασημήνειεν ἂν οὐχ ἕτερον οἶμαί τι, παρὰ τὸν αἰῶνα τὸν μέλλοντα. Τοῦ δὲ δευτέρου, τοῦ μὴ χρῆναι, λέγω, συντρίβεσθαι τὸ ὀστοῦν, εἰς ἐννοίας ἡμᾶς ἀναφέροντος τὰς ἐπὶ Χριστῷ, καὶ ἀκολουθεῖν ἀναπείθοντος ταῖς τῶν θεηγόρων φωναῖς. Ὁ γάρτοι θεσπέσιος εὐαγγελιστὴς, σωματικώτερον ἐκλαβὼν ἐπὶ Χριστοῦ τὸ χρησμῴδημα, «Οὐ κατέαξαν αὐτοῦ,» φησὶν, «οἱ στρατιῶται τὰ σκέλη, ὅπως πληρωθῇ τὸ γεγραμμένον· Καὶ ὀστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ.» Ἐσθίουσι δὲ τὸν ἀμνὸν, διεζωσμένοι τὰς ὀσφύας, ὑποδησάμενοι τοὺς πόδας, καὶ βακτηρίας ἔχοντες ἐν ταῖς χερσὶ, καὶ ἁπαξαπλῶς εἰπεῖν, ἐν σχήματι γεγονότες τῶν ὁδοιπορεῖν εἰωθότων, καὶ μάλα ὀρθῶς. Εὐτρεπεῖς γὰρ ὥσπερ γεγονότες τοῦ μεθίστασθαι νοητῶς, καὶ οἱονεί πως ἐξοδοιπορεῖν ἐπειγόμενοι τῶν ἐν τῷδε τῷ κόσμῳ περισπασμῶν, καὶ εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων μεταφοιτᾷν προθυμούμενοι, μεταληψόμεθα τοῦ Χριστοῦ πανάγνως καὶ καθαρῶς. Οὐ γὰρ τοῖς προσκαίροις ἐμφιλοχωρεῖν εἰθίσμεθα, μετατρέχομεν δὲ γεννικῶς εἰς τὰ πεπηγότα καὶ μένοντα· καὶ τῶν σαρκικῶν ἀκαθαρσιῶν ἀπαίροντες, εἰς ἀστειότητα τὴν πνευματικὴν μεταθρώσκομεν μεμνημένοι λέγοντος τοῦ Χριστοῦ, «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.» Ταύτῃ τοι περίκεινται σχῆμα τοῖς ὁδοιπορεῖν εἰωθόσι τὸ πρέπον, οἱ τὸν ἀμνὸν ἐσθίοντες εἰς τύπον Χριστοῦ. Πλὴν, ἐν σπουδῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φάγεσθαι χρή. Πάσχα γάρ ἐστι Κυρίου, τουτέστι, διάβασις, ἤτοι διαβατήρια· καιροῦ γὰρ ἐνεστηκότος καθ' ὃν ἀναγκαῖον διαβαίνειν ἡμᾶς ἐκ φαυλότητος κοσμικῆς, ἐπὶ τὸ δρᾷν ἐπείγεσθαι τὰ ἁνδάνοντα τῷ Θεῷ, τὸ μὴ ἐν ὅλῃ ταυτὶ ποιεῖσθαι σπουδῇ, διαμέλλειν δὲ ὥσπερ καὶ ἀναδύεσθαι τοῖς ἀρχαίοις ἡμᾶς προστετηκότας ἔτι κακοῖς, πῶς οὐκ ἂν εἴη τῶν σφαλερωτάτων; Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, «Τρέχετε,» φησὶν, «ἵνα καταλάβητε.» Ἰτέον δὴ οὖν εἰς μετάληψιν τοῦ Χριστοῦ διὰ πίστεως, παντὸς μὲν ὄκνου πεπατημένου, μελλησμοῦ δὲ οὐδενὸς παρεισδεδυκότος, ἀλλ' ὡς ἐν ὅλῃ σπουδῇ. Διαβησόμεθα γὰρ οὕτως ἐξ ἁμαρτιῶν εἰς δικαίωσιν, ἐκ θανάτου πρὸς ζωὴν, καὶ τὸ τῆς δουλείας αἶσχος ἀποτριψάμενοι, τὴν εὐκλεᾶ τῆς υἱοθεσίας καταπλουτήσομεν χάριν. 68.1076 {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Τούτων δὲ οὕτως εὖ μάλα τετηρημένων, καὶ μὴν καὶ εἰς πέρας ἐξενηνεγμένων κατά γε τῷ νομοθέτῃ δοκοῦν, διελεύσεσθαί φησι καὶ οἱονεὶ πᾶσαν περινοστήσειν τὴν Αἰγυπτίων, καὶ διολλύναι μὲν τὰ πρωτότοκα, ποιήσειν δὲ τὴν ἐκδίκησιν ἐν τοῖς θεοῖς τῶν Αἰγυπτίων, τουτέστι, πάντα τὸν παρ' αὐτοῖς ὑψηλόν τε καὶ ἐπηρμένον, καὶ ἐν τοῖς προσκυνουμένοις μονονουχὶ τεταγμένον διά γε τὴν δόξαν, ἐξαιτήσειν δίκας τῆς οὕτω σκληρᾶς καὶ ἀτάκτου γνώμης, καὶ τῆς ἄγαν ἀλαζονείας. Σκεπάσειν γε μὴν τοὺς υἱοὺς Ἰσραὴλ ἐπηγγέλλετο, κατακεχρισμένων τῷ αἵματι τῶν φλιῶν, ὃ δὴ καὶ σημεῖον ὠνόμαζε τῆς πρὸς αὐτὸν οἰκειώσεως. «Ὄψομαι γὰρ, φησὶ, σημεῖον, καὶ σκεπάσω ὑμᾶς.» Θεοῦ γὰρ ἐπάγοντος ὀργὴν καὶ θυμὸν ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, κατὰ τὴν τοῦ προφήτου φωνὴν, καὶ θανάτῳ καταδικάζοντος τὸν ἀσελγῆ τε καὶ ἀλιτήριον, καὶ τῆς εἰς αὐτὸν εὐσεβείας ἀνακαταλήκτως ὀλιγωρήσαντα, διαδιδράσκουσι μόνοι καὶ ἀμοιροῦσι ποινῆς, οἱ καλῷ σημάντρῳ κατεσφραγισμένοι, καὶ ἐῤῥαντισμένοι τῷ αἵματι τοῦ Χριστοῦ. Διεπύθου γὰρ λέγοντος, «Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν· ὁ δὲ μὴ πιστεύων, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν.» Οὐκοῦν καὶ ζωῆς τῆς αἰωνίου μέτοχοι, καὶ Θεῷ τε καὶ Πατρὶ φίλοι τε καὶ γνώριμοι, καὶ θανάτου κρείττους, οἱ ἡγιασμένοι, διά γε τοῦ μετασχεῖν τοῦ Χριστοῦ, κατὰ τρόπον δὲ δηλονότι τὸν μυστικὸν, καὶ αἵματι τῷ ἁγίῳ κατακεχρισμένοι. Χρῆναί γε μὴν ἀκαταλήκτως αὐτοὺς ἀποπεραίνειν ἐπείγεσθαι τὸν ἐπὶ τῷδε νόμον εὖ μάλα φησί. Καταλήξομεν γὰρ, οὔτι που τοῦ ἑορτάζειν ἐπὶ Χριστῷ, ζύμην ἀφανίζοντες ἐκ τῶν ἰδίων ὁρίων, τουτέστιν, ἀπὸ πάσης τῆς γῆς ἐν ᾗπερ ἂν ἔχοιμεν τὰς διατριβάς. Δεήσει γὰρ δὴ τοὺς διὰ πίστεως κεκλημένους εἰς δικαίωσιν τὴν διὰ Χριστοῦ, πνευματικῶς ἑορτάζοντας, μὴ ἐν ζύμῃ τοῦτο δρᾷν, κακίας τε καὶ πονηρίας, ἐκκαθαίροντας δὲ μᾶλλον τὴν παλαιὰν ζύμην, μεταπλάττεσθαι πρὸς τὸ ἄμεινον, καὶ νέον ἤδη πως ὁρᾶσθαι φύραμα, παγγενῆ τε καὶ πανοικὶ, καὶ τοὺς ἐν πάσῃ τῇ χώρᾳ, δι' οὗ σημαίνεται τῶν τὴν πίστιν παραδεδεγμένων πολλή τις οὖσα καὶ ἀναρίθμητος ἡ ὁσία πληθύς. Τὴν δέ γε πρώτην τῆς ἑβδομάδος ἡμέραν, ἁγίαν ἔφη διακεκλῆσθαι δεῖν, κλητὴν δὲ ἁγίαν καὶ τὴν ἑβδόμην, ἐκεῖνο, οἶμαί που, παραδεικνὺς ὁ νόμος, ὅτι τῆς ἀνθρώπου ζωῆς ἅγιος μὲν ἦν ὁ ἐν ἀρχῇ χρόνος, ὡς ἐν τῷ προπάτορι τοῦ γένους Ἀδὰμ, οὔπω παραλύσαντι τὰ ἐντεταλμένα, καὶ τῶν θείων ἀλογήσαντι προσταγμάτων· ἅγιος δὲ καὶ πολὺ μείζων, ὁ ἐν ἐσχάτοις, τουτέστιν, ὁ ἐν Χριστῷ, ὅς ἐστι δεύτερος Ἀδὰμ, ἀναστοιχειῶν τὸ γένος ἐκ τῶν διὰ μέσου συμβεβηκότων, εἰς καινότητα ζωῆς, ἐν πνεύματι. Παρεγγυᾷ δὲ ὅτι καὶ σαββατίζειν ἀνάγκη κατὰ τὴν ἑβδόμην, ἀποφοιτῶντας ἔργου παντός. Πρέποι γὰρ ἂν καὶ μάλα εἰκότως τοῖς διὰ πίστεως εἰσελήλα 68.1077 κόσιν εἰς τὴν κατάπαυσιν τοῦ Χριστοῦ, τὸ παντὸς ἔργου λοιπὸν ἀπέχεσθαι σαρκικοῦ, καὶ τῶν ἐπὶ γῆς σπουδασμάτων καὶ εἰκαίου περιφορᾶς, ἀποπεραίνειν δὲ μᾶλλον ἐπείγεσθαι μόνα τὰ εἰς ζωὴν ἀποφέροντα τὴν ἀκήρατον, καὶ ὅσα σεπτοὺς καὶ ἁγίους ἀποτελεῖ. Ὡς γὰρ ὁ σοφὸς ἡμῖν γράφει Παῦλος, «Ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δῆλον δὲ ὅτι τοῦ Χριστοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Ὧδε μὲν οὖν τὸ θεῖον ἔφη χρησμῴδημα ἡμῖν. Εἰσηγούμενος δὲ τοῖς ἐξ Ἰσραὴλ τὸ κεκελευσμένον ὁ θεῖος ἔφη Μωσῆς, «Ἀπελθόντες λάβετε ὑμῖν αὐτοῖς πρόβατον κατὰ συγγενείας ὑμῶν, καὶ θύσατε τὸ Πάσχα. Λήψεσθε δὲ δέσμην ὑσσώπου, καὶ βάψαντες ἀπὸ τοῦ αἵματος τοῦ παρὰ τὴν θύραν θήσετε ἐπὶ τῆς φλιᾶς, καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν ἀπὸ τοῦ αἵματος, ὅ ἐστι παρὰ τὴν θύραν. Ὑμεῖς δὲ οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου αὐτοῦ, ἕως πρωΐ. Καὶ παρελεύσεται Κύριος πατάξαι τοὺς Αἰγυπτίους, καὶ ὄψεται αἷμα ἐπὶ τῆς φλιᾶς, καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν, καὶ παρελεύσεται Κύριος πρὸς τὴν θύραν, καὶ οὐκ ἀφήσει τὸν ὀλοθρευτὴν εἰσελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι.» Τὸ μὲν οὖν κατ' οἴκους πατριῶν ἤτοι κατὰ συγγενείας λαμβάνεσθαι τὸν ἀμνὸν, ὑποφήνειεν ἂν, οἶμαί που, τῆς πνευματικῆς οἰκειότητος τὸ, ὡς ἐν πίστει τε καὶ ὁμονοίᾳ ταυτόν. Οὐ γὰρ τοῖς ἐξίτηλα φρονεῖν ᾑρημένοις συνεορτάσομεν, οὐδὲ τοῖς ἕτερα ἄττα παρά γε τὸ ὀρθῶς ἔχον καὶ ἀληθῶς φρονεῖν εἰωθόσι κοινωνήσομεν τῆς ἁγίας καὶ ζωοποιοῦ θυσίας, ἀλλὰ τοῖς ὁμόφροσί τε καὶ ἀδελφοῖς ὡς ἐν ἑνότητι πνεύματος, καὶ ἐν ταυτότητι πίστεως. Ἀναπλέκεταί γε μὴν ἡ ὕσσωπος οἰκονομικῶς τῷ αἵματι τοῦ ἀμνοῦ. Καὶ τίς ἂν γένοιτο καὶ τοῦδε τυχὸν ὁ λόγος, ὡς ἐν βραχέσιν ἐρῶ. Τὴν ὕσσωπον, ὦ Παλλάδιε, πόαν εἶναί φασι καὶ δὴ καὶ ἰατρῶν θαυμάζουσι παῖδες, ὡς οὐκ ἀνικάνως ἔχουσαν εἴς γε τὸ δύνασθαι καὶ μάλα γεννικῶς τὴν ἐν σπλάγχνοις ἐκτήκειν ἀκαθαρσίαν, καὶ καταλεπτύνειν εὖ μάλα τὰ τῶν φλεγμάτων συμπεπηγότα, διάτοι τὸ τῆς ἐνούσης αὐτῇ φυσικῆς θερμασίας εὐσθενές. Συνῆπται δὴ οὖν, καθάπερ ἔφην ἀρτίως, τῇ ὑσσώπῳ τὸ αἷμα, πλαγίως ἡμῖν τοῦ τύπου σημαίνοντος, ὡς οὐ μόνον ἡμᾶς ἀπαλλάττει φθορᾶς, τὸ τίμιον αἷμα Χριστοῦ, ἀλλὰ γὰρ καὶ ἁπάσης ἀκαθαρσίας, τῆς εἰς τὸ εἴσω κεκρυμμένης, καὶ ἀποψύχεσθαι μὲν οὐκ ἐᾷ πρὸς τὸ ῥᾴθυμον, ζέοντας δὲ μᾶλλον ἀποτελεῖ τῷ πνεύματι. Ὅτι δὲ ἀναγκαῖον καὶ λυσιτελὲς, τοῖς γε ἅπαξ ἠξιωμένοις μεταλαχεῖν τοῦ Χριστοῦ, τὸ ἀσφαλῆ τε καὶ ἀνεξίτητον ποιεῖσθαι φιλεῖν τὴν ἐν ἁγιασμῷ ζωὴν, ὑποσημαίνει πάλιν ὁ νόμος, εἴσω καθίζων θυρῶν τοὺς τὸν ἀμνὸν κατεδηδοκότας, ἵνα μὴ τοῖς Αἰγυπτίοις συνολοθρευθεῖεν, τῶν οἴκων ἐκβεβηκότες. Ἐνδοιάσαι γὰρ οὐ θέμις, ὡς ἀπαστισοῦν τῶν τελούντων ἐν ἡγιασμένοις, οἶκον ὥσπερ τινὰ τὴν ἀρε 68.1080 τὴν ἔχων, εἰ ἐξοίχοιτό πως ἁγιασμοῦ, συνδιολεῖται τοῖς ἄλλοις, καὶ συνυποκείσεται ταῖς ποιναῖς, αἵπερ ἂν ἐπιφέροιντο τοῖς τὴν ἀσελγῆ καὶ ἀνίατον κατηῤῥωστηκόσι ζωήν. Ταύτῃ τοι καὶ ὁ θεσπέσιος ἡμῖν Μελωδὸς, «Μὴ συναπολέσῃς, φησὶ, μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι.» Ἄθρει δὴ οὖν ὅπως, «Οὐκ ἐξελεύσεσθε,» φησὶ, «τὴν θύραν τοῦ οἴκου ὑμῶν, ἕως πρωΐ.» Νυκτὶ μὲν γὰρ παρεικάζει τὸ Γράμμα τὸ ἱερὸν, τὸν αἰῶνα ἐνεστηκότα· ἡμέραν δὲ αὖ ἔσεσθαι προσδοκωμένην αἰῶνα τὸν μέλλοντα. Καὶ γοῦν ὁ μακάριος Παῦλος, εἰς τέλος ἤδη καταίροντα τὸν αἰῶνα βλέπων τὸν ἐνεστηκότα, λοιπὸν δὲ ἀγχοῦ, μονονουχὶ δὲ καὶ ἐπὶ θύραις ἤδη τὸν αἰῶνα τὸν μέλλοντα, προσεφώνει, λέγων· «Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν.» Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτὸς, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν.» Οὐκοῦν τὸ μέχρι παντὸς τοῦ βίου κατασημήνειεν ἂν, τὸ ἕως πρωῒ, τουτέστιν, ἕως ἂν ὁ μέλλων ἀναδειχθείη καιρός. Πῶς δ' ἂν καὶ τοῦτο γένοιτο πρὸς ἡμῶν; ἐν γὰρ τῷ τέλει τῆς ἑκάστου ζωῆς, μονονουχὶ καὶ εἰσβέβηκεν ὁ μέλλων αἰών. Εἴπερ ἐστὶν ἀληθὲς, ὅτι δεδικαίωται μὲν ἀπὸ ἁμαρτίας ὁ θάνατον ὑποδύς· συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ, κατὰ τὸ γεγραμμένον, τετήρηται δὲ τῷ βήματι τοῦ Χριστοῦ, καὶ ὡς ἂν ἔχοι τῷ ἰδίῳ τέλει καταληφθεὶς, οὕτω καὶ παραστήσεται. {ΠΑΛΛ.} Συνίημι ὃ φῄς· καὶ εὖ γε δὴ λίαν ὁ λόγος ἔχει. {ΚΥΡ.} Ἀλλ' ὧδε μὲν ἡμῖν τὸ Χριστοῦ μυστήριον ἐσκιαγραφεῖτο τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάλαι καταθυομένου κατὰ καιρὸν τοῦ ἀμνοῦ, καθ' ὃν ἀληθῶς καὶ αὐτὸς ὁ Ἐμμανουὴλ τὴν ὑπὲρ τῆς ἁπάντων ζωῆς ὑπομεμένηκε σφαγήν· καὶ γοῦν ὁ θεσπέσιος γράφει Παῦλος, ὅτι τὸ «Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός.» Χρῆναί γε μὴν ἔφη τὸ θεῖον ἡμῖν χρησμῴδημα καὶ ἐν μηνὶ τῷ δευτέρῳ τελεῖσθαι τὰ ἱερὰ, καὶ τῆς ἑορτῆς τὸ σχῆμα διαπεραίνεσθαι δεῖν, εἴπερ τι τῶν ἀναγκαίων ἡμᾶς παραποδισμάτων ἐξείργοι τυχὸν καὶ ἀποκομίζοι τοῦ δύνασθαι πληροῦν ἐν μηνὶ τῷ πρώτῳ τὰ τεθεσπισμένα. Βούλει τὸ θεῖον αὐτὸ παραθέντες λόγιον, τὰ εἰκότα λέγωμεν; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Γέγραπται τοίνυν ἐν τοῖς Ἀριθμοῖς· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν ἐν τῷ ὄρει Σινᾶ ἐν τῷ ἔτει τῷ δευτέρῳ, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου ἐν τῷ μηνὶ τῷ πρώτῳ, λέγων· Εἶπον, καὶ ποιείτωσαν οἱ υἱοὶ Ἰσραὴλ τὸ Πάσχα καθ' ὥραν αὐτοῦ, τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου πρὸς ἑσπέραν, ποιήσεις αὐτὸ κατὰ καιρούς· κατὰ τὸν νόμον αὐτοῦ, καὶ κατὰ τὴν σύγκρισιν αὐτοῦ ποιήσεις αὐτό. Καὶ ἐλάλησε Μωσῆς τοῖς υἱοῖς Ἰσραὴλ ποιῆσαι τὸ Πάσχα ἐναρχομένου τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἐν τῇ ἐρήμῳ τοῦ Σινᾶ. Καθὰ συνέταξε Κύριος τῷ Μωσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ. 68.1081 Καὶ παρεγένοντο οἱ ἄνδρες οἳ ἦσαν ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, καὶ οὐκ ἠδύναντο ποιῆσαι τὸ Πάσχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Καὶ προσῆλθον ἐναντίον Μωσῆ καὶ Ἀαρὼν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ εἶπαν οἱ ἄνδρες ἐκεῖνοι πρὸς αὐτόν· Ἡμεῖς ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, μὴ οὖν ὑστερήσωμεν προσενέγκαι τὸ δῶρον Κυρίῳ κατὰ καιρὸν αὐτοῦ ἐν μέσῳ υἱῶν Ἰσραήλ. Καὶ εἶπε πρὸς αὐτοὺς Μωσῆς· Στῆτε αὐτοῦ καὶ ἀκούσομαι τί ἐντελεῖται Κύριος περὶ ὑμῶν. Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· Ἄνθρωπος, ὃς ἐὰν γένηται ἀκάθαρ-τος ἐπὶ ψυχῇ ἀνθρώπου, ἢ ἐν ὁδῷ μακρὰν ὑμῖν, ἢ ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει τὸ Πάσχα Κυρίῳ· ἐν τῷ μηνὶ τῷ δευτέρῳ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, τὸ πρὸς ἑσπέραν ποιήσουσιν αὐτὸ, ἐπ' ἀζύμων καὶ πικρίδων τῇ νυκτὶ φάγονται αὐτὸ, οὐ καταλείψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωῒ, καὶ ὀστοῦν οὐ συντρίψουσιν ἀπ' αὐτοῦ. Κατὰ τὸν νόμον τοῦ Πάσχα ποιήσουσιν αὐτό. Καὶ ἄνθρωπος ὃς ἐὰν καθαρὸς ᾖ, καὶ ἐν ὁδῷ μακρὰν οὐκ ἔστι, καὶ ὑστερήσῃ ποιῆσαι τὸ Πάσχα, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς, ὅτι τὸ δῶρον Κυρίῳ οὐ προσήνεγκε κατὰ τὸν καιρὸν αὐτοῦ, ἁμαρτίαν αὐτοῦ λήψεται ὁ ἄνθρωπος ἐκεῖνος. Ἐὰν δὲ προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος ἐν τῇ γῇ ὑμῶν, καὶ ποιήσῃ τὸ Πάσχα Κυρίῳ κατὰ τὸν νόμον τοῦ Πάσχα, καὶ κατὰ τὴν σύνταξιν αὐτοῦ, οὕτω ποιήσει αὐτὸ, νόμος εἷς ἔσται ὑμῖν, καὶ τῷ προσηλύτῳ, καὶ τῷ αὐτόχθονι τῆς γῆς.» {ΠΑΛΛ.} Καὶ τίνες ἂν εἶεν οἱ ἀκάθαρτοι μὲν ὡς ἐπ' ἀνθρώπου ψυχῇ, πρόφασιν δὲ τοῦ μὴ δύνασθαι τὸ Πάσχα πληροῦν τὸ χρῆμα ποιούμενοι, βουλοίμην ἂν εἰδέναι σαφῶς, ὡς εὖ ἴσθι τοι. {ΚΥΡ.} Πολὺς μὲν δὴ λίαν τῆς ἱστορίας ὁ λόγος. Μεμνήσομαι γὰρ διακεκραγότος Θεοῦ πρὸς τὸν ἱεροφάντην Μωσέα· «Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐξαποστειλάτωσαν ἐκ τῆς παρεμβολῆς πάντα λεπρὸν καὶ πάντα γονοῤῥυῆ, καὶ πάντα ἀκάθαρτον ἐπὶ ψυχῇ.» Καὶ ἅλις μὲν ἡμῖν ὁ περὶ τουτωνὶ πεπόνηται λόγος. Πλὴν ἐκεῖνό φημι χρησίμως εἰς τὸ παρόν. Ἀκάθαρτον μὲν γὰρ ἐπ' ἀνθρώπου ψυχῇ τὸ Γράμμα λέγει τὸ ἱερὸν, τὸν ἐπὶ νεκρῷ μεμολυσμένον· ἀπείρηται γὰρ καὶ ἀψύχου σώματος ἀποθίγειν, καὶ τοῖς πενθοῦσί τινα τῶν ἀγχοῦ καὶ ἐξ αἵματος τῆς ἀκαθαρσίας τὴν γραφὴν τὸ ἀρχαῖον ἐπετίθει θέσπισμα. Τοιγάρτοι καὶ ἐξεπέμποντο τῆς παρεμβολῆς. Ὑπ-ετύπου δὲ αὖ διὰ τούτων ὁ νόμος, ὡς ἀνίερος ἔσται τις καὶ νοητῆς ἀκαθαρσίας ἔμπλεως, τῆς ἑτέρου νεκρότητος μετεσχηκὼς, ὡς ἐν ἤθει τε καὶ τρόποις· νεκροὶ γὰρ τοὺς τρόπους οἱ περὶ ὧν ἂν λέγοιτο παρὰ Χριστοῦ «Ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς.» Ἔξω δὴ οὖν τῆς θείας αὐλῆς, καὶ τῆς τῶν πρωτοτόκων Ἐκκλησίας, καὶ τῆς τῶν ἁγίων ἀγέλης ἀπόπεμπτος, ὁ τοῖς τὰ νεκρὰ φρονεῖν τε καὶ δρᾷν εἰωθόσι κεκοινωνηκὼς, ἢ καὶ ἀγχοῦ γεγονὼς, κατά γε τὸ ἑλέσθαι φημὶ τὰ ἴσα φρονεῖν τε καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δρᾷν. Ἀλλ' ὧδε μὲν ἔχει τοῦ νόμου τὸ αἴνιγμα. Πρὸς διάνοιαν δὲ τὴν ἀληθῆ, καὶ ὅτι μάλιστα τὴν πρεπωδεστάτην ἡμῖν τοῖς πνευματικοῖς, τοὺς ἀκαθάρτους ἐπὶ ψυχῇ ἀνθρώπου, ταύτῃ τοι καὶ ἐν μηνὶ 68.1084 τῷ δευτέρῳ τελοῦντας τὴν ἑορτὴν, σφάζοντάς τε τὸ ἱερεῖον, εἰς τύπον Χριστοῦ, κατὰ τὸν τοῦ Πάσχα νόμον, οὐχ ἑτέρους εἶναι νομιοῦμεν, ἢ ὅτι τοὺς Ἰουδαίους ἐπὶ τῇ κατὰ Χριστοῦ μιαιφονίᾳ μεμολυσμένους, καὶ γραφὴν ἔχοντας εἰς ἀκαθαρσίαν, τὸ ἐμπαροινῆσαι εἰς τὸν Ἐμμανουήλ. Οἱ γάρ τοι τοιοίδε τῆς ἁγίας ἡμῶν ἑορτῆς ἀπώλισθον ἀναγκαίως. Ὑστερίζουσι δὲ καὶ διημαρτήκασι τοῦ καιροῦ καθ' ὃν ὁ τῆς ἁπάντων ζωῆς ἀρχηγὸς τετελείωται διὰ παθημάτων· ἐλέου γε μὴν τοῦ πάντας σώζειν ἐθέλοντος, ἐν τοῖς μετὰ τοῦτο καιροῖς, ὡς ἐν μηνὶ δευτέρῳ μεθέξουσι καὶ αὐτοὶ τοῦ Χριστοῦ, καὶ συνεορτάσουσι τοῖς ἁγίοις, τοῖς ἐν καιρῷ κεκλημένοις, δῆλον δὲ ὅτι τοῖς ἐξ ἐθνῶν· ἄθρει γὰρ ὅπως οἱ μὲν ἐν Αἰγύπτῳ τὸν τῆς εἰδωλολατρείας εὐθὺς ἀποτριψάμενοι ῥύπον, σφάζουσι τὸν ἀμνὸν ἐν πρώτῳ μηνὶ, καὶ εἰς τὰς τοῦ πιστεύειν ἀρχὰς ἀναθρώσκουσιν. Οἱ δὲ κεχρισμένοι τῷ αἵματι τοῦ Κυρίου, παρ' οὐδὲν ἡγήσονται τὸν ὀλοθρευτὴν, καὶ ἀμείνους ἔσονται τῆς φθορᾶς. Οἱ δὲ, ὡς ἐν ἔτει τε καὶ ἐν μηνὶ δευτέρῳ, προσίασι μόλις καὶ ὁμολογοῦσι τὸν μολυσμόν. Καὶ ὅτι γεγόνασιν ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, διεβεβαιοῦντο σαφῶς, καὶ τῆς εὐλογίας ἀξιοῦσι τυχεῖν, ὕστερον δὲ καὶ μετὰ τοὺς πρώτους, πληροῦσι τὴν ἑορτήν· «Ὅταν γὰρ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, φησὶ, τότε πᾶς Ἰσραὴλ σωθήσεται.» Προαναπεφώνηκε δέ που καὶ ὁ προφήτης περὶ αὐτῶν· «Καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐπιζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν.» Ἐπιζητηθήσεται γὰρ ἐν ἐσχάτοις καιροῖς παρὰ τῶν ὑπολελειμμένων ἐξ Ἰσραὴλ, ὁ ἐκ σπέρματος Δαβὶδ, κατὰ σάρκα Χριστός. {ΠΑΛΛ.} Ἀληθὴς ὁ λόγος· τέθειται γὰρ ἐν ἐλπίσιν ὁ Ἰσραήλ. {ΚΥΡ.} Ὅτι δὲ οὐκ ἀπλημμελὲς, μᾶλλον δὲ καὶ τῶν ἄγαν σφαλερωτάτων, τὸ μὴ πληροῦν ἑορτὰς ἐπὶ Χριστῷ, διεσάφησεν εὐθὺ, τὸν μήτε ἀκάθαρτον ἐπὶ ψυχῇ ἀνθρώπου, μήτε μὴν ἐν ὁδῷ μακρᾷ γεγονότα, καὶ ἀναγκαῖον οὐκ ἔχοντα παραπόδισμα, ποιναῖς ταῖς ἐσχάταις ὑπενεχθήσεσθαι λέγων, εἰ μὴ δρᾷν ἕλοιτο τὰ νενομισμένα. Νοηθείη δ' ἂν πρὸς ἡμῶν ἀκάθαρτος μὲν ὡς ἐπ' ἀνθρώπου ψυχῇ, καθάπερ ἐλέγομεν ἀρτίως, ὁ κυριοκτόνος Ἰουδαῖος. Ἐν ὁδῷ δὲ ὥσπερ μακρᾷ, καὶ ἔξω που τῆς Ἱερουσαλὴμ ἤτοι τῆς ἁγίας τοῦ Σωτῆρος ἡμῶν Ἐκκλησίας, «Ὁ τῷ ξύλῳ λέγων, Θεός μου εἶ σὺ, καὶ τῷ λίθῳ λέγων, Σὺ ἐγέννησάς με.» Καὶ μέντοι τῇ κτίσει παρὰ τὸν κτίσαντα προσκυνῶν, ἤγουν ὁ ἑτέραν τινὰ νοσήσας πλάνησιν· εἴπερ ἐστὶν ἀληθὲς, ὡς ἀγχοῦ μὲν ὑπάρχων νοοῖτο Θεοῦ πᾶς ἀνὴρ ἀγαθὸς, καὶ ἀκιβδήλευτον ἔχων ἐπ' αὐτῷ τὴν δόξαν· ἐξέστηκε δὲ καὶ ἀποφοιτᾷ καὶ ἔστι μακρὰν πᾶς εἴ τις οὐχ ὧδε ἔχει. Οὐκοῦν οἱ μήτε ἀκάθαρτοι ἐπὶ ψυχῆς ἀνθρώπου κατὰ τοὺς Ἰουδαίους, μήτε μὴν ὄντες ἐν ὁδῷ μακρᾷ, καθ' Ἕλληνας ἢ αἱρετικοὺς, σπουδαίως τε καὶ ἀμελλητὶ προσοίσομεν τὴν θυσίαν, καὶ τὰς ἑορτὰς Κυρίου τι 68.1085 μήσομεν. Ἑορτάσει δὲ σὺν ὑμῖν κατὰ τὸν ἴσον νόμον, καὶ συνησθήσεται χαίρουσιν ὁ προσήλυτος. Τοὺς γάρ τοι κατὰ καιροὺς τῆς ἐν Χριστῷ πίστεως προσιεμένους τὰ αὐχήματα, ποιούμεθα κοινωνοὺς τῆς ἀναιμάκτου θυσίας, καὶ τῆς ἁγίας τραπέζης καλοῦμεν εἰς μέθεξιν. Κἀκεῖνο δὲ οἶμαι προσεπενεγκεῖν ἀναγκαῖον, ὅτι κεκράτηκεν ἔθος ἐν Ἐκκλησίαις, ἀπό γε, οἶμαι, τοῦδε τοῦ νόμου, ὡς εἰ ἐκπίπτοι τοῦ πρώτου μηνὸς, ἡ κατὰ σελήνην τεσσαρεσκαιδεκάτη, τὸν δεύτερον καὶ ἀγχοῦ περιεργάζεσθαι μῆνα, καὶ ἐν αὐτῷ ζητεῖν τὴν ὡρισμένην ἡμέραν, ἵνα μὴ ἐξοίχοιτο τοῦ ἀληθοῦς τῆς ἑορτῆς ὁ καιρός. Ἔχει δὲ οὕτω τὸ χρῆμα, καθὰ καὶ τῷ πάλαι προηγόρευται νόμῳ. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης· πλὴν, ἐκεῖνο φράσον. Εἰ μὴ παντί τῳ τυχὸν καὶ εἰ ἐν ὁδῷ γένηται μακρᾷ, καὶ ὡς ἀπωτάτω τῆς Ἱερουσαλὴμ, ἐφῆκεν ὁ νόμος ἀνεπιλήπτως δύνασθαι τὸ Πάσχα πληροῦν. {ΚΥΡ.} Οὐ μὲν οὖν· ἐν μόνῃ γὰρ δὴ καταθύειν ἐκέλευε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῇ ἁγίᾳ πόλει, ἐν ᾗ καὶ τὸν πάλαι ναὸν ὁ Σολομὼν ἀνεδείματο. Προσεφώνει δὲ οὕτως ὁ Μωσῆς ἐν τῷ Δευτερονομίῳ τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· «Φύλαξαι τὸν μῆνα τῶν νέων, καὶ ποιήσεις τὸ Πάσχα Κυρίῳ τῷ Θεῷ σου, ὅτι ἐν τῷ μηνὶ τῶν νέων ἐξῆλθες ἐξ Αἰγύπτου νυκτός. Καὶ θύσεις τὸ Πάσχα Κυρίῳ τῷ Θεῷ σου, πρόβατα καὶ βόας ἐν τῷ τόπῳ ᾧ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. Οὐ φάγῃ ἐπ' αὐτοῦ ζύμην. Ἑπτὰ ἡμέρας φάγῃ ἐπ' αὐτοῦ ἄζυμα, ἄρτον κακώσεως, ὅτι ἐν σπουδῇ ἐξήλθετε ἐξ Αἰγύπτου, ἵνα μνησθῆτε τὴν ἡμέραν τῆς ἐξοδίας ὑμῶν ἐκ γῆς Αἰγύπτου πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν. Οὐκ ὀφθήσεταί σοι ζύμη ἐν πᾶσι τοῖς ὁρίοις σου ἑπτὰ ἡμέρας, καὶ οὐ κοιμηθήσεται ἀπὸ τῶν κρεῶν ὧν ἐὰν θύσητε τὸ ἑσπέρας τῇ ἡμέρᾳ τῇ πρώτῃ εἰς τὸ πρωΐ. Οὐ δυνήσῃ θῦσαι τὸ Πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεών σου ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι, ἀλλ' ἢ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. Θύσεις τὸ Πάσχα ἑσπέρας πρὸς δυσμὰς ἡλίου ἐν τῷ καιρῷ ᾧ ἐξῆλθες ἐξ Αἰγύπτου, καὶ ἑψήσεις καὶ ὀπτήσεις καὶ φάγῃ ἐν τῷ τόπῳ, ᾧ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτόν.» Μυρίαις μὲν γὰρ ὅσαις πόλεσί τε καὶ κώμαις ἡ τῶν Ἰουδαίων ἐπεπλήθη χώρα, τελεῖν δὲ καὶ τὰ ἱερὰ καὶ τὸν ἐπὶ τῷ Πάσχα νόμον, ἐν μόνῃ δὲ χρῆναι τῇ ἁγίᾳ πόλει διετύπου Θεὸς, ἐκεῖνο, οἶμαί που, σκιαγραφοῦντος ἡμῖν εὖ μάλα τοῦ νομικοῦ γράμματος, ὡς οὐκ ἂν εἴη θέμις οὔτε μὴν ἐφεῖταί τισι τὸ ἐπὶ Χριστῷ μυστήριον, καθ' ὃν ἂν ἕλοιτο τρόπον, ἤγουν ἐν τόπῳ παντὶ δύνασθαι πληροῦν· χῶρος γὰρ μόνος ὁ πρέπων αὐτῷ, καὶ οἰκειότατος ἀληθῶς, ἡ ἁγία πόλις, τουτέστιν, ἡ Ἐκκλησία, ἐν ᾗ καὶ νόμιμος ἱερεὺς, καὶ διὰ χειρῶν ἡγιασμένων τελεῖται τὰ ἱερὰ, καὶ θυμίαμα προσφέρεται τῷ πάντων κρατοῦντι Θεῷ, καὶ θυσία καθαρὰ, κατὰ τὴν τοῦ προφήτου φωνήν. Δι' οὐδενὸς οὖν ἄρα τὸν ἐπὶ τῷδε ποιοῦνται 68.1088 νόμον, οἱ τὰ ὀρθῶς ἔχοντα διαστρέφοντες αἱρετικοὶ καταθύουσι γὰρ τὸν ἀμνὸν, οὐκ ἐν τῇ ἁγίᾳ πόλει, οὔτε μὴν διὰ χειρὸς τῶν ἐξειλεγμένων διὰ τοῦ Πνεύματος εἰς ἱερουργίαν, ἀλλ' ὡς ὁ θεῖος ἡμῖν γράφει Παῦλος, ἑαυτοῖς ἁρπάζοντες τὴν τιμὴν, καὶ ἐν παντὶ τόπῳ προσάγοντες. Ταῦροι γὰρ ὥσπερ ὑβρισταὶ καὶ ἀγέρωχοι, πρὸς μόνον ἀδιακρίτως ἵενται τὸ σφίσι δοκοῦν. Ἀλλ' ἐκεῖνοι μὲν πολὺ τὸ ἐξήνιον καὶ τὸ νενευκὸς εἰς ἀπόνοιαν ἐπιτηδεύοντες, πικρὰ τῷ κριτῇ τῶν τοιῶνδε διασκεμμάτων τίσουσι δίκας. Ἴωμεν δὲ πάλιν ἡμεῖς εἰς οἶμον τὴν ἐντριβῆ τε καὶ ἀδιάστροφον, ἐκεῖνο τοῦ παρενηνεγμένου δοκιμάζοντες νόμου. Διεπύθου γάρ που λέγοντος σαφῶς, ὅτι «Φυλάξατε τὸν μῆνα τῶν νέων, καὶ ποιήσεις τὸ Πάσχα Κυρίῳ τῷ Θεῷ σου, πρόβατα καὶ βόας.» Καί τοι τί δή ποτε, φαίη τις ἂν, τὸν ἐπὶ τῷ Πάσχα νόμον τοῖς ἐν Αἰγύπτῳ τιθεὶς, ἕνα μόνον ἐκέλευσε καταθύειν ἀμνόν· προβάτων δὲ καὶ μόσχων μεμνημένον οὐχ εὑρήσομεν; Ἆρ' οὖν τοῦ πρέποντος διημάρτηκεν ὁ Μωσῆς; Οὐδαμῶς· ἐν γάρ τοι τοῖς Ἀριθμοῖς προσεπάγεσθαι τῷ ἀμνῷ βοῦς τε καὶ ὅεις ἐπενομοθέτει Θεὸς οὕτω λέγων· «Καὶ ἐν τῷ μηνὶ τῷ πρώτῳ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς Πάσχα τῷ Κυρίῳ, καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτὴ, ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε, καὶ ἡμέρα ἡ πρώτη ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. Καὶ προσάξετε ὁλοκαυτώματα κάρπωμα Κυρίῳ, μόσχους ἐκ βοῶν δύο, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ, ἄμωμοι ἔσονται ὑμῖν, καὶ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ, καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί. Δέκατον δέκατον ποιήσεις τῷ ἀμνῷ τῷ ἑνὶ, τοῖς ἑπτὰ ἀμνοῖς, καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, ἐξιλάσασθαι περὶ ὑμῶν. Πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντὸς τῆς πρωϊνῆς, ὅ ἐστιν ὁλοκαύτωμα ἐνδελεχισμοῦ. Ταῦτα κατὰ ταῦτα ποιήσετε τὴν ἡμέραν εἰς τὰς ἑπτὰ ἡμέρας, δῶρον κάρπωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ ἐπὶ τοῦ ὁλοκαυτώματος τοῦ διαπαντὸς, ποιήσεις τὴν σπονδὴν αὐτοῦ. Καὶ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ.» Ὅτι μὲν οὖν ἐν μηνὶ τῷ πρώτῳ, καὶ μέντοι καὶ ἐν ἡμέρᾳ τεσσαρεσκαιδεκάτῃ τὸ Πάσχα πληροῦν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνάγκη κατὰ τὸν νόμον, φθάσαντες ἤδη προείπομεν. Τί δ' ἂν βούλοιτο δηλοῦν καὶ τῶν ἀζύμων ἡ βρῶσις, καὶ ἡ κατὰ Σάββατον ἀργία, καὶ πρὸς τούτοις ἔτι τὸ ὠνομάσθαι κλητὰς ἁγίας τήν τε πρώτην καὶ τὴν ἑβδόμην ἡμέραν, προαπέδειξε σαφῶς ὁ λόγος. Τοιγάρτοι μεθεὶς τὸ ἔν γε τουτοισὶ διαμέλλειν ἔτι, ἐπὶ τοὺς τῶν θυσιῶν πάλιν ἴωμεν τρόπους. Δύο μὲν τοίνυν οἱ μόσχοι, πρὸς ὁλοκαυτώματα καὶ θυσίαν, εἷς δὲ κριὸς, καὶ μὴν καὶ ἀμνοὶ τὸν ἀριθμὸν ἑπτὰ, πάντες ἄμωμοί τε καὶ ἐνιαύσιοι, καὶ θυσία μὲν ἐπ' αὐτοῖς, σεμίδαλις ἐλαιόδευτος. Πλὴν οὐκ ἐν ἴσῳ μέτρῳ· τρία μὲν γὰρ ἑκάστῳ μόσχῳ δέκατα, δύο δὲ τῷ κριῷ, καὶ ἓν ἐφ' ἑκάστῳ τῶν ἀμνῶν. Εἶτα συνεισφέρεται καὶ χίμαρος ἐξ αἰγῶν, ὑπὲρ ἁμαρτίας· «Καὶ ταυτὶ δὴ πάντα,» φησὶ, 68.1089 «πλὴν τῶν ὁλοκαυτωμάτων τοῦ ἐνδελεχισμοῦ.» Θέα δὴ οὖν, ὦ Παλλάδιε, τοῦ Ἐμμανουὴλ τὸν θά-νατον, καρποφοροῦντα πολλοὺς, κατά γε τὸ παρ' αὐτοῦ σαφῶς τε καὶ ἀληθῶς εἰρημένον, «Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, καρπὸν πολὺν φέρει.» Σφάζεται γὰρ ὁ ἀμνὸς εἰς τύπον Χριστοῦ, μηνὶ μὲν πρώτῳ κατὰ τὸν νόμον, ἡμέρᾳ δὲ αὖ τῇ τεσσαρεσκαιδεκάτῃ. Προσεπάγονται δὲ μόσχοι, καὶ κριὸς, καὶ ἀμνοὶ πρὸς θυσίαν καὶ ὁλοκαυτώματα, τῶν διὰ πίστεως κεκλημένων εἰς ἁγιασμὸν, καθάπερ ἐγῷμαι, τήν τε πληθὺν, καὶ τῆς πνευματικῆς εὐεξίας τὸ μέτρον, ὡς ἐν τύπῳ κατασημαίνοντα· εἰ γὰρ μὴ ἀπέθανεν ὑπὲρ ὑμῶν Χριστὸς, οὐκ ἂν ἡμεῖς παρεδέχθημεν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί. Ἐπειδὴ δὲ τετελείωται διὰ παθημάτων, κατόπιν ἴμεν εὐθὺς ἱεροπρεπὲς ἀνάθημα τῷ Θεῷ καὶ Πατρὶ, καὶ θυσίαν ὄντως πνευματικὴν καθ' ἑαυτοὺς ἀναφέροντες. Δύο μὲν οὖν οἱ μόσχοι· δύο γὰρ οἱ λαοί· φημὶ δὲ τὸν Ἰσραὴλ, καὶ μέντοι τοὺς ἐξ ἐθνῶν. Εἷς δὲ κριός· ἑνούμεθα γὰρ ἐν Χριστῷ, «Τῷ ποιήσαντι ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λελυκότι, καὶ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσαντι, ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην,» κατὰ τὸ γεγραμμένον. Ἑπτὰ δὲ ἦσαν οἱ ἀμνοί· ἓν γὰρ οἱ πάντες ἐν Χριστῷ γεγονότες, πλατεῖά τίς ἐσμεν ἀγέλη, καὶ τὴν ἑνὸς τοῦ πάντων ἀρχιποίμενος ὑποτρέχοντες χεῖρα, καὶ ἐκ ποίμναιν δυαῖν, εἰς μίαν ἤδη πως συναγηγερμένοι, καὶ ἐν καθαρᾷ καὶ ἀμωμήτῳ διαπρέποντες ζωῇ, διατελοῦμεν ἐν κόσμῳ, διὰ τὸν ὑπὲρ ἡμῶν ἐν ἀνόμοις, καὶ ὑπὲρ τῆς ἁπάντων ἁμαρτίας ὑπομείναντα σφαγὴν, ὃς καὶ ἐν τῷ χιμάρῳ σημαίνεται. Μόσχου γε μὴν καὶ κριοῦ, καὶ μὴν καὶ ἀμνοῦ μνημονεύσας ὁ νόμος, τῆς τῶν ἁγίων θεοφιλοῦς πολιτείας τὰς τρεῖς ὑπέφηνε διαφοράς· τήν τε ἀνωτάτω, φημὶ, καὶ μέσην, καὶ τὴν ἔτι μείω τε καὶ ὑποδεεστέραν. Ἐν γὰρ τοῖς σωματικοῖς μεγέθεσι τῶν ζώων, ἡ τῆς πνευματικῆς εὐεξίας ἀνετυποῦτο ποσότης. Ἦ γὰρ, οὐχὶ καὶ γῆν ἔφη τὴν γονιμωτάτην ἐκδοῦναι καρποὺς ἐν τρισὶ διαφοραῖς, τῆς εὐαγγελικῆς πολιτείας ὁ λόγος; {ΠΑΛΛ.} Ναί· ἡ μὲν γὰρ, φησὶν, ἐποίησεν ἑκατὸν, ἡ δὲ ἑξήκοντα, ἡ δὲ τριάκοντα. {ΚΥΡ.} Ἄραρεν οὖν ὅτι τὸ διάφορον ἐν ἀρετῇ, καὶ τοῦ βίου τὸ παρηλλαγμένον, ὡς ἐν ποσότητι τῶν θυμάτων, καὶ ὡς ἐν ὄγκῳ σωματικῷ σκιαγραφεῖται καλῶς· ἄκρως μὲν γὰρ καὶ ὑπερκειμένως, ὡς ἔν γε δὴ τῷ μόσχῳ. Μέσως δὲ αὖ, καὶ τοῦ τελείως ἔχοντος ὑποβεβηκότως ὡς ἐν μείονι τῷ κριῷ, ἐνυφιζάνοντι δὲ καὶ ἔτι μείονι, τῷ ἀμνῷ. Κριοῦ γὰρ μείων, ὁ ἀμνὸς, καθάπερ ἀμέλει καὶ μόσχου, κριός. Τοιγάρτοι καὶ ἀναλόγως τοῖς ἑκάστου μεγέθεσι, τὸ τῆς σεμιδάλεως ἐπιφέρεται μέτρον, ζωῆς ἐχούσης τύπον· τρία μὲν γὰρ τῷ μόσχῳ δέκατα, δύο δὲ τῷ κριῷ, καὶ ἓν τῷ ἀμνῷ. Πλὴν ἐν ἐλαίῳ τὰ πάντα δεδεῦσθαι δεῖν ἔφη· ἕψεται γὰρ πάντως τοῖς ἑκάστου μέτροις ἀναλόγως, [τὰ] παρὰ Θεοῦ. Καὶ τῆς ἐν εὐκλείᾳ καὶ μακαριότητι ζωῆς πολλή τις ἔσται διαφορά. Τοῖς μὲν γὰρ πρέποι ἂν εἰκότως, ἡ ἀνωτάτω, ἑτέροις δ' αὖ ἡ ὡς ἐν μείονι μὲν, πλὴν ἐν τιμῇ τε καὶ δόξῃ, τισὶ δὲ 68.1092 καὶ ὑποβεβηκότως καὶ ὑφειμένως τε ἔτι. «Ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ·» καὶ παρ' αὐτοῖς δέ φημι τοῖς ἁγίοις ἀγγέλοις, ἐν διαφοραῖς εἶναι πολλαῖς τῆς εὐκλείας τὸ μέτρον, πλὴν ἐν οἷσπερ ἂν εἴη μέτροις, ἡ τῶν ἁγίων ζωὴ, τὸ ἱλαρὸν ἔχει· καὶ τὸ δ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐθυμεῖσθαι δεῖν, καὶ καταπιαίνεσθαι τοῖς παρὰ Θεοῦ. Ἄθρει γὰρ ὅπως τὸ ἔλαιον οὐχὶ μόνοις τοῖς τρισὶν ἐπεχεῖτο δεκάτοις, ἀλλὰ καὶ δυσὶ, καὶ ἑνί. Ἐνδελεχισμοῦ δὲ θυσίαν καὶ ὁλοκαυτώματα, καλεῖ τὸν ἀμνὸν τὸν σφαγιαζόμενον ἐν τῇ ἁγίᾳ σκηνῇ τὸ πρωῒ, καὶ ἀγχοῦ πρὸς ἑσπέραν. Δι' οὗ δὴ πάλιν ἐξέσται μαθεῖν, ὅτι πολὺ τὸ εὐῶδες τῆς ἁγίας σκηνῆς, καὶ ἀκατάληκτος ἀληθῶς, ἡ τῶν Ἐκκλησιῶν εὐοσμία, καὶ τῶν ἐν αὐταῖς ἁγίων. Εὐωδιάζουσι γὰρ τὸν Ἐμμανουὴλ, καὶ τὸ ἐπὶ Χριστῷ τελοῦσι μυστήριον τὴν ἀναίμακτον λατρείαν προσκομίζοντες τῷ Θεῷ. Τοῦτο γὰρ, οἶμαι, ἐστὶ τὸ πρωΐ τε καὶ πρὸς ἑσπέραν ὁλοκαυτίζεσθαι τοὺς ἀμνούς. Ἀρχῇ γὰρ καὶ τέλει, καὶ διὰ μέσου λαμβάνεται. Οὐκοῦν ἀπαρχῆς μέχρι τέλους τὸ εὐῶδες ἐν Ἐκκλησίαις, ὡς ἐν ἀμνῷ τῷ Χριστῷ. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Ἑτέραν δὲ αὖ νόμος ἐπισυνάπτει τῇ πρώτῃ τὴν ἑορτὴν, μονονουχὶ δὲ καὶ αὐτοὺς ἡμῖν τοὺς καιροὺς συνείρει λέγων ἐν τοῖς Ἀριθμοῖς· «Καὶ τῇ ἡμέρᾳ τῶν νέων, ὅταν προσφέρητε θυσίαν νέαν Κυρίῳ τῶν ἑβδομάδων, ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. Καὶ προσάξετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, μόσχους ἐκ βοῶν δύο, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους. Ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ, καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνὶ, δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ, τοῖς ἑπτὰ ἀμνοῖς, καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, ἐξιλάσασθαι περὶ ὑμῶν, πλὴν τοῦ ὁλοκαυτώματος τοῦ διαπαντός. Καὶ τὴν θυσίαν αὐτῶν ποιήσετέ μοι, ἄμωμοι ἔσονται ὑμῖν, καὶ τὰς σπονδὰς αὐτῶν.» Ἐν μηνὶ μὲν γὰρ τῷ πρώτῳ, κατὰ τοὺς Ἑβραίων νόμους, ὁ ἀμνὸς ἐσφάζετο. Τῷ δὲ ἀγχοῦ τάχα που καὶ γείτονι, συναγείρειν ἔθος τὰ ἐξ ἀγρῶν, ὀσπρίων δὴ λέγω τὰ πρώϊμα, καὶ δέσμην ἀμάλλης, ἀμηθέντος ἤδη καὶ σίτου. Καιρὸς οὖν ἄρα τῶν νέων, καθ' ὃν ἐξ ἀγρῶν συναγείρεσθαι χρὴ, τὰ ἐν αὐτοῖς ἐσπαρμένα. Κλητὴ δὲ πάλιν ἡ τοιάδε, φησὶν, ἑορτὴ, καὶ περαινέσθω συννόμως, πόνου καὶ ἱδρῶτος ἐξῃρημένον. Ἀνεῖσθαι γὰρ ἔθος ἐν ἑορταῖς καὶ ἀποφοιτᾷν ὅτι μάλιστα τῶν ἐργωδεστέρων. Ἀναμάθοι δ' ἄν τις κἀκ τοῦδε δὴ πάλιν, ὅτι τοὺς ἁγίαν τῷ Θεῷ τελοῦντας τὴν ἑορτὴν, πρέποι ἂν ἥκιστά γε, τὴν ἀκλεᾶ καὶ παμμόχθηρον πληροῦν ἁμαρτίαν. Ἀνέντας δὲ ὥσπερ καὶ πληροῦντας τὸν νοῦν, τοῖς εἰς ἀρετὴν ἐντρυφᾷν σπουδάσμασι. Προσφέρονται δὲ καὶ εἰς ὁλοκαύτωμα καὶ θυσίαν, μόσχοι μὲν δύο, κριὸς δὲ εἷς καὶ ἑπτὰ ἀμνοὶ, σεμίδαλις ἐλαιοβραχὴς, καὶ χίμαρος ἐξ αἰγῶν. Καὶ ὅποι ποτὲ βλέποι τοῦ νόμου τὸ αἴνιγμα, διειρηκότες ἀρτίως, οὐ ταυτολογήσομεν. Πλὴν, ἐκεῖνο ἐροῦμεν ἀναγκαίως, ὅτι τῆς τοῦ Σωτῆρος ἡμῶν ἀναστά 68.1093 σεως ἀνατυποῖ τὸ μυστήριον, ὁ τῶν νέων καιρός· ἀνέθαλε γὰρ ἡ ἀνθρώπου φύσις ἐν πρώτῳ Χριστῷ, ἀποτριψαμένη τὴν φθορὰν, καὶ τὴν ἐκ τῆς ἁμαρτίας παλαίωσιν ἀποβαλοῦσα λοιπόν. Τοιγάρτοι καὶ ἐπὶ τῷδε λίαν ἀπεσεμνύνετο λέγουσα· «Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης.» Ἱμάτιον σωτηρίου, καὶ μὴν καὶ εὐφροσύνης ἄμφιον, τὴν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καὶ ἐν Χριστῷ που πάντως ὠνόμασεν ἀφθαρσίαν, σαφέστερον δὲ καὶ τὸν ἐπὶ τῇδε τῇ πανηγύρει νόμον, καὶ διὰ πλείστων ὅσων ἐμφανὲς τὸ αἴνιγμα καθίστη λέγων ἐν τῷ Λευϊτικῷ· «Εἶπον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ὅταν εἰσέλθητε εἰς τὴν γῆν ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς, καὶ οἴσετε τὸ δράγμα ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν ἱερέα, καὶ ἀνοίσει τὸ δράγμα ἔναντι Κυρίου δεκτὸν ὑμῖν. τῇ ἐπαύριον τῆς πρώτης ἀνοίσει αὐτὸ ὁ ἱερεύς. Καὶ ποιήσετε ἐν τῇ ἡμέρᾳ ἐν ᾗ ἂν φέρητε τὸ δράγμα, πρόβατον ἄμωμον ἐνιαύσιον εἰς ὁλοκαύτωμα τῷ Κυρίῳ, καὶ τὴν θυσίαν αὐτοῦ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ, θυσία τῷ Κυρίῳ, ὀσμὴν εὐωδίας Κυρίῳ, καὶ σπονδὴν αὐτοῦ τὸ τέταρτον τοῦ ἲν οἴνου, καὶ ἄρτον, καὶ πεφρυγμένα χίδρα νέα οὐ φάγεσθε ἕως εἰς αὐτὴν τὴν ἡμέραν ταύτην, ἕως ἂν προσενέγκητε ὑμεῖς τὰ δῶρα τῷ Θεῷ ὑμῶν. Νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ κατοικίᾳ ὑμῶν. Καὶ ἀριθμήσετε ὑμῖν ἀπὸ τῆς ἐπαύριον τῶν Σαββάτων, ἀπὸ τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμέρας ἧς ἂν προσενέγκητε τὸ δράγμα τοῦ ἐπιθέματος, ἑπτὰ ἑβδομάδας ὁλοκλήρους, ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος ἀριθμήσετε πεντήκοντα ἡμέρας.» Ἑορτὴ μὲν γὰρ σωτήριος ἀληθῶς, ὁ ὑπὲρ ἡμῶν θάνατος τοῦ Ἐμμανουήλ. Ἐκτέτικε γὰρ ὑπὲρ ἡμῶν τὰ ὀφλή-ματα, καὶ ἔστιν ἀληθὲς, ὅτι αὐτὸς τὰς ἁμαρτίας ἡμῶν αἴρει καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Προσήλωσε γὰρ τῷ ἰδίῳ σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον, καὶ τεθριάμβευκεν ἐν αὐτῷ τοὺς πάλαι κρατοῦντας ἐπὶ τῆς γῆς, ἀρχὰς δὴ λέγω καὶ ἐξουσίας, καὶ τὰ πνευματικὰ τῆς πονηρίας· καὶ πρό γε τῶν ἄλλων, τὸν Σατανᾶν. Ἑορτὴ δὲ γείτων εὐθὺς, τῆς πρώτης οὐ μείων, ἡ ἐκ νεκρῶν ἀναβίωσις, κατασείουσα τὴν φθορὰν, ἀποκείρουσα τὴν ἁμαρτίαν, καὶ εἰς νέαν ἡμᾶς μεθιστᾶσα ζωὴν, τὴν ὡς ἐν ἁγιασμῷ τε καὶ ἀφθαρσίᾳ, κατηργημένου θανάτου. Ἀπεδυσάμεθα γὰρ τὸν παλαιὸν ἄνθρωπον, καὶ μετημφιέσμεθα τὸν νέον, τουτέστι, Χριστὸν, ἤτοι τὴν ἐν Χριστῷ πολιτείαν καὶ ζωήν. Ἄθρει δὴ οὖν, ἄθρει τὴν τῆς ἀνανεουμένης ἀνθρωπότητος ἀπαρχὴν, τουτέστι Χριστὸν, ὡς ἐν τύπῳ δράγματος, καὶ ὡς πρωτόλειον ἐξ ἀγροῦ, καὶ ὡς ἐκ καρπῶν ἀπαρχὴν προσκομιζόμενον ἱερὸν ἀνάθημα τῷ Θεῷ καὶ Πατρί. Ἦ οὐκ ἀσταχύων δίκην ἀνεθάλομεν ἐν κόσμῳ; {ΠΑΛΛ.} Ναί· τοιγάρτοι περὶ ἡμῶν καὶ αὐτὸς ἔφασκεν ὁ Χριστὸς τοῖς ἁγίοις μαθηταῖς, «Οὐχ ὑμεῖς λέγετε ὅτι τετράμηνός ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς 68.1096 θερισμὸν ἤδη, καὶ ὁ θερίζων μισθὸν λαμβάνει καὶ ὁ συνάγων.» Ἀστάχυσι γὰρ καὶ πυροῖς παρεικάζει τὰ καθ' ἡμᾶς. {ΚΥΡ.} Οὐκοῦν, ἀσταχύων οἷά τις ἀπαρχὴ καὶ νέος ὥσπερ καρπὸς ἐν εἴδει δράγματος νοεῖται Χριστὸς, ὁ πρωτότοκος ἐκ νεκρῶν, ἡ τῆς ἀναστάσεως ἡμῖν ὁδὸς, ὁ πάντα πρὸς καινότητα μεταστοιχειῶν, καὶ παλαιότητα ἀπαλλάττων· «Τὰ γὰρ ἀρχαῖα παρῆλθε,» φησὶν, «ἰδοὺ γέγονε τὰ πάντα καινὰ, καὶ εἴ τις ἐν Χριστῷ καινὴ κτίσις» κατὰ τὰς Γραφάς. Ἀνεκομίζετο δὲ τὸ δράγμα ἔναντι Κυρίου· ἐγηγερμένος γὰρ ἐκ νεκρῶν ὁ Ἐμμανουὴλ ὁ νέος τῆς ἀνθρωπότητος καὶ ὡς ἐν ἀφθαρσίᾳ καρπὸς, ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, ἵν' ἐμφανισθῇ νῦν ὑπὲρ ἡμῶν τῷ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ οὐχὶ δὴ πάντως ἑαυτὸν εἰς ὄψιν ἄγων αὐτοῦ· σύνεστι γὰρ ἀϊδίως, καὶ οὐκ ἂν ἀπολιμπάνοιτο τοῦ Πατρὸς, ὡς Θεὸς, ὡς ἐν ἑαυτῷ δὲ μᾶλλον, εἰς ὄψιν ἄγων ἡμᾶς τοὺς ἔξω προσώπου, καὶ ἐν ὀργῇ διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ τὴν καθ' ἡμῶν τυραννήσασαν ἁμαρτίαν. Οὐκοῦν ἐν Χριστῷ κερδαίνομεν τὸ καὶ ἐν προσώπῳ τυχὸν γενέσθαι Θεοῦ. Ἀξιοῖ γὰρ ἡμᾶς ἐποπτείας ἤδη λοιπὸν, ὡς ἡγιασμένους. Ὅρα δὲ ὅπως ἡμῖν ὁ νόμος, καὶ τὸν τῇ ἀναστάσει πρέποντα προανετύπου καιρὸν, τουτέστι, τὴν τρίτην ἡμέραν. Τῇ γὰρ ἐπαύριον τῆς πρώτης, φησὶν, ἀνοίσει τὸ δράγμα ὁ ἱερεὺς, ἔναντι Κυρίου. Τρίτη δὲ πάντως ἡ ἀπὸ τῆς πρώτης, οὐκ αὔριον, ἀλλ' ἐπαύριον· ἀνεβίω δὲ ὁ Χριστὸς κατὰ τὴν τρίτην. {ΠΑΛΛ.} Ἀληθές. {ΚΥΡ.} Συνανακομίζεται δὲ τῷ δράγματι, καὶ πρόβατον ἄμωμον, δύο δεκάτων αὐτῷ σεμιδάλεως ἐπενηνεγμένων ἀναμὶξ ἐλαίῳ πάλιν. Ὁ γὰρ ὡς ἐν δράγματί τε καὶ ἀπαρχῇ καρπῶν οἱονεὶ ζωγραφούμενος, καὶ ὡς ἐξ ἀγέλης ἀπαρχὴ λαμβάνεται, ἀγέλης δὲ ζώσης ὡς ἐν πιότητι χάριτος, καὶ ἐν εὐφροσύνῃ πνεύματος. Ταύτῃ τοι συναναφέρεσθαι δεῖν τῷ προβάτῳ φησὶ τὴν σεμίδαλιν, ἔλαιόν τε καὶ οἶνον· καὶ σεμίδαλις μὲν σημεῖον ἂν γένοιτο ζωῆς, καθὰ πλειστάκις εἰρήκαμεν· πιότητος δὲ τὸ ἔλαιον, εὐφρασίας δὲ, οἶνος. Προσάγεται δὲ καὶ ὡς ἐν ἄρτῳ πάλιν, καὶ ἐν χίδροις πεφρυγμένοις· χίδρα δὲ τὰ ὄσπρια, φησὶ, διὰ τὸ, οἶμαι, τριβόμενα τοῖς ἀλοοῦσιν αὐτὰ περιχεῖσθαι μύλοις. Νοοῖτο δ' ἂν ἡμῖν καὶ διὰ τούτου Χριστὸς, νέον φύραμα, πρὸς ὃν ἡμεῖς μεμορφώμεθα, προστετάγμεθά τε τελεῖν ἑορτὰς, ἐκκαθάραντες τὴν παλαιὰν ζύμην, ἵνα καὶ ἡμεῖς νέον φύραμα χρηματίζωμεν, καθ' ὁμοιότητα τοῦ πᾶσαν ἡμῖν τὴν εἰς καινότητα πολιτείας ἐγκαινίσαντος ὁδὸν, τουτέστι Χριστοῦ. {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Προσεπιτάττει δὲ δεῖν καρπῶν ἀπέχεσθαι νέων, καὶ ἐδώδιμον ἀπ' αὐτῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποιεῖσθαι μηδὲν, τὴν τοῦ δράγματος ἀνάθεσιν περιμένοντας. Νέα γὰρ οὐ 68.1097 φάγεσθε, φησὶν, ἕως εἰς αὐτὴν τὴν ἡμέραν ταύτην, ἕως ἂν προσενέγκητε ὑμεῖς τὰ δῶρα τῷ Θεῷ ὑμῶν. Καιρὸς γὰρ ὁ πρέπων τοῦ χρῆναι μεταλαχεῖν τῆς νέας τε καὶ ἀκηράτου ζωῆς, μόνος ἂν γένοιτο, καὶ σφόδρα εἰκότως, καθ' ὃν ἐπέλαμψεν ὁ Ἐμμανουήλ. Ἱκανὸς δὲ πρὸ αὐτοῦ παντελῶς οὐδεὶς, εἰς νέαν ἡμᾶς ἀναστοιχειῶσαι ζωὴν, ἀπαρχὴ δὲ ὥσπερ καὶ πρῶτος αὐτὸς τῶν εἰς ἀφθαρσίαν ἐκτισμένων, καθὸ πέφηνεν ἄνθρωπος, καὶ ἐν σαρκὶ μεθ' ἡμῶν, διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. Εἰσκεκόμικε δὲ παραχρῆμα τῆς ἁγίας ἡμῖν Πεντηκοστῆς προανατύπωσιν ἐναργῆ, ἑπτὰ χρῆναι λέγων ἐπαριθμεῖν ἑβδομάδας, τῇ τοῦ δράγματος εἰσκομιδῇ. Μετὰ γάρ τοι τὴν ἀναστάσιμον τοῦ Σωτῆρος ἡμέραν, ἑπτὰ συνείροντες ἑβδομάδας, ἑορτάζομεν οἱ πεπιστευκότες. {ΠΑΛΛ.} Ὡς σαφὴς ὁ λόγος! {ΚΥΡ.} Ὅτι δὲ τῆς τοῦ Σωτῆρος ἡμῶν ἀναστάσεως ὁ καιρὸς μεθίστησι τοὺς ἡγιασμένους ἐν Πνεύματι, καὶ ἐν πίστει δεδικαιωμένους, εἰς τὸ δύνασθαι καρποφορεῖν τὴν νέαν τε καὶ ἀκίβδηλον ζωὴν, κατεδείκνυ σαφῶς οὕτω λέγων εὐθύς· «Καὶ προσοίσετε θυσίαν νέαν τῷ Κυρίῳ, ἀπὸ τῆς κατοικίας ὑμῶν προσοίσετε ἄρτους ἐπίθεμα, δύο ἄρτους, ἐκ δύο δεκάτων σεμιδάλεως ἔσται ὁ ἄρτος ὁ εἷς, ἐζυμωμένοι πεφθήσονται πρωτογεννημάτων τῷ Κυρίῳ, καὶ προσάξετε μετὰ τῶν ἄρτων ἑπτὰ ἀμνοὺς ἀμώμους ἐνιαυσίους, καὶ μόσχον ἕνα ἐκ βουκολίων, καὶ κριοὺς δύο ἀμώμους, καὶ ἔσονται εἰς ὁλοκαύτωμα τῷ Κυρίῳ, καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν, θυσία ὀσμὴ εὐωδίας τῷ Κυρίῳ. Καὶ ποιήσουσι χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, καὶ δύο ἀμνοὺς ἐνιαυσίους εἰς θυσίαν σωτηρίου μετὰ τῶν ἄρτων τοῦ πρωτογεννήματος. Καὶ ἐπιθήσει αὐτὰ ὁ ἱερεὺς μετὰ τῶν ἄρτων τοῦ πρωτογεννήματος ἐπίθεμα ἐναντίον Κυρίου μετὰ τῶν δύο ἀμνῶν, ἅγια ἔσονται τῷ Κυρίῳ, τῷ ἱερεῖ τῷ προσφέροντι αὐτὰ αὐτῷ ἔσται. Καὶ καλέσετε ταύτην τὴν ἡμέραν κλητὴν, ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν.» Ἀπαρχὴ μὲν γὰρ καὶ οἱονεὶ πρωτόλειον τῆς εἰς καινότητα μεταπλαττομένης κτίσεως ὁ Ἐμμανουὴλ, νοεῖται δὲ πρῶτος ἐν ἡμῖν, ὡς ἄρτος καὶ νέον φύραμα, τρίβον δὲ ὥσπερ τὴν εἰς τὸ χρῆμα λοιπὸν ἑλόντες ἡμεῖς, καθ' ὁμοιότητα τὴν πρὸς αὐτὸν, νέον ὥσπερ τι καὶ ἡμεῖς κεκλήμεθα φύραμα. Τύπος δ' ἂν εἴη καὶ τοῦδε σαφὴς, ὁ ἐκ νέων καρπῶν προσκομιζόμενος ἄρτος, ἀλλ' οὐχ εἷς ὁ ἄρτος, δύο δὲ χρῆναι προσάγεσθαι λέγει· δύο γὰρ οἱ λαοὶ, κἂν εἰ πρὸς ἑνότητα φαίνοιντο συνενηνεγμένοι διὰ μεσίτου Χριστοῦ· πλὴν ἐζυμωμένοι πεφθήσονται, φησί. Καὶ τί τὸ αἴνιγμα, φέρε λέγωμεν, τὸ τοῦ νόμου βάθος, ὡς ἔνι, καλῶς περιαθρήσαντες. Ἆρα γὰρ ζύμην ἐν τούτοις ἐννοεῖν ἀκόλουθον, τὴν ὡς ἐν φαυλότητι καὶ κατεψευσμένην; Εἶτα πῶς οὐ μωρία τοῦτό γε; πῶς γὰρ ἂν ἔτι κακίας ἀπαλλάξαιμεν, τοὺς εἰς καινότητα πολιτείας εὐαγγελικῆς μετεσκευασμένους; ἢ πῶς ἂν 68.1100 τοῦτο νοοῖτο καινότητος; πῶς δ' ἂν ἔτι καὶ νέον φύραμα λέγοιντό τινες, εἰ ζύμης ἐν αὐτοῖς ἐναπομένει λείψανον, εἶέν τε τῆς ἀνοσίου καὶ βδελυρᾶς φαυλότητος οὐκ εἰσάπαν ἠμοιρηκότες; Ἐπινοητέον δὴ οὖν κατά γε τὸν πρέποντα τοῖς θεωρήμασι λόγον, ζύμης εἶδος ἑτέρας, τὸ καταψέγεσθαι δεῖν οὐκ ἐχούσης ἐφ' ἑαυτῇ, μᾶλλον δὲ καὶ τεθαυμασμένης παρά γε τῇ θεοπνεύστῳ Γραφῇ. Ζύμῃ δὴ οὖν ὁ Σωτὴρ τῆς θείας τε καὶ εὐαγγελικῆς παιδεύσεως τὴν εὐκλεᾶ τε καὶ ὀνησιφόρον δύναμιν παρεικάζει, λέγων· «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ, ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη τὸ ὅλον.» Εἰσδύνουσα γὰρ εἰς νοῦν καὶ καρδίαν τῆς εὐαγγελικῆς παιδεύσεως ἡ ζωοποιὸς ἐνέργεια, ψυχήν τε καὶ σῶμα καὶ πνεῦμα πρὸς ἰδίαν ὥσπερ ποιότητα μεταστοιχειοῖ. Οὐκοῦν τῇ τοιᾷδε ζύμῃ πρέποι ἂν ὑπονοεῖν ἐζυμῶσθαι τοὺς λαοὺς, ὡς ἐν εἴδει τῶν ἄρτων προσκεκομισμένους, καὶ ἐκ δύο δεκάτων ἕκαστος· τὸ οἱονεὶ διττὸν τῆς παιδεύσεως, καταγράφοντος ἡμῖν αἰνιγματωδῶς τοῦ τύπου. {ΠΑΛΛ.} Οἷον δὴ τί φῄς; {ΚΥΡ.} Οὐ γὰρ, ὦ Παλλάδιε, φαίης ἂν, ὅτι διὰ διττῆς παιδεύσεως, νομικῆς τε καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐαγγελικῆς, ἱεροί τε ἐσόμεθα, καὶ εὐπαράδεκτοι τῷ Θεῷ, ἴμεν τε οὕτως εἰς νέαν καὶ ἀπόλεκτον ζωήν; {ΠΑΛΛ.} Φημί. {ΚΥΡ.} Τοῦτό τοι καὶ αὐτὸς ἡμῖν ὁ Σωτὴρ διεσάφει, λέγων· «Διὰ τοῦτο εἶπον ὑμῖν, ὅτι πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ πλουσίῳ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.» Οἱ γὰρ τὸν νοῦν ἔχοντες ἐπιστήμονα τῶν διὰ Μωσέως τεθεσπισμένων, καὶ τῆς ἀρχαίας ἐκείνης καὶ ὡς ἐν τύποις ἐντολῆς ἐκμεμεστωμένον, εἶτα πρὸς ἐκείνῃ τὴν νέαν καὶ εὐαγγελικὴν καταπλουτήσαντες γνῶσιν, διττὴν, οἶμαί που, λοιπὸν αὐχοῦσι καὶ τὴν παίδευσιν. {ΠΑΛΛ.} Ὀρθῶς ἔφης. {ΚΥΡ.} Ἀλλ' οὐκ ἐν μόνοις ἄρτοις ἡμῖν ἡ τῶν εἰς καινότητα ζωῆς ἐσκευασμένων πληθὺς κατεγράφετο, προσεπιτάττει δὲ δεῖν ὁ νόμος ἑπτὰ προσάγειν ἀμνοὺς σὺν μόσχῳ τῷ ἑνὶ, καὶ κριοῖς δυσίν· ἑπομένης δὲ δηλονότι σπονδῆς τοῖς θύμασι, τουτέστιν, οἴνου καταχεομένου, καὶ ὡς ἐν τετάρτῳ τοῦ ἶν, ὅπερ ἐστὶ ξεστῶν ἓξ, γλώσσῃ τῇ καθ' ἡμᾶς ἐκφωνούμενον. Οὐκοῦν τύπος ἂν εἶεν οἱ ἑπτὰ πάλιν ἀμνοὶ τῆς τῶν πιστευόντων ἀγέλης, νηπιαζούσης μὲν ἐν Χριστῷ. Νηπιότητος γὰρ σύμβολον, ὁ ἀμνός· πλὴν ὡς ἐν ἰσχύϊ καὶ ἀνδρίᾳ πνευματικῇ, προϊούσης εἰς τελειότητα καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος Χριστοῦ. {ΠΑΛΛ.} Πῶς ἔφης; {ΚΥΡ.} Τοὺς ἀμνοὺς ὀνομάσας, εἶτα διὰ μέσου παρενθεὶς τὸν μόσχον, ἐπιφέρει τοὺς κριούς. Τύπος δ' ἂν εἶεν οἱ μὲν ἀμνοὶ, τῆς ἀγέλης· ἰσχύος δὲ καὶ ἀνδρείας, ὁ μόσχος· τὸ γάρτοι ζῶον εὐσθενές· ἡλικίας δὲ λοιπὸν τῆς ἐντελοῦς, οἱ κριοί. Οὐκοῦν οἱ πιστεύοντες διὰ τοῦ κατανδρίζεσθαι φιλεῖν τῶν γεω 68.1101 δεστέρων, ἀναθρώσκουσιν εἰς τελειότητα, τὴν ὡς ἐν Χριστῷ νοουμένην. Τέλειοι γὰρ εἰς ἡλικίαν οἱ κριοὶ, τῆς νοητῆς τελειότητος τὸ μέτρον, ὡς ἔν γε σφίσιν αὐτοῖς εὖ μάλα κατασημαίνοντες. Δύο δὲ οἱ κριοὶ, διττὴ γάρ πως ἐν ἡμῖν ἡ ἐν Χριστῷ τελειότης, ἡ ὡς ἐν ἔργῳ τε καὶ γνώσει νοουμένη. «Ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ,» φησὶν, «οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.» Οἶνος δὲ τοῖς ἱερείοις ἐπιχεῖται πάλιν· ἕψεται γὰρ πάντως τοῖς εἰς τελειότητα τὴν ἐν Χριστῷ νοουμένην διάττειν ἐσπουδακόσι, τὸ κατευφραίνεσθαι δεῖν. «Οἶνος γὰρ,» φησὶν, «εὐφραίνει καρδίαν ἀνθρώπου.» Καὶ χίμαρος μὲν ὑπὲρ ἁμαρτίας ἐσφάζετο· προσεπάγονται δὲ καὶ ἀμνοὶ δύο μετὰ τῶν ἄρτων, εἰς θυσίαν σωτηρίου. Καὶ τί τὸ χρῆμα πάλιν; Ἀπέθανε γὰρ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ὁ Ἐμμανουὴλ, ὡς ἐν τῷ χιμάρῳ γραφόμενος, ἱερὰν δὲ ἡμῶν καὶ εὐπρόσδεκτον ἀποτελῶν τήν τε εἰς καινότητα ζωὴν καὶ τὴν εἰς νέον φύραμα μεταβολὴν, καὶ τὴν μέχρι ψυχῆς καὶ σώματος ἀνάθεσίν τε καὶ καθιέρωσιν, ἣν ὑπομένειν εἰθίσμεθα, μονονουχὶ καὶ συναποθνήσκοντες τῷ δι' ἡμᾶς ἐν νεκροῖς, ἵνα συζήσωμεν αὐτῷ. Τοιοῦτόν τι καὶ ὁ Παῦλος ἡμῖν ὁ σοφὸς ἐπιστέλλει λέγων· «Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον αὐτοῦ· ἵνα ὥσπερ ἠγέρθη Χριστὸς διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.» Οὐκοῦν ἐσφάγη μὲν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν αὐτὸς, συντεθάμμεθα δὲ καὶ ἡμεῖς αὐτῷ, θάνατον ὑπομένοντες, οὐ σωματικὸν, ἀλλὰ νεκροῦντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ κόσμῳ μὲν ζῶντες οὐκέτι, Χριστῷ δὲ μᾶλλον, καὶ δι' αὐτοῦ τῷ Πατρί. Ὅρα τοίνυν σφαζομένῳ τῷ χιμάρῳ συναποθνήσκοντας τοὺς ἀμνοὺς, καὶ συνθυμιωμένους τοὺς ἄρτους· δεκτὴ γὰρ ἡμῶν ἡ καθιέρωσις, καὶ εἰς ὀσμὴν εὐωδίας ἡ νέα τε καὶ εὐαγγελικὴ ζωὴ, συμπλαττομένη τρόπον τινὰ τοῖς παθήμασι τοῦ Χριστοῦ, καὶ τὴν αὐτοῦ μίμησιν ὑποτρέχουσα. «Εἰ γὰρ συμπάσχομεν, καὶ συμβασιλεύσομεν· εἰ συναποθνήσκομεν, καὶ συζησόμεθα· καὶ εἰ κοινωνοὶ παθημάτων ἐσμὲν, μερισταὶ καὶ τῆς εὐκλείας ἐσόμεθα καὶ αὐτοί.» Σωτηρίου δὲ θυσία διακεκλήσθω, φησὶν, ἡ τοιάδε καλῶς. Σώζει γὰρ τοὺς ὑπὲρ ὧν τὴν σφαγὴν ὑπέμεινεν ὁ Χριστὸς, εἴπερ ἐξίστησιν ἁμαρτίας, καὶ θανάτου, καὶ φθορᾶς ἀμείνους ἀποτελεῖ τοὺς συντεθαμμένους αὐτῷ καὶ συναποθνήσκοντας, κατά γε τὸν ἤδη προειρημένον τρόπον. {ΠΑΛΛ.} Ὡς βαθὺς ὁ λόγος, καὶ ἀμυδρὸν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νόμου τὸ χρῆμα! {ΚΥΡ.} Αἴνιγμα γὰρ, ὦ Παλλάδιε, καὶ οἱονεὶ λεπτῶν τε καὶ διεσμιλευμένων ἐννοιῶν, ἀσυμφανὲς ἀποσκίασμα. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Τρεῖς μὲν οὖν καιροὺς ὁ νόμος ἔφη, καθ' οὓς ἂν ἡμᾶς ἑορτάζειν πρέποι. Τρεῖς γὰρ, φησὶ, 68.1104 καιροὺς τοῦ ἐνιαυτοῦ ἑορτάσατέ μοι. Βούλει δὴ οὖν, ἐπὶ δυσὶν ἤδη γεγονότος ἡμῖν ἀποχρώντως τοῦ λόγου, τίς ὁ τρίτος, καὶ ἐφ' ὅτῳ περ ἂν τελοῖτο λέγωμεν; Διεπύθου γάρ που τὴν ἐφ' ἑκάστῳ πρόφασιν, ἡ μὲν γὰρ, ὅτι σέσωκε τὸν ὑπέρ γε τῆς ἁπάντων ἡμῶν σωτηρίας ἀνατλὰς θάνατον ὁ Χριστός· ἡ δὲ, ὅτι καταλύσας τὴν φθορὰν, ἀνεβίω πάλιν, καὶ εἰς νέαν ἡμᾶς ἀνεκαίνισε ζωὴν, ἐπετελεῖτο χρησίμως. Καὶ τῆς μὲν πρώτης ὁ καιρὸς ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ, πρῶτός τε καὶ ἐν ἀρχαῖς· τῆς δὲ δευτέρας ὁ γείτων εὐθὺς καὶ παρεζευγμένος, καθ' ὃν ἦν εἰκὸς, ἐπείγεσθαι μὲν τοῖς ἀστάχυσι τὸν ἀμητῆρα σίδηρον. συγκομίζεσθαι δὲ δεῖν τὰ ἕτερα τῶν σπερμάτων. Μυρία γὰρ ὅσα τῶν ἐν ἀγροῖς. Φέρε δὴ οὖν καὶ ἐπὶ τῷ τρίτῳ τῆς ἑορτῆς καιρῷ τὰ εἰκότα λέγωμεν, πολυπραγμονοῦντες εὖ μάλα τὸ ὅπως τε καὶ ἐπὶ τίσιν ἀποπεραίνεσθαι χρὴ καὶ τὴν ἐπὶ τῷδε γνῶσιν, τὸν νόμον ἐξαιτήσωμεν, καὶ ἐξ αὐτῶν ληψώμεθα τῶν ἱερῶν Γραμμάτων· ἴοι γὰρ ἂν οὕτω πρὸς τὸ ἀληθὲς ὁ λόγος. Εἰ οὐκ ὀρθῶς σοι τοῦτο φάναι τε δοκῶ καὶ διεσκέφθαι πάλιν; {ΠΑΛΛ.} Παντάπασι μὲν οὖν. {ΚΥΡ.} Γέγραπται τοίνυν ἐν τῷ Λευϊτικῷ· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων· Τοῦ μηνὸς τοῦ ἑβδόμου, μιᾷ τοῦ μηνὸς, ἔσται ἡμῖν ἀνάπαυσις, μνημόσυνον αἰώνιον σαλπίγγων, κλητὴ ἁγία τῷ Κυρίῳ. Πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε, καὶ προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ.» Ἔοικε τοίνυν ἡμῖν ὁ ἕβδομος μὴν τὸν ἐπὶ συντελείᾳ τε καὶ ἐπ' ἐσχάτοις ὑπαινίττεσθαι καιρόν. Μηνὶ γὰρ ἑβδόμῳ πάντα τὰ ἐξ ἀγρῶν οὐκ εἰς τὴν ἅλω ποθὲν συγκομιστέον, ὦ τᾶν, ἀλλ' ἐν αὐτοῖς ἤδη τοῖς ἑκάστου θησαυροῖς εἰσκλείεσθαι πρέποι. Καὶ παροίχεται μὲν ὁ τῆς εὐκαρπίας καιρὸς, ἀνίσχει δὲ ἤδη χειμῶνος ἀρχὴ, φθίνει τε φυτὰ, καὶ ἄνθη μαραίνεται. Φέρε δὴ οὖν ὡς ἐπί γε σφίσιν αὐτοῖς τὰ ἐκ τοῦ καιροῦ μεθιστάντες, λέγωμεν, ὅτι πρὸς τὸ τέλος ἤδη διέρποντος τοῦ αἰῶνος τούτου, καὶ ὥσπερ τινὸς ἐπηρτημένου, καὶ εἰσελαύνειν μέλλοντος, καθ' ὃν ἀνάγκη κολάζεσθαι τοὺς φιλαμαρτήμονας, σωρεύσει μὲν ἕκαστος τὸ ἐξ ἰδίων πόνων, εἴγε σωφρονοῖ, καὶ ἐν τοῖς ἄνω θησαυροῖς εἰσκομιεῖ. Μεμνήσεται δὲ λέγοντος τοῦ Χριστοῦ· «Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ μᾶλλον ἐν τοῖς οὐρανοῖς.» Οὐκοῦν ἐπείπερ ἐγηγερμένου Χριστοῦ, τῆς συντελείας ἡμᾶς εἰς ἀνάμνησιν οἱ τῶν ἁγίων μυσταγωγῶν ἀποφέρουσι λόγοι, ἄνω γὰρ καὶ κάτω διακεκράγασιν, Ἐσχάτη ὥρα ἐστὶν, συγκομιζέσθω, φησὶν, ἐν θησαυροῖς ἤδη τοῖς ἄνω τὰ παρ' ἑκάστου, φησὶ, λοιπόν. Ἀλλ' ἐν τῇ νεομηνίᾳ, φησὶ, τοῦ μηνὸς, καθ' ὃν ἂν εἰσκλείετε τοὺς καρποὺς, ἔσται ὑμῖν ἀνάπαυσις, μνημόσυνον σαλπίγγων. Θησαυρίζει γὰρ ἕκαστος τὰ ἐξ ἰδίων ἱδρώτων ἀγαθὰ, καὶ τῆς εἰς αἰῶνα τρυφῆς τε καὶ ἀναπαύσεως προνοήσεται καὶ ἐπιμελήσεται, μεμνημένος ὅτι, καθά φησιν ὁ θεσπέσιος Παῦλος, «Αὐ 68.1105 τὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπὸ οὐρανοῦ.» «Σαλπίσει γὰρ, φησὶ, καὶ οἱ νεκροὶ ἐγερθήσονται, ἄφθαρτοι.» –»Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν, εἴτε φαῦλον.» Μεμνήμεθα τοιγαροῦν τῆς ἱερᾶς ταυτησὶ καὶ φοβερωτάτης σάλπιγγος, ὅτε καὶ εὐσημοτάτη τῶν ἁγίων ἐστὶν ἑορτὴ κλητὴ ἁγία, κλῆρον ἤδη δεχομένων τῶν ἐν ἐλπίσι καὶ λαμπρῶν ἀνδραγαθημάτων πλουσίαν ἀντέκτισιν. Ἀναγκαῖον οὖν ἡμᾶς, ταῖς περὶ τούτων ἐννοίαις ἐπὶ τὸ λίαν ἐπιεικὲς ἀναθρώσκοντας, παντὸς καταλήγειν ἔργου, παντελῶς οὐδὲν ὠφελεῖν εἰδότος, μᾶλλον δὲ καὶ κατασπιλοῦν εἰωθότος. Τοῦτο γὰρ οἶμαί ἐστιν ὃ καὶ σοφῶς ἡμῖν ἔφη Παῦλος· «Ὁ καιρὸς συνεσταλμένος ἐστὶ τὸ λοιπὸν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὴ ἔχοντες ὦσι, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι.» {ΠΑΛΛ.} Ἔοικεν. {ΚΥΡ.} Εἶτα φησὶν, ὅτι «Τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, ἡμέρα ἐξιλασμοῦ, κλητὴ ἁγία ἔσται ὑμῖν. Καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν, καὶ προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ. Πᾶν ἔργον οὐ ποιήσετε ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἔστι γὰρ ἡμέρα ἐξιλασμοῦ αὕτη ὑμῖν, ἐξιλάσασθαι περὶ ὑμῶν ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν. Πᾶσα ψυχὴ, ἥτις μὴ ταπεινωθήσεται ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς. Καὶ πᾶσα ψυχὴ, ἥτις ποιήσει ἔργον ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. Πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσαις κατοικίαις ὑμῶν. Σάββατα σαββάτων ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν· ἀπὸ ἐνάτης τοῦ μηνὸς, ἀπὸ ἑσπέρας ἕως ἑσπέρας σαββατιεῖτε τὰ Σάββατα ὑμῶν.» Ταπείνωσιν καὶ νηστείαν, καὶ ὁλοκαυτωμάτων προσαγωγὴν, καὶ μὴν καὶ ἔργου παντὸς κατάληξιν ποιεῖσθαι δεῖν ἔφη, τῶν μὲν σαρκικῶν ἐπιθυμιῶν τὴν νέκρωσιν διὰ νηστείας ὑποτυπῶν, διὰ δὲ τῶν ὁλοκαυτωμάτων τὴν εἰς ὀσμὴν εὐωδίας ἀνάθεσιν, οὐ μεμερισμένως, ἀλλ' εἰσάπαν καὶ ὁλοτελῶς. Διά τε τῆς ἀργίας, καὶ τοῦ χρῆναι παντελῶς τῶν ἔργων ἀποφοιτῶντας, ὅτι προσήκει τῶν ἐπιγείων οὐδὲν ἀποπεραίνειν ἔτι, κατασημαίνων ἀστείως. Ἢ γὰρ οὐκ οἰήσῃ δεῖν τοὺς εἰς κατάληξιν ἤδη καιρῶν διεληλακότας, καὶ τῆς ἱερᾶς τε καὶ ἐν ἐσχάτοις μεμνημένους σάλπιγγος, καὶ εἰς νοῦν ἔχοντας τὸν κριτὴν, ταύτητοι καὶ εἰς τοὺς ἄνω λοιπὸν ἐκκομίζοντας θησαυροὺς τῆς πνευματικῆς εὐκαρπίας τὸν πλοῦτον, κατανεκροῦν ἡδονὰς, καὶ σωματικῶν ἀμείνους ὁρᾶσθαι παθῶν, εὐωδιάζειν δὲ ἤδη Θεῷ τῆς ἐπιεικείας τοὺς τρόπους, ἰέναι τε ἤδη μακρὰν, καὶ ἀπονοσφίζεσθαι φιλεῖν τῶν εἰς ματαιότητα σπουδασμάτων; Εἶεν δ' ἂν, οἶμαι, ταυτὶ, τὰ ἐν τῷδε τῷ κόσμῳ, καὶ ὁ πονηρὸς τοῦ βίου περισπασμός. {ΠΑΛΛ.} Οἰήσομαι· πῶς γὰρ οὔ; 68.1108 {ΚΥΡ.} Τί δὲ, οἱ παθῶν ἀμείνους, καὶ νεκροῦντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, οὐκ εἰς ὀσμὴν εὐωδίας ἀνακείσονται τῷ Θεῷ, καὶ ἐν τάξει τῶν ὁλοκαυτωμάτων εἶεν ἂν, λύτρον ὥσπερ τι, καὶ ἐξιλασμὸν ὑπέρ γε τῶν ἰδίων ψυχῶν τὸ χρῆμα ποιούμενοι· {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Ἡμέραν τοίνυν ἐξιλασμοῦ τὴν τῆς ἀσιτίας ὁ νομοθέτης ὠνόμαζε, καὶ σφόδρα ὀρθῶς καὶ ἐννόμως, κατανεκρῶν μὲν τὴν σάρκα καὶ τὰ αὐτῆς, εὐωδιάζων δὲ δὴ τῆς ἀρετῆς τοὺς τρόπους. Ἔργου δὲ παντὸς μὴ καταλήγων κοσμικοῦ, πάντη τε καὶ πάντως ἐν ἐσχάτοις ἔσται κακοῖς, ὃ παρέδειξεν ἐναργῶς, ἐξολοθρευθήσεσθαι λέγων ἐκ τοῦ λαοῦ αὐτοῦ τὸν μήτε νηστεύοντα, μήτε μὴν προσάγοντα τὴν ὁλοκαύτωσιν, καὶ τὸν ἐπὶ ταῖς ἀργίαις περιυβρίζοντα νόμον. Σάββατα δὲ σαββάτων τὸν ἐπὶ τοῖσδε καιρὸν εἶναι λέγων, ἐφῆκε νοεῖν, ὡς ἔστι λοιπὸν ἀργιῶν ἀργία, τουτέστιν, ὁλοτελῶς καὶ ὡς ἐν ὁλοκλήρῳ μέτρῳ τῶν ἔργων ἀπόθεσις, δῆλον δὲ ὅτι τῶν εἰς φαυλότητά τε καὶ ἁμαρτίαν. Καταλήγοντος δὲ τοῦ αἰῶνος τούτου, καὶ μονονουχὶ καταγηράσκοντος τοῦ καιροῦ, μοίραν ὅλως ἐν ἡμῖν ποίαν ἂν ἔχοι λοιπὸν ἡ εἰς ματαιότητα σπουδὴ καὶ οὐχὶ δὴ μᾶλλον τὰ ἀμείνω φρονήσομεν, τὴν τῷ Θεῷ θυμηρεστάτην ἐπιτελοῦντες ἀργίαν, καὶ τῶν οἰκείων περισπασμῶν ἀποφοιτῶντες εἰσάπαν; {ΠΑΛΛ.} Εὖ λέγεις. {ΚΥΡ.} Θεσμοθετεῖ δὲ δὴ πάλιν· «Καὶ ἐν ἡμέρᾳ, φησὶ, τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, ὅταν συντελέσητε τὰ γεννήματα τῆς γῆς, ἑορτάσατε τῷ Κυρίῳ ἑπτὰ ἡμέρας. Τῇ ἡμέρᾳ τῇ πρώτῃ ἀνάπαυσις, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἀνάπαυσις, καὶ λήψεσθε τῇ ἡμέρᾳ τῇ πρώτῃ καρπὸν ξύλου ὡραῖον, καὶ κάλλυντρα φοινίκων, καὶ κλάδους ξύλου δασεῖς, καὶ ἰτέας, καὶ ἄγνου κλάδους ἐκ χειμάῤῥου, καὶ εὐφρανθήσεσθε ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν ἑπτὰ ἡμέρας τοῦ ἐνιαυτοῦ, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. Ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἑορτάσετε αὐτήν.» Ἆρ' αἰσθάνῃ τε λοιπὸν, ὅτι συναγηγερμένων εἰς ἀποθήκην τῶν ἐν ἀγροῖς, καὶ συνειλεγμένων εὖ μάλα τῶν ἑκάστου καρπῶν, ἀγχοῦ δὴ λίαν ἡ παναοίδιμος ἑορτὴ τῆς Σκηνοπηγίας, τὴν ἐν παραδείσῳ δίαιταν ὑποφαίνουσα· καὶ τῶν ἐν ἀρχαῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς μέθεξιν ἀνατιθεῖσα τὸν ἄνθρωπον. Φαμὲν γὰρ εἶναι Σκηνοπηγίαν, τὴν νοητὴν καὶ ἀληθεστέραν τῶν ἀνθρωπίνων σωμάτων τὴν σύμπηξιν, καὶ τὸ ἐκ τῆς διὰ μέσου φθορᾶς ἀναβιῶναι εἰς ἀφθαρσίαν. Ἀνάπαυσις δὲ ἡ πρώτη καὶ μέν τοι καὶ ἡ ὀγδόη· πρὸ γάρ τοι τῆς ἐν ἀρχαῖς παραβάσεως, οὔπω τῆς μοχθηροτάτης ἡμῖν ἐμβαλούσης ἁμαρτίας, καὶ τὸν δυσαχθῆ καὶ δυσδιακόμιστον ἀληθῶς ἐπιτιθείσης ζυγὸν, ἀνειμένην τινὰ καὶ ἄφετον, καὶ δίχα πόνου παντὸς τὴν ἐν παραδείσῳ δίαιταν ἐποιούμεθα, καθάπερ ἐν ἀρχῇ καὶ ῥίζῃ τοῦ γένους ἐν Ἀδάμ. Ἐπιδημήσαντος δὲ τοῦ Χριστοῦ, καὶ τὸ διὰ μέσου εἰς πόνους, ἀνέδραμεν εἰς τὸ ἐν ἀρχαῖς κατὰ τὴν ὀγδόην, τουτέστι, μετὰ τὸν ἐν νόμῳ σαββα 68.1109 τισμὸν, ἤτοι τοῦ νομικοῦ χρόνου τὸ πλήρωμα, καὶ τὸν δυσαχθῆ καὶ βέβηλον τῆς ἁμαρτίας ζυγὸν τῆς ἑαυτῶν ψυχῆς ἀπελάσαντες, μοχθηρίας ἁπάσης ἀποπεπαύμεθα, καλοῦντος ἡμᾶς διὰ πίστεως εἰς τοῦτο τοῦ Χριστοῦ, καὶ λέγοντος· «Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.» Οὐκοῦν ἀνάπαυσις μὲν, ἡ πρώτη τῆς ἑβδομάδος ἡμέρα, τὸν ἐν ἀρχαῖς τοῦ ἀνθρώπου καιρὸν ὑποφαίνουσα. Ἀνάπαυσις δὲ ὁμοίως καὶ ἡ ὀγδόη καθ' ἣν ἀνεβίω Χριστὸς, προσηλώσας τῷ ἰδίῳ σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον, καὶ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα ἡμᾶς θανάτου καὶ ἁμαρτιῶν ἐξελὼν, ποινῆς ἀπαλλάξῃ καὶ πόνων, καὶ τὴν ἐν ἀρχαῖς ἀνάπαυσιν δι' αὐτοῦ κερδάνωμεν. Τῇ ἡμέρᾳ τῇ πρώτῃ, φησὶ, λήψονται καρπὸν ξύλου ὡραῖον, καὶ κάλλυντρα φοινίκων, καὶ τοὺς ἑτέρους τῶν κλάδων, δι' οὗ παρέσται νοεῖν διακεκραγότος οἱονεὶ τοῦ πράγματος, ὅτι πάλιν ἡμῖν ἐν Χριστῷ τὰς ἐν παραδείσῳ τρυφὰς ἀπονέμει Θεὸς, καίτοι μεταξὺ διωλισθηκόσι διὰ τὴν ἐν ἀρχαῖς παράβασιν. Ἐξεώσμεθα μὲν γὰρ ἐν Ἀδὰμ, ἀλλ' εἰσκεκομίσμεθα διὰ Χριστοῦ. Διεπύθου γάρ που λέγοντος τῷ συγκρεμαμένῳ λῃστῇ· «Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.» Δεδυσώπηκε γὰρ ὁ Χριστὸς τὴν στρεφομένην ῥομφαίαν, καὶ ἀνεῖται λοιπὸν τοῖς πεπιστευκόσιν ἡ εἰσδρομὴ, πάντα εἰς τὸ ἐν ἀρχαῖς ἀναμορφοῦντος αὐτοῦ, καὶ ἀνασκευάζοντος εἰς τὸ ὅπερ ἦν πάλαι. Ἐκ φυτῶν δὲ τῶν ἀειθαλῶν οἱ κλάδοι, τὸ διηνεκὲς τῆς χάριτος, καὶ τὸ οἱονεί πως ἀμάραντον τῆς ἐλπίδος ἐφ' ἑαυτοῖς σημαίνοντες. «Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ,» κατὰ τὸ γεγραμμένον. Καὶ ἀκατάληκτος ἀληθῶς τῶν ἁγίων ἡ τέρψις. Ἐπιβοήσεται δὲ καὶ ὁ σοφὸς Ἡσαΐας, λέγων· «Εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν, αἴνεσις καὶ εὐφροσύνη αἰώνιος καταλήψεται αὐτούς· ἀπέδρα λύπη, ὀδύνη, καὶ στεναγμός.» Παραπεφώνηται δέ πως τοῖς περὶ τῆς ἑορτῆς θεσπίσμασι, τὸ ἐκ χειμάῤῥου εὐφρανθῆναι δεῖν. Ἔφη γὰρ κατὰ τὴν ἐσχάτην τῆς ἑβδομάδος ἡμέραν, ἤτοι κατὰ τὴν ὀγδόην, ἀρύσασθαι μὲν ἐκ χειμάῤῥου τὸ ὕδωρ, εὐφρανθῆναι δὲ οὕτως τοὺς πεπιστευκότας, καὶ χείμαῤῥος δὲ νοητὸς καὶ οὐράνιος ὁ Χριστὸς, τοῖς ἄνωθεν νάμασι τὰς τῶν σεβομένων αὐτὸν κατάρδων ψυχάς. Τοιγάρτοι καὶ ἔφασκε διὰ φωνῆς προφητῶν, «Ἰδοὺ ἐγὼ ἐκκλίνω ἐπ' αὐτοὺς, ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους ἐπικλύζων, δόξαν ἐθνῶν.» Ἀνακεκράγει δέ που καὶ ὁ θεσπέσιος ἡμῖν Δαβὶδ, πρὸς τὸν τῶν ὅλων Θεὸν καὶ Πατέρα· «Ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεὸς, οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σοῦ ἐλπιοῦσιν. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤῥουν τρυφῆς σου ποτιεῖς αὐτούς.» Πρέποι γὰρ ἂν καὶ μάλα εἰκότως τοὺς τοῦ παραδείσου πολίτας, τὸ χρῆναι πλουσίως μεταλαχεῖν τοῦ Χριστοῦ, καὶ ἀμφιλαφέσι τοῦ Πνεύματος κατευφραίνεσθαι χορηγίαις. {ΠΑΛΛ.} Πρέποι γὰρ ἂν, καὶ ὀρθῶς γε φῄς. {ΚΥΡ.} Ἄθρει δὲ ὅπως ἐν τοῖς Ἱεροσολύμοις ἐπετελεῖτο μόνοις ἡ ἑορτὴ, καὶ ἦν πᾶσά πως ἀνάγκη 68.1112 τοὺς ἀπὸ πάσης τῆς Ἰουδαίας ἐν αὐτῇ συναγείρεσθαι. Γένοιτο δ' ἂν καὶ τοῦτο σημεῖον, τοῦ δεῖν ἅπαντας τοὺς οἵπερ ἂν εἶεν τὸν εὐκλεᾶ καὶ εὐδόκιμον διαζήσαντες βίον, εἰς τὴν ἄνω συλλέγεσθαι πόλιν, τὴν ἐπουράνιον Ἱερουσαλὴμ, ἐκεῖ καὶ συνεσομένους καὶ συνεορτάσοντας τῷ Χριστῷ· τοῖς δὲ ἀπίστοις ἔτι, καὶ τὴν τῆς ἀναστάσεως χάριν οὐ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσιεμένοις, ἠθετηκόσι δὲ μᾶλλον τὸ οὕτω σεπτὸν καὶ βαθὺ μυστήριον, ὄλεθρος μὲν ἡ δίκη, τότε ἐν παντὶ γενέσθαι κακῷ πάντη τε καὶ πάντως, ἀποκείσεται. Κατοιχήσονται γὰρ εἰς κόλασιν. Καὶ μάρτυς ἂν γένοιτο τοῦ τοιοῦδε πιστὸς ὁ προφήτης Ζαχαρίας, λέγων· «Καὶ ἔσται ὅσοι ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς εἰς Ἱερουσαλὴμ τοῦ προσκυνῆσαι τῷ Βασιλεῖ Κυρίῳ παντοκράτορι καὶ οὗτοι ἐκείνοις προστεθήσονται. Ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ ἀναβῇ, μηδὲ ἐξέλθῃ ἐκεῖ, καὶ ἐπὶ τούτοις ἔσται ἡ πτῶσις, ἣν ἂν πατάξῃ Κύριος πάντα τὰ ἔθνη, ὃς ἐὰν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς Σκηνοπηγίας.» Σκηνοπηγίας οὖν ἄρα τριπόθητον ἑορτὴν καταλογιούμεθά που, τὴν τῶν σωμάτων ἁπάντων ἀνάστασιν, ἀπαρχὴν ἐχόντων Χριστόν· πρωτότοκος γὰρ ἐκ νεκρῶν κεχρημάτικε, καὶ ἔστιν ἀληθῶς. {ΠΑΛΛ.} Ὀρθότατα διανοῇ. {ΚΥΡ.} Πλὴν ἐκεῖνο ἴσθι τοι. {ΠΑΛΛ.} Τὸ ποῖον τί φῄς; {ΚΥΡ.} Ἐν μὲν γὰρ τοῖς ἀρτίως ἡμῖν παρενηνεγμένοις τοῦ νόμου λογίοις, ὠνόμασται μὲν ἐνδελεχισμοῦ θυσία, καὶ μέν τοι καὶ νουμηνία, καὶ τὰ ἐν Σαββάτοις ἱερὰ καὶ μὲν καὶ ἡ νηστεία, καὶ προσέτι τῆς Σκηνοπηγίας ἡ πολύευκτος ἑορτή. Προσετίθει δὲ πανταχῇ καὶ ἐφ' ἑκάστῳ τῶν εἰρημένων ὁ νόμος, τὸ «Προσοίσετε ὁλοκαυτώματα τῷ Κυρίῳ.» Καὶ τίνες δ' ἂν γένοιντο πρὸς ἡμῶν τῶν θυσιῶν οἱ τρόποι, οἵ τε τῇ νεομηνίᾳ πρέποντες, καὶ μὴν καὶ Σαββάτοις νηστεία δὲ αὖ καὶ οἱ κατ' αὐτὴν ἐσόμενοι τὴν Σκηνοπηγίαν ἢ ὅ τί ποτέ ἐστι τὸ εἰς θυσίαν ἐνδελεχὲς, σεσίγηκε μὲν ὁ νομοθετῶν ἐν τῷ Λευιτικῷ, κατευρύνει δὲ ὥσπερ τὸν ἐπὶ τοῖσδε λόγον, καὶ σὺν πολλῇ λίαν ἰσχνομυθίᾳ συντέθεικεν ἐν τοῖς Ἀριθμοῖς· βούλει λέγωμεν ἀνὰ μέρος ἕκαστα διαλαβόντες, ὡς ἔνι; {ΠΑΛΛ.} Πάνυ μὲν οὖν. {ΚΥΡ.} Γέγραπται τοίνυν ὡδί· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Ἔντειλαι τοῖς υἱοῖς Ἰσ-ραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, λέγων· Τὰ δῶρά μου, δόματά μου, καρπωματά μου εἰς ὀσμὴν εὐωδίας διατηρήσετε προσφέρειν ἐμοὶ ἐν ταῖς ἑορταῖς μου. Καὶ ἐρεῖς πρὸς αὐτούς· Ταῦτα τὰ καρπώματα ὅσα προσάξετε Κυρίῳ, ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο τὴν ἡμέραν εἰς ὁλοκαύτωσιν ἐνδελεχῶς. Τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ πρωῒ, καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ πρὸς ἑσπέραν, καὶ ποιήσεις τὸ δέκατον τοῦ οἰφὶ σεμίδαλιν εἰς θυσίαν ἀναπεποιημένην ἐν ἐλαίῳ ἐν τετάρτῳ τοῦ ἴν. Ὁλοκαύτωμα ἐνδελεχισμοῦ, ἡ γενομένη θυσία ἐν τῷ ὄρει Σινᾶ εἰς ὀσμὴν εὐωδίας Κυρίῳ. Καὶ σπονδὴν αὐτῷ τὸ τέταρτον τοῦ ἲν τῷ ἀμνῷ τῶν ἑνὶ, ἐν τῷ ἁγίῳ [αλ. ἀγγείῳ] σπεί 68.1113 σεις σπονδὴν σίκερα Κυρίῳ. Καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις πρὸς ἑσπέραν, κατὰ τὴν θυσίαν αὐτοῦ, καὶ κατὰ τὴν σπονδὴν αὐτοῦ ποιήσεις εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ.» Συνίης οὖν ὅπως τῶν θυσιῶν τὴν ἀναφορὰν ταῖς ἑορταῖς ὅτι μάλιστα πρέπειν ὁ θεῖος ἡμῖν ἐν τούτοις διισχυρίζεται νόμος· Χρῆναι γὰρ οἶμαι πάντη τε καὶ πάντως εὐωδιάζειν ἡμᾶς ἐν αὐταῖς τῷ Θεῷ τῆς ἐν Χριστῷ πολιτείας τοὺς τρόπους, οἱονεί πως ἐν τάξει ποιουμένους θυμιαμάτων, καὶ εὔοσμον ὁλοκαύτωμα προσκομίζοντας αὐτοὺς τῷ Θεῷ κατ' ἐκεῖνο, οἶμαί που, τὸ μάλα ὀρθῶς εἰρημένον· «Παραστήσατε οὖν τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.» Τὴν δέ γε τοῦ ἐνδελεχισμοῦ θυσίαν ἀποπεραίνεσθαι δεῖν εὖ μάλα φησὶν, ἑνὸς μὲν ἀμνοῦ σφαζομένου τὸ πρωῒ, ἑτέρου δὲ αὖ πρὸς ἑσπέραν, συνθυμιωμένης αὐτοῖς σεμιδάλεως, ἐλαίου τε καὶ οἴνου προσεπενηνεγμένων· ἐν παντὶ γὰρ καιρῷ καὶ ἀκαταλήκτως καὶ ἀπαρχῆς μέχρι τέλους ἐν τῇ ἁγίᾳ σκηνῇ, τουτέστιν, ἐν Ἐκκλησίᾳ, διὰ πάσης ἀρετῆς εὐωδιάζομεν ἐν Χριστῷ. Τὸ γὰρ πρωΐ τε καὶ πρὸς ἑσπέραν καπνίζεσθαι τοὺς ἀμνοὺς, ὑποτύπωσις ἂν εἴη πάλιν, τοῦ δι' ἡμᾶς τε καὶ ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας ἀναθρώσκοντος τῷ Πατρὶ, συνανακομίζοντος δὲ ὥσπερ αὐτῷ καὶ τὴν τῶν εἰς αὐτὸν πιστευσάντων ζωὴν, τὸ ἱλαρὸν ἔχουσαν ὡς ἐν ἐλπίδι βεβαίας δόξης τε καὶ βασιλείας. Καὶ πρός γε δὴ τούτῳ, τὸ κατευφραίνεσθαι δεῖν, ταῖς εἰς αἰῶνα τρυφαῖς· σημεῖον δ' ἂν γένοιτο τῆς τοιᾶσδε ζωῆς, σεμίδαλις ἐλαιόδευτος, καὶ οἰνοβραχής. Θυσία δὴ οὖν σωτηρίου τὸ χρῆμα, καθὰ καὶ ἡ τετελεσμένη διὰ Μωσέως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν τῷ ὄρει Σινᾶ. Γέγραπται δὲ ἐν τῇ Ἐξόδῳ, ὅτε τοὺς ἐφ' ἅπασι τοῖς πρακτέοις διωρίσατο νόμους τοῦ πάντων κρατοῦντος Θεοῦ· «Ὀρθρίσας,» φησὶν, «ὁ Μωσῆς τὸ πρωῒ ᾠκοδό-μησε θυσιαστήριον ἐπὶ τὸ ὄρος, καὶ δώδεκα λίθους εἰς τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· καὶ ἐξαπέστειλε τοὺς νεανίσκους τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀνήνεγκαν ὁλοκαυτώματα καὶ θυσίαν σωτηρίου τῷ Θεῷ, μοσχάρια.» Ἀδιαφορήσει δὲ, οἶμαι, τῆς θυσίας ὁ λόγος, εἴτ' οὖν ἀμνοὶ τὰ ἱερουργούμενα, κἂν εἴτε μοσχάρια λέγοιντο τυχόν· σώζεται γὰρ ἐν ἀμφοῖν τῆς ἀκακίας ὁ τύπος, ὃ δὴ μάλιστα περιθείη τις ἂν τῷ προσώπῳ Χριστοῦ, διὰ φωνῆς Ἱερεμίου λέγοντος· «Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον, ἀγόμενον τοῦ θύεσθαι οὐκ ἔγνων.» Εἰ δὲ δή τις ἕλοιτο καὶ καθ' ἕτερον τρόπον, πρωϊνήν τε καὶ ἑσπερινὴν θυσίαν ἐπινενοῆσθαι λέγειν ἐν τῇ ἁγίᾳ σκηνῇ διά τοι τὸν τῆς ἀνθρωπότητος χρόνον, εἶναι μὲν εὐώδη, πρὸ τῆς παραβάσεως τῆς ἐν Ἀδὰμ, τοιουτονὶ δὲ γενέσθαι πάλιν τὸν ἐν ἐσχάτοις καὶ ἐν Χριστῷ, καὶ ἐν τῇ κατ' αὐτὸν νοουμένῃ ζωῇ, φέροιτο οὐκ ἂν ἀπὸ σκοποῦ, καὶ λογιεῖται σοφῶς· ἔχει γὰρ ὧδε τὸ χρῆμα τῇ φύσει. {ΠΑΛΛ.} Πείθομαι. {ΚΥΡ.} Τὰς δὲ ἐν τῷ Σαββάτῳ θυσίας ὁρίζεται λέγων εὐθύς· «Καὶ τῇ ἡμέρᾳ τῶν Σαββάτων προσάξετε δύο ἀμνοὺς ἐνιαυσίους ἀμώμους, καὶ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν καὶ 68.1116 σπονδήν. Ὁλοκαυτώματα Σαββάτων ἐν τοῖς Σαββάτοις, ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς, καὶ τὴν σπονδὴν αὐτῆς.» Οὐχ ἕτερος δὲ τῆς θυσίας ὁ τρόπος, παρὰ τὸν ἀρτίως ἡμῖν εἰρημένον. Εἰσὶ δὲ οὗτοι κατ' ἴχνος ὡς παραλλάττειν οὐδέν. Ἄθρει γε μὴν ἐκεῖνο, ὦ τᾶν· ἡ μὲν γὰρ τοῦ ἐνδελεχισμοῦ θυσία διηνεκῆ τὴν ἱερουργίαν ἔχει καὶ ἐν ἡμέρᾳ πάσῃ τελεῖται κατὰ τὸν νόμον. Ἡ δέ γε τῶν Σαββάτων, οὐ κατὰ πᾶσαν ἡμέραν, ἀλλ' ἐν αὐτοῖς τοῖς Σαββάτοις. Ἵνα τοίνυν μὴ ἀποχρώντως ἔχειν οἰόμενοι τὴν ἀνὰ πᾶσαν ἡμέραν τοῦ ἐνδελεχισμοῦ θυσίαν, ῥᾴθυμοί πως εἶεν περὶ τὸ προσάγειν τὰ ἐν Σαββάτοις, προστέθεικεν ἀναγκαίως· «Τοῦτό ἐστιν ὁλοκαύτωμα Σαββάτων ἐν τοῖς Σαββάτοις ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς, καὶ τὴν σπονδὴν αὐτῆς.» {ΠΑΛΛ.} Ἄραρεν οὖν ὅτι πρὸς τῇ θυσίᾳ τοῦ ἐνδελεχισμοῦ, καὶ ἡ τῶν Σαββάτων ἱερουργεῖται κατὰ νόμον; {ΚΥΡ.} Ἄραρεν· οὐ γὰρ ἐνδοιάσαι θέμις. Σαββατίζοντες γὰρ καὶ ἡμεῖς ἐν Χριστῷ, καὶ εἰς τὴν αὐτοῦ κατάπαυσιν εἰσελάσαντες, οἱονεί πως ἐν διπλῷ τὰ τῆς πνευματικῆς εὐωδίας ἀνοίσομεν τῷ Θεῷ, εἴπερ ἐστὶν ἀτρεκὲς, ὡς εὐῶδες μὲν ἦν τοῖς ἀρχαιοτέροις, τῆς ἐν νόμῳ δικαιοσύνης τὸ καύχημα. Πνευματικὸς γὰρ ὁ νόμος, καὶ «Ἡ ἐντολὴ ἁγία, καὶ δικαία καὶ ἀγαθὴ,» κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν· ἐν ὑπεροχῇ γε μὴν ἡ ἐν Χριστῷ πολιτεία, καὶ ὁ ἐν πνεύματι σαββατισμὸς, τῆς ἐν νόμῳ δικαιοσύνης ἀμείνων εἰς εὐοσμίαν. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Προσεπάγει δὲ τούτοις· «Καὶ ἐν ταῖς νεομηνίαις προσάξετε ὁλοκαύτωμα τῷ Κυρίῳ, μόσχους ἐκ βοῶν δύο, καὶ κριὸν ἕνα· ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους· τρία δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ μόσχῳ τῷ ἑνὶ, καὶ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ κριῷ τῷ ἑνί· δέκατον δέκατον σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ ἀμνῷ τῷ ἑνὶ, θυσίαν ὀσμὴν εὐωδίας κάρπωμα Κυρίῳ· ἡ σπονδὴ αὐτῶν τὸ ἥμισυ τοῦ ἲν ἔσται τῷ μόσχῳ τῷ ἑνὶ, καὶ τρίτον τοῦ ἵν' ἔσται τῷ κριῷ τῷ ἑνὶ, καὶ τὸ τέταρτον τοῦ ἲν ἔσται τῷ ἀμνῷ τῷ ἑνὶ οἴνου· τοῦτο τὸ ὁλοκαύτωμα μῆνα ἐκ μηνὸς εἰς τοὺς μῆνας τοῦ ἐνιαυτοῦ· καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας Κυρίῳ· ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς ποιηθήσεται καὶ ἡ σπονδὴ αὐτοῦ.» Διηνεκὴς θυσία καὶ ἀκατάληκτος, ὡς ἂν ἑκάστῳ μηνὶ, πρὸς τῇ καθ' ἡμέραν, ἥτις ἐστὶν ἐνδελεχισμοῦ, καὶ ἡ ἐν ταῖς νουμηνίαις. Λόγος δὲ οὐχ ἁπλοῦς ὁ ἐπ' αὐταῖς ἔσται πάλιν. Καθαρὸν γὰρ λίαν τὸ αἴνιγμα. Νουμηνία τοίνυν ἡ νοητὴ καὶ ἀληθεστέρα νοοῖτ' ἂν εἰκότως, αἰὼν ὁ νέος ἐν Χριστῷ, παρῳχηκότος τοῦ πρώτου τοῦ κατὰ νόμον. Εἴη δ' ἂν καὶ ἑτέρως εἰς τύπον ἡμῖν ἡ νουμηνία, καὶ τοῦ μετὰ τόνδε μέλλοντος αἰῶνος. καὶ ὅσον οὐδέπω παρεσομένου, πλὴν ἀρχὴν ἔχοντος τὴν ἀνάστασιν τοῦ Χριστοῦ, δι' ἧς εἰς καινότητα μετακεχωρήκαμεν, ὡς ἐν ἀῤῥαβῶνι τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χάριτος τὸ Πνεῦμα πλουτήσαντες, καὶ ἀσφαλῆ τὴν ἐλπίδα τῆς εἰς 68.1117 ἀφθαρσίαν ζωῆς, ἐν μακαριότητι καὶ ἁγιασμῷ μεταστοιχειούμενοι πρὸς τὸ ἐν ἀρχαῖς, καὶ ἀνόπιν ὥσπερ ἰόντες, αἰῶνι τῷ μέλλοντι συμμορφούμενοι. Τίς οὖν ἡ πρέπουσα ταῖς νουμηνίαις θυσία, τοῦτ' ἔστι, τῇ ἐν Χριστῷ τε καὶ νοητῇ, καὶ μὴν καὶ ζωῇ τῇ κατ' αἰῶνα τὸν μέλλοντα; Τὸ ἀποθνήσκειν Θεῷ, καὶ ζῆν μὲν οὐκέτι ταῖς ἁμαρτίαις ἐνεχομένους, πολιτείας δὲ τῆς γεωδεστέρας ἀποφοιτῶντες εἰσάπαν, ἵνα Χριστῷ συζήσωμεν. Οὕτω καὶ ὁ θεσπέσιος Παῦλος τοῖς ἡγιασμένοις ἐν Πνεύματι, καὶ ἐν Χριστῷ δεδικαιωμένοις, καὶ τὰς τοῦ μέλλοντος αἰῶνος δυνάμεις ἐκπεπαιδευμένοις ἐπιστέλλει λέγων· «Εἰ ἀπεθάνετε ἐν Χριστῷ, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζετε;» Καὶ πάλιν· «Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.» Ὅρα τοίνυν ὡς ἐν διαφόρῳ ποσότητι πνευματικῆς εὐεξίας ἀποθνήσκοντας ἱερῶς τῷ Θεῷ τοὺς εὐδοκιμεῖν εἰωθότας, καὶ τὰ τῆς ἐπιεικείας εὐθὺς ἀποκερδαίνοντας γέρα. Μόσχοι γὰρ δὴ καταθύονται δύο, καὶ εἷς ἐπ' αὐτοῖς κριὸς, καὶ ἑπτὰ ἀμνοὶ, μῶμον οὐκ ἔχοντες. Καὶ διὰ τούτων ἡμῖν ἁπάντων ἡ τῶν ἁγίων πληθὺς καταγράφεται, ὡς ἐν ἀρετῇ μὲν τῇ ὑπερτάτῃ διαπρέπουσα, διά γε τῶν μόσχων, ἐνυφιζάνουσα δὲ ὥσπερ καὶ ἐν δευτέροις, ὡς ἐν τῷ κριῷ, ἐν δέ γε τῇ μείονι καὶ χθαμαλωτέρᾳ πάλιν ἐν τοῖς ἀμνοῖς. Δύο γε μὴν οἱ μόσχοι· δύο γὰρ οἱ λαοί· καὶ εἷς διὰ μέσου κριὸς, διὰ τὴν εἰς ἑνότητα τοῖν δυοῖν ἕνωσιν ἐν Χριστῷ. Ἑπτὸ δὲ πάλιν ἀμνοί· ἐν πληρώματι γὰρ τῷ τελειοτάτῳ τῶν ἁγίων ὁ δῆμος. Δύο δὲ ὄντες, καὶ εἷς καθ' ἕνωσιν τὴν πνευματικὴν, πληθὺς ἡ τελειοτάτη νοοῖτ' ἂν εἰκότως. Πλατεῖα γὰρ σφόδρα, καὶ ἐν ἁπλότητι τῇ ἐν Χριστῷ, καὶ ἐν νηπιότητι τῇ κατ' αὐτὸν ἡ τῶν πιστευόντων ἀγέλη. Ἄθρει δὲ ὅπως τρία μὲν δέκατα σεμιδάλεως τῷ μόσχῳ τῷ ἑνὶ, τὸ ἀφόρισμα, Καὶ ἐν ἡμίσει τοῦ ἲν, τοῦτ' ἔστι, ξέστων ἓξ, ἔλαιόν τε καὶ οἶνος. Τῷ δέ γε κριῷ, δύο μὲν δέκατα σεμιδάλεως, ἐν δὲ τρίτῳ τοῦ ἲν, τὰ ἐπιχεόμενα. Ἑκάστῳ γε μὴν τῶν ἀμνῶν, ἓν μὲν δέκατον σεμιδάλεως ἡ θυσία, καὶ ἐν τετάρτῳ τοῦ ἲν ἡ σπονδὴ, τοῦτ' ἔστιν, ἔλαιόν τε καὶ οἶνος. Ἰσοστάθμως γὰρ τοῖς ἑκάστου πόνοις, καὶ μὴν καὶ δυνάμεσι ταῖς κατ' ἀρετὴν, τὸ τῆς ζωῆς μέτρον τῆς ὡς ἐν εὐκλείᾳ καὶ μακαριότητί φημι, καὶ μὴν καὶ ἑνότητι παρὰ Θεοῦ, καὶ πνευματικῆς εὐφρασίας, ἀπονεμηθήσεται παρὰ τοῦ τὰ δίκαια κρίνοντος· ἢ γὰρ οὐχὶ ζωῆς μὲν τύπον, ἀποπληροῦν τὴν σεμίδαλιν πλειστάκις εἰρήκαμεν, πιότητος δὲ τὸ ἔλαιον, εὐφρασίας δὲ τῆς νοητῆς, τὸν οἶνον; {ΠΑΛΛ.} Καὶ μάλα. {ΚΥΡ.} Χίμαρος δὲ πάλιν προσεπάγεται ταῖς θυσίαις, ὑπὲρ ἁμαρτιῶν σφαζόμενος, εἰς τύπον Χριστοῦ. Δεκτὴ γὰρ ἡμῶν ἡ θυσία καὶ ἁνδάνουσα τῷ Θεῷ, διὰ τὸ πάθος τοῦ Χριστοῦ τὸ σωτήριον. Καὶ τοῦτο, οἶμαι, ἐστὶν ὅπερ αὐτὸς εἴρηκεν ὁ Σωτὴρ τοῖς ἁγίοις ἀποστόλοις· «Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.» Οὐκοῦν ἀναγκαίως ταῖς ἡμῶν εὐωδίαις, ἡ Χριστοῦ προσεπάγεται, ἑαυτὴν τρόπον τινὰ συνανακιρνῶσα ταῖς παρ' ἡμῶν, καὶ συναναίρουσα τῷ Πα 68.1120 τρί. Δεκτοὶ γὰρ οὐχ ἑτέρως ἐσμὲν, πλὴν ὅτι διὰ μόνου Χριστοῦ. {ΠΑΛΛ.} Ἄριστα ἔφης. {ΚΥΡ.} Καὶ ταυτὶ μὲν ἡμῖν ὡς ἔν γε τοῖς Σάββασι καὶ νεομηνίαις τὰ ἱερουργούμενα· «Ἐν δέ γε μηνὶ τῷ ἑβδόμῳ,» φησὶ, «μιᾷ τοῦ μηνὸς, ἐπίκλητος ἁγία ἔσται ὑμῖν. Πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. Ἡμέρα σημασίας ἔσται ὑμῖν. Καὶ ποιήσετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, μόσχον ἕνα ἐκ βοῶν, καὶ κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους.» Καὶ τρία μὲν δέκατα σεμιδάλεως ἐπὶ τῷ μόσχῳ, δύο δὲ αὖ ἐπὶ τῷ κριῷ, καὶ ἓν ἐφ' ἑκάστῳ τῶν ἀμνῶν, ἀναλόγως ἑπομένων καὶ τῶν ἐπιχεομένων, ἐλαίου τέ φημι καὶ οἴνου. Ἐν ἡμίσει γὰρ δὴ τοῦ παρ' Ἑβραίοις ἲν, καὶ ἐν τρίτῳ τε καὶ ἐν τετάρτῳ ταυτί. Τίς δ' ἂν νοοῖτο τῆς ἑορτῆς ἡ δύναμις, ὑπέφηνεν εἰπών· «Ἡμέρα σημασίας ἔσται ὑμῖν.» Σημαίνει γὰρ ἡμῖν τὴν ἐσχάτην σάλπιγγα, τὴν διὰ τῆς ἀγγέλου φωνῆς, ὑφ' ᾗ δὴ πάντες ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καθάπερ ἤδη προείπομεν. Προστέταχε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ καὶ ἐν τῇ δεκάτῃ τοῦ αὐτοῦ μηνὸς, καθ' ἣν ἡ νηστεία, τῶν σαρκικῶν ἐπιθυμιῶν, τὴν νέκρωσιν, καὶ τὴν ἐκ τῶν ἐπιγείων παθῶν ἀποφοίτησιν ἐφ' ἑαυτῇ καταγράφουσα, τὴν αὐτὴν θυσίαν ἀποπεραίνεσθαι δεῖν κατὰ τὸν ἴσον τῇ πρώτῃ τρόπον, καὶ ὅπως ἂν ἔχοι τῶν δρωμένων ἡ δύναμις κατά γε τὸν πρέποντα ταῖς θεωρίαις λόγον, διαρκῶς εἰρήκαμεν. {ΠΑΛΛ.} Μεμνήσομαι. {ΚΥΡ.} Θεσμοθετεῖ δὲ αὖ καὶ τίνες ἂν γένοιντο πρὸς ἡμῶν θυσίαι τῇ Σκηνοπηγίᾳ πρέπουσαι, καὶ φησί· «Καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τοῦ ἐπικληθέντος ἁγία ἔσται ὑμῖν. Πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. Καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν Κυρίῳ ἑπτὰ ἡμέρας, καὶ προσάξετε ὁλοκαυτώματα κάρπωμα τῷ Κυρίῳ εἰς ὀσμὴν εὐωδίας, τῇ ἡμέρᾳ τῇ πρώτῃ μόσχους ἐκ βοῶν τρεῖς καὶ δέκα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας Ἄμωμοι ἔσονται. Αἱ θυσίαι αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ. Τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ, ἐπὶ τοῖς τρισκαίδεκα μόσχοις, καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνὶ, ἐπὶ τοὺς δύο κριούς. Δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ, ἐπὶ τοὺς τέσσαρας καὶ δέκα ἀμνοὺς, καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντὸς, αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.» Εἶτα καθ' ἡμέραν ἑνὸς ὑπεξαιρομένου μόσχου, τὰ τῆς θυσίας ἐν ἴσῳ τρόπῳ τε καὶ μέτρῳ. Δύο γὰρ οἱ κριοὶ, καὶ ἀμνοὶ δεκατέσσαρες, καὶ χίμαρος εἷς. Καὶ γοῦν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ μόσχοι προσεκομίζοντο δύο καὶ δέκα· ἕνδεκα δὲ τῇ τρίτῃ, τῇ δὲ τετάρτῃ δέκα· καὶ ἐννέα τῇ πέμπτῃ, ὀκτὼ τῇ ἕκτῃ, καὶ ἑπτὰ κατὰ τὴν ἑβδόμην. Συνίης οὖν ὅτι καθ' ἑκάστην, ἡμέραν ὁ τῶν μόσχων ἀριθμὸς ἐν ὑφέσει μόνος, ἐν ἴσῳ γε μὴν ὅ τε τῶν κριῶν, καὶ μὲν καὶ ὁ τῶν ἀμνῶν τὰ τῆς σεμιδάλεως, καὶ τῶν ἐκχεομένων. {ΠΑΛΛ.} Καὶ τί τὸ χρῆμα, ὦ τᾶν; ἀνθ' ὅτου δὲ δὴ μόσχοι μὲν ἐν ἀρχαῖς τρισκαίδεκα, ἐν ὑφέσει δὲ 68.1121 καθ' ἡμέραν ἑνὸς ὑποκλεπτομένου. Κριοὶ δὲ δὴ πάλιν δύο καὶ ἀμνοὶ δεκατέσσαρες, χιμάρου τοῖς θύμασιν ἐπενηνεγμένου. {ΚΥΡ.} Δυσκάτοπτος μὲν, ὦ Παλλάδιε, τῶν τεθεσπισμένων ὁ νοῦς, καὶ ἀμυδρὸν τῇ φύσει τὸ χρῆμά ἐστι. Πειράσομαι δὲ ὡς ἔνι, τό γε εἰς νοῦν ἧκον εἰπεῖν. Μεθαρμόσεις δὲ ὅ τι πρὸς τὸ ἄμεινον αὐτὸς, εἰ μὴ κατ' εὐθὺ διάττοιμι τοῦ σκοποῦ. {ΠΑΛΛ.} Διακείσομαι. {ΚΥΡ.} Ἔοικε τοίνυν τὸ θεῖον ἡμῖν χρησμῴδημα τήν τε τῶν ἐξ Ἰσραὴλ ἐν νόμῳ παιδαγωγίαν, καὶ τῶν διὰ πίστεως εἰσκεκομισμένων εἰς ἁγιασμὸν ἀνατυποῦν τὴν κλῆσιν. Δηλοῖ δὲ, οἶμαί που, τῆς θυσίας τὸ αἴνιγμα, ὅτι δύο μὲν ἤστην καιροὶ καθ' οὓς ἂν νοοῖντο πεπαιδαγωγῆσθαι πρὸς θεογνωσίαν καὶ εἰς νομικὴν πολιτείαν, αἱ τῶν Ἰουδαίων ἀγέλαι. Τίνες δ' ἂν εἶεν οἱ τοιοίδε καιροὶ, ἢ ἐκεῖνοί που πάντως καθ' ὃν ἦν ἔτι που Μωσῆς, Ἰησοῦς τε καὶ κριταὶ, καὶ καθ' ὃν οἱ προφῆται μέχρις Ἰωάννου τοῦ Βαπτιστοῦ, τοῦ καὶ περισσότερον ἔχοντος κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, ἀποστολῆς δηλονότι καὶ λειτουργίας προφητικῆς. Ἀλλ' ἐν καιροῖς τοῖς δυσὶν ὑπεμφαίνει τὸ Γράμμα τὸ ἱερὸν γεγενῆσθαί τινας βίου μὲν τρίβον ἰόντας τὴν ἐπαινουμένην ἐν νόμῳ, πλὴν οὐκ ἐν ἴσῳ μέτρῳ, καὶ εἰσάπαν ἐμφερεστάτην, δυνάμει τε καὶ εὐεξίᾳ πνευματικῇ. Οἱ μὲν γὰρ ἦσαν τῆς ἀνωτάτω τυχὸν, ἧς ἂν τύπος ὁ μόσχος. Ἕτεροι δὲ αὖ, τῆς ὡς ἐν μεσότητι νοουμένης. Σημεῖον δ' ἂν γένοιτό που καὶ τοῦδε, κριός. Καὶ τρίτοι πρὸς τούτοις, τῆς ἐπὶ βραχὺ μειονεκτουμένης καὶ ἐνυφιζάνοντι μέτρῳ, καθάπερ ἀμέλει παρέσται νοεῖν ὡς ἐν μεγέθει σωματικῷ τοῖς ἀμνοῖς. Ἢ γὰρ, οὐχὶ μείων μὲν μόσχου κριὸς, ὑποκάθηται δὲ τοῦ κριοῦ μέγεθος, ὁ ἀμνός; {ΠΑΛΛ.} Φημὶ, πῶς γὰρ οὔ; {ΚΥΡ.} Οὐκοῦν τῆς ἑκάστου ποσότητος, δῆλον δὲ ὅτι τῆς ἐν ἐπιεικείᾳ, τύπος ἂν εἴη καὶ μάλα σαφὴς, τὰ ὠνομασμένα τῶν ζώων. Ἐπειδὴ δὲ τὸ προὖχον ἀεὶ καὶ ἀπόλεκτον, μεῖόν πως ἐν ἀριθμῷ, τοῦ δευτέρου δὲ καὶ τρίτου, σπάνιον γὰρ, ταύτητοι τρισκαίδεκα μόσχοι, δέκα δὲ οἱ κριοὶ, καὶ δεκατέσσαρες οἱ ἀμνοί. Ἐπειδὴ δὲ δύο τοὺς κριοὺς εἶναί φαμεν, ἐν διπλῷ τῶν θυμάτων ὁ ἀριθμός. Ἀντὶ γὰρ ἀμνῶν ἑπτὰ, δεκατέσσαρες οἱ μόσχοι, δύο γε μὴν, οἱ κριοί· ἢ οὐκ εἰκὸς σεπτούς τε καὶ ἱεροὺς γενέσθαι πολλοὺς, καὶ κατά γε τὴν ἐν νόμῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δικαιοσύνην αὐχοῦντας τὸ ἄμεμπτον; καθάπερ ἀμέλει περί τε Ζαχαρίου καὶ τῆς Ἐλιζάβετ ὁ θεῖος ἡμῖν γέγραφεν εὐαγγελιστὴς, ὅτι «Ἦσαν δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου, ἄμεμπτοι.» {ΠΑΛΛ.} Φημί· καὶ γάρ που Θεὸς τὴν τῶν Ἰουδαίων μητέρα κατητιᾶτο λέγων· «Πῶς ἐγένου πόρνη, πόλις πιστὴ Σιὼν, πλήρης κρίσεως, ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ;» {ΚΥΡ.} Ἦν οὖν ἄρα δικαιοσύνη κατὰ νόμον, καθ' ἣν καὶ εἰκὸς γενέσθαι δοκιμωτάτους ἐν ὑπακοῇ Θεοῦ, 68.1124 καὶ οὐχὶ δὴ πάντως τελειοῦντος εἰς ἁγιασμὸν τοῦ νόμου. {ΠΑΛΛ.} Εὖ ἔφης. {ΚΥΡ.} Οὐκοῦν τὴν τοῦ Ἰσραὴλ κλῆσιν ὑποσημαίνοντες, ὡς ἐν ὑπερτάτοις τε καὶ μέσοις, καὶ τοῖς ἔτι μείοσι, μόσχοι τε καὶ κριοὶ, καὶ μὴν καὶ ἀμνοὶ κατεθύοντο τῷ Θεῷ, καὶ ἐν ἐλάττοσιν ἀεὶ τῶν μόσχων ὁ ἀριθμὸς, ὡς ἐκλειπόντων ἀεὶ τῶν ἐξειλεγμένων καὶ τῶν ἐν ὑπεροχαῖς, καὶ δοκιμωτάτων, τὴν σπάνιν νοσοῦντος ἀεὶ τοῦ καιροῦ, καὶ μέχρι τῆς ἑβδόμης, τοῦτ' ἔστι, τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, καθ' ὃν ὁ σαββατισμὸς ἐν πνεύματι, καὶ κατάληξις ἔργων τῶν εἰς ἁμαρτίαν ἀνέφυ λοιπόν. Δεδικαιώμεθα γὰρ ἐν Χριστῷ, καταῤῥέοντος ἤδη πρὸς τέλος τοῦ παρόντος αἰῶνος. Σημεῖον δ' ἂν γένοιτο καὶ τοῦδε πάλιν, τῆς ὅλης ἡμῖν ἑβδομάδος ὡς ἐν ἐσχάτοις τὸ Σάββατον κείμενον. Ταύτῃτοι σοφῶς ἵστησι μὲν ὁ νόμος φησὶ μέχρι τοῦ Σαββάτου τῶν ἀρχαίων θυμάτων τὴν προσκομιδὴν, τοῦτ' ἔστι, τὴν ἐν νόμῳ κλῆσιν, καὶ τὴν κατ' αὐτὸν ἱερουργίαν, ἀντεισφέρει δὲ ὥσπερ τὴν ἐν Χριστῷ λέγων· «Καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξόδιον ἔσται ὑμῖν. Πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ, καὶ προσάξετε ὁλοκαύτωμα κάρπωμα εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ μόσχον ἕνα, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους. Αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν τῷ μόσχῳ καὶ τῷ κριῷ καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν, καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός. Αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν· ταῦτα ποιήσετε Κυρίῳ ἐν ταῖς ἑορταῖς ὑμῶν, πλὴν τῶν εὐχῶν ὑμῶν, καὶ τὰ ἑκούσια ὑμῶν, καὶ τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰς θυσίας ὑμῶν, καὶ τὰς σπονδὰς ὑμῶν, καὶ τὰ σωτήρια ὑμῶν.» Ἀκούεις τοῦ νόμου λέγοντος ἐναργῶς· «Ἐξόδιόν ἐστιν;» Ἐκβέβηκε γὰρ ἡ ὡς ἐν σκιαῖς λατρεία, καὶ ἡ ἐν τύπῳ παίδευσις, κατὰ τὴν ὀγδόην, καθ' ἣν ἀνεβίω Χριστὸς, καὶ τῆς ἐν πνεύματι περιτομῆς εἰσπέπαικεν ὁ καιρός. Ἐξεκλείσθη μὲν γὰρ ἡ ἀρχαία τῶν κεκλημένων πληθὺς, ἔγκλημα νοσοῦσα τὴν ἀπιστίαν, ἀντανέφυ δὲ ὥσπερ λαὸς ὁ νέος, καὶ διαπρέπων μὲν ἰσχύϊ πνευματικῇ, τοῦτο γὰρ ὁ μό-σχος, εὐδοκιμῶν δὲ τελείως, ὡς ἐν ἡλικίας πληρώ-ματι, τοῦτο γὰρ ὁ κριὸς, τῆς δὲ ἐν Χριστῷ νηπιότη-τος καὶ ἀκακίας τὸ ἐξαίρετον κάλλος, τοῦτο γὰρ ὁ ἀμνὸς, εἰ καὶ ἐν πληθύϊ νοοῖτο τῇ τελειοτάτῃ. Τὸ γὰρ εἶναι λέγειν ἑπτὰ τοὺς ἀμνοὺς, τοῦτό που πάν-τως ὑποδηλοῖ. Ἕπεται γὰρ καὶ ὁ χίμαρος. Ἐν Χρι-στῷ γὰρ εὐδοκιμεῖ διὰ πίστεως, εἰς ὀσμὴν εὐωδίας ἀναβαίνων τῷ Θεῷ, καθὰ πολλάκις εἰρήκαμεν. {ΠΑΛΛ.} Ὧδε ἔχει. {ΚΥΡ.} Ὅτι δὲ σαββατιοῦμεν ἐν Χριστῷ, κατα-λύοντες εἰς ἀνάπαυσιν, διά γε τοῦ δεῖν σπουδασμά-των ἡμᾶς καταλῆξαι κοσμικῶν καὶ γεωδεστέρας φροντίδος οὐκ ἀνεχομένους ἔτι, κατατρυφῶντας δὲ μᾶλλον τοῦ Κυρίου, καθὰ γέγραπται, καὶ κλῆρον ἔχοντας παρ' αὐτῷ τὸν ἐξαίρετον, σαφηνιεῖ λέγων ἐν 68.1125 τῷ Λευϊτικῷ πρὸς τὸν ἱεροφάντην Μωσέα· «Λάλη-σον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἐὰν εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ἀνα-παύσητε τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, Σάββατα τῷ Κυρίῳ· ἓξ ἔτη σπερεῖς τὸν ἀγρόν σου, καὶ ἓξ ἔτη τε-μεῖς τὴν ἄμπελόν σου, καὶ συνάξεις τὸν καρπὸν αὐ-τῆς, τῷ δὲ ἔτει τῷ ἑβδόμῳ Σάββατα. Ἀνάπαυσις ἔσται τῇ γῇ ὑμῶν, Σάββατα τῷ Κυρίῳ. Τὸν ἀγρόν σου οὐ σπερεῖς, καὶ τὴν ἄμπελόν σου οὐ τεμεῖς, καὶ τὰ αὐτόματα ἀναβαίνοντα τοῦ ἀγροῦ σου οὐκ ἐκθε-ρίσεις, καὶ τὴν σταφυλὴν τοῦ ἁγιάσματός σου οὐκ ἐκτρυγήσεις, ἐνιαυτὸς ἀναπαύσεως ἔσται τῇ γῇ, καὶ ἔσται τὰ Σάββατα τῆς γῆς βρώματά σοι, καὶ τῷ παι-δί σου, καὶ τῇ παιδίσκῃ σου, καὶ τῷ μισθωτῷ σου, καὶ τῷ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παροίκῳ τῷ προσκειμένῳ πρὸς σέ· καὶ τοῖς κτήνεσί σου, καὶ τοῖς θηρίοις τοῖς ἐν τῇ γῇ σου ἔσται πᾶν τὸ γέννημα αὐτοῦ εἰς βρῶσιν. Καὶ ἐξαριθμήσεις σεαυτῷ ἑπτὰ ἀναπαύσεις ἐτῶν, ἑπτὰ ἔτη ἑπτάκις· καὶ ἔσονταί σοι ἑπτὰ ἑβδομάδες ἐτῶν, ἐννέα καὶ τεσ-σαράκοντα ἔτη. Καὶ διαγγελεῖτε σάλπιγγος φωνῇ ἐν πάσῃ τῇ γῇ ὑμῶν, ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ τῇ δεκάτῃ τοῦ μηνός. Τῇ ἡμέρᾳ τοῦ ἱλασμοῦ διαγγελεῖτε σάλ-πιγγι ἐν πάσῃ τῇ γῇ ὑμῶν. Καὶ ἁγιάσετε τὸ ἔτος, τὸν πεντηκοστὸν ἐνιαυτὸν, καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς γῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. Ἐνιαυτὸς ἀφέ-σεως σημασία αὕτη ἔσται ὑμῖν, καὶ ἀπελεύσεται εἷς ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ, καὶ ἕκαστος εἰς τὴν πατριὰν αὐτοῦ ἀπελεύσεται.» Συνίης οὖν ὅπως ἀροῦν τε καὶ σπείρειν, καὶ ἀμπελώνων εἶναι μελε-δωνοὺς ἐφίησι μὲν ὁ νόμος, πρὸ τῆς ἑβδόμης; Ἀνεῖ-σθαί γε μὴν τῆς ἐπὶ τούτοις φροντίδος προστέταχε κατὰ τὴν ἑβδόμην. Ἀνιέμεθα γὰρ σαββατίζοντες ἐν Χριστῷ καὶ τῶν ἐπιγείων ἀποστήσαντες τὴν φροντίδα, καὶ ἀποφοιτῶντες εἰσάπαν τῶν εἰκαίων περισπασμῶν. «Ἑπτὰ ἑβδομάδας ἐτῶν,» τοῦτ' ἔστιν, αἰῶνας τῶν αἰώνων, ἐφ' ἑτοίμοις τε καὶ προκειμένοις διατελέσομεν ἀγαθοῖς, δῆλον δὲ ὅτι τοῖς παρὰ Θεοῦ καὶ πνευματικοῖς ἐντρυφῶντές τε καὶ ἑορτάζοντες. Καιρὸς γὰρ ἀφέσεως ἔσται πᾶσιν ἡμῖν τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην, ὁ ἐν ἐσχάτοις, ὅτε καὶ ἕκαστος εἰς τὴν ἑαυτοῦ δραμεῖται κτῆσιν, τοῦτ' ἔστιν, εἰς τὸν αὐτῷ πρέποντα κλῆρον, καὶ ἐκνεμηθέντα παρὰ Θεοῦ. Διαφορὰ γὰρ ὥσπερ ἐστὶ τῆς τῶν ἁγίων ζωῆς, οὕτω καὶ γερῶν, ἀναλό-γως τοῖς ἑκάστου κατορθώμασιν ἐπιμετροῦντος Θεοῦ τὴν ἀντέκτισιν. Διαμέμνηται δὲ καὶ τῆς τὰ τοιάδε διαγγελλούσης σάλπιγγος. Καιρὸς γὰρ ἡμῖν σαββα-τισμοῦ, ὡς ἐν Χριστῷ δηλονότι, καὶ μὴν καὶ ἀφέσεώς τε καὶ κληροδοσίας, ἡ διὰ σάλπιγγός τε καὶ ἀγγέλου φωνῆς ἐσομένη κατὰ καιροὺς ἐκ νεκρῶν ἀναβίωσις, ἐν ᾗ καὶ ἡ λαμπρὰ τῶν ἁγίων πληθὺς, ἀκούσεται λέγον-τος τοῦ Χριστοῦ· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασι-λείαν ἀπὸ καταβολῆς κόσμου,» ἧς καὶ ἡμᾶς γένοιτο τυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.